888
A7
D58
1869

B 858,272

# ARISTOPHANIS

# FABULAE SUPERSTITES

ET

# PERDITARUM FRAGMENTA

EX RECENSIONE

GUILELMI DINDORFII.

EDITIO EX POETARUM SCENICORUM EDITIONE QUINTA EXPRESSA.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI
MDCCCLXIX.

ARTES VERITAS SCIENTIA
1837
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

THE GIFT OF
PROF. ALEXANDER ZIWET

881
A7
D58
1869

# ARISTOPHANIS

# FABULAE SUPERSTITES

ET

# PERDITARUM FRAGMENTA.

EX RECENSIONE

**GUILELMI DINDORFII.**

---

EDITIO EX POETARUM SCENICORUM EDITIONE QUINTA EXPRESSA.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXIX.

Prof. Alex. Binet
gt
2-5-1923
555

IV.

# ARISTOPHANIS

# FABULAE SUPERSTITES

ET

# PERDITARUM FRAGMENTA.

417030

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΑΧΑΡΝΗΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ[a]

ΔΙΚΑΙΟΠΟΛΙΣ.
ΚΗΡΥΞ.
ΑΜΦΙΘΕΟΣ.
ΠΡΕΣΒΕΙΣ Ἀθηναίων παρὰ βασιλέως ἥκοντες.
ΨΕΥΔΑΡΤΑΒΑΣ.
ΘΕΩΡΟΣ.
ΧΟΡΟΣ ΑΧΑΡΝΕΩΝ.
ΓΥΝΗ Δικαιοπόλιδος.
ΘΥΓΑΤΗΡ Δικαιοπόλιδος.
ΚΗΦΙΣΟΦΩΝ.
ΕΥΡΙΠΙΔΗΣ.
ΛΑΜΑΧΟΣ.
ΜΕΓΑΡΕΥΣ.
ΚΟΡΑ θυγατέρε τοῦ Μεγαρέως.
ΣΥΚΟΦΑΝΤΗΣ.
ΒΟΙΩΤΟΣ.
ΝΙΚΑΡΧΟΣ.
ΘΕΡΑΠΩΝ Λαμάχου.
ΓΕΩΡΓΟΣ.
ΠΑΡΑΝΥΜΦΟΣ.
ΑΓΓΕΛΟΙ.

## ΥΠΟΘΕΣΙΣ[b].

Ἐκκλησία ὑφέστηκεν Ἀθήνησιν ἐν τῷ φανερῷ, καθ' ἣν πολεμοποιοῦντας τοὺς ῥήτορας καὶ προφανῶς τὸν δῆμον ἐξαπατῶντας Δικαιόπολίς τις τῶν αὐτουργῶν ἐξελέγχων παρεισάγεται. τούτου δὲ διά τινος, Ἀμφιθέου καλουμένου, σπεισαμένου κατ' ἰδίαν τοῖς Λάκωσιν, Ἀχαρνικοὶ γέροντες πεπυσμένοι τὸ πρᾶγμα προσέρχονται διώκοντες ἐν χοροῦ σχήματι· καὶ μετὰ ταῦτα θύοντα τὸν Δικαιόπολιν ὁρῶντες, ὡς ἐσπεισμένον τοῖς πολεμιωτάτοις καταλεύσειν ὁρμῶσιν. ὁ δὲ ὑποσχόμενος ὑπὲρ ἐπιξήνου τὴν κεφαλὴν ἔχων ἀπολογήσεσθαι, ἐφ' ᾧτε, ἂν μὴ πείσῃ τὰ δίκαια λέγων, τὸν τράχηλον ἀποκοπήσεσθαι, ἐλθὼν ὡς Εὐριπίδην αἰτεῖ πτωχικὴν στολήν. καὶ στολισθεὶς τοῖς Τηλέφου ῥακώμασι παρῳδεῖ τὸν ἐκείνου λόγον, οὐκ ἀχαρίτως καθαπτόμενος Περικλέους περὶ τοῦ Μεγαρικοῦ ψηφίσματος. παροξυνθέντων δέ τινων ἐξ αὐτῶν ἐπὶ τῷ δοκεῖν συνηγορεῖν τοῖς πολεμίοις, εἶτα ἐπιφερομένων, ἐνισταμένων δὲ ἑτέρων ὡς τὰ δίκαια αὐτοῦ εἰρηκότος, ἐπιφανεὶς Λάμαχος θορυβεῖν πειρᾶται. εἶτα γενομένου διελκυσμοῦ κατενεχθεὶς ὁ χορὸς ἀπολύει τὸν Δικαιόπολιν καὶ πρὸς τοὺς δικαστὰς διαλέγεται

---

[a] In codice Ravennate hae tantum personae sunt notatae, Δικαιόπολις. Κῆρυξ. Ἀμφίθεος. Χορὸς Ἀχαρνέων. Ἡμιχόριον. Λάμαχος. Μεγαρεύς. Cephisophontis nomen (v. 395—402. et 434., quod agnoscit scholiasta ad v. 394. 395.) servo Euripidis (nam δοῦλος ab Dicaeopolide appellatur v. 401.) impositum est ab grammaticis, quemadmodum servis in prologo Equitum in scenam prodeuntibus Niciae et Demosthenis nomina tribuerunt, Paphlagonem vero Κλέωνα appellarunt.

[b] Aristophanis fabularum decem ὑποθέσεις — nam Thesmophoriazusarum nulla superest ὑπόθεσις — etsi plura continent ex grammaticorum Alexandrinorum commentariis derivata, ut fragmenta quae insunt didascalica docent, tamen ita sunt ab grammaticis aetatis multo inferioris vel mutatae vel verbosis expositionibus amplificatae ut valde dissimiles argumentis ab Aristophane Byzantio oratione prosa scriptis evasisse videantur. Perinepte vero argumenta metrica, ex octo vel novem vel decem senariis iambicis composita, decem fabulis praescripta partim Ἀριστοφάνους γραμματικοῦ nomen in codicibus gerunt: de quo errore dixerunt Nauckius in libro de Aristophane Byzantio p. 256. egoque in Praefatione ad scholia Sophoclea vol. 2 p. xxii. Quae argumenta ab hominibus linguae metrique imperitis scripta quum in scholiorum editione Oxoniensi legi possint, in hac editione non magis repetenda esse putavi quam quae Thomas Magister aliique infimae aetatis grammatici de Aristophanis fabularum argumentis scripserunt.

περὶ τῆς τοῦ ποιητοῦ ἀρετῆς καὶ ἄλλων τινῶν. τοῦ δὲ Δικαιοπόλιδος ἄγοντος καθ' ἑαυτὸν εἰρήνην τὸ μὲν πρῶτον Μεγαρικός τις παιδία ἑαυτοῦ διεσκευασμένα εἰς χοιρίδια φέρων ἐν σάκκῳ πράσιμα παραγίνεται· μετὰ δὲ τοῦτον ἐκ Βοιωτῶν ἕτερος ἐγχέλεις τε καὶ παντοδαπῶν ὀρνίθων γόνον ἀνατιθέμενος εἰς τὴν ἀγοράν. οἷς ἐπιφανέντων τινῶν συκοφαντῶν συλλαβόμενός τινα ἐξ αὐτῶν ὁ Δικαιόπολις καὶ βαλὼν εἰς σάκκον τοῦτον τῷ Βοιωτῷ ἀντίφορτον ἐξάγειν ἐκ τῶν Ἀθηνῶν παραδίδωσι, καὶ προσαγόντων αὐτῷ πλειόνων καὶ δεομένων μεταδοῦναι τῶν σπονδῶν καθυπερηφανεῖ. παροικοῦντος δὲ αὐτῷ Λαμάχου, καὶ ἐνεστηκυίας τῆς τῶν Χοῶν ἑορτῆς, τοῦτον μὲν ἄγγελος παρὰ τῶν στρατηγῶν ἥκων κελεύει ἐξελθόντα μετὰ τῶν ὅπλων τὰς εἰσβολὰς τηρεῖν· τὸν δὲ Δικαιόπολιν παρὰ τοῦ ἱερέως τοῦ Διονύσου τις καλῶν ἐπὶ δεῖπνον ἔρχεται. καὶ μετ' ὀλίγον ὁ μὲν τραυματίας καὶ κακῶς ἀπαλλάττων ἐπανήκει, ὁ δὲ Δικαιόπολις δεδειπνηκὼς καὶ μεθ' ἑταίρας ἀναλύων. τὸ δὲ δρᾶμα τῶν εὖ σφόδρα πεποιημένων, καὶ ἐκ παντὸς τρόπου τὴν εἰρήνην προκαλούμενον. ἐδιδάχθη ἐπὶ Εὐθύνου[a] ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου· καὶ πρῶτος ἦν· δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σώζονται. τρίτος Εὔπολις Νουμηνίαις.

[a] Εὐθύνου correxi pro Εὐθυμένους: de quo dixi in Scholiorum edit. Oxoniensi vol.3. p.415. Fuit autem Euthynus archon eponymus olymp. 88, 3. Aliud de anno Acharnensium testimonium est schol. Pacis 990.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

Ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν,
ἥσθην δὲ βαιά, πάνυ δὲ βαιὰ τέτταρα·
ἃ δ' ὠδυνήθην, ψαμμακοσιογάργαρα.
φέρ' ἴδω, τί δ' ἥσθην ἄξιον χαιρηδόνος;
ἐγῷδ' ἐφ' ᾧ γε τὸ κέαρ ηὐφράνθην ἰδών,
τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσεν.
ταῦθ' ὡς ἐγανώθην, καὶ φιλῶ τοὺς ἱππέας
διὰ τοῦτο τοὔργον· ἄξιον γὰρ Ἑλλάδι.
ἀλλ' ὠδυνήθην ἕτερον αὖ τραγῳδικόν,
ὅτε δὴ 'κεχήνη προσδοκῶν τὸν Αἰσχύλον,
ὁ δ' ἀνεῖπεν "εἴσαγ', ὦ Θέογνι, τὸν χορόν."
πῶς τοῦτ' ἔσεισέ μου δοκεῖς τὴν καρδίαν;
ἀλλ' ἕτερον ἥσθην, ἡνίκ' ἐπὶ Μόσχῳ ποτὲ
Δεξίθεος εἰσῆλθ' ᾀσόμενος Βοιώτιον.
τῆτες δ' ἀπέθανον καὶ διεστράφην ἰδών,
ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιον.
ἀλλ' οὐδεπώποτ' ἐξ ὅτου 'γὼ ῥύπτομαι
οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς
ὡς νῦν, ὁπότ' οὔσης κυρίας ἐκκλησίας
ἑωθινῆς ἔρημος ἡ πνὺξ αὑτηί·
οἱ δ' ἐν ἀγορᾷ λαλοῦσι κἄνω καὶ κάτω
τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον·
οὐδ' οἱ πρυτάνεις ἥκουσιν, ἀλλ' ἀωρίαν
ἥκοντες, εἶτα δ' ὠστιοῦνται πῶς δοκεῖς
ἐλθόντες ἀλλήλοισι περὶ πρώτου ξύλου,
ἄθροι καταρρέοντες· εἰρήνη δ' ὅπως
ἔσται προτιμῶσ' οὐδέν· ὦ πόλις πόλις.
ἐγὼ δ' ἀεὶ πρώτιστος εἰς ἐκκλησίαν
νοστῶν κάθημαι· κᾆτ' ἐπειδὰν ὦ μόνος,
στένω, κέχηνα, σκορδινῶμαι, πέρδομαι,
ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι,
ἀποβλέπων ἐς τὸν ἀγρόν, εἰρήνης ἐρῶν,
στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν,
ὃς οὐδεπώποτ' εἶπεν, ἄνθρακας πρίω,
οὐκ ὄξος, οὐκ ἔλαιον, οὐδ' ᾔδει πρίω,
ἀλλ' αὐτὸς ἔφερε πάντα χὠ πρίων ἀπῆν.
νῦν οὖν ἀτεχνῶς ἥκω παρεσκευασμένος
βοᾶν, ὑποκρούειν, λοιδορεῖν τοὺς ῥήτορας,
ἐάν τις ἄλλο πλὴν περὶ εἰρήνης λέγῃ.
ἀλλ' οἱ πρυτάνεις γὰρ οὑτοιὶ μεσημβρινοί.
οὐκ ἠγόρευον; τοῦτ' ἐκεῖν' οὑγὼ 'λεγον·
ἐς τὴν προεδρίαν πᾶς ἀνὴρ ὠστίζεται.

ΚΗΡΥΞ.

πάριτ' ἐς τὸ πρόσθεν,
πάριθ', ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος.

Scripturae pone lemmata sine auctoris nomine positae librorum sunt vel omnium vel meliorum, inter quos eminent Ravennas (litera R designatus) fabularum undecim et Venetus Marcianus 374 (V) septem complexus fabulas (Plutum, Nubes, Ranas, Equites, Aves, Pacem, Vespas). De his aliisque codicibus dictum in Praefatione voluminis tertii editionis Oxoniensis a. 1837. Coniecturis editoris litera D. est apposita.

3. ψαμμακοσιογάργαρα scholiasta, Hesychius et Suidas s. h. v., Eustathius p. 986, 52. et Macrobius Saturn. 5, 29, 13.] ψαμμοκοσιογάργαρα libri. 5. ηὐφράνθην in lemmate scholii] εὐφράνθην 10. 'κεχήνη Bentleius] κεχήνῃ. ἐκεχήνη ex hoc loco Herodianus in Hortis Adon. fol. 198a. (ubi διεκεχήνην, ex δὴ ἐκεχήνη corruptum) Etym. M. p. 386, 30. Cramer. Anecd. Oxon. 4. p. 417, 12. Augmentum plusquamperfecti saepissime omiserunt inferiorum temporum scriptores, nusquam omiserunt Attici veteres, exceptis poetarum locis iis in quibus augmentum quodvis, metro postulante, omittere licet, ex quo genere sunt carmina melica nunciorumque narrationes. Male igitur hoc loco κεχήνη sine coronide scribebatur pariterque Nub. 962. σωφροσύνη νενόμιστο, ubi recte Brunckius aliique 'νενόμιστο, maleque in libris omnibus Equit. 1306 ἐληλύθει legitur, ubi εἰληλύθει, comparandum cum Homerico εἰληλούθει, restituit Meinekius.

13. Μόσχῳ] Dubitat scholiasta utrum de vitulo sit intelligendum an nomen proprium sit Moschi, citharoedi Agrigentini.

23. ἀωρίαν] ἀωρίᾳ Suidas s. h. v. Phrynichus in Bekk. Anecd. p. 4, 22. ἀωρίαν ἥκειν (nam sic codex): οἷον παρὰ τὴν δέουσαν ὥραν. 24. δ' ὠστιοῦνται] διωστιοῦνται Dobraeus. Hesychius, ὠστιοῦνται: ὠσθήσονται. 26. ἄθροι (debebat ἄθροι) Suidas s. h. v.] ἀθρόοι 32. ἐς] εἰς libri, ut alibi non raro ante literas consonantes: quod ubique correxi. Crasin κἀς ante literas consonantes intactam reliquerunt librarii v. 184. et Av. 949., in κεἰς mutatam in locis nonnullis tragicorum.

ΑΜΦΙΘΕΟΣ.

ἤδη τις εἶπε; ΚΗ. τίς ἀγορεύειν βούλεται;
ΑΜ. ἐγώ. ΚΗ. τίς ὤν; ΑΜ. Ἀμφίθεος. ΚΗ. οὐκ ἄν-
θρωπος; ΑΜ. οὔ,
ἀλλ' ἀθάνατος. ὁ γὰρ Ἀμφίθεος Δήμητρος ἦν
καὶ Τριπτολέμου· τούτου δὲ Κελεὸς γίγνεται·
γαμεῖ δὲ Κελεὸς Φαιναρέτην τήθην ἐμήν,
ἐξ ἧς Λυκῖνος ἐγένετ'· ἐκ τούτου δ' ἐγὼ
ἀθάνατός εἰμ'· ἐμοὶ δ' ἐπέτρεψαν οἱ θεοὶ
σπονδὰς ποιῆσαι πρὸς Λακεδαιμονίους μόνῳ.
ἀλλ' ἀθάνατος ὤν, ὤνδρες, ἐφόδι' οὐκ ἔχω·
οὐ γάρ διδόασιν οἱ πρυτάνεις. ΚΗ. οἱ τοξόται.
ΑΜ. ὦ Τριπτόλεμε καὶ Κελεέ, περιόψεσθέ με;
ΔΙ. ὤνδρες πρυτάνεις, ἀδικεῖτε τὴν ἐκκλησίαν
τὸν ἄνδρ' ἀπάγοντες, ὅστις ἡμῖν ἤθελε
σπονδὰς ποιῆσαι καὶ κρεμάσαι τὰς ἀσπίδας.
ΚΗ. κάθησο σῖγα. ΔΙ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ,
ἢν μὴ περὶ εἰρήνης γε πρυτανεύσητέ μοι.
ΚΗ. οἱ πρέσβεις οἱ παρὰ βασιλέως.
ΔΙ. ποίου βασιλέως; ἄχθομαι 'γὼ πρέσβεσι
καὶ τοῖς ταὧσι τοῖς τ' ἀλαζονεύμασιν.
ΚΗ. σίγα. ΔΙ. βαβαιάξ, ὠκβάτανα, τοῦ σχήματος.

ΠΡΕΣΒΥΣ.

ἐπέμψαθ' ἡμᾶς ὡς βασιλέα τὸν μέγαν,
μισθὸν φέροντας δύο δραχμὰς τῆς ἡμέρας,
ἐπ' Εὐθυμένους ἄρχοντος· ΔΙ. οἴμοι τῶν δραχμῶν.
ΠΡ. καὶ δῆτ' ἐτρυχόμεσθα παρὰ Καΰστριον
πεδίον ὁδοιπλανοῦντες ἐσκηνημένοι,
ἐφ' ἁρμαμαξῶν μαλθακῶς κατακείμενοι,
ἀπολλύμενοι. ΔΙ. σφόδρα τἄρ' ἐσωζόμην ἐγὼ
παρὰ τὴν ἔπαλξιν ἐν φορυτῷ κατακείμενος.
ΠΡ. ξενιζόμενοι δὲ πρὸς βίαν ἐπίνομεν
ἐξ ὑαλίνων ἐκπωμάτων καὶ χρυσίδων
ἄκρατον οἶνον ἡδύν. ΔΙ. ὦ Κραναὰ πόλις,
ἆρ' αἰσθάνει τὸν κατάγελων τῶν πρέσβεων;
ΠΡ. οἱ βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνους
τοὺς πλεῖστα δυναμένους φαγεῖν τε καὶ πιεῖν.
ΔΙ. ἡμεῖς δὲ λαικαστάς τε καὶ καταπύγονας.
ΠΡ. ἔτει τετάρτῳ δ' ἐς τὰ βασίλει' ἤλθομεν·
ἀλλ' εἰς ἀπόπατον ᾤχετο, στρατιὰν λαβών,
κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὀρῶν.
ΔΙ. πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγεν;
ΠΡ. τῇ πανσελήνῳ· κᾆτ' ἀπῆλθεν οἴκαδε.
εἶτ' ἐξένιζε, παρετίθει θ' ἡμῖν ὅλους
ἐκ κριβάνου βοῦς. ΔΙ. καὶ τίς εἶδε πώποτε
βοῦς κριβανίτας; τῶν ἀλαζονευμάτων.
ΠΡ. καὶ ναὶ μὰ Δί' ὄρνιν τριπλάσιον Κλεωνύμου
παρέθηκεν ἡμῖν· ὄνομα δ' ἦν αὐτῷ φέναξ.
ΔΙ. ταῦτ' ἄρ' ἐφενάκιζες σύ, δύο δραχμὰς φέρων.
ΠΡ. καὶ νῦν ἄγοντες ἥκομεν Ψευδαρτάβαν,
τὸν βασιλέως ὀφθαλμόν. ΔΙ. ἐκκόψειέ γε
κόραξ πατάξας τόν τε σὸν τοῦ πρέσβεως.
ΚΗ. ὁ βασιλέως ὀφθαλμός. ΔΙ. ὤναξ Ἡράκλεις·
πρὸς τῶν θεῶν, ἄνθρωπε, ναύφαρκτον βλέπεις,
ἢ περὶ ἄκραν κάμπτων νεώσοικον σκοπεῖς;
ἄσκωμ' ἔχεις που περὶ τὸν ὀφθαλμὸν κάτω.
ΠΡ. ἄγε δὴ σύ, βασιλεὺς ἅττα σ' ἀπέπεμψεν φράσον
λέξοντ' Ἀθηναίοισιν, ὦ Ψευδαρτάβα.

ΨΕΥΔΑΡΤΑΒΑΣ.

ἰαρταμὰν ἐξαρξ' ἀναπισσόναι σάτρα.
ΠΡ. ξυνήκαθ' ὃ λέγει; ΔΙ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν [οὔ.
ΠΡ. πέμψειν βασιλέα φησὶν ὑμῖν χρυσίον.
λέγε δὴ σὺ μεῖζον καὶ σαφῶς τὸ χρυσίον.
ΨΕ. οὐ λῆψι χρυσό, χαυνόπρωκτ' Ἰαοναῦ.
ΔΙ. οἴμοι κακοδαίμων, ὡς σαφῶς. ΠΡ. τί δαὶ λέγει;
ΔΙ. ὅ τι; χαυνοπρώκτους τοὺς Ἰάονας λέγει,
εἰ προσδοκῶσι χρυσὸν ἐκ τῶν βαρβάρων.
ΠΡ. οὔκ, ἀλλ' ἀχάνας ὅδε γε χρυσίου λέγει.
ΔΙ. ποίας ἀχάνας; σὺ μὲν ἀλαζὼν εἶ μέγας.
ἀλλ' ἄπιθ'· ἐγὼ δὲ βασανιῶ τοῦτον μόνος.
ἄγε δὴ σὺ φράσον ἐμοὶ σαφῶς, πρὸς τουτονί,
ἵνα μή σε βάψω βάμμα Σαρδιανικόν·
βασιλεὺς ὁ μέγας ἡμῖν ἀποπέμψει χρυσίον;
(ἀνανεύει.)
ἄλλως ἄρ' ἐξαπατώμεθ' ὑπὸ τῶν πρέσβεων;
(ἐπινεύει.)
Ἑλληνικόν γ' ἐπένευσαν ἄνδρες οὑτοιί,
κοὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθένδ' αὐτόθεν.
καὶ τοῖν μὲν εὐνούχοιν τὸν ἕτερον τουτονὶ
ἐγᾦδ' ὅς ἐστι, Κλεισθένης ὁ Σιβυρτίου.
ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε·
τοιόνδε δ', ὦ πίθηκε, τὸν πώγων' ἔχων
εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος;
ὁδὶ δὲ τίς ποτ' ἐστίν; οὐ δήπου Στράτων;
ΚΗ. σίγα, κάθιζε.
τὸν βασιλέως ὀφθαλμὸν ἡ βουλὴ καλεῖ
ἐς τὸ πρυτανεῖον. ΔΙ. ταῦτα δῆτ' οὐκ ἀγχόνη;
κἄπειτ' ἐγὼ δῆτ' ἐνθαδὶ στραγγεύομαι;
τοὺς δὲ ξενίζειν οὐδέποτέ γ' ἴσχει θύρα.
ἀλλ' ἐργάσομαί τι δεινὸν ἔργον καὶ μέγα.
ἀλλ' Ἀμφίθεός μοι ποῦ 'στιν; ΑΜ. οὑτοσὶ πάρα.
ΔΙ. ἐμοὶ σὺ ταυτασὶ λαβὼν ὀκτὼ δραχμὰς
σπονδὰς ποίησον πρὸς Λακεδαιμονίους μόνῳ
καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι·
ὑμεῖς δὲ πρεσβεύεσθε καὶ κεχήνετε.
ΚΗ. προσίτω Θέωρος ὁ παρὰ Σιτάλκους.

---

52. ποιῆσαι Elmsleius] ποιεῖσθαι 58. ποιῆσαι] ποιεῖσθαι R. σπονδὰς ποιῆσαι ex hoc loco Phrynichus in Bekk. Anecd. p. 45, 1. 59. σῖγα] σίγα Berglerus, ut v. 123. est σίγα, κάθιζε. Quod si voluisset Aristophanes, hic quoque praetulisset σίγα, κάθησο. 63. ταὧσι] Hoc grammatici veteres ταὧσι scribebant, ut de Avium v. 102. 269. 884. testatur Trypho apud Athen. 9. p. 397 E. 68. παρὰ Καΰστριον πεδίον D.] παρὰ (sic R: διὰ ceteri) Καϋστρίων πεδίων 69. πεδίον] ποταμὸν Blaydesius. Scholiasta, Καΰστριος ποταμὸς τῆς Λυδίας παρὰ Μίλητον, πλησίον τῆς Λυδίας. Καΰστριον πεδίον est ap. Xenoph. Cyrop. 2, 1, 5. et Anab. 1, 2, 11. 70. τἄρ' Mehlerus Mnemos. vol. 1. p. 414.] γάρ 73. δὲ] γὰρ R. 78. φαγεῖν Frid. Morellus ad Libanium p. 317.] καταφαγεῖν 82. ὀρῶν editio Leidensis a. 1625.] ὀρῶν A.: ceteri ὄρων, ὅρων, ὄρρων 85. παρετίθει θ' Athenaeus 4. p. 130 F.] καὶ παρετίθετ' R. παρετίθει δ' ceteri.

93. τε Elmsleius] γε 95. ναύφαρκτον ex Photi Lex. p. 290, 13.] ναύφρακτον 100. ἐξαρξ' ἀναπισσόναι σάτρα Brunckius] ἐξαρξας πισόναστρα R. Aliorum vitia sunt ἐξάρξαν ἀπίσσονα σάτρα vel ἐξαρξὰν ἀπισσόμαι σάτρα 104. χρυσὸ Elmsleius] χρῦσο 105. δαὶ Elmsleius] δ' αὖ 106. ὅ τι; Reiskius] ὅτι 107. χρυσὸν Elmsleius] χρυσίον 108. ὅδε Bentleius] ὁδί 114. ἠπατήμεθ' Etym. M. p. 68, 7. 115. ἄνδρες Elmsleius] ἄνδρες. et sic ubique ἀνήρ et ἄνθρωπος, neglecta crasi cum articulo: de quo semel monemus. 113. ὅς ἐστι] ὅστις ἐστὶ R. Sic v. 442. in R aliisque ὅστις εἰμ' ἐγώ scriptum pro ὅς εἰμ' ἐγώ. 119. ἐξυρημένε Suidas s. v. Κλεισθένην et Στράτων] ἐξευρημένε 126. στραγγεύομαι Kusterus] στραγεύομαι R. στρατεύομαι ceteri, ut apud Hesychium στρατεύομαι: διατρίβω. 127. οὐδέποτέ γ' ἴσχει θύρα R. Alii οὐδέποτέ γ' ἴσχ' ἡ θύρα. οὐδέποτ' ἴσχει γ' ἡ θύρα Suidas s. v. κρίνειν. 131. ποίησον Elmsleius] ποιῆσαι 133. κεχήνετε Herodianus apud Choeroboscum in Theodosium p. 559.] κεχήνατε libri et Suidas s. h. v.

ΘΕΩΡΟΣ.
ὁδί.
ΔΙ. ἕτερος ἀλαζὼν οὗτος ἐσκηρύττεται.
ΘΕ. χρόνον μὲν οὐκ ἂν ἦμεν ἐν Θρᾴκῃ πολύν,
ΔΙ. μὰ Δί' οὐκ ἄν, εἰ μισθόν γε μὴ 'φερες πολύν.
ΘΕ. εἰ μὴ κατένιψε χιόνι τὴν Θρᾴκην ὅλην,
καὶ τοὺς ποταμοὺς ἔπηξ' ὑπ' αὐτὸν τὸν χρόνον,
ὅτ' ἐνθαδὶ Θέογνις ἠγωνίζετο.
τοῦτον μετὰ Σιτάλκους ἔπινον τὸν χρόνον·
καὶ δῆτα φιλαθήναιος ἦν ὑπερφυῶς,
ὑμῶν τ' ἐραστὴς ὡς ἀληθῶς, ὥστε καὶ
ἐν τοῖσι τοίχοις ἔγραφ', Ἀθηναῖοι καλοί.
ὁ δ' υἱός, ὃν Ἀθηναῖον ἐπεποιήμεθα,
ἤρα φαγεῖν ἀλλᾶντας ἐξ Ἀπατουρίων,
καὶ τὸν πατέρ' ἠντιβόλει βοηθεῖν τῇ πάτρᾳ·
ὁ δ' ὤμοσε σπένδων βοηθήσειν, ἔχων
στρατιὰν τοσαύτην ὥστ' Ἀθηναίους ἐρεῖν,
ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται.
ΔΙ. κάκιστ' ἀπολοίμην, εἴ τι τούτων πείθομαι
ὧν εἶπας ἐνταυθὶ σύ, πλὴν τῶν παρνόπων.
ΘΕ. καὶ νῦν ὅπερ μαχιμώτατον Θρᾳκῶν ἔθνος
ἔπεμψεν ὑμῖν. ΔΙ. τοῦτο μέν γ' ἤδη σαφές.
ΚΗ. οἱ Θρᾷκες ἴτε δεῦρ', οὓς Θέωρος ἤγαγεν.
ΔΙ. τουτὶ τί ἐστι τὸ κακόν; ΘΕ. Ὀδομάντων στρατός.
ΔΙ. ποίων Ὀδομάντων; εἰπέ μοι, τουτὶ τί ἦν;
τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν;
ΘΕ. τούτοις ἐάν τις δύο δραχμὰς μισθὸν διδῷ,
καταπελτάσονται τὴν Βοιωτίαν ὅλην.
ΔΙ. τοισδὶ δύο δραχμὰς τοῖς ἀπεψωλημένοις;
ὑποστένοι μέντἂν ὁ θρανίτης λεώς,
ὁ σωσίπολις. οἴμοι τάλας, ἀπόλλυμαι,
ὑπὸ τῶν Ὀδομάντων τὰ σκόροδα πορθούμενος.
οὐ καταβαλεῖτε τὰ σκόροδ'; ΘΕ. ὦ μοχθηρὲ σύ,
οὐ μὴ πρόσει τούτοισιν ἐσκοροδισμένοις;
ΔΙ. ταυτὶ περιείδεθ' οἱ πρυτάνεις πάσχοντά με
ἐν τῇ πατρίδι, καὶ ταῦθ' ὑπ' ἀνδρῶν βαρβάρων;
ἀλλ' ἀπαγορεύω μὴ ποιεῖν ἐκκλησίαν
τοῖς Θρᾳξὶ περὶ μισθοῦ· λέγω δ' ὑμῖν ὅτι
διοσημία 'στὶ καὶ ῥανὶς βέβληκέ με.
ΚΗ. τοὺς Θρᾷκας ἀπιέναι, παρεῖναι δ' εἰς ἕνην.
οἱ γὰρ πρυτάνεις λύουσι τὴν ἐκκλησίαν.
ΔΙ. οἴμοι τάλας, μυττωτὸν ὅσον ἀπώλεσα.
ἀλλ' ἐκ Λακεδαίμονος γὰρ Ἀμφίθεος ὁδί.
χαῖρ', Ἀμφίθεε. ΑΜ. μήπω, πρὶν ἄν γε στῶ τρέχων·
δεῖ γάρ με φεύγοντ' ἐκφυγεῖν Ἀχαρνέας.
ΔΙ. τί δ' ἔστιν; ΑΜ ἐγὼ μὲν δεῦρό σοι σπονδὰς φέρων
ἔσπευδον· οἱ δ' ὤσφροντο πρεσβῦταί τινες
Ἀχαρνικοί, στιπτοὶ γέροντες, πρίνινοι,
ἀτεράμονες, Μαραθωνομάχαι, σφενδάμνινοι.
ἔπειτ' ἀνέκραγον πάντες, ὦ μιαρώτατε,
σπονδὰς φέρεις, τῶν ἀμπέλων τετμημένων;
κἀς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων·
ἐγὼ δ' ἔφευγον· οἱ δ' ἐδίωκον κἀβόων.

ΔΙ. οἱ δ' οὖν βοώντων· ἀλλὰ τὰς σπονδὰς φέρεις;
ΑΜ. ἔγωγέ φημι, τρία γε ταυτὶ γεύματα.
αὗται μέν εἰσι πεντέτεις. γεῦσαι λαβών.
ΔΙ. αἰβοῖ. ΑΜ. τί ἔστιν; ΔΙ. οὐκ ἀρέσκουσίν μ', ὅτι
ὄζουσι πίττης καὶ παρασκευῆς νεῶν.
ΑΜ. σὺ δ' ἀλλὰ τασδὶ τὰς δεκέτεις γεῦσαι λαβών.
ΔΙ. ὄζουσι χαὖται πρέσβεων ἐς τὰς πόλεις
ὀξύτατον, ὥσπερ διατριβῆς τῶν ξυμμάχων.
ΑΜ. ἀλλ' αὑταιί τοί σοι τριακοντούτιδες
κατὰ γῆν τε καὶ θάλατταν. ΔΙ. ὦ Διονύσια,
αὗται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος,
καὶ μὴ 'πιτηρεῖν σιτί' ἡμερῶν τριῶν,
κἀν τῷ στόματι λέγουσι, βαῖν' ὅποι θέλεις.
ταύτας δέχομαι καὶ σπένδομαι κἀκπίομαι,
χαίρειν κελεύων πολλὰ τοὺς Ἀχαρνέας·
ἐγὼ δὲ πολέμου καὶ κακῶν ἀπαλλαγεὶς
ἄξω τὰ κατ' ἀγροὺς εἰσιὼν Διονύσια.
ΑΜ. ἐγὼ δὲ φεύξομαί γε τοὺς Ἀχαρνέας.

ΧΟΡΟΣ.
τῇδε πᾶς ἕπου, δίωκε, καὶ τὸν ἄνδρα πυνθάνου
τῶν ὁδοιπόρων ἁπάντων· τῇ πόλει γὰρ ἄξιον
ξυλλαβεῖν τὸν ἄνδρα τοῦτον. ἀλλά μοι μηνύετε,
εἴ τις οἶδ' ὅποι τέτραπται γῆς ὁ τὰς σπονδὰς φέρων.
ἐκπέφευγ', οἴχεται φροῦδος. οἴμοι τάλας τῶν ἐτῶν
τῶν ἐμῶν·
οὐκ ἂν ἐπ' ἐμῆς γε νεότητος, ὅτ' ἐγὼ φέρων ἀνθρά-
κων φορτίον
ἠκολούθουν Φαΰλλῳ τρέχων, ὧδε φαύλως ἂν ὁ
σπονδοφόρος οὗτος ὑπ' ἐμοῦ τότε διωκόμενος
ἐξέφυγεν οὐδ' ἂν ἐλαφρῶς ἂν ἀπεπλίξατο.
νῦν δ' ἐπειδὴ στερρὸν ἤδη τοὐμὸν ἀντικνήμιον
καὶ παλαιῷ Λακρατείδῃ τὸ σκέλος βαρύνεται,
οἴχεται. διωκτέος δέ· μὴ γὰρ ἐγχάνοι ποτὲ
μηδὲ περ γέροντας ὄντας ἐκφυγὼν Ἀχαρνέας·
ὅστις, ὦ Ζεῦ πάτερ καὶ θεοί, τοῖσιν ἐχθροῖσιν ἐσπεί-
σατο,
οἷσι παρ' ἐμοῦ πόλεμος ἐχθοδοπὸς αὔξεται τῶν ἐμῶν
χωρίων· [γῶ
κοὐκ ἀνήσω πρὶν ἂν σχοῖνος αὐτοῖσιν ἀντεμπα-
ξῶ, ὀδυνηρός, ⏑⏑–⏑ ἐπίκωπος, ἵνα
μήποτε πατῶσιν ἔτι τὰς ἐμὰς ἀμπέλους.
ἀλλὰ δεῖ ζητεῖν τὸν ἄνδρα καὶ βλέπειν Βαλλήναδε
καὶ διώκειν γῆν πρὸ γῆς, ἕως ἂν εὑρεθῇ ποτέ·
ὡς ἐγὼ βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλήμην λίθοις.
ΔΙ. εὐφημεῖτε εὐφημεῖτε.
ΧΟ. σῖγα πᾶς. ἠκούσατ', ἄνδρες, ἆρα τῆς εὐφημίας;

204—218. = 219—233.

---

140. ὅτ' ἐνθαδὶ Θέογνις ἠγωνίζετο] ἡνίκα Θέογνις ἠγωνίζετο Suidas s. v. εἰ μή et ψυχροῦ βίου: quasi ἡνίκα Θέογνις ἐνθάδ' ἠγωνίζετο legerit. 143. ὡς Dobraeus] ἦν ἀληθῶς] ἀληθὴς R. 152. ἐνταυθὶ Elmsleius] ἐνταῦθα R. ἐνταυθοῖ ceteri. 158. ἀποτεθρίακεν Hesychius et Suidas s. h. v.] ἀποτέθρακεν 171. διοσημία 'στὶ Elmsleius] διοσημί' ἐστί. διοσημία ἐστὶ Suidas s. v. διοσημία. 176. πρὶν ἄν γε Brunckius] γε πρὶν ἂν 180. στιπτοὶ] In hac scriptura consentiunt Phrynichus in Bekk. Anecd. p. 8, 16. Etym. M. p. 163, 11. 714, 3. Suidas s. h. v. ut nihil tribuendum sit Erotiano p. 332. (p. 116, 2. ed. Klein.) ubi στεριφνοὶ legitur in glossa ex Hippocrate sumta p. 337, 36. apud quem nunc στρυφνούς legitur.

194. αὑταιί Bothius] αὗται σπονδαὶ τοι addidit Dobraeus. 201. Inepte infertur ἐγὼ δέ, pro quo ἤδη δέ potius dicendum erat, quod Dobraeus coniecit, vel quod propius ad literas in libris traditas accedit οὕτω δέ. Male alii de versibus 201. 202. delendis cogitarunt, qui prorsus necessarii sunt, ut spectatores intelligant quo consilio Dicaeopolis scenam relinquat domumque suam introeat, ex qua, praeparatis quibus opus erat, rursus egreditur v. 237. cum uxore et filia et servis duobus φαλλοφόροις, Dionysia ruralia celebraturus. Amphitheus vero, cuius nullae sunt in pompa Dionysiaca partes, scenam relinquit postquam versum 203. pronunciavit ἐγὼ δὲ φεύξομαί γε (male φευξοῦμαί γε R) τοὺς Ἀχαρνέας (ut v. 177. dixerat δεῖ γάρ με φεύγοντ' ἐκφυγεῖν Ἀχαρνέας), mox alius personae (uxoris Dicaeopolidis) partes acturus. 220. Λακρατείδῃ Bentleius] Λακρατίδῃ 221. ἐγχάνοι Brunckius] ἐγχάνῃ 231. Inter ὀδυνηρός et ἐπίκωπος excidit simile adiectivum ἀνιαρὸς Blaydesius.

οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν. ἀλλὰ δεῦρο πᾶς
ἐκποδών· θύσων γὰρ ἀνήρ, ὡς ἔοικ', ἐξέρχεται.
ΔΙ. εὐφημεῖτε εὐφημεῖτε.
προΐτω 'ς τὸ πρόσθεν ὀλίγον ἡ κανηφόρος·
ὁ Ξανθίας τὸν φαλλὸν ὀρθὸν στησάτω.

ΓΥΝΗ.

κατάθου τὸ κανοῦν, ὦ θύγατερ, ἵν' ἀπαρξώμεθα.

ΘΥΓΑΤΗΡ.

ὦ μῆτερ, ἀνάδος δεῦρο τὴν ἐτνήρυσιν,
ἵν' ἔτνος καταχέω τοὐλατῆρος τουτουί.
ΔΙ. καὶ μὴν καλόν γ' ἔστ', ὦ Διόνυσε δέσποτα,
κεχαρισμένως σοι τήνδε τὴν πομπὴν ἐμὲ
πέμψαντα καὶ θύσαντα μετὰ τῶν οἰκετῶν
ἀγαγεῖν τυχηρῶς τὰ κατ' ἀγροὺς Διονύσια,
στρατιᾶς ἀπαλλαχθέντα· τὰς σπονδὰς δέ μοι
καλῶς ξυνενεγκεῖν τὰς τριακοντούτιδας.
ΓΥ. ἄγ', ὦ θύγατερ, ὅπως τὸ κανοῦν καλὴ καλῶς
οἴσεις βλέπουσα θυμβροφάγον. ὡς μακάριος
ὅστις σ' ὀπύσει, κἀκποιήσεται γαλᾶς
σοῦ μηδὲν ἥττους βδεῖν, ἐπειδὰν ὄρθρος ᾖ.
πρόβαινε, κἀν τὤχλῳ φυλάττεσθαι σφόδρα
μή τις λαθών σου περιτράγῃ τὰ χρυσία.
ΔΙ. ὦ Ξανθία, σφῷν δ' ἐστὶν ὀρθὸς ἑκτέος
ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου·
ἐγὼ δ' ἀκολουθῶν ᾄσομαι τὸ φαλλικόν·
σὺ δ', ὦ γύναι, θεῶ μ' ἀπὸ τοῦ τέγους. πρόβα.
Φαλῆς, ἑταῖρε Βακχίου, ξύγκωμε, νυκτοπεριπλά-
  νητε, μοιχέ, παιδεραστά,
ἕκτῳ σ' ἔτει προσεῖπον ἐς τὸν δῆμον ἐλθὼν ἄσμενος,
σπονδὰς ποιησάμενος ἐμαυτῷ, πραγμάτων τε καὶ
καὶ Λαμάχων ἀπαλλαγείς. [μαχῶν
πολλῷ γάρ ἐσθ' ἥδιον, ὦ Φαλῆς Φαλῆς,
κλέπτουσαν εὑρόνθ' ὡρικὴν ὑληφόρον,
τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως,
μέσην λαβόντ', ἄραντα, καταβαλόντα καταγιγαρ-
Φαλῆς Φαλῆς, [τίσαι.
ἐὰν μεθ' ἡμῶν ξυμπίῃς, ἐκ κραιπάλης
ἕωθεν εἰρήνης ῥοφήσει τρύβλιον·
ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται.
ΧΟ. οὗτος αὐτός ἐστιν, οὗτος.
βάλλε βάλλε βάλλε βάλλε,
παῖε πᾶς τὸν μιαρόν.
οὐ βαλεῖς, οὐ βαλεῖς;
ΔΙ. Ἡράκλεις, τουτὶ τί ἐστι; τὴν χύτραν συντρίψετε.
ΧΟ. σὲ μὲν οὖν καταλεύσομεν, ὦ μιαρὰ κεφαλή.
ΔΙ. ἀντὶ ποίας αἰτίας, ὠχαρνέων γεραίτατοι;
ΧΟ. τοῦτ' ἐρωτᾷς; ἀναίσχυντος εἶ καὶ βδελυρός,
ὦ προδότα τῆς πατρίδος, ὅστις ἡμῶν μόνος
σπεισάμενος εἶτα δύνασαι πρὸς ἔμ' ἀποβλέπειν.
ΔΙ. ἀντὶ δ' ὧν ἐσπεισάμην οὐκ οἴδατ'· ἀλλ' ἀκούσατε.
ΧΟ. σοῦ γ' ἀκούσωμεν; ἀπολεῖ· κατά σε χώσομεν τοῖς
  λίθοις.
ΔΙ. μηδαμῶς, πρὶν ἄν γ' ἀκούσητ'· ἀλλ' ἀνάσχεσθ', ὠγα-
ΧΟ. οὐκ ἀνασχήσομαι· μηδὲ λέγε μοι σὺ λόγον· [θοί.
ὡς μεμίσηκά σε Κλέωνος ἔτι μᾶλλον, ὃν ἐ-
γὼ τεμῶ τοῖσιν ἱππεῦσι καττύματα.
σοῦ δ' ἐγὼ λόγους λέγοντος οὐκ ἀκούσομαι μακρούς,
ὅστις ἐσπείσω Λάκωσιν, ἀλλὰ τιμωρήσομαι.
ΔΙ. ὦγαθοί, τοὺς μὲν Λάκωνας ἐκποδὼν ἐάσατε,
τῶν δ' ἐμῶν σπονδῶν ἀκούσατ', εἰ καλῶς ἐσπει-
  σάμην. [ἅπαξ
ΧΟ. πῶς δ' ἔτ' ἂν καλῶς λέγοις ἄν, εἴπερ ἐσπείσω γ'
οἷσιν οὔτε βωμὸς οὔτε πίστις οὔθ' ὅρκος μένει;
ΔΙ. οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας, οἷς ἄγαν ἐγκείμεθα,
οὐχ ἁπάντων ὄντας ἡμῖν αἰτίους τῶν πραγμάτων.
ΧΟ. οὐχ ἁπάντων, ὦ πανοῦργε; ταῦτα δὴ τολμᾷς λέγειν
ἐμφανῶς ἤδη πρὸς ἡμᾶς; εἶτ' ἐγὼ σοῦ φείσομαι;
ΔΙ. οὐχ ἁπάντων οὐχ ἁπάντων· ἀλλ' ἐγὼ λέγων ὁδὶ
πόλλ' ἂν ἀποφήναιμ' ἐκείνους ἔσθ' ἃ κἀδικουμένους.
ΧΟ. τοῦτο τοὔπος δεινὸν ἤδη καὶ ταραξικάρδιον,
εἰ σὺ τολμήσεις ὑπὲρ τῶν πολεμίων ἡμῖν λέγειν.
ΔΙ. κἂν γε μὴ λέγω δίκαια, μηδὲ τῷ πλήθει δοκῶ,
ὑπὲρ ἐπιξήνου θελήσω τὸν λάρυγγ' ἔχων λέγειν.
ΧΟ. εἰπέ μοι, τί φειδόμεσθα τῶν λίθων, ὦ δημόται,
μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα;
ΔΙ. οἷον αὖ μέλας τις ὑμῖν θυμάλωψ ἐπέζεσεν.
οὐκ ἀκούσεσθ' οὐκ ἀκούσεσθ' ἐτεόν, ὠχαρνηίδαι;
ΧΟ. οὐκ ἀκουσόμεσθα δῆτα. ΔΙ. δεινά τἄρα πείσομαι.
ΧΟ. ἐξολοίμην, ἢν ἀκούσω. ΔΙ. μηδαμῶς, ὠχαρνικοί.
ΧΟ. ὡς τεθνήξων ἴσθι νυνί. ΔΙ. δήξομἄρ' ὑμᾶς ἐγώ.
ἀνταποκτενῶ γὰρ ὑμῶν τῶν φίλων τοὺς φιλτάτους·
ὡς ἔχω γ' ὑμῶν ὁμήρους, οὓς ἀποσφάξω λαβών.
ΧΟ. εἰπέ μοι, τί τοῦτ' ἀπειλεῖ τοὔπος, ἄνδρες δημόται,
τοῖς Ἀχαρνικοῖσιν ἡμῖν; μῶν ἔχει του παιδίον
τῶν παρόντων ἔνδον εἵρξας; ἢ 'πὶ τῷ θρασύνεται;
ΔΙ. βάλλετ', εἰ βούλεσθ'. ἐγὼ γὰρ τουτονὶ διαφθερῶ.
εἴσομαι δ' ὑμῶν τάχ' ὅστις ἀνθράκων τι κήδεται.
ΧΟ. ὡς ἀπωλόμεσθ'. ὁ λάρκος δημότης ὅδ' ἔστ' ἐμός.
ἀλλὰ μὴ δράσῃς ὃ μέλλεις· μηδαμῶς, ὦ μηδαμῶς.
ΔΙ. ὡς ἀποκτενῶ, κέκραχθ'· ἐγὼ γὰρ οὐκ ἀκούσομαι.
ΧΟ. ἀπολεῖς ἄρ' ὁμήλικα τόνδε φιλανθρακέα;
ΔΙ. οὐδ' ἐμοῦ λέγοντος ὑμεῖς ἀρτίως ἠκούσατε.
ΧΟ. ἀλλὰ νυνὶ λέγ', εἴ σοι δοκεῖ, τόν τε Λακε-
δαιμόνιον αὐτὸν ὅτι τῷ τρόπῳ σοὔστὶ φίλος·
ὡς τόδε τὸ λαρκίδιον οὐ προδώσω ποτέ.
ΔΙ. τοὺς λίθους νύν μοι χαμᾶζε πρῶτον ἐξεράσατε.
ΧΟ. οὑτοιί σοι χαμαί, καὶ σὺ κατάθου πάλιν τὸ ξίφος.
ΔΙ. ἀλλ' ὅπως μὴ 'ν τοῖς τρίβωσιν ἐγκάθηνταί που λίθοι.
ΧΟ. ἐκσέσεισται χαμᾶζ', οὐχ ὁρᾷς σειόμενον;
ἀλλὰ μή μοι πρόφασιν, ἀλλὰ κατάθου τὸ βέλος.
ὡς ὅδε γε σειστὸς ἅμα τῇ στροφῇ γίγνεται.
ΔΙ. ἐμέλλετ' ἄρ' ἅπαντες ἀνασείειν βοήν,

284—301. = 335—346.

---

242. προΐτω 'ς Wolfius] πρόϊθ' ὡς 244. ΓΥΝΗ om. libri nonnulli. 259. ἥττους Elmsleius] ἧττον 278. ῥοφήσει Elmsleius] ῥοφήσεις 282. πᾶς Bergkius] παῖε 292. οἴδατ' D.] ἴσατ R, ceteri ἴστετ' vel ἴστε γ'. Forma deteriore οἴδατε etiam veteres Atticos interdum usos esse ex Phrynichi verbis colligi potest in Bekk. Anecd. p. 53, 5. οἴδατε: ἄμεινον τὸ ἴστε. 296. πρὶν ἄν γ' ἀκούσητ' Bentleius] πρίν γ' ἀκούσητ' R: alii πρὶν ἀκούσητε. 299. μοι σὺ Hermannus] σύ μοι R: alii δὴ σύ 300. ὃν ἐγὼ τεμῶ Meinekius] ὃν ἐγὼ κατατεμῶ

301. ἱππεῦσι καττύματα] Codices plerique ἱππεῦσίν ποτ' ἐς καττύματα (quod est in R.), quae correctoris metrici interpolatio est tetrametrum trochaicum facientis, γὼ κατατεμῶ τοῖσιν ἱππεῦσίν ποτ' ἐς καττύματα, quo consilio in versu strophico (277.) pariter in plerisque εἶτα in ἔπειτα mutatum et νῦν post δύνασαι additum est. Animadvertit quodammodo errorem scholiasta metricus recentior, qui ad v. 299. p. 360, 13. ed. Oxon. hic τὸ ποτέ, supra τὸ νῦν περιττεύειν annotavit. 307. δ' ἔτ' Elmsleius] δέ γ' 318. τὸν λάρυγγ' Elmsleius] τὴν κεφαλὴν 321. οἷον R: οἷος ceteri et Suidas s. v. καταξαίνειν et φοινικίδα. τις] ἐφ' R. 323. τἄρα Elmsleius (qui τἄρα scribere solebat)] γ' ἄρα 325. δήξομ' ἄρ' (debebat δήξομἄρ') ὑμᾶς Dawesius] δείξομ ὑμᾶς ἄρ' R: ceteri δήξομαι γὰρ (vel γ' ἄρ') ὑμᾶς. 326. ὑμῶν] ὑμῖν Reiskius. 336. ἄρ' ὁμήλικα Reisigius] ἄρα τὸν ἥλικα 338. νυνὶ Elmsleius] νῦν τόν τε] τε om. R et Greg. Cor. p. 129.
339. φίλος R et scholiasta: φίλον ceteri. 341. λίθους νύν μοι Brunckius] νῦν μοι λίθους 347. ἄρ' Elmsleius] ἄρ' βοήν] sic R: βοῆς ceteri

ὀλίγου τ' ἀπέθανον ἄνθρακες Παρνήσιοι,
καὶ ταῦτα διὰ τὴν ἀτοπίαν τῶν δημοτῶν.
ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν
ὁ λάρκος ἐνετίλησεν ὥσπερ σηπία.
δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι
τὸν θυμὸν ἀνδρῶν ὥστε βάλλειν καὶ βοᾶν
ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον,
ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν
ὑπὲρ Λακεδαιμονίων ἅπανθ' ὅσ' ἂν λέγω.
καίτοι φιλῶ γε τὴν ἐμὴν ψυχὴν ἐγώ.
ΧΟ. τί οὖν οὐ λέγεις, ἐπίξηνον ἐξενεγκὼν θύραζ',
ὅ τι ποτ', ὦ σχέτλιε, τὸ μέγα τοῦτ' ἔχεις;
πάνυ γὰρ ἐμέ γε πόθος ὅ τι φρονεῖς ἔχει.
ἀλλ' ᾗπερ αὐτὸς τὴν δίκην διωρίσω,
θεὶς δεῦρο τοὐπίξηνον ἐγχείρει λέγειν.
ΔΙ. ἰδοὺ θέασαι, τὸ μὲν ἐπίξηνον τοδί,
ὁ δ' ἀνὴρ ὁ λέξων οὑτοσὶ τυννουτοσί.
ἀμέλει μὰ τὸν Δί' οὐκ ἐνασπιδώσομαι,
λέξω δ' ὑπὲρ Λακεδαιμονίων ἅ μοι δοκεῖ.
καίτοι δέδοικα πολλά· τούς τε γὰρ τρόπους
τοὺς τῶν ἀγροίκων οἶδα χαίροντας σφόδρα
ἐάν τις αὐτοὺς εὐλογῇ καὶ τὴν πόλιν
ἀνὴρ ἀλαζὼν καὶ δίκαια κἄδικα·
κἀνταῦθα λανθάνουσ' ἀπεμπολώμενοι·
τῶν τ' αὖ γερόντων οἶδα τὰς ψυχὰς ὅτι
οὐδὲν βλέπουσιν ἄλλο πλὴν ψήφῳ δακεῖν,
αὐτός τ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἅπαθον
ἐπίσταμαι διὰ τὴν πέρυσι κωμῳδίαν.
εἰσελκύσας γάρ μ' ἐς τὸ βουλευτήριον
διέβαλλε καὶ ψευδῆ κατεγλώττιζέ μου
κἀκυκλοβόρει κἄπλυνεν, ὥστ' ὀλίγου πάνυ
ἀπωλόμην μολυνοπραγμονούμενος.
νῦν οὖν με πρῶτον πρὶν λέγειν ἐάσατε
ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.
ΧΟ. τί ταῦτα στρέφει τεχνάζεις τε καὶ πορίζεις τριβάς;
λαβὲ δ' ἐμοῦ γ' ἕνεκα παρ' Ἱερωνύμου
σκοτοδασυπυκνότριχά τιν' Ἄϊδος κυνῆν·
εἶτ' ἐξάνοιγε μηχανὰς τὰς Σισύφου,
ὡς σκῆψιν ἀγὼν οὗτος οὐκ ἐσδέξεται.
ΔΙ. ὥρα 'στὶν ἄρα μοι καρτερὰν ψυχὴν λαβεῖν,
καί μοι βαδιστέ' ἐστὶν ὡς Εὐριπίδην.
παῖ παῖ.

ΚΗΦΙΣΟΦΩΝ.

τίς οὗτος; ΔΙ. ἔνδον ἔστ' Εὐριπίδης;
ΚΗ. οὐκ ἔνδον ἔνδον τ' ἐστίν, εἰ γνώμην ἔχεις.
ΔΙ. πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον; ΚΗ. ὀρθῶς, ὦ γέρον.
ὁ νοῦς μὲν ἔξω ξυλλέγων ἐπύλλια
οὐκ ἔνδον, αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ
τραγῳδίαν. ΔΙ. ὦ τρισμακάρι' Εὐριπίδη,
ὅθ' ὁ δοῦλος οὑτωσὶ σοφῶς ὑποκρίνεται.
ἐκκάλεσον αὐτόν. ΚΗ. ἀλλ' ἀδύνατον. ΔΙ. ἀλλ' ὅμως.
οὐ γὰρ ἂν ἀπέλθοιμ', ἀλλὰ κόψω τὴν θύραν.
Εὐριπίδη, Εὐριπίδιον,
ὑπάκουσον, εἴπερ πώποτ' ἀνθρώπων τινί·
Δικαιόπολις καλεῖ σε Χολλείδης, ἐγώ.

ΕΥΡΙΠΙΔΗΣ.

ἀλλ' οὐ σχολή. ΔΙ. ἀλλ' ἐκκυκλήθητ'. ΕΥ. ἀλλ' ἀδύνατον. ΔΙ. ἀλλ' [ὅμως.
ΕΥ. ἀλλ' ἐκκυκλήσομαι· καταβαίνειν δ' οὐ σχολή.
ΔΙ. Εὐριπίδη, ΕΥ. τί λέλακας; ΔΙ. ἀναβάδην ποιεῖς,
ἐξὸν καταβάδην· οὐκ ἐτὸς χωλοὺς ποιεῖς.
ἀτὰρ τί τὰ ῥάκι' ἐκ τραγῳδίας ἔχεις,
ἐσθῆτ' ἐλεινήν; οὐκ ἐτὸς πτωχοὺς ποιεῖς.
ἀλλ' ἀντιβολῶ πρὸς τῶν γονάτων σ', Εὐριπίδη,
δός μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματος.
δεῖ γάρ με λέξαι τῷ χορῷ ῥῆσιν μακράν·
αὕτη δὲ θάνατον, ἢν κακῶς λέξω, φέρει.
ΕΥ. τὰ ποῖα τρύχη; μῶν ἐν οἷς Οἰνεὺς ὁδὶ
ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο;
ΔΙ. οὐκ Οἰνέως ἦν, ἀλλ' ἔτ' ἀθλιωτέρου.
ΕΥ. τὰ τοῦ τυφλοῦ Φοίνικος; ΔΙ. οὐ Φοίνικος, οὔ,
ἀλλ' ἕτερος ἦν Φοίνικος ἀθλιώτερος.
ΕΥ. ποίας ποθ' ἀνὴρ λακίδας αἰτεῖται πέπλων;
ἀλλ' ἦ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις;
ΔΙ. οὔκ, ἀλλὰ τούτου πολὺ πολὺ πτωχιστέρου.
ΕΥ. ἀλλ' ἦ τὰ δυσπινῆ θέλεις πεπλώματα
ἃ Βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί;
ΔΙ. οὐ Βελλεροφόντης· ἀλλὰ κἀκεῖνος μὲν ἦν
χωλός, προσαιτῶν, στωμύλος, δεινὸς λέγειν.
ΕΥ. οἶδ' ἄνδρα Μυσὸν Τήλεφον. ΔΙ. ναί, Τήλεφον·
τούτου δὸς ἀντιβολῶ σέ μοι τὰ σπάργανα.
ΕΥ. ὦ παῖ, δὸς αὐτῷ Τηλέφου ῥακώματα.
κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν,
μεταξὺ τῶν Ἰνοῦς. ΚΗ. ἰδοὺ ταυτὶ λαβέ.
ΔΙ. ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ.
Εὐριπίδη, 'πειδήπερ ἐχαρίσω ταδί,
κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν,
τὸ πιλίδιον περὶ τὴν κεφαλὴν τὸ Μύσιον.
δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον,
εἶναι μὲν ὅσπερ εἰμί, φαίνεσθαι δὲ μή·
τοὺς μὲν θεατὰς εἰδέναι μ' ὃς εἴμ' ἐγώ,
τοὺς δ' αὖ χορευτὰς ἠλιθίους παρεστάναι,
ὅπως ἂν αὐτοὺς ῥηματίοις σκιμαλίσω.
ΕΥ. δώσω· πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί.
ΔΙ. εὐδαιμονοίης, Τηλέφῳ δ' ἁγὼ φρονῶ.
εὖ γ'· οἷον ἤδη ῥηματίων ἐμπίμπλαμαι.
ἀτὰρ δέομαί γε πτωχικοῦ βακτηρίου.
ΕΥ. τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν.
ΔΙ. ὦ θύμ', ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων,
πολλῶν δεόμενος σκευαρίων· νῦν δὴ γενοῦ
γλίσχρος προσαιτῶν λιπαρῶν τ'. Εὐριπίδη,
δός μοι σπυρίδιον διακεκαυμένον λύχνῳ.
ΕΥ. τί δ', ὦ τάλας, σὲ τοῦδ' ἔχει πλέκους χρέος;
ΔΙ. χρέος μὲν οὐδέν, βούλομαι δ' ὅμως λαβεῖν.
ΕΥ. λυπηρὸς ἴσθ' ὢν κἀποχώρησον δόμων.
ΔΙ. φεῦ·

358—365. = 385—392.

436. ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.

348. Παρνήσιοι Elmsleius] παρνάσσιοι R: παρνάσιοι ceteri. Παρνήθιοι Bentleius. 392. ἀγὼν Porsonus] ἀγὼν vel ἂν ἀγὼν οὐκ ἐσδέξεται] οὐ προσδέξεται Suidas s. v. Σίσυφος. οὐχὶ δέξεται Cobetus. 394. ΚΗΦΙΣΟΦΩΝ] ΘΕΡΑΠΩΝ substituit Elmsleius: de quo videnda quae supra dixi in annotatione ad personas fabulae p. 1. 401. ὑποκρίνεται R: ἀπεκρίνατο ceteri. 404. Εὐριπίδη, Εὐριπίδιον] Trimetrum fecit Lachmannus addito Εὐριπίδη. 406. καλεῖ] καλῶ Cobetus. Χολλείδης Elmsleius] Χολλίδης

410. ποιεῖς] ποεῖς R, qui hanc scripturam, frequentem etiam in tragicorum codicibus antiquioribus et in inscriptionibus Atticis, non raro, etsi non constanter praebet. 413. ἐλεινὴν Elmsleius] ἐλεεινὴν 415. τοῦ] του Elmsleius. 436. ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον] Versum e loco superiore (v. 384.) illatum delendum esse vidit Brunckius. 437. ἐχαρίσω Bentleius] ἐχαρίσω μοι 441. ὅσπερ ex Suida s. v. εἶναι et φαινόμενα] ὥσπερ 442. ὃς] ὅστις R aliique. Eodem modo erratum v. 118. 446. εὐδαιμονοίης] εὖ σοι γένοιτο apud Athen. 4. p. 186. φρονῶ] νοῶ ibidem. Euripidis ex Telepho versum memorat schol. κακῶς ἔχοιμι· Τηλέφῳ δ' ἁγὼ φρονῶ. 447. ἐμπίμπλαμαι] ἐμπίπλαμαι R aliique.

εὐδαιμονοίης, ὥσπερ ἡ μήτηρ ποτέ.
ΕΥ. ἄπελθε νῦν μοι. ΔΙ. μάλλά μοι δὸς ἕν μόνον,
κοτυλίσκιον τὸ χεῖλος ἀποκεκρουμένον.
ΕΥ. φθείρου λαβὼν τόδ'· ἴσθ' ὀχληρὸς ὢν δόμοις.
ΔΙ. οὔπω μὰ Δί' οἶσθ' οἷ' αὐτὸς ἐργάζει κακά.
ἀλλ', ὦ γλυκύτατ' Εὐριπίδη, τουτὶ μόνον,
δός μοι χυτρίδιον σφογγίῳ βεβυσμένον.
ΕΥ. ἄνθρωπ', ἀφαιρήσει με τὴν τραγῳδίαν.
ἄπελθε ταυτηνὶ λαβών. ΔΙ. ἀπέρχομαι.
καίτοι τί δράσω; δεῖ γὰρ ἑνός, οὗ μὴ τυχὼν
ἀπόλωλ'· ἄκουσον, ὦ γλυκύτατ' Εὐριπίδη·
τουτὶ λαβὼν ἄπειμι κοὐ πρόσειμ' ἔτι·
ἐς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός.
ΕΥ. ἀπολεῖς μ'. ἰδού σοι. φροῦδά μοι τὰ δράματα.
ΔΙ. ἀλλ' οὐκέτ', ἀλλ' ἄπειμι. καὶ γάρ εἰμ' ἄγαν
ὀχληρός, οὐ δοκῶν με κοιράνους στυγεῖν.
οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ἐπελαθόμην
ἐν ᾧπέρ ἐστι πάντα μοι τὰ πράγματα.
Εὐριπίδιον ὦ γλυκύτατον καὶ φίλτατον,
κάκιστ' ἀπολοίμην, εἴ τί σ' αἰτήσαιμ' ἔτι,
πλὴν ἓν μόνον, τουτὶ μόνον τουτὶ μόνον,
σκάνδικά μοι δός, μητρόθεν δεδεγμένος.
ΕΥ. ἀνὴρ ὑβρίζει· κλῆε πηκτὰ δωμάτων.
ΔΙ. ὦ θύμ', ἄνευ σκάνδικος ἐμπορευτέα.
ἆρ' οἶσθ' ὅσον τὸν ἀγῶν' ἀγωνιεῖ τάχα,
μέλλων ὑπὲρ Λακεδαιμονίων ἀνδρῶν λέγειν;
πρόβαινε νῦν, ὦ θυμέ· γραμμὴ δ' αὑτηί.
ἕστηκας; οὐκ εἶ καταπιὼν Εὐριπίδην;
ἐπῄνεσ'· ἄγε νυν, ὦ τάλαινα καρδία,
ἄπελθ' ἐκεῖσε, κᾆτα τὴν κεφαλὴν ἐκεῖ
παράσχες εἰποῦσ' ἅττ' ἂν αὐτῇ σοι δοκῇ.
τόλμησον, ἴθι, χώρησον, ἄγαμαι καρδίας.
ΧΟ. τί δράσεις; τί φήσεις; ἀλλ' ἴσθι νυν
ἀναίσχυντος ὢν σιδηροῦς τ' ἀνήρ,
ὅστις παρασχὼν τῇ πόλει τὸν αὐχένα
ἅπασι μέλλεις εἷς λέγειν τἀναντία.
ἀνὴρ οὐ τρέμει τὸ πρᾶγμ'. εἶά νυν,
ἐπειδήπερ αὐτὸς αἱρεῖ, λέγε.
ΔΙ. μή μοι φθονήσητ', ἄνδρες οἱ θεώμενοι,
εἰ πτωχὸς ὢν ἔπειτ' ἐν Ἀθηναίοις λέγειν
μέλλω περὶ τῆς πόλεως, τρυγῳδίαν ποιῶν.
τὸ γὰρ δίκαιον οἶδε καὶ τρυγῳδία.
ἐγὼ δὲ λέξω δεινὰ μέν, δίκαια δέ.
οὐ γάρ με νῦν γε διαβαλεῖ Κλέων ὅτι
ξένων παρόντων τὴν πόλιν κακῶς λέγω.
αὐτοὶ γάρ ἐσμεν οὑπὶ Ληναίῳ τ' ἀγών,
κοὔπω ξένοι πάρεισιν· οὔτε γὰρ φόροι
ἥκουσιν οὔτ' ἐκ τῶν πόλεων οἱ ξύμμαχοι·
ἀλλ' ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι·
τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγω.
ἐγὼ δὲ μισῶ μὲν Λακεδαιμονίους σφόδρα,
καὐτοῖς ὁ Ποσειδῶν, οὑπὶ Ταινάρῳ θεός,
σείσας ἅπασιν ἐμβάλοι τὰς οἰκίας·
κἀμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα.
ἀτάρ, φίλοι γὰρ οἱ παρόντες ἐν λόγῳ,
τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα;
ἡμῶν γὰρ ἄνδρες, οὐχὶ τὴν πόλιν λέγω,
μέμνησθε τοῦθ', ὅτι οὐχὶ τὴν πόλιν λέγω,
ἀλλ' ἀνδράρια μοχθηρά, παρακεκομμένα,
ἄτιμα καὶ παράσημα καὶ παράξενα,
ἐσυκοφάντει Μεγαρέων τὰ χλανίσκια·
κεἴ που σίκυον ἴδοιεν ἢ λαγῴδιον
ἢ χοιρίδιον ἢ σκόροδον ἢ χόνδρους ἅλας,
ταῦτ' ἦν Μεγαρικὰ κἀπέπρατ' αὐθημερόν.
καὶ ταῦτα μὲν δὴ σμικρὰ κἀπιχώρια,
πόρνην δὲ Σιμαίθαν ἰόντες Μέγαράδε
νεανίαι κλέπτουσι μεθυσοκότταβοι·
κᾆθ' οἱ Μεγαρῆς ὀδύναις πεφυσιγγωμένοι
ἀντεξέκλεψαν Ἀσπασίας πόρνα δύο·
κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.
ἐντεῦθεν ὀργῇ Περικλέης οὑλύμπιος
ἤστραπτ', ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα,
ἐτίθει νόμους ὥσπερ σκόλια γεγραμμένους,
ὡς χρὴ Μεγαρέας μήτε γῇ μήτ' ἐν ἀγορᾷ
μήτ' ἐν θαλάττῃ μήτ' ἐν ἠπείρῳ μένειν.
ἐντεῦθεν οἱ Μεγαρῆς, ὅτε δὴ 'πείνων βάδην,
Λακεδαιμονίων ἐδέοντο τὸ ψήφισμ' ὅπως
μεταστραφείη τὸ διὰ τὰς λαικαστρίας·
κοὐκ ἠθέλομεν ἡμεῖς δεομένων πολλάκις.
κἀντεῦθεν ἤδη πάταγος ἦν τῶν ἀσπίδων.
ἐρεῖ τις, οὐ χρῆν· ἀλλὰ τί ἐχρῆν εἴπατε.
φέρ', εἰ Λακεδαιμονίων τις ἐκπλεύσας σκάφει
ἀπέδοτο φῆνας κυνίδιον Σεριφίων,
καθῆσθ' ἂν ἐν δόμοισιν; ἦ πολλοῦ γε δεῖ·
καὶ κάρτα μένταν εὐθέως καθείλκετε
τριακοσίας ναῦς, ἦν δ' ἂν ἡ πόλις πλέα
θορύβου στρατιωτῶν, περὶ τριηράρχου βοῆς,
μισθοῦ διδομένου, Παλλαδίων χρυσουμένων,
στοᾶς στεναχούσης, σιτίων μετρουμένων,
ἀσκῶν, τροπωτήρων, κάδους ὠνουμένων,
σκορόδων, ἐλαῶν, κρομμύων ἐν δικτύοις,
στεφάνων, τριχίδων, αὐλητρίδων, ὑπωπίων,
τὸ νεώριον δ' αὖ κωπέων πλατουμένων,
τύλων ψοφούντων, θαλαμιῶν τροπουμένων,
αὐλῶν κελευστῶν, νιγλάρων, συριγμάτων.
ταῦτ' οἶδ' ὅτι ἂν ἐδρᾶτε· τὸν δὲ Τήλεφον
οὐκ οἰόμεσθα; νοῦς ἄρ' ἡμῖν οὐκ ἔνι.

ΗΜΙΧΟΡΙΟΝ.

ἄληθες, ὦπίτριπτε καὶ μιαρώτατε;
ταυτὶ σὺ τολμᾷς πτωχὸς ὢν ἡμᾶς λέγειν,
καὶ συκοφάντης εἴ τις ἦν, ὠνείδισας;
ΗΜ. νὴ τὸν Ποσειδῶ, καὶ λέγει γ' ἅπερ λέγει
δίκαια πάντα κοὐδὲν αὐτῶν ψεύδεται.
ΗΜ. εἶτ' εἰ δίκαια, τοῦτον εἰπεῖν αὔτ' ἐχρῆν;
ἀλλ' οὔτι χαίρων ταῦτα τολμήσει λέγειν.
ΗΜ. οὗτος σὺ ποῖ θεῖς, οὐ μενεῖς; ὡς εἰ θενεῖς
τὸν ἄνδρα τοῦτον, αὐτὸς ἀρθήσει τάχα.
ΗΜ. ἰὼ Λάμαχ', ὦ βλέπων ἀστραπάς,
βοήθησον, ὦ γοργολόφα, φανείς,
ἰὼ Λάμαχ', ὦ φίλ', ὦ φυλέτα·
εἴτε τις ἔστι ταξίαρχός τις ἢ

---

458. μάλλά D.] μὴ ἀλλά    459. κοτυλίσκιον — ἀποκεκρουμένον Athenaeus 11. p. 479.] κυλίσκιον — ἀποκεκρουσμένον. Scholiasta κυλίσκιον: — γράφεται δὲ κυλίκιον.    475. ὦ addidit Elmsleius habetque Suidas s. v. φιλτάτιον, sed ante Εὐριπίδιον.    καὶ φίλτατον Elmsleius] καὶ φιλτάτιον    479. κλῆε Meinekius] κλεῖε. Euripidis verba λῦε πακτὰ δωμάτων apud Polluc. 10, 27.    491. ἀλλ' addidit Hermannus.    496. οἱ] ὦ R.    510. ὁ delet Bothius.

521. ἅλας Elmsleius] ἁλός    528. κἀντεῦθεν] κἀκεῖθεν Athenaeus 13. p. 570.    ἀρχὴ Dobraeus] ἀρχὴ    531. ἤστραπτ' Plinius Epist. 1, 20.] ἤστραπτεν    532. σκόλια D.] σκολιὰ    533. μήτε γῇ Bentleius] μήτ' ἐν γῇ    548. στοᾶς] στοιᾶς Elmsleius. Qua forma in anapaestis usus est poeta, ubi metrum alteram non feret: in iambis utramque usitatam fuisse Photius docet, στοάν, καὶ σὺν τῷ ι στοιάν, ἑκάτερον λέγουσιν    556. ἡμῖν] ὑμῖν R aliique.    559. Hunc versum delet anonymus.    563. οὔτι Bentleius] οὐδὲ    566. ὦ Hermannus] ἰὼ    569. ταξίαρχός τις ἢ Elmsleius] ταξίαρχος ἢ στρατηγὸς ἢ

τειχομάχας ἀνήρ, βοηθησάτω
τις ἀνύσας. ἐγὼ γὰρ ἔχομαι μέσος.

ΛΑΜΑΧΟΣ.

πόθεν βοῆς ἤκουσα πολεμιστηρίας;
ποῖ χρὴ βοηθεῖν; ποῖ κυδοιμὸν ἐμβαλεῖν;
τίς Γοργόν' ἐξήγειρεν ἐκ τοῦ σάγματος;
ΔΙ. ὦ Λάμαχ' ἥρως, τῶν λόφων καὶ τῶν λόχων.
ΧΟ. ὦ Λάμαχ', οὐ γὰρ οὗτος ἅνθρωπος πάλαι
ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ;
ΛΑ. οὗτος σὺ τολμᾷς πτωχὸς ὢν λέγειν τάδε;
ΔΙ. ὦ Λάμαχ' ἥρως, ἀλλὰ συγγνώμην ἔχε,
εἰ πτωχὸς ὢν εἶπόν τι κἀστωμυλάμην.
ΛΑ. τί δ' εἶπας ἡμᾶς; οὐκ ἐρεῖς; ΔΙ. οὐκ οἶδά πω·
ὑπὸ τοῦ δέους γὰρ τῶν ὅπλων ἰλιγγιῶ.
ἀλλ' ἀντιβολῶ σ', ἀπένεγκέ μου τὴν μορμόνα.
ΛΑ. ἰδού. ΔΙ. παράθες νυν ὑπτίαν αὐτὴν ἐμοί.
ΛΑ. κεῖται. ΔΙ. φέρε νυν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν.
ΛΑ. τουτὶ πτίλον σοι. ΔΙ. τῆς κεφαλῆς νύν μου λαβοῦ,
ἵν' ἐξεμέσω· βδελύττομαι γὰρ τοὺς λόφους.
ΛΑ. οὗτος, τί δράσεις; τῷ πτίλῳ μέλλεις ἐμεῖν;
ΔΙ. πτίλον γάρ ἐστιν; εἰπέ μοι, τίνος ποτὲ
ὄρνιθός ἐστιν; ἆρα κομπολακύθου;
ΛΑ. οἴμ' ὡς τεθνήξεις. ΔΙ. μηδαμῶς, ὦ Λάμαχε·
οὐ γὰρ κατ' ἰσχύν ἐστιν· εἰ δ' ἰσχυρὸς εἶ,
τί μ' οὐκ ἀπεψώλησας; εὔοπλος γὰρ εἶ.
ΛΑ. ταυτὶ λέγεις σὺ τὸν στρατηγὸν πτωχὸς ὤν;
ΔΙ. ἐγὼ γάρ εἰμι πτωχός; ΛΑ. ἀλλὰ τίς γὰρ εἶ;
ΔΙ. ὅστις; πολίτης χρηστός, οὐ σπουδαρχίδης,
ἀλλ' ἐξ ὅτου περ ὁ πόλεμος στρατωνίδης,
σὺ δ' ἐξ ὅτου περ ὁ πόλεμος μισθαρχίδης.
ΛΑ. ἐχειροτόνησαν γάρ με ΔΙ. κόκκυγές γε τρεῖς.
ταῦτ' οὖν ἐγὼ βδελυττόμενος ἐσπεισάμην,
ὁρῶν πολιοὺς μὲν ἄνδρας ἐν ταῖς τάξεσιν,
νεανίας δ' οἵους σὺ διαδεδρακότας [μάς,
τοὺς μὲν ἐπὶ Θρᾴκης μισθοφοροῦντας τρεῖς δραχ-
Τισαμενοφαινίππους, Πανουργιππαρχίδας·
ἑτέρους δὲ παρὰ Χάρητι, τοὺς δ' ἐν Χάοσιν
Γερητοθεοδώρους, Διομειαλαζόνας,
τοὺς δ' ἐν Καμαρίνῃ κἀν Γέλᾳ κἀν Καταγέλᾳ.
ΛΑ. ἐχειροτονήθησαν γάρ. ΔΙ. αἴτιον δὲ τί
ὑμᾶς μὲν ἀεὶ μισθοφορεῖν ἁμηγέπῃ,
τωνδὶ δὲ μηδέν'; ἐτεόν, ὦ Μαριλάδη,
ἤδη πεπρέσβευκας σὺ πολιὸς ὤν; ἐνί,
ἀνένευσε· καίτοι γ' ἐστὶ σώφρων κἀργάτης.
τί δαὶ Δράκυλλος κεὐφορίδης ἢ Πρινίδης;
οἶδέν τις ὑμῶν τἀκβάταν' ἢ τοὺς Χάονας;
οὔ φασιν. ἀλλ' ὁ Κοισύρας καὶ Λάμαχος,
οἷς ὑπ' ἐράνου τε καὶ χρεῶν πρῴην ποτέ,
ὥσπερ ἀπόνιπτρον ἐκχέοντες ἑσπέρας,
ἅπαντες ἐξίστω παρῄνουν οἱ φίλοι.
ΛΑ. ὦ δημοκρατία, ταῦτα δῆτ' ἀνασχετά;
ΔΙ. οὐ δῆτ', ἐὰν μὴ μισθοφορῇ γε Λάμαχος.
ΛΑ. ἀλλ' οὖν ἐγὼ μὲν πᾶσι Πελοποννησίοις
ἀεὶ πολεμήσω, καὶ ταράξω πανταχῇ,
καὶ ναυσὶ καὶ πεζοῖσι, κατὰ τὸ καρτερόν.
ΔΙ. ἐγὼ δὲ κηρύττω γε Πελοποννησίοις
ἅπασι καὶ Μεγαρεῦσι καὶ Βοιωτίοις
πωλεῖν ἀγοράζειν πρὸς ἐμέ, Λαμάχῳ δὲ μή.
ΧΟ. ἀνὴρ νικᾷ τοῖσι λόγοισιν καὶ τὸν δῆμον μεταπείθει
περὶ τῶν σπονδῶν. ἀλλ' ἀποδύντες τοῖς ἀναπαί-
στοις ἐπίωμεν. [λος ἡμῶν,
Ἐξ οὗ γε χοροῖσιν ἐφέστηκεν τρυγικοῖς ὁ διδάσκα-
οὔπω παρέβη πρὸς τὸ θέατρον λέξων ὡς δεξιός ἐστιν·
διαβαλλόμενος δ' ὑπὸ τῶν ἐχθρῶν ἐν Ἀθηναίοις
ταχυβούλοις,
ὡς κωμῳδεῖ τὴν πόλιν ἡμῶν καὶ τὸν δῆμον καθυ-
βρίζει, [βούλους.
ἀποκρίνεσθαι δεῖται νυνὶ πρὸς Ἀθηναίους μετα-
φησὶν δ' εἶναι πολλῶν ἀγαθῶν ἄξιος ὑμῖν ὁ ποιητής,
παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι,
μηδ' ἥδεσθαι θωπευομένους μηδ' εἶναι χαυνοπο-
λίτας.
πρότερον δ' ὑμᾶς ἀπὸ τῶν πόλεων οἱ πρέσβεις ἐξα-
πατῶντες [τις εἴποι,
πρῶτον μὲν ἰοστεφάνους ἐκάλουν· κἀπειδὴ τοῦτό
εὐθὺς διὰ τοὺς στεφάνους ἐπ' ἄκρων τῶν πυγι-
δίων ἐκάθησθε.
εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς καλέσειεν
Ἀθήνας, [ριάψας.
ηὕρετο πᾶν ἂν διὰ τὰς λιπαράς, ἀφύων τιμὴν πε-
ταῦτα ποιήσας πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν γεγέ-
νηται, [κρατοῦνται.
καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν δείξας, ὡς δημο-
τοιγάρτοι νῦν ἐκ τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπά-
γοντες [στον,
ἥξουσιν, ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴν τὸν ἄρι-
ὅστις παρεκινδύνευσ' εἰπεῖν ἐν Ἀθηναίοις τὰ δίκαια.
οὕτω δ' αὐτοῦ περὶ τῆς τόλμης ἤδη πόρρω κλέος ἥκει,
ὅτε καὶ βασιλεύς, Λακεδαιμονίων τὴν πρεσβείαν βα-
σανίζων, [κρατοῦσιν·
ἠρώτησεν πρῶτα μὲν αὐτοὺς πότεροι ταῖς ναυσὶ
εἶτα δὲ τοῦτον τὸν ποιητὴν ποτέρους εἴποι κακὰ
πολλά· [γεγενῆσθαι
τούτους γὰρ ἔφη τοὺς ἀνθρώπους πολὺ βελτίους
κἀν τῷ πολέμῳ πολὺ νικήσειν, τοῦτον ξύμβουλον
ἔχοντας. [λοῦνται,
διὰ ταῦθ' ὑμᾶς Λακεδαιμόνιοι τὴν εἰρήνην προκα-
καὶ τὴν Αἴγιναν ἀπαιτοῦσιν· καὶ τῆς νήσου μὲν
ἐκείνης
οὐ φροντίζουσ', ἀλλ' ἵνα τοῦτον τὸν ποιητὴν ἀφέ-
λωνται. [δίκαια·
ἀλλ' ὑμεῖς τοι μή ποτ' ἀφῆθ'· ὡς κωμῳδήσει τὰ
φησὶν δ' ὑμᾶς πολλὰ διδάξειν ἀγάθ', ὥστ' εὐδαίμο-
νας εἶναι, [πατύλλων,
οὐ θωπεύων, οὐδ' ὑποτείνων μισθούς, οὐδ' ἐξα-
οὐδὲ πανουργῶν, οὐδὲ κατάρδων, ἀλλὰ τὰ βέλτιστα
πρὸς ταῦτα Κλέων καὶ παλαμάσθω [διδάσκων.
καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω.

570. τειχομάχας Dobraeus] τειχομάχος 575. Hunc versum choro, proximos duo ἡμιχορίῳ tribuit R. λόχων] φίλων R. 577b. Hunc versum delevit Brunckius. 581. ἰλιγγιῶ] ἠλιγγιῶ R. Voluit εἰλιγγιῶ, quod est in R infra v. 1218. et apud Suidam, scriptura antiqua, de qua dictum in Thesauro vol 3. p. 243. 589. Verba ὄρνιθός ἐστιν Lamacho tribuebantur. Correxit Elmsleius. 590. τεθνήξεις Dawesius] τεθνήξει vel τεθνήξῃ 591. ἐστιν] σοὔστιν Meinekius. 597. μισθαρχίδης] μισθαρνίδης Meinekius. 598. γε Reiskius] τε 601. οἷος Elmsleius] οἵους 610. ἐνὶ Elmsleius] ενη R a m. recentiore. ἐν ᾗ ceteri. 611. καίτοι γ' ἐστὶ] καιτοιἔστιν γε Elmsleius. 612. τί δαὶ Δράκυλλος] τί δ' Ἀνθράκυλλος Reiskius. κεὐφορίδης] ἢ Εὐφορίδης Elmsleius. 613. ὑπ' Bentleius] ὑπὲρ ἐράνου] ἐράνων Reisigius.

633. ἄξιος] Infra v. 641. αἴτιος. 635. μηδ' — μηδ' Meinekius] μήθ' — μήτ' 636. ἀπὸ τῶν πόλεων οἱ πρέσβεις Bentleius] οἱ πρέσβεις ἀπὸ τῶν πόλεων 640. ηὕρετο Elmsleius] εὕρετο 645. παρεκινδύνευσ' εἰπεῖν ἐν Ἀθηναίοις Hermannus] παρεκινδύνευσ' ἐν Ἀθηναίοις εἰπεῖν 651. κἀν Blaydesius] καὶ 655. ἀφῆθ' Tyrwhittus] ἀφήσετε R. ἀφήσηθ' alii. 657. οὐδ' — οὐδ' R et Suidas s. v. ὑποτείνων. οὐθ' — οὔτ' ceteri eodem errore quo v. 635. post μὴ praegressum in libris omnibus legitur μητε — μητε

τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον
ξύμμαχον ἔσται, κοὐ μή ποθ' ἁλῶ
περὶ τὴν πόλιν ὢν ὥσπερ ἐκεῖνος
δειλὸς καὶ λακαταπύγων.
δεῦρο Μοῦσ' ἐλθὲ φλεγυρὰ πυρὸς ἔχουσα μένος, ἔντονος Ἀχαρνική. [θιζόμενος οὐρίᾳ ῥιπίδι,
οἷον ἐξ ἀνθράκων πρινίνων φέψαλος ἀνήλατ', ἐρεήνίκ' ἂν ἐπανθρακίδες ὦσι παρακείμεναι,
οἱ δὲ Θασίαν ἀνακυκῶσι λιπαράμπυκα,
οἱ δὲ μάττωσιν, οὕτω σοβαρὸν ἐλθὲ μέλος εὔτονον ἀγροικότερον
ὡς ἐμὲ λαβοῦσα τὸν δημότην.
οἱ γέροντες οἱ παλαιοὶ μεμφόμεσθα τῇ πόλει.
οὐ γὰρ ἀξίως ἐκείνων ὧν ἐναυμαχήσαμεν
γηροβοσκούμεσθ' ὑφ' ὑμῶν, ἀλλὰ δεινὰ πάσχομεν,
οἵτινες γέροντας ἄνδρας ἐμβαλόντες ἐς γραφὰς
ὑπὸ νεανίσκων ἐᾶτε καταγελᾶσθαι ῥητόρων,
οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένους,
οἷς Ποσειδῶν ἀσφάλειός ἐστιν ἡ βακτηρία·
τονθορύζοντες δὲ γήρᾳ τῷ λίθῳ προσέσταμεν,
οὐχ ὁρῶντες οὐδὲν εἰ μὴ τῆς δίκης τὴν ἠλύγην.
ὁ δὲ νεανίαν ἑαυτῷ σπουδάσας ξυνηγορεῖν
ἐς τάχος παίει ξυνάπτων στρογγύλοις τοῖς ῥήμασιν·
κᾆτ' ἀνελκύσας ἐρωτᾷ, σκανδάληθρ' ἱστὰς ἐπῶν,
ἄνδρα Τιθωνὸν σπαράττων καὶ ταράττων καὶ κυκῶν.
ὁ δ' ὑπὸ γήρως μασταρύζει, κᾆτ' ὀφλὼν ἀπέρχεται·
εἶτα λύζει καὶ δακρύει καὶ λέγει πρὸς τοὺς φίλους,
οὗ μ' ἐχρῆν σορὸν πρίασθαι, τοῦτ' ὀφλὼν ἀπέρχομαι.
ταῦτα πῶς εἰκότα, γέροντ' ἀπολέσαι, πολιὸν ἄνδρα, περὶ κλεψύδραν,
πολλὰ δὴ ξυμπονήσαντα καὶ θερμὸν ἀπομορξάμενον ἀνδρικὸν ἱδρῶτα δὴ καὶ πολύν,
ἄνδρ' ἀγαθὸν ὄντα Μαραθῶνι περὶ τὴν πόλιν;
εἶτα Μαραθῶνι μὲν ὅτ' ἦμεν ἐδιώκομεν,
νῦν δ' ὑπ' ἀνδρῶν πονηρῶν σφόδρα διωκόμεθα, κᾆτα πρὸς ἁλισκόμεθα.
πρὸς τάδε τί ἀντερεῖ Μαρψίας;
τῷ γὰρ εἰκὸς ἄνδρα κυφόν, ἥλικον Θουκυδίδην,
ἐξολέσθαι ξυμπλακέντα τῇ Σκυθῶν ἐρημίᾳ,
τῷδε τῷ Κηφισοδήμῳ, τῷ λάλῳ ξυνηγόρῳ;
ὥστ' ἐγὼ μὲν ἠλέησα κἀπεμορξάμην ἰδὼν
ἄνδρα πρεσβύτην ὑπ' ἀνδρὸς τοξότου κυκώμενον,
ὃς μὰ τὴν Δήμητρ', ἐκεῖνος ἡνίκ' ἦν Θουκυδίδης,
οὐδ' ἂν αὐτὴν τὴν Ἀχαίαν ῥᾳδίως ἠνέσχετο,
ἀλλὰ κατεπάλαισεν ἂν μὲν πρῶτον Εὐάθλους δέκα,
κατεβόησε δ' ἂν κεκραγὼς τοξότας τρισχιλίους,
περιετόξευσεν δ' ἂν αὐτοῦ τοῦ πατρὸς τοὺς ξυγγενεῖς.
ἀλλ' ἐπειδὴ τοὺς γέροντας οὐκ ἐᾶθ' ὕπνου τυχεῖν,
ψηφίσασθε χωρὶς εἶναι τὰς γραφάς, ὅπως ἂν ᾖ
τῷ γέροντι μὲν γέρων καὶ νωδὸς ὁ ξυνήγορος,
τοῖς νέοισι δ' εὐρύπρωκτος καὶ λάλος χὠ Κλεινίου.
κἀξελαύνειν χρὴ τὸ λοιπόν, κἂν φύγῃ τις, ζημιοῦν,

665—691. = 692—718.

671. ἀνακυκῶσι pro ἀνακυκλῶσι ex Suida, qui κυκῶσι ex hoc loco posuit s. v. Θασίαν. 674. ἀγροικότερον ex uno codice Paris. A. quae grammatici correctio est. ἀγροικότονον ceteri. 685. νεανίαν Elmsleius] νεανίας 689. 691. ὀφλὼν Elmsleius] ὄφλων 690. εἶτα λύζει] γρ. εἶτ' ἀλύει ap. schol. male. 701. πρὸς ἁλισκόμεθα Elmsleius] προσαλισκόμεθα 702. τί Elmsleius] τίς 709. Ἀχαίαν Elmsleius] ἀχαιὰν ἠνέσχετο] ἠνέσχετ' ἂν Etym. M. p. 180, 34. 710. κατεπάλαισεν ἂν μὲν Kusterus] κατεπάλαισε μὲν ἂν (ἂν om. R). 717. κἂν Elmsleius] κἢν

τὸν γέροντα τῷ γέροντι, τὸν νέον δὲ τῷ νέῳ.
ΔΙ. ὅροι μὲν ἀγορᾶς εἰσιν οἵδε τῆς ἐμῆς.
ἐνταῦθ' ἀγοράζειν πᾶσι Πελοποννησίοις
ἔξεστι καὶ Μεγαρεῦσι καὶ Βοιωτίοις
ἐφ' ᾧτε πωλεῖν πρὸς ἐμέ, Λαμάχῳ δὲ μή.
ἀγορανόμους δὲ τῆς ἀγορᾶς καθίσταμαι
τρεῖς τοὺς λαχόντας τούσδ' ἱμάντας ἐκ Λεπρῶν.
ἐνταῦθα μήτε συκοφάντης εἰσίτω
μήτ' ἄλλος ὅστις φασιανός ἐστ' ἀνήρ.
ἐγὼ δὲ τὴν στήλην καθ' ἣν ἐσπεισάμην
μέτειμ', ἵνα στήσω φανερὰν ἐν τἀγορᾷ.

ΜΕΓΑΡΕΥΣ.

ἀγορὰ 'ν Ἀθάναις χαῖρε, Μεγαρεῦσιν φίλα.
ἐπόθουν τυ ναὶ τὸν φίλιον ᾇπερ ματέρα.
ἀλλ', ὦ πονηρὰ κώρι' ἀθλίω πατρός,
ἄμβατε ποττὰν μάδδαν, αἴ χ' εὕρητέ πα.
ἀκούετον δή, πότεχ' ἐμὶν τὰν γαστέρα·
πότερα πεπρᾶσθαι χρῄδδετ', ἢ πεινῆν κακῶς;

ΚΟΡΑ.

πεπρᾶσθαι πεπρᾶσθαι.
ΜΕ. ἐγώνγα καὐτός φαμι. τίς δ' οὕτως ἄνους
ὃς ὑμέ κα πρίαιτο, φανερὰν ζαμίαν;
ἀλλ' ἔστι γάρ μοι Μεγαρικά τις μαχανά.
χοίρως γὰρ ὑμὲ σκευάσας φασῶ φέρεν.
περίθεσθε τάσδε τὰς ὁπλὰς τῶν χοιρίων.
ὅπως δὲ δοξεῖτ' εἶμεν ἐξ ἀγαθᾶς ὑός·
ὡς ναὶ τὸν Ἑρμᾶν, αἴπερ ἱξεῖτ' οἴκαδις
ἄπρατα, πειρασεῖσθε τᾶς λιμῶ κακῶς.
ἀλλ' ἀμφίθεσθε καὶ ταδὶ τὰ ῥυγχία,
κἤπειτεν ἐς τὸν σάκκον ὧδ' ἐσβαίνετε.
ὅπως δὲ γρυλιξεῖτε καὶ κοΐξετε
χήσεῖτε φωνὰν χοιρίων μυστηρικῶν.
ἐγὼν δὲ καρυξῶ Δικαιόπολιν ὅπα.
Δικαιόπολι, ἦ λῇς πρίασθαι χοιρία;
ΔΙ. τί; ἀνὴρ Μεγαρικός; ΜΕ. ἀγορασοῦντες ἵκομες.
ΔΙ. πῶς ἔχετε; ΜΕ. διαπεινᾶμες ἀεὶ ποττὸ πῦρ.
ΔΙ. ἀλλ' ἡδύ τοι νὴ τὸν Δί', ἢν αὐλὸς παρῇ.
τί δ' ἄλλο πράττεθ' οἱ Μεγαρῆς νῦν; ΜΕ. οἷα δή.
ὄκα μὲν ἐγὼν τηνῶθεν ἐμπορευόμαν,
ἄνδρες πρόβουλοι τοῦτ' ἔπρασσον τᾷ πόλει,
ὅπως τάχιστα καὶ κάκιστ' ἀπολοίμεθα.
ΔΙ. αὐτίκ' ἄρ' ἀπηλλάξεσθε πραγμάτων. ΜΕ. σά μάν;
ΔΙ. τί δ' ἄλλο Μεγαροῖ; πῶς ὁ σῖτος ὤνιος;
ΜΕ. παρ' ἁμὲ πολυτίματος, ᾇπερ τοὶ θεοί.
ΔΙ. ἅλας οὖν φέρεις; ΜΕ. οὐχ ὑμὲς αὐτῶν ἄρχετε;
ΔΙ. οὐδὲ σκόροδα; ΜΕ. ποῖα σκόροδ'; ὑμὲς τῶν ἀεί,

724. τούσδ' Elmsleius] τοὺς δ' 730. ἐπόθουν] ἐπόθευν Bentleius. τυ] τοι R. 731. κώρι' Elmsleius] κόριχ' R: κόρι' vel κόριά γ' alii. ἀθλίω Bentleius] ἀθλίου 732. 835. μάδδαν] Scribendum μᾶδδαν (ut apud Atticos μᾶζα scribitur), nisi Dorienses α breve habuerunt: quanquam nulla in hac re est auctoritas librorum, qui etiam μάζα praebent in scriptis Atticorum, quos μᾶζα α longo pronunciasse novimus. 733. πότεχ' Reisigius] ποτέχετ' 738. ἀλλ' ἔστι γάρ μοι] ἀλλ' ἐστὶν ἡμῖν apud Suidam s. v. ἀλλ' ἔστιν et Μεγαρικαὶ σφίγγες: unde ἀλλ' ἔστ' ἐμίνγα Brambachius in Museo Rhen. a. 1866. vol. 21. p. 633. ἐμίν Bentleius quoque coniecerat. 739. 764. χοίρως Elmsleius] χοίρους φέρεν Brunckius] φέρειν 741. 771. εἶμεν Ahrensius Dial. Dor. p. 170.] ἦμεν 742. αἴπερ Elmsleius] εἴπερ 743. ἄπρατα Ahrensius] τὰ πρᾶτα λιμῶ Bentleius] λιμοῦ 746. γρυλιξεῖτε D.] γρυλλιξεῖτε 750. ἀγορασοῦντες Elmsleius] ἀγοράσοντες ἵκομες Elmsleius] ἵκομεν R: ἥκομεν alii. 751. ἀεὶ] αἰὲς Brunckius. 755. ἔπρασσον Elmsleius] ἔπραττον τᾷ Brunckius] τῇ πόλει] πόλι Ahrensius. 757. ἀπηλλάξεσθε Cobetus] ἀπαλλάξεσθε

ὄκκ' ἐσβάλητε, τὼς ἀρουραῖοι μύες
πάσσακι τὰς ἄγλιθας ἐξορύσσετε.
ΔΙ. τί δαὶ φέρεις; ΜΕ. χοίρως ἐγώνγα μυστικάς.
ΔΙ. καλῶς λέγεις· ἐπίδειξον. ΜΕ. ἀλλὰ μὰν καλαί.
ἄντεινον, αἰ λῇς· ὡς παχεῖα καὶ καλά.
ΔΙ. τουτὶ τί ἦν τὸ πρᾶγμα; ΜΕ. χοῖρος ναὶ Δία.
ΔΙ. τί λέγεις σύ; ποδαπὴ χοῖρος ἥδε; ΜΕ. Μεγαρικά.
ἢ οὐ χοῖρός ἐσθ' ἅδ'; ΔΙ. οὐκ ἔμοιγε φαίνεται.
ΜΕ. οὐ δεινά; θᾶσθε τῶδε τὰς ἀπιστίας·
οὔ φατι τάνδε χοῖρον εἶμεν. ἀλλὰ μάν,
αἰ λῇς, περίδου μοι περὶ θυμιτιδᾶν ἁλῶν,
αἰ μή 'στιν οὗτος χοῖρος Ἑλλάνων νόμῳ.
ΔΙ. ἀλλ' ἔστιν ἀνθρώπου γε. ΜΕ. ναὶ τὸν Διοκλέα,
ἐμά γα. τὺ δέ νιν εἶμεναι τίνος δοκεῖς;
ἢ λῇς ἀκοῦσαι φθεγγομένας; ΔΙ. νὴ τοὺς θεοὺς
ἔγωγε. ΜΕ. φώνει δὴ τὺ ταχέως, χοιρίον.
οὐ χρῆσθα; σιγῇς, ὦ κάκιστ' ἀπολουμένα;
πάλιν τυ ἀποισῶ ναὶ τὸν Ἑρμᾶν οἴκαδις.
ΚΟ. κοῒ κοΐ.
ΜΕ. αὕτα 'στὶ χοῖρος; ΔΙ. νῦν γε χοῖρος φαίνεται.
ἀτὰρ ἐκτραφείς γε κύσθος ἔσται. ΜΕ. πέντ' ἐτῶν,
σάφ' ἴσθι, ποττὰν ματέρ' εἰκασθήσεται.
ΔΙ. ἀλλ' οὐχὶ θύσιμός ἐστιν αὑτηγί. ΜΕ. σά μάν;
πᾶ δ' οὐχὶ θύσιμός ἐστι; ΔΙ. κέρκον οὐκ ἔχει.
ΜΕ. νέα γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
ἑξεῖ μεγάλαν τε καὶ παχεῖαν κἠρυθράν.
ἀλλ' αἰ τράφεν λῇς, ἅδε τοι χοῖρος καλά
ΔΙ. ὡς ξυγγενὴς ὁ κύσθος αὐτῆς θἀτέρᾳ.
ΜΕ. ὁμοματρία γάρ ἐστι κἠκ τωὐτῶ πατρός.
αἰ δ' ἂν παχυνθῇ κἀναχνωανθῇ τριχί,
κάλλιστος ἔσται χοῖρος Ἀφροδίτᾳ θύεν.
ΔΙ. ἀλλ' οὐχὶ χοῖρος τἀφροδίτῃ θύεται.
ΜΕ. οὐ χοῖρος Ἀφροδίτᾳ; μόνᾳ γα δαιμόνων.
καὶ γίγνεταί γα τᾶνδε τᾶν χοίρων τὸ κρῆς
ἅδιστον ἂν τὸν ὀδελὸν ἀμπεπαρμένον.
ΔΙ. ἤδη δ' ἄνευ τῆς μητρὸς ἐσθίοιεν ἄν;
ΜΕ. ναὶ τὸν Ποτειδᾶν, καί κ' ἄνις γα τῶ πατρός.
ΔΙ. τί δ' ἐσθίει μάλιστα; ΜΕ. πάνθ' ἅ κα διδῷς.
αὐτὸς δ' ἐρώτη. ΔΙ. χοῖρε χοῖρε. ΚΟ. κοῒ κοΐ.
ΔΙ. τρώγοις ἂν ἐρεβίνθους; ΚΟ. κοῒ κοῒ κοΐ.
ΔΙ. τί δαί; φιβάλεως ἰσχάδας; ΚΟ. κοῒ κοΐ.
ΔΙ. ὡς ὀξὺ πρὸς τὰς ἰσχάδας κεκράγατον.
ἐνεγκάτω τις ἔνδοθεν τῶν ἰσχάδων
τοῖς χοιριδίοισιν. ἆρα τρώξονται; βαβαί,
οἷον ῥοθιάζουσ', ὦ πολυτίμηθ' Ἡράκλεις.
ποδαπὰ τὰ χοιρί'; ὡς Τραγασαῖα φαίνεται.
ἀλλ' οὔτι πάσας κατέτραγον τὰς ἰσχάδας.
ΜΕ. ἐγὼν γὰρ αὐτᾶν τάνδε μίαν ἀνειλόμαν.
ΔΙ. νὴ τὸν Δί' ἀστείω γε τὼ βοσκήματε·
πόσου πρίωμαί σοι τὰ χοιρίδια; λέγε.
ΜΕ. τὸ μὲν ἅτερον τούτων σκορόδων τροπαλίδος,
τὸ δ' ἅτερον, αἰ λῇς, χοίνικος μόνας ἁλῶν.
ΔΙ. ὠνήσομαί σοι· περίμεν' αὐτοῦ. ΜΕ. ταῦτα δή.
Ἑρμᾶ 'μπολαῖε, τὰν γυναῖκα τὰν ἐμὰν
οὕτω μ' ἀποδόσθαι τάν τ' ἐμωυτῶ ματέρα.

ΣΥΚΟΦΑΝΤΗΣ.

ὤνθρωπε, ποδαπός; ΜΕ. χοιροπώλας Μεγαρικός.
ΣΥ. τὰ χοιρίδια τοίνυν ἐγὼ φαίνω ταδὶ
πολέμια καὶ σέ. ΜΕ. τοῦτ' ἐκεῖν', ἵκει πάλιν
ὅθενπερ ἀρχὰ τῶν κακῶν ἁμῖν ἔφυ.
ΣΥ. κλάων μεγαριεῖς. οὐκ ἀφήσεις τὸν σάκον;
ΜΕ. Δικαιόπολι Δικαιόπολι, φαντάδδομαι
ὑπό του. ΔΙ. τίς ὁ φαίνων σ' ἐστίν; ἀγορανόμοι,
τοὺς συκοφάντας οὐ θύραζ' ἐξείρξετε;
τί δὴ παθὼν φαίνεις ἄνευ θρυαλλίδος;
ΣΥ. οὐ γὰρ φανῶ τοὺς πολεμίους; ΔΙ. κλάων γε σύ,
εἰ μὴ 'τέρωσε συκοφαντήσεις τρέχων.
ΜΕ. οἷον τὸ κακὸν ἐν ταῖς Ἀθάναις τοῦτ' ἔνι.
ΔΙ. θάρρει, Μεγαρίκ'· ἀλλ' ἧς τὰ χοιρίδι' ἀπέδου
τιμῆς, λαβὲ ταυτὶ τὰ σκόροδα καὶ τοὺς ἅλας,
καὶ χαῖρε πόλλ'. ΜΕ. ἀλλ' ἁμὶν οὐκ ἐπιχώριον.
ΔΙ. πολυπραγμοσύνη νυν ἐς κεφαλὴν τράποιτ' ἐμοί.
ΜΕ. ὦ χοιρίδια, πειρῆσθε κἄνις τῶ πατρὸς
παίειν ἐφ' ἁλὶ τὰν μάδδαν, αἴ κά τις διδῷ.
ΧΟ. εὐδαιμονεῖ γ' ἄνθρωπος· οὐκ ἤκουσας οἷ προβαίνει
τὸ πρᾶγμα τοῦ βουλεύματος; καρπώσεται γὰρ ἀνὴρ
ἐν τἀγορᾷ καθήμενος·
κἂν εἰσίῃ τις Κτησίας,
ἢ συκοφάντης ἄλλος, οἰ-
μώζων καθεδεῖται·
οὐδ' ἄλλος ἀνθρώπων ὑποψωνῶν σε πημανεῖ τι·
οὐδ' ἐξομόρξεται Πρέπις τὴν εὐρυπρωκτίαν σοι,
οὐδ' ὠστιεῖ Κλεωνύμῳ·
χλαῖναν δ' ἔχων φανὴν δίει,
κοὐ ξυντυχών σ' Ὑπέρβολος
δικῶν ἀναπλήσει·
οὐδ' ἐντυχὼν ἐν τἀγορᾷ πρόσεισί σοι βαδίζων

836—847. = 848—859.

770. τῶδε Blaydesius] τοῦδε 772. θυμιτιδᾶν] θυματιδᾶν codices quinque. θυμητίδαν R. θυμίτων Suidas s. v. θυμιτίδων, θυμητίδων s. v. περίδου. ἅλας θυμίτας est v. 1099. 775. τὺ Brunckius] σὺ 777. τὺ Kusterus] σὺ χοιρίον Bentleius] τὸ χοιρίον R, χοιρίδιον ceteri. 778. οὐ χρῆσθα; σιγᾷς (debebat σιγῇς ut Ahrensius p. 195.) ; Bergkius] οὐ χρῆσθα σιγῆς (σιγὴν Greg. Cor. p. 228.). 779. τυ] τ' R. τύ γ' ceteri. 782. πέντ' ἐτῶν Megarensi tribuit Elmsleius, Dicaeopolidi libri. 784. οὐχὶ D. οὐ R. οὐδὲ ceteri. 786. νέα] νεαρὰ schol. ad v. 739. νέα Athenaeus 9. p. 374 f. 790. τωὐτῶ Brunckius] τωὐτοῦ 791. αἰ δ' ἂν] ἀλλ' ἂν R. κἀναχνωανθῇ Elmsleius] κἀναχνοανθῇ. κἀναχνοιανθῇ Ahrensius p. 189. 792. θύεν Elmsleius] θύειν 793. τἀφροδίτῃ Elmsleius] τῇ ἀφροδίτῃ 794. γα Brunckius] γε 795. γίγνεταί γα] γίνεταί γε R. 796. ἀμπεπαρμένον Elmsleius] ἐμπεπαρμένον 798. Ποτειδᾶν vel Ποτιδᾶν Ahrensius in Leutschii Philol. vol. 23. p. 13. ποσειδῶ R: in ceteris ποτειδᾶ, ποτείδα, ποτεῖδα, ποτίδα, ποτείδαν. καί κ' ἄνις Blaydesius] κἄνευ (quod est etiam in R) vel κἂν ἄνευ. κἄνις etiam Bentleius ex v. 834. 799. ἅ κα διδῷς Elmsleius] ἃ καὶ δίδως 801. Suspectum est tertium κοΐ, quo caret R. Fortasse τινάς post ἐρεβίνθους excidit. Versum spurium 803. Δι. τί δαί; σῦκα τρώγοις ἂν αὐτός; Κο. κοῒ κοΐ (sic scriptum in R nec multo aliter in aliis) delevit Bentleius.

804. κεκράγατον Brunckius] κεκράγατε 809. οὔτι R: οὐχὶ ceteri. Hunc v. Megarensi tribuit Hirschigius. 810. ἐγὼν — αὐτᾶν Elmsleius] ἐγὼ — αὐτῶν 813. ἅτερον Brunckius] ἕτερον τούτων] τουτὶ Elmsleius. 816. Ἑρμᾶ 'μπολαῖε Scaliger] ἑρμ' ἐμπολαῖε 817. ἐμωυτῶ Meinekius (ἐμαυτῶ Bentleius)] ἐμαυτοῦ 819. φαίνω (ut v. 912.) Blaydesius] φανῶ 821. ἀρχὰ Meinekius] ἀρχὰ 823. φαντάδδομαι Valckenarius] φαντάζομαι. Tum libri partim φ. ὑπὸ τοῦ (ὑπό του Brunckius). Δι. τίς, partim φ. Δι. ὑπὸ τοῦ; τίς 824. ἀγορανόμοι Elmsleius] ἀγορανόμοι 826. τί δὴ Brunckius] τίη vel τιή. τί δαὶ Elmsleius. παθὼν Scaliger] μαθὼν 830. τὰ χοιρίδι' ἀπέδου] ἀπέδου τὰ χοιρία Elmsleius. 833. πολυπραγμοσύνη R. πολυπραγμοσύνης ceteri. νυν Brunckius] νῦν 835. παίειν (omissum in R) contra dialectum peccat, quae παῖεν postulat, ut coniecit Hamakerus, ἁλὶ in ἅλεσι mutans. ἐφαλίσταν Meinekius. μάδδαν Portus] μάζαν 842. πημανεῖ τι L. Dindorfius] πημανεῖται

Κρατῖνος αὖ κεκαρμένος μοιχὸν μιᾷ μαχαίρᾳ,
ὁ περιπόνηρος Ἀρτέμων,
ὁ ταχὺς ἄγαν τὴν μουσικὴν,
ὄζων κακὸν τῶν μασχαλῶν
πατρὸς Τραγασαίου·
οὐδ' αὖθις αὖ σε σκώψεται Παύσων ὁ παμπόνηρος,
Λυσίστρατός τ' ἐν τἀγορᾷ, Χολαργέων ὄνειδος,
ὁ περιαλουργὸς τοῖς κακοῖς,
ῥιγῶν τε καὶ πεινῶν ἀεὶ
πλεῖν ἢ τριάκονθ' ἡμέρας
τοῦ μηνὸς ἑκάστου.

ΒΟΙΩΤΟΣ.

ἴττω Ἡρακλῆς, ἔκαμόν γα τὰν τύλαν κακῶς,
κατάθου τὺ τὰν γλάχων' ἀτρέμας, Ἰσμηνία·
ὑμὲς δ', ὅσοι Θείβαθεν αὐληταὶ πάρα,
τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός.
ΔΙ. παῦ' ἐς κόρακας. οἱ σφῆκες οὐκ ἀπὸ τῶν θυρῶν;
πόθεν προσέπτανθ' οἱ κακῶς ἀπολούμενοι
ἐπὶ τὴν θύραν μοι Χαιριδῆς βομβαύλιοι;
ΒΟ. νεὶ τὸν Ἰόλαον, ἐπιχαρίττως γ', ὦ ξένε·
Θείβαθι γὰρ φυσᾶντες ἐξόπισθέ μου
τἄνθεια τᾶς γλάχωνος ἀπέκιξαν χαμαί.
ἀλλ' αἴ τι βούλει, πρίασο, τῶν ἐγὼ φέρω,
τῶν ὀρταλίχων ἢ τῶν τετραπτερυλλίδων.
ΔΙ. ὦ χαῖρε, κολλικοφάγε Βοιωτίδιον.
τί φέρεις; ΒΟ. ὅσ' ἐστὶν ἀγαθὰ Βοιωτοῖς ἁπλῶς,
ὀρίγανον, γλαχώ, ψιάθως, θρυαλλίδας,
νάσσας, κολοιώς, ἀτταγᾶς, φαλαρίδας,
τροχίλως, κολύμβως. ΔΙ. ὥσπερεὶ χειμὼν ἄρα
ὀρνιθίας ἐς τὴν ἀγορὰν ἐλήλυθας.
ΒΟ. καὶ μὰν φέρω χᾶνας, λαγώς, ἀλώπεκας,
σκάλοπας, ἐχίνως, αἰελούρως, πικτίδας,
ἰκτίδας, ἐνύδριας, ἐγχέλιας Κωπαΐδας.
ΔΙ. ὦ τερπνότατον σὺ τέμαχος ἀνθρώποις φέρων,
δός μοι προσειπεῖν, εἰ φέρεις τὰς ἐγχέλεις.
ΒΟ. πρέσβειρα πεντήκοντα Κωπᾴδων κορᾶν,
ἔκβαθι τῷδε κἠπιχάριτται τῷ ξένῳ.
ΔΙ. ὦ φιλτάτη σὺ καὶ πάλαι ποθουμένη,
ἦλθες ποθεινὴ μὲν τρυγῳδικοῖς χοροῖς,
φίλη δὲ Μορύχῳ. δμῷες, ἐξενέγκατε
τὴν ἐσχάραν μοι δεῦρο καὶ τὴν ῥιπίδα.
σκέψασθε, παῖδες, τὴν ἀρίστην ἔγχελυν,
ἥκουσαν ἕκτῳ μόλις ἔτει ποθουμένην·
προσείπατ' αὐτήν, ὦ τέκν'· ἄνθρακας δ' ἐγὼ
ὑμῖν παρέξω τῆσδε τῆς ξένης χάριν.
ἀλλ' ἔσφερ' αὐτήν· μηδὲ γὰρ θανών ποτε
σοῦ χωρὶς εἴην ἐντετευτλανωμένης.
ΒΟ. ἐμοὶ δὲ τιμὰ τᾶσδε πᾶ γενήσεται;
ΔΙ. ἀγορᾶς τέλος ταύτην γέ που δώσεις ἐμοί·
ἀλλ' εἴ τι πωλεῖς τῶνδε τῶν ἄλλων λέγε.
ΒΟ. ἰώνγα ταῦτα πάντα. ΔΙ. φέρε, πόσου λέγεις;
ἢ φορτί' ἕτερ' ἐνθένδ' ἐκεῖσ' ἄξεις; ΒΟ. ἰὼν
ὅ τι γ' ἔντ' Ἀθάναις, ἐν Βοιωτοῖσιν δὲ μή.
ΔΙ. ἀφύας ἄρ' ἄξεις πριάμενος Φαληρικὰς
ἢ κέραμον. ΒΟ. ἀφύας ἢ κέραμον; ἀλλ' ἔντ' ἐκεῖ·
ἀλλ' ὅ τι παρ' ἁμῖν μή 'στι, τᾷδε δ' αὖ πολύ.
ΔΙ. ἐγᾦδα τοίνυν· συκοφάντην ἔξαγε
ὥσπερ κέραμον ἐνδησάμενος. ΒΟ. νεὶ τὼ θιώ,
λάβοιμι μέντἂν κέρδος ἀγαγὼν καὶ πολύ,
ᾇπερ πίθακον ἀλιτρίας πολλᾶς πλέων.
ΔΙ. καὶ μὴν ὁδὶ Νίκαρχος ἔρχεται φανῶν.
ΒΟ. μικκός γα μᾶκος οὗτος. ΔΙ. ἀλλ' ἅπαν κακόν.
ΝΙ. ταυτὶ τίνος τὰ φορτί' ἐστί; ΒΟ. τῶδ' ἐμὰ
Θείβαθεν, ἴττω Δεύς. ΝΙ. ἐγὼ τοίνυν ὁδὶ
φαίνω πολέμια ταῦτα. ΒΟ. τί δὲ κακὸν παθὼν
ὀρναπετίοισι πόλεμον ἦρα καὶ μάχαν,
ΝΙ. καὶ σέ γε φανῶ πρὸς τοῖσδε. ΒΟ. τί ἀδικείμενος;
ΝΙ. ἐγὼ φράσω σοι τῶν περιεστώτων χάριν.
ἐκ τῶν πολεμίων εἰσάγεις θρυαλλίδα.
ΔΙ. ἔπειτα φαίνεις δῆτα καὶ θρυαλλίδα;
ΝΙ. αὕτη γὰρ ἐμπρήσειεν ἂν τὸ νεώριον.
ΔΙ. νεώριον θρυαλλίς; οἴμοι, τίνι τρόπῳ;
ΝΙ. ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος
ἅψας ἂν ἐσπέμψειεν ἐς τὸ νεώριον
δι' ὑδρορρόας, βορέαν ἐπιτηρήσας μέγαν.
κεἴπερ λάβοιτο τῶν νεῶν τὸ πῦρ ἅπαξ,
σελαγοῖντ' ἂν εὐθύς. ΔΙ. ὦ κάκιστ' ἀπολούμενε,
σελαγοῖντ' ἂν ὑπὸ τίφης τε καὶ θρυαλλίδος;
ΝΙ. μαρτύρομαι. ΔΙ. ξυλλάμβαν' αὐτοῦ τὸ στόμα·
δός μοι φορυτόν, ἵν' αὐτὸν ἐνδήσας φέρω.
ΧΟ. ἔνδησον, ὦ βέλτιστε, τῷ
ξένῳ καλῶς τὴν ἐμπολὴν
οὕτως ὅπως
ἂν μὴ φέρων κατάξῃ.
ΔΙ. ἐμοὶ μελήσει ταῦτ', ἐπεί
τοι καὶ ψοφεῖ λάλον τι καὶ
πυρορραγὲς
κἄλλως θεοῖσιν ἐχθρόν.
ΧΟ. τί χρήσεταί ποτ' αὐτῷ;
ΔΙ. πάγχρηστον ἄγγος ἔσται,
κρατὴρ κακῶν, τριπτὴρ δικῶν,
φαίνειν ὑπευθύνους λυχνοῦ-
χος, καὶ κύλιξ
τὰ πράγματ' ἐγκυκᾶσθαι.
ΧΟ. πῶς δ' ἂν πεποιθοίη τις ἀγ-
γείῳ τοιούτῳ χρώμενος
κατ' οἰκίαν
τοσόνδ' ἀεὶ ψοφοῦντι;
ΔΙ. ἰσχυρόν ἐστιν, ὠγάθ', ὥστ'
οὐκ ἂν καταγείη ποτ', εἴ-
περ ἐκ ποδῶν

929—939. = 940—951.

---

849. αὖ Elmsleius] ἀεὶ 850. ὁ Bentleius] οὐδ' ὁ 861. Ἰσμηνία] Fort. Ἰσμήνιχε ut v. 954. Boeoticum est Ἰσμειν—: sed in dialecto Boeotica restituenda, de qua dixit Boeckhius Corp. Inscr. vol. 1. p. 721., non liquet quousque procedendum sit apud Aristophanem. 863. φυσῆτε] φυσεῖτε R. 866. Χαιριδῆς Brunckius] χαιριδεῖς 867. νεὶ Brunckius] νὴ ἐπιχαρίττως γ' Elmsleius] ἐπιχαρίττω γ' vel ἐπιχαρίτως γ' 868. Θείβαθι] Θείβαθε Bergkius. 869. τἄνθεια] τἄνθια R. 870. αἴ Blaydesius] εἴ ἐγὼ] ἰὼ Elmsleius. ἰὼν Blaydesius. 874—876. Accusativos Doricos in ως restituit Brunckius pro ους, quod est in libris et apud Athen. 9. p. 395 e. 880. ἐνύδριας Elmsleius] ἐνύδρους ἐγχέλιας vel ἐγχέλις Meinekius] ἐγχέλεις 884. τῷδε] τῶδε Brunckius. κἠπιχάριτται Ahrensius Dial. Aeol. p. 177. κἠπιχαρίτται R: κἠπιχάριττα alii.

898. ἰώνγα (vel ἱώνγα secundum Apollon. de pronom. p. 324.) Brunckius] ἰώγα 899. ἰὼν] ἰὼν idque cum ἄξεις coniunctum et personae nota ante ὅ τι posita libri, exceptis duobus, qui rectam servarunt scripturam, nisi quod ἰώ praebent. 900. ἔντ' codex Flor. unus. ἐστ' ceteri. 996. θιὼ Blaydesius] σιώ 912. δὲ Bentleius] δαὶ 914. ἀδικείμενος Elmsleius] ἀδικειμένος vel ἀδικημένος 916. θρυαλλίδα Suidas s. v. θρυαλλίς] θρυαλλίδας 917. δῆτα καὶ θρυαλλίδα Elmsleius] δῆτα διὰ θρυαλλίδας 919. οἴμοι Elmsleius] οἶμαι, idque Nicarcho tributum. 924. εὐθὺς schol.] αἱ νῆες R: αἱ νηῦς alii. 927. ἐνδήσας φέρω] ἐνδήσω φέρων D. 928. ὥσπερ κέραμον, ἵνα μὴ καταγῇ φορούμενος] Versum spurium ex 905. et 932. compositum delevit Bothius. 939. τὰ] καὶ R.

κάτω κάρα κρέμαιτο.
ΧΟ. ἤδη καλῶς ἔχει σοι.
ΒΟ. μέλλω γέ τοι θερίδδεν.
ΧΟ. ἀλλ', ὦ ξένων βέλτιστε, καὶ
τοῦτον λαβὼν πρόσβαλλ' ὅπου
βούλει φέρων
πρὸς πάντα συκοφάντην.
ΔΙ. μόλις γ' ἐνέδησα τὸν κακῶς ἀπολούμενον.
αἴρου λαβὼν τὸν κέραμον, ὦ Βοιώτιε.
ΒΟ. ὑπόκυπτε τὰν τύλαν ἰών, Ἰσμήνιχε.
ΔΙ. χὤπως κατοίσεις αὐτὸν εὐλαβούμενος.
πάντως μὲν οἴσεις οὐδὲν ὑγιές, ἀλλ' ὅμως·
κἂν τοῦτο κερδάνῃς ἄγων τὸ φορτίον,
εὐδαιμονήσεις συκοφαντῶν γ' οὕνεκα.

ΘΕΡΑΠΩΝ ΛΑΜΑΧΟΥ.

Δικαιόπολι. ΔΙ. τί ἔστι; τί με βωστρεῖς; ΘΕ. ὅ τι;
ἐκέλευε Λάμαχός σε ταυτησὶ δραχμῆς
ἐς τοὺς Χόας αὐτῷ μεταδοῦναι τῶν κιχλῶν,
τριῶν δραχμῶν δ' ἐκέλευε Κωπᾷδ' ἔγχελυν.
ΔΙ. ὁ ποῖος οὗτος Λάμαχος τὴν ἔγχελυν;
ΘΕ. ὁ δεινός, ὁ ταλαύρινος, ὃς τὴν Γοργόνα
πάλλει, κραδαίνων τρεῖς κατασκίους λόφους.
ΔΙ. οὐκ ἂν μὰ Δί' εἰ δοίη γέ μοι τὴν ἀσπίδα·
ἀλλ' ἐπὶ ταρίχει τοὺς λόφους κραδαινέτω·
ἢν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ.
ἐγὼ δ' ἐμαυτῷ τόδε λαβὼν τὸ φορτίον
εἴσειμ' ὑπαὶ πτερύγων κιχλᾶν καὶ κοψίχων.
ΧΟ. εἶδες ὦ εἶδες ὦ πᾶσα πόλι τὸν φρόνιμον ἄνδρα,
τὸν ὑπέρσοφον,
οἷ' ἔχει σπεισάμενος ἐμπορικὰ χρήματα διεμπολᾶν,
ὧν τὰ μὲν ἐν οἰκίᾳ χρήσιμα, τὰ δ' αὖ πρέπει χλιαρὰ
κατεσθίειν.
αὐτόματα πάντ' ἀγαθὰ τῷδέ γε πορίζεται.
οὐδέποτ' ἐγὼ Πόλεμον οἴκαδ' ὑποδέξομαι,
οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται
ξυγκατακλινείς, ὅτι παροίνιος ἀνὴρ ἔφυ,
ὅστις ἐπὶ πάντ' ἀγάθ' ἔχοντας ἐπικωμάσας
εἰργάσατο πάντα κακὰ κἀνέτρεπε κἀξέχει,
κἀμάχετο, καὶ προσέτι πολλὰ προκαλουμένου
"πῖνε, κατάκεισο, λαβὲ τήνδε φιλοτησίαν,"
τὰς χάρακας ἧπτε πολὺ μᾶλλον ἔτι τῷ πυρί,
ἐξέχει θ' ἡμῶν βίᾳ τὸν οἶνον ἐκ τῶν ἀμπέλων.
⏒ ⏑ – ἐπτέρωταί τ' ἐπὶ τὸ δεῖπνον ἅμα καὶ μεγάλα
δὴ φρονεῖ, [θυρῶν.
τοῦ βίου δ' ἐξέβαλε δεῖγμα τάδε τὰ πτερὰ πρὸ τῶν
ὦ Κύπριδι τῇ καλῇ καὶ Χάρισι ταῖς φίλαις ξύντροφε
Διαλλαγή,
ὡς καλὸν ἔχουσα τὸ πρόσωπον ἆρ' ἐλάνθανες.
πῶς ἂν ἐμὲ καὶ σέ τις Ἔρως ξυναγάγοι λαβών,
ὥσπερ ὁ γεγραμμένος ἔχων στέφανον ἀνθέμων;
ἢ πάνυ γερόντιον ἴσως νενόμικάς με σύ;
ἀλλὰ σὲ λαβὼν τρία δοκῶ γ' ἂν ἔτι προσβαλεῖν·

971—987. = 988—999.

---

946. κάτω κάρα D.] κατωκάρα 947. θερίδδεν Brunckius] θερίδδειν 948. βέλτιστε, καὶ Elmsleius] βέλτιστε συνθέριζε καὶ καὶ τοῦτον] τουτονὶ Dobraeus. 955—958. continuabantur Boeotio. Correxit Elmsleius. 959—965. Θεράπων Λαμάχου Brunckius] ἄγγελος 959. τί ἔστι Elmsleius] τίς ἔστι 960. ἐκέλευε Elmsleius] ἐκέλευσε 967. ταρίχει Reiskius] ταρίχῃ 970. κιχλᾶν] κιχλῶν R. 981. παροίνιος] παροινικὸς Elmsleius. 983. κἀνέτρεπε Elmsleius] κἀνέτραπε 986. ἔτι Hermannus] ἐν 988. Ante ἐπτέρωται exciderunt syllabae tres ⏒ ⏑ –, nisi in versu strophico 971. alterum εἶδες ὦ delendum. 988 b. τάδε post δεῖγμα addidit Brunckius. 989—999. Dicaepolidi tribuuntur in libris. Correxit Elmsleius.

πρῶτα μὲν ἂν ἀμπελίδος ὄρχον ἐλάσαι μακρόν,
εἶτα παρὰ τόνδε νέα μοσχίδια συκίδων,
καὶ τὸ τρίτον ἡμερίδος ὄσχον, ὁ γέρων ὁδί,
καὶ περὶ τὸ χωρίον ἐλᾶδας ἅπαν ἐν κύκλῳ,
ὥστ' ἀλείφεσθαί σ' ἀπ' αὐτῶν κἀμὲ ταῖς νουμηνίαις.
ΚΗ. ἀκούετε λεῴ· κατὰ τὰ πάτρια τοὺς χόας
πίνειν ὑπὸ τῆς σάλπιγγος· ὃς δ' ἂν ἐκπίῃ
πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται.
ΔΙ. ὦ παῖδες, ὦ γυναῖκες, οὐκ ἠκούσατε;
τί δρᾶτε; τοῦ κήρυκος οὐκ ἀκούετε;
ἀναβράττετ', ἐξοπτᾶτε, τρέπετ', ἀφέλκετε
τὰ λαγῷα ταχέως, τοὺς στεφάνους ἀνείρετε.
φέρε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας.
ΧΟ. ζηλῶ σε τῆς εὐβουλίας, μᾶλλον δὲ τῆς εὐωχίας,
ἄνθρωπε, τῆς παρούσης.
ΔΙ. τί δῆτ', ἐπειδὰν τὰς κίχλας ὀπτωμένας ἴδητε;
ΧΟ. οἶμαί σε καὶ τοῦτ' εὖ λέγειν. ΔΙ. τὸ πῦρ ὑποσκάλευε.
ΧΟ. ἤκουσας ὡς μαγειρικῶς κομψῶς τε καὶ δειπνητικῶς αὑτῷ διακονεῖται;

ΓΕΩΡΓΟΣ.

οἴμοι τάλας. ΔΙ. ὦ Ἡράκλεις, τίς οὑτοσί;
ΓΕ. ἀνὴρ κακοδαίμων. ΔΙ. κατὰ σεαυτόν νυν τρέπου.
ΓΕ. ὦ φίλτατε, σπονδαὶ γάρ εἰσι σοὶ μόνῳ,
μέτρησον εἰρήνης τί μοι, κἂν πέντ' ἔτη.
ΔΙ. τί δ' ἔπαθες; ΓΕ. ἐπετρίβην ἀπολέσας τὼ βόε.
ΔΙ. πόθεν; ΓΕ. ἀπὸ Φυλῆς ἔλαβον οἱ Βοιώτιοι.
ΔΙ. ὦ τρισκακόδαιμον, εἶτα λευκὸν ἀμπέχει;
ΓΕ. καὶ ταῦτα μέντοι νὴ Δί' ὥπερ μ' ἐτρεφέτην
ἐν πᾶσι βολίτοις. ΔΙ. εἶτα νυνὶ τοῦ δέει;
ΓΕ. ἀπόλωλα τὠφθαλμὼ δακρύων τὼ βόε.
ἀλλ' εἴ τι κήδει Δερκέτου Φυλασίου,
ὑπάλειψον εἰρήνῃ με τὠφθαλμὼ ταχύ.
ΔΙ. ἀλλ', ὦ πονήρ', οὐ δημοσιεύων τυγχάνω.
ΓΕ. ἴθ' ἀντιβολῶ σ', ἤν πως κομίσωμαι τὼ βόε.
ΔΙ. οὐκ ἔστιν, ἀλλὰ κλᾶε πρὸς τοὺς Πιττάλου.
ΓΕ. σὺ δ' ἀλλά μοι σταλαγμὸν εἰρήνης ἕνα
ἐς τὸν καλαμίσκον ἐνστάλαξον τουτονί.
ΔΙ. οὐδ' ἂν στριβιλικίγξ· ἀλλ' ἀπιὼν οἴμωζέ ποι.
ΓΕ. οἴμοι κακοδαίμων τοῖν γεωργοῖν βοιδίοιν.
ΧΟ. ἁνὴρ ἐνηύρηκέν τι ταῖς σπονδαῖσιν ἡδύ, κοὐκ ἔοικεν οὐδενὶ μεταδώσειν.
ΔΙ. κατάχει σὺ τῆς χορδῆς τὸ μέλι· τὰς σηπίας στάθευε·
ΧΟ. ἤκουσας ὀρθιασμάτων; ΔΙ. ὀπτᾶτε τἀγχέλεια.
ΧΟ. ἀποκτενεῖς λιμῷ 'μὲ καὶ τοὺς γείτονας κνίσῃ τε
καὶ φωνῇ τοιαῦτα λάσκων.
ΔΙ. ὀπτᾶτε ταυτὶ καὶ καλῶς ξανθίζετε.

ΠΑΡΑΝΥΜΦΟΣ.

Δικαιόπολι Δικαιόπολι. ΔΙ. τίς οὑτοσί;
ΠΑ. ἔπεμψέ τίς σοι νυμφίος ταυτὶ κρέα
ἐκ τῶν γάμων. ΔΙ. καλῶς γε ποιῶν ὅστις ἦν.
ΠΑ. ἐκέλευε δ' ἐγχέαι σε τῶν κρεῶν χάριν,
ἵνα μὴ στρατεύοιτ', ἀλλὰ βινοίη μένων,
ἐς τὸν ἀλάβαστον κύαθον εἰρήνης ἕνα.
ΔΙ. ἀπόφερ' ἀπόφερε τὰ κρέα καὶ μή μοι δίδου,
ὡς οὐκ ἂν ἐγχέαιμι χιλιῶν δραχμῶν.
ἀλλ' αὑτηὶ τίς ἐστίν; ΠΑ. ἡ νυμφεύτρια
δεῖται παρὰ τῆς νύμφης τι σοὶ λέξαι μόνῳ.

1008—1017. = 1037—1046.

---

997. ὄσχον Brunckius] κλάδον. ὄρχον Aldus. 1037. ἐνεύρηκεν (debebat ἐνηύρηκεν) Dobraeus] ἀνεύρηκεν 1044. 'μὲ Meinekius] με 1048. Alterum Δικαιόπολι addidit Dobraeus, deleto altero τίς οὑτοσί. Nam παρανύμφου multo plus interest ut ab Dicaeopolide exaudiatur quam Dicaeopolidis ut quis ille sit cognoscat. 1055. χιλιῶν D.] χιλίων (μυρίων R)

ΔΙ. φέρε δή, τί σὺ λέγεις; ὡς γελοῖον, ὦ θεοί,
τὸ δέημα τῆς νύμφης ὃ δεῖταί μου σφόδρα,
ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου.
φέρε δεῦρο τὰς σπονδάς, ἵν' αὐτῇ δῶ μόνῃ,
ὁτιὴ γυνὴ 'στι τοῦ πολέμου τ' οὐκ αἰτία.
ὕπεχ' ὧδε δεῦρο τοὐξάλειπτρον, ὦ γύναι.
οἶσθ' ὡς ποιεῖτε τοῦτο; τῇ νύμφῃ φράσον,
ὅταν στρατιώτας καταλέγωσι, τουτῳὶ
νύκτωρ ἀλειφέτω τὸ πέος τοῦ νυμφίου.
ἀπόφερε τὰς σπονδάς. φέρε τὴν οἰνήρυσιν,
ἵν' οἶνον ἐγχέω λαβὼν ἐς τοὺς χόας.
ΧΟ. καὶ μὴν ὁδί τις τὰς ὀφρῦς ἀνεσπακὼς
ὥσπερ τι δεινὸν ἀγγελῶν ἐπείγεται.
ΚΗ. ἰὼ πόνοι τε καὶ μάχαι καὶ Λάμαχοι.
ΛΑ. τίς ἀμφὶ χαλκοφάλαρα δώματα κτυπεῖ;
ΚΗ. ἰέναι σ' ἐκέλευον οἱ στρατηγοὶ τήμερον
ταχέως λαβόντα τοὺς λόχους καὶ τοὺς λόφους·
κἄπειτα τηρεῖν νιφόμενον τὰς ἐσβολάς.
ὑπὸ τοὺς Χόας γὰρ καὶ Χύτρους αὐτοῖσί τις
ἤγγειλε λῃστὰς ἐμβαλεῖν Βοιωτίους.
ΛΑ. ἰὼ στρατηγοὶ πλείονες ἢ βελτίονες.
οὐ δεινὰ μὴ 'ξεῖναί με μηδ' ἑορτάσαι;
ΔΙ. ἰὼ στράτευμα πολεμολαμαχαϊκόν.
ΛΑ. οἴμοι κακοδαίμων, καταγελᾷς ἤδη σύ μου.
ΔΙ. βούλει μάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;
ΛΑ. αἰαῖ,
οἵαν ὁ κῆρυξ ἀγγελίαν ἤγγειλέ μοι.
ΔΙ. αἰαῖ, τίνα δ' αὖ μοι προστρέχει τις ἀγγελῶν;
ΚΗ. Δικαιόπολι. ΔΙ. τί ἔστιν; ΚΗ. ἐπὶ δεῖπνον ταχὺ
βάδιζε, τὴν κίστην λαβὼν καὶ τὸν χόα.
ὁ τοῦ Διονύσου γάρ σ' ἱερεὺς μεταπέμπεται.
ἀλλ' ἐγκόνει· δειπνεῖν κατακωλύεις πάλαι.
τὰ δ' ἄλλα πάντ' ἐστὶν παρεσκευασμένα,
κλῖναι, τράπεζαι, προσκεφάλαια, στρώματα,
στέφανοι, μύρον, τραγήμαθ', αἱ πόρναι πάρα,
ἄμυλοι, πλακοῦντες, σησαμοῦντες, ἴτρια,
ὀρχηστρίδες, τὰ φίλταθ' Ἁρμοδίου, καλαί.
ἀλλ' ὡς τάχιστα σπεῦδε. ΛΑ. κακοδαίμων ἐγώ.
ΔΙ. καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα.
σύγκληε, καὶ δεῖπνόν τις ἐνσκευαζέτω.
ΛΑ. παῖ παῖ, φέρ' ἔξω δεῦρο τὸν γύλιον ἐμοί.
ΔΙ. παῖ παῖ, φέρ' ἔξω δεῦρο τὴν κίστην ἐμοί.
ΛΑ. ἅλας θυμίτας οἶσε, παῖ, καὶ κρόμμυα.
ΔΙ. ἐμοὶ δὲ τεμάχη· κρομμύοις γὰρ ἄχθομαι.
ΛΑ. θρῖον ταρίχους οἶσε δεῦρο, παῖ, σαπροῦ.
ΔΙ. κἀμοὶ σὺ δημοῦ θρῖον· ὀπτήσω δ' ἐκεῖ.
ΛΑ. ἔνεγκε δεῦρο τὼ πτερὼ τὼ 'κ τοῦ κράνους.
ΔΙ. ἐμοὶ δὲ τὰς φάττας γε φέρε καὶ τὰς κίχλας.
ΛΑ. καλόν γε καὶ λευκὸν τὸ τῆς στρούθου πτερόν.
ΔΙ. καλόν γε καὶ ξανθὸν τὸ τῆς φάττης κρέας.
ΛΑ. ὤνθρωπε, παῦσαι καταγελῶν μου τῶν ὅπλων.
ΔΙ. ὤνθρωπε, βούλει μὴ βλέπειν ἐς τὰς κίχλας;
ΛΑ. τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.
ΔΙ. κἀμοὶ λεκάνιον τῶν λαγῴων δὸς κρεῶν.
ΛΑ. ἀλλ' ἦ τριχοβρῶτες τοὺς λόφους μου κατέφαγον.
ΔΙ. ἀλλ' ἦ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι.
ΛΑ. ὤνθρωπε, βούλει μὴ προσαγορεύειν ἐμέ;
ΔΙ. οὔκ, ἀλλ' ἐγὼ χὡ παῖς ἐρίζομεν πάλαι.
βούλει περιδόσθαι κἀπιτρέψαι Λαμάχῳ,
πότερον ἀκρίδες ἥδιόν ἐστιν ἢ κίχλαι;
ΛΑ. οἴμ' ὡς ὑβρίζεις. ΔΙ. τὰς ἀκρίδας κρίνει πολύ.
ΛΑ. παῖ παῖ, καθελὼν μοι τὸ δόρυ δεῦρ' ἔξω φέρε.
ΔΙ. παῖ παῖ, σὺ δ' ἀφελὼν δεῦρο τὴν χορδὴν φέρε.
ΛΑ. φέρε, τοῦ δόρατος ἀφελκύσωμαι τοὔλυτρον.
ἔχ', ἀντέχου, παῖ. ΔΙ. καὶ σύ, παῖ, τοῦδ' ἀντέχου.
ΛΑ. τοὺς κιλλίβαντας οἶσε, παῖ, τῆς ἀσπίδος.
ΔΙ. καὶ τῆς ἐμῆς τοὺς κριβανίτας ἔκφερε.
ΛΑ. φέρε δεῦρο γοργόνωτον ἀσπίδος κύκλον.
ΔΙ. κἀμοὶ πλακοῦντος τυρόνωτον δὸς κύκλον.
ΛΑ. ταῦτ' οὐ κατάγελώς ἐστιν ἀνθρώποις πλατύς;
ΔΙ. ταῦτ' οὐ πλακοῦς δῆτ' ἐστὶν ἀνθρώποις γλυκύς;
ΛΑ. κατάχει σύ, παῖ, τοὔλαιον. ἐν τῷ χαλκίῳ
ἐνορῶ γέροντα δειλίας φευξούμενον.
ΔΙ. κατάχει σὺ τὸ μέλι. κἀνθάδ' εὔδηλος γέρων
κλάειν κελεύων Λάμαχον τὸν Γοργάσου.
ΛΑ. φέρε δεῦρο, παῖ, θώρακα πολεμιστήριον.
ΔΙ. ἔξαιρε, παῖ, θώρακα κἀμοὶ τὸν χόα.
ΛΑ. ἐν τῷδε πρὸς τοὺς πολεμίους θωρήξομαι.
ΔΙ. ἐν τῷδε πρὸς τοὺς συμπότας θωρήξομαι.
ΛΑ. τὰ στρώματ', ὦ παῖ. δῆσον ἐκ τῆς ἀσπίδος.
ΔΙ. τὸ δεῖπνον, ὦ παῖ, δῆσον ἐκ τῆς κιστίδος.
ΛΑ. ἐγὼ δ' ἐμαυτῷ τὸν γύλιον οἴσω λαβών.
ΔΙ. ἐγὼ δὲ θοἰμάτιον λαβὼν ἐξέρχομαι.
ΛΑ. τὴν ἀσπίδ' αἴρου, καὶ βάδιζ', ὦ παῖ, λαβών.
νίφει. βαβαιάξ· χειμέρια τὰ πράγματα.
ΔΙ. αἴρου τὸ δεῖπνον· συμποτικὰ τὰ πράγματα.
ΧΟ. ἴτε δὴ χαίροντες ἐπὶ στρατιάν.
ὡς ἀνομοίαν ἔρχεσθον ὁδόν·
τῷ μὲν πίνειν στεφανωσαμένῳ,
σοὶ δὲ ῥιγῶν καὶ προφυλάττειν,
τῷ δὲ καθεύδειν
μετὰ παιδίσκης ὡραιοτάτης,
ἀνατριβομένῳ τε τὸ δεῖνα. [ποιητήν,
'Αντίμαχον τὸν Ψακάδος, τὸν ξυγγραφῆ, τὸν μελέων
ὡς μὲν ἁπλῷ λόγῳ κακῶς ἐξολέσειεν ὁ Ζεύς·
ὅς γ' ἐμὲ τὸν τλήμονα Λήναια χορηγῶν ἀπέλυσ'
ὃν ἔτ' ἐπίδοιμι τευθίδος [ἄδειπνον.
δεόμενον, ἡ δ' ὠπτημένη
σίζουσα πάραλος, ἐπὶ τραπέζης κειμένη,
ὀκέλλοι· κᾆτα μέλ-
λοντος λαβεῖν αὐτοῦ κύων ἁρπάσασα φεύγοι.
τοῦτο μὲν αὐτῷ κακὸν ἕν· κᾆθ' ἕτερον νυκτερινὸν
γένοιτο.
ἠπιαλῶν γὰρ οἴκαδ' ἐξ ἱππασίας βαδίζων,
εἶτα πατάξειέ τις αὐτοῦ μεθύων τὴν κεφαλὴν 'Ορέ-
μαινόμενος· ὁ δὲ λίθον λαβεῖν [στης
βουλόμενος ἐν σκότῳ λάβοι
τῇ χειρὶ πέλεθον ἀρτίως κεχεσμένον·
ἐπᾴξειεν δ' ἔχων

1150—1161. = 1162—1173.

---

1062. αἰτία Blaydesius] ἀξία 1071. 1073—1077. κήρυκι tribuit Elmsleius, ἀγγέλῳ libri. 1085—1094. κήρυκι tribui quae vulgo ἀγγέλῳ β' tribuuntur, 1092. ἴτρια ex Athen. 14. p. 646 d·] ἰτρία, cum Etym. M. p. 479, 40. contra regulam Herodiani ap. Arcad. p. 119, 18.
1096. σύγκληε Meinekius] σύγκλειε 1102. δημοῦ Elmsleius] δὴ παῖ 1105. στρούθου Meinekius] στρουθοῦ 1107. 1108. post 1112. collocat Boissonadius. 1111. 1112. ἀλλ' ἦ] Dubitatur utrum sic scribendum sit an ἀλλ' ἦ, quod defendit Kruegerus in dissert. de formula ἀλλ' ἦ, Brunsvigae edita a. 1834. τριχοβρῶτες Pollux 2, 24. et Suidas s. h. v.] τριχόβρωτες. Utrumque memorat scholasta.

1125. τυρόνωτον] γυρόνωτον Plutarch. Mor. p. 853 c. 1142. αἴρου τὸ δεῖπνον] τὸ δεῖπνον αἴρου Meinekius. Idem aliique hunc versum ex duobus coaluisse coniiciunt, qui praecedentibus totidem Lamachi versibus responderint. 1150. τὸν ξυγγραφῆ, τὸν] τὸν μέλεον τῶν Elmsleius. 1155. ἀπέλευσ' (ἀπέλυσεν codices quattuor) ἄδειπνον] ἄδειπνον ἀπέλυσεν Suidas s. v. τευθίδες. ἀπέκλεισε δειπνῶν R. ἀπέκλεισ' ἄδειπνον Elmsleius. 1166. πατάξειε D.] κατάξειε

τὸν μάρμαρον, κᾆπειθ' ἁμαρτὼν βάλοι Κρατῖνον.
ΑΓ. ὦ δμῶες οἳ κατ' οἶκόν ἐστε Λαμάχου,
ὕδωρ ὕδωρ ἐν χυτριδίῳ θερμαίνετε·
ὀθόνια, κηρωτὴν παρασκευάζετε,
ἔρι' οἰσυπηρά, λαμπάδιον περὶ τὸ σφυρόν.
ἀνὴρ τέτρωται χάρακι διαπηδῶν τάφρον,
καὶ τὸ σφυρὸν παλίνορρον ἐξεκόκκισεν,
καὶ τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσών,
καὶ Γοργόν' ἐξήγειρεν ἐκ τῆς ἀσπίδος.
πτίλον δὲ τὸ μέγα κομπολακύθου πεσὸν
πρὸς ταῖς πέτραισι δεινὸν ἐξηύδα μέλος
"ὦ κλεινὸν ὄμμα, νῦν πανύστατόν σ' ἰδὼν
λείπω φάος γε τοὐμόν, οὐκέτ' εἴμ' ἐγώ."
τοσαῦτα λέξας εἰς ὑδρορρόαν πεσὼν
ἀνίσταταί τε καὶ ξυναντᾷ δραπέταις
λῃστὰς ἐλαύνων καὶ κατασπέρχων δορί.
ὁδὶ δὲ καὐτός· ἀλλ' ἄνοιγε τὴν θύραν.
ΛΑ. ἀτταταῖ ἀτταταῖ,
στυγερὰ τάδε γε κρυερὰ πάθεα.
τάλας ἐγὼ διόλλυμαι
δορὸς ὑπὸ πολεμίου τυπείς.
ἐκεῖνο δ' αἰακτὸν ἂν γένοιτό μοι,
Δικαιόπολις ἄν μ' ἴδοι τετρωμένον,
κᾆτ' ἐγχανεῖται ταῖς ἐμαῖς τύχαισιν.
ΔΙ. ἀτταταῖ ἀτταταῖ
τῶν τιτθίων, ὡς σκληρὰ καὶ κυδώνια.
φιλήσατόν με μαλθακῶς, ὦ χρυσίω,
τὸ περιπεταστὸν κἀπιμανδαλωτόν·
τὸν γὰρ χόα πρῶτος ἐκπέπωκα.
ΛΑ. ὦ ξυμφορὰ τάλαινα τῶν ἐμῶν κακῶν.
ἰὼ ἰὼ τραυμάτων ἐπωδύνων.
ΔΙ. ἰὴ ἰὴ χαῖρε Λαμαχίππιον.
ΛΑ. στυγερὸς ἐγώ. ΔΙ. μογερὸς ἐγώ.
ΛΑ. τί με σὺ κυνεῖς; ΔΙ. τί με σὺ δάκνεις;
ΛΑ. τάλας ἐγὼ ξυμβολῆς βαρείας.
ΔΙ. τοῖς Χουσὶ γάρ τις ξυμβολὰς ἐπράττετο;
ΛΑ. ἰὼ ἰὼ Παιὰν Παιάν.
ΔΙ. ἀλλ' οὐχὶ νυνὶ τήμερον Παιώνια.
ΛΑ. λάβεσθέ μου λάβεσθε τοῦ σκέλους· παπαῖ,
προσλάβεσθ', ὦ φίλοι.
ΔΙ. ἐμοῦ δέ γε σφὼ τοῦ πέους ἄμφω μέσου
προσλάβεσθ', ὦ φίλαι.
ΛΑ. ἰλιγγιῶ κάρα λίθῳ πεπληγμένος
καὶ σκοτοδινιῶ.
ΔΙ. κἀγὼ καθεύδειν βούλομαι καὶ στύομαι
καὶ σκοτοβινιῶ.
ΛΑ. θύραζέ μ' ἐξενέγκατ' ἐς τοῦ Πιττάλου
παιωνίαισι χερσίν.
ΔΙ. ὡς τοὺς κριτάς μ' ἐκφέρετε· ποῦ 'στιν ὁ βασιλεύς;
ἀπόδοτέ μοι τὸν ἀσκόν.
ΛΑ. λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτά.
ΔΙ. ὁρᾶτε τουτονὶ κενόν. τήνελλα καλλίνικος.
ΧΟ. τήνελλα δῆτ', εἴπερ καλεῖς, ὦ πρέσβυ, καλλίνικος.
ΔΙ. καὶ πρός γ' ἄκρατον ἐγχέας ἄμυστιν ἐξέλαψα.
ΧΟ. τήνελλά νυν, ὦ γεννάδα· χώρει λαβὼν τὸν ἀσκόν.
ΔΙ. ἕπεσθέ νυν ᾄδοντες ὦ τήνελλα καλλίνικος.
ΧΟ. ἀλλ' ἑψόμεσθα σὴν χάριν τήνελλα καλλίνικον ᾄδοντες σὲ καὶ τὸν ἀσκόν.

---

1172. μάρμαρον] βόρβορον Hermannus. 1174. ΑΓΓΕΛΟΣ] Θεράπων Λαμάχου Brunckius. 1179. παλίνορρον Elmsleius] παλίνορον 1181—1188. spurios esse iudicavit Blaydesius, partim aliis praeeuntibus.

1185. γε τοὐμόν] Ineptum supplementum trium quae exciderant syllabarum, velut ποθεινόν. 1188. λῃστὰς] λῃσταῖς Elmsleius. 1190—1197. His Lamachi versibus credas respondisse totidem Dicaeopolidis versus 1198—1202.: sed responsio non potest restitui nisi audacioribus adhibilis mutationibus. 1191. τάδε γε κρυερὰ] γε om. R. κρυερὰ τάδε τὰ Meinekius. 1195. αἰακτὸν Porsonus] αἰακτὸν οἰμωκτὸν

1196. ἄν μ' R. Alii ἂν εἴ μ' vel γὰρ εἴ μ' 1197. κᾆτ' ἐγχανεῖται R. Alii κᾆτ' ἐγχάνοι vel κατεγχάνοι 1201. κἀπιμανδαλωτὸν] καὶ τὸ μανδαλωτὸν Bentleius.

1202. χόα Elmsleius] χοᾶ 1206. Ante hunc versum unum excidisse trimetrum Dicaeopolidis probabilis Bothii coniectura est. 1208. ΔΙ. μογερὸς ἐγώ. | ΛΑ. τί με σὺ κυνεῖς;] ΔΙ. τί με σὺ κυνεῖς; | ΛΑ. μογερὸς ἐγώ Bergkius. 1210. ἐγὼ τῆς (τῆς omittere debebat) ξυμβολῆς Bothius] ἐγὼ τῆς ἐν μάχῃ ξυμβολῆς 1218. ἰλιγγιῶ] εἰλιγγιῶ R. Conf. ad v. 581. 1222. ἐς τοῦ Πιττάλου] ἐς τὰ Πιττάλου Elmsleius ut est Vesp. 1432.

1226. ὀδυρτά] ὀδυρτή Suidas s. v. Ὀδύρση. 1228. καλεῖς] κρατεῖς Blaydesius. 1232. Duos tetrametros fecit Elmsleius, ἀλλ' ἑψόμεσθα σὴν χάριν, τήνελλα καλλίνικος, | τήνελλα καλλίνικον ᾄδοντες σὲ καὶ τὸν ἀσκόν.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΙΠΠΗΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| ΔΗΜΟΣΘΕΝΗΣ.[a] | ΚΛΕΩΝ. |
| ΝΙΚΙΑΣ. | ΧΟΡΟΣ ΙΠΠΕΩΝ. |
| ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὗ ὄνομα ΑΓΟΡΑΚΡΙΤΟΣ. | ΔΗΜΟΣ. |

## ΥΠΟΘΕΣΙΣ.

I. Τὸ δρᾶμα τῶν Ἱππέων ποιεῖται εἰς Κλέωνα τὸν τῶν Ἀθηναίων δημαγωγόν. ὑπόκειται δὲ ὡς Παφλαγὼν νεώνητος, δουλεύων τῷ Δήμῳ καὶ προαγόμενος παρ' αὐτῷ περιττότερον. ἐπιτιθεμένων δὲ αὐτῷ δυοῖν τοῖν ὁμοδούλοιν, καὶ κατά τινα λόγια πονηρίᾳ διάσημον ἀλλαντοπώλην Ἀγοράκριτον ἐπαγόντοιν, ὡς ἐπιτροπεύσῃ τοῦ δήμου τῶν Ἀθηναίων, αὐτοὶ οἱ Ἀθηναίων Ἱππεῖς συλλαβόντες ἐν χοροῦ σχήματι παραφαίνονται· ὑφ' ὧν προπηλακιζόμενος ὁ Κλέων ἀγανακτεῖ, καὶ διενεχθεὶς ἱκανῶς περὶ τοῦ ἀνώτερος εἶναι τῶν ἐναντιουμένων, σφᾶς ὡς συνομωμοκότας κατὰ τῆς πόλεως διαβαλῶν πρὸς τὴν βουλὴν ἵεται· διώξαντος δὲ καὶ τοῦ ἀλλαντοπώλου κατὰ πόδας οἱ Ἱππεῖς περί τε τοῦ ποιητοῦ τινα καὶ τῶ νπρογόνων, ἔτι δὲ καὶ τῶν συγκινδυνευόντων σφίσιν ἐπὶ ταῖς μάχαις ἵππων, πρὸς τοὺς πολίτας ἁδροτέρως διαλέγονται. ὁ δὲ ἀλλαντοπώλης περιγεγενημένος ἐν βουλῇ μάλα γελοίως τοῦ Κλέωνος καὶ λοιδορούμενος αὖθις αὐτῷ προσέρχεται· ἐκκαλεσαμένου δὲ τοῦ Κλέωνος τὸν Δῆμον, προσελθὼν οὗτος διαφερομένων ἀκροᾶται. λόγων δὲ πολλῶν γενομένων κατὰ τοῦ Κλέωνος, τοῦ Ἀγορακρίτου μάλ' ἐντέχνως τοῖς ἐπινοήμασι καὶ ταῖς θωπείαις καὶ προσέτι ταῖς ἐκ τῶν λογίων ὑπερβολαῖς κρατοῦντος κατὰ μικρὸν τοῖς λόγοις ὁ Δῆμος συνεφέλκεται. δείσαντος δὲ τοῦ Κλέωνος κἀπὶ τὸ ψωμίζειν τὸν Δῆμον ὁρμήσαντος, ἀντιψωμίζειν ἅτερος ἐγχειρεῖ. καὶ τέλος τοῦ Δήμου τὴν ἑκατέρου κίστην συνέντος, εἶτα τῆς μὲν κενῆς, τῆς δὲ τοῦ Κλέωνος μεστῆς εὑρεθείσης, ἐλεγχθεὶς αὐτὸς ὡς περιφανῶς τὰ τοῦ Δήμου κλέπτων, εἴκει θατέρῳ τῆς ἐπιτροπείας. μετὰ ταῦτα δὲ τοῦ ἀλλαντοπώλου τὸν Δῆμον ἀφεψήσαντος, εἶτα νεώτερον ἐξαυτῆς εἰς τοὐμφανὲς γεγονότα προάγοντος, Κλέων περικείμενος τὴν Ἀγορακρίτου σκευὴν ἐπὶ παραδειγματισμῷ διὰ μέσης πόλεως ἀλλαντοπωλῶν ἀνὰ μέρος καὶ τῇ τέχνῃ χρησάμενος

---

[a] ΔΗΜΟΣΘΕΝΗΣ. ΝΙΚΙΑΣ. — ΚΛΕΩΝ.] Tria haec nomina non leguntur in hac fabula, sed in exemplaribus ab Aristophane histrionibus traditis latebant sub personis Οἰκέτου α', Οἰκέτου β' et Παφλαγόνος, etsi spectatores statim intelligebant Παφλαγόνα Cleonem esse, neque obscurum erat οἰκέτην α' et β' Demosthenem et Niciam, copiarum Atheniensium duces, repraesentare. Ipsa Demosthenis, Niciae et Cleonis nomina ab grammaticis demum Alexandrinis non spectatorum, qui nulli tum temporis erant, sed lectorum caussa praescripta sunt, ut ex ὑποθέσει tertia scholiastarumque annotationibus colligi potest: de quo dixi in Annotationibus Oxoniensibus p. 291. Isiciarius ἀλλαντοπώλου nomine appellativo designatur usque ad versum 1257. ubi nomen sibi proprium, Ἀγοράκριτος, Δήμῳ prodit.

τὸν μάρμαρον, κἄπειθ' ἁμαρτὼν βάλοι Κρατῖνον.
ΑΓ. ὦ δμῶες οἳ κατ' οἶκόν ἐστε Λαμάχου,
ὕδωρ ὕδωρ ἐν χυτριδίῳ θερμαίνετε·
ὀθόνια, κηρωτὴν παρασκευάζετε,
ἔρι' οἰσυπηρά, λαμπάδιον περὶ τὸ σφυρόν.
ἀνὴρ τέτρωται χάρακι διαπηδῶν τάφρον,
καὶ τὸ σφυρὸν παλίνορρον ἐξεκόκκισεν,
καὶ τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσών,
καὶ Γοργόν' ἐξήγειρεν ἐκ τῆς ἀσπίδος.
πτίλον δὲ τὸ μέγα κομπολακύθου πεσὸν
πρὸς ταῖς πέτραισι δεινὸν ἐξηύδα μέλος
"ὦ κλεινὸν ὄμμα, νῦν πανύστατόν σ' ἰδὼν
λείπω φάος γε τοὐμόν, οὐκέτ' εἴμ' ἐγώ."
τοσαῦτα λέξας εἰς ὑδρορρόαν πεσὼν
ἀνίσταταί τε καὶ ξυναντᾷ δραπέταις
λῃστὰς ἐλαύνων καὶ κατασπέρχων δορί.
ὁδὶ δὲ καὐτός· ἀλλ' ἄνοιγε τὴν θύραν.
ΛΑ. ἀτταταῖ ἀτταταῖ,
στυγερὰ τάδε γε κρυερὰ πάθεα.
τάλας ἐγὼ διόλλυμαι
δορὸς ὑπὸ πολεμίου τυπείς.
ἐκεῖνο δ' αἰακτὸν ἂν γένοιτό μοι,
Δικαιόπολις ἄν μ' ἴδοι τετρωμένον,
κᾆτ' ἐγχανεῖται ταῖς ἐμαῖς τύχαισιν.
ΔΙ. ἀτταταῖ ἀτταταῖ
τῶν τιτθίων, ὡς σκληρὰ καὶ κυδώνια.
φιλήσατόν με μαλθακῶς, ὦ χρυσίω,
τὸ περιπεταστὸν κἀπιμανδαλωτόν·
τὸν γὰρ χόα πρῶτος ἐκπέπωκα.
ΛΑ. ὦ ξυμφορὰ τάλαινα τῶν ἐμῶν κακῶν.
ἰὼ ἰὼ τραυμάτων ἐπωδύνων.
ΔΙ. ἰὴ ἰὴ χαῖρε Λαμαχίππιον.
ΛΑ. στυγερὸς ἐγώ. ΔΙ. μογερὸς ἐγώ.
ΛΑ. τί με σὺ κυνεῖς; ΔΙ. τί με σὺ δάκνεις;
ΛΑ. τάλας ἐγὼ ξυμβολῆς βαρείας.
ΔΙ. τοῖς Χουσὶ γάρ τις ξυμβολὰς ἐπράττετο;
ΛΑ. ἰὼ ἰὼ Παιὰν Παιάν.
ΔΙ. ἀλλ' οὐχὶ νυνὶ τήμερον Παιώνια.
ΛΑ. λάβεσθέ μου λάβεσθε τοῦ σκέλους· παπαῖ,
προσλάβεσθ', ὦ φίλοι.
ΔΙ. ἐμοῦ δέ γε σφὼ τοῦ πέους ἄμφω μέσου
προσλάβεσθ', ὦ φίλαι.
ΛΑ. ἰλιγγιῶ κάρα λίθῳ πεπληγμένος
καὶ σκοτοδινιῶ.
ΔΙ. κἀγὼ καθεύδειν βούλομαι καὶ στύομαι
καὶ σκοτοβινιῶ.
ΛΑ. θύραζέ μ' ἐξενέγκατ' ἐς τοῦ Πιττάλου
παιωνίαισι χερσίν.
ΔΙ. ὡς τοὺς κριτάς μ' ἐκφέρετε· ποῦ 'στιν ὁ βασιλεύς;
ἀπόδοτέ μοι τὸν ἀσκόν.
ΛΑ. λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτά.
ΔΙ. ὁρᾶτε τουτονὶ κενόν. τήνελλα καλλίνικος.
ΧΟ. τήνελλα δῆτ', εἴπερ καλεῖς, ὦ πρέσβυ, καλλίνικος.
ΔΙ. καὶ πρός γ' ἄκρατον ἐγχέας ἄμυστιν ἐξέλαψα.
ΧΟ. τήνελλά νυν, ὦ γεννάδα· χώρει λαβὼν τὸν ἀσκόν.
ΔΙ. ἕπεσθέ νυν ᾄδοντες ὦ τήνελλα καλλίνικος.
ΧΟ. ἀλλ' ἑψόμεσθα σὴν χάριν τήνελλα καλλίνικον ᾄδοντες σὲ καὶ τὸν ἀσκόν.

---

1172. μάρμαρον] βόρβορον Hermannus. 1174. ΑΓΓΕΛΟΣ] Θεράπων Λαμάχου Brunckius. 1179. παλίνορρον Elmsleius] παλίνορον 1181—1188. spurios esse iudicavit Blaydesius, partim aliis praeeuntibus.

1185. γε τοὐμόν] Ineptum supplementum trium quae exciderant syllabarum, velut ποθεινόν. 1188. λῃστὰς] λῃσταῖς Elmsleius. 1190—1197. His Lamachi versibus credas respondisse totidem Dicaeopolidis versus 1198—1202.: sed responsio non potest restitui nisi audacioribus adhibilis mutationibus. 1191. τάδε γε κρυερὰ] γε om. R. κρυερὰ τάδε τὰ Meinekius. 1195. αἰακτὸν Porsonus] αἰακτὸν οἰμωκτὸν

1196. ἄν μ' R. Alii ἂν εἴ μ' vel γὰρ εἴ μ' 1197. κᾆτ' ἐγχανεῖται R. Alii κᾆτ' ἐγχάνοι vel κατεγχάνοι 1201. κἀπιμανδαλωτὸν] καὶ τὸ μανδαλωτὸν Bentleius.

1202. χόα Elmsleius] χοᾶ 1206. Ante hunc versum unum excidisse trimetrum Dicaeopolidis probabilis Bothii coniectura est. 1208. ΔΙ. μογερὸς ἐγώ. | ΛΑ. τί με σὺ κυνεῖς;] ΔΙ. τί με σὺ κυνεῖς; | ΛΑ. μογερὸς ἐγώ Bergkius. 1210. ἐγὼ τῆς (τῆς omittere debebat) ξυμβολῆς Bothius] ἐγὼ τῆς ἐν μάχῃ ξυμβολῆς 1218. ἰλιγγιῶ] εἰλιγγιῶ R. Conf. ad v. 581. 1222. ἐς τοῦ Πιττάλου] ἐς τὰ Πιττάλου Elmsleius ut est Vesp. 1432.

1226. ὀδυρτά] ὀδυρτή Suidas s. v. Ὀδύρση. 1228. καλεῖς] κρατεῖς Blaydesius. 1232. Duos tetrametros fecit Elmsleius, ἀλλ' ἑψόμεσθα σὴν χάριν, τήνελλα καλλίνικος, | τήνελλα καλλίνικον ᾄδοντες σὲ καὶ τὸν ἀσκόν.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΙΠΠΗΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| ΔΗΜΟΣΘΕΝΗΣ.[a] | ΚΛΕΩΝ. |
| ΝΙΚΙΑΣ. | ΧΟΡΟΣ ΙΠΠΕΩΝ. |
| ΑΛΛΑΝΤΟΠΩΛΗΣ οὗ ὄνομα ΑΓΟΡΑΚΡΙΤΟΣ. | ΔΗΜΟΣ. |

## ΥΠΟΘΕΣΙΣ.

I. Τὸ δρᾶμα τῶν Ἱππέων ποιεῖται εἰς Κλέωνα τὸν τῶν Ἀθηναίων δημαγωγόν. ὑπόκειται δὲ ὡς Παφλαγὼν νεώνητος, δουλεύων τῷ Δήμῳ καὶ προαγόμενος παρ' αὐτῷ περιττότερον. ἐπιτιθεμένων δὲ αὐτῷ δυοῖν τοῖν ὁμοδούλοιν, καὶ κατά τινα λόγια πονηρίᾳ διάσημον ἀλλαντοπώλην Ἀγοράκριτον ἐπαγόντοιν, ὡς ἐπιτροπεύσῃ τοῦ δήμου τῶν Ἀθηναίων, αὐτοὶ οἱ Ἀθηναίων Ἱππεῖς συλλαβόντες ἐν χοροῦ σχήματι παραφαίνονται· ὑφ' ὧν προπηλακιζόμενος ὁ Κλέων ἀγανακτεῖ, καὶ διενεχθεὶς ἱκανῶς περὶ τοῦ ἀνώτερος εἶναι τῶν ἐναντιουμένων, σφᾶς ὡς συνομωμοκότας κατὰ τῆς πόλεως διαβαλὼν πρὸς τὴν βουλὴν ἵεται· διώξαντος δὲ καὶ τοῦ ἀλλαντοπώλου κατὰ πόδας οἱ Ἱππεῖς περί τε τοῦ ποιητοῦ τινα καὶ τῶ νπρογόνων, ἔτι δὲ καὶ τῶν συγκινδυνευόντων σφίσιν ἐπὶ ταῖς μάχαις ἵππων, πρὸς τοὺς πολίτας ἁδροτέρως διαλέγονται. ὁ δὲ ἀλλαντοπώλης περιγεγενημένος ἐν βουλῇ μάλα γελοίως τοῦ Κλέωνος καὶ λοιδορούμενος αὖθις αὐτῷ προσέρχεται· ἐκκαλεσαμένου δὲ τοῦ Κλέωνος τὸν Δῆμον, προσελθὼν οὗτος διαφερομένων ἀκροᾶται. λόγων δὲ πολλῶν γενομένων κατὰ τοῦ Κλέωνος, τοῦ Ἀγορακρίτου μάλ' ἐντέχνως τοῖς ἐπινοήμασι καὶ ταῖς θωπείαις καὶ προσέτι ταῖς ἐκ τῶν λογίων ὑπερβολαῖς κρατοῦντος κατὰ μικρὸν τοῖς λόγοις ὁ Δῆμος συνεφέλκεται. δείσαντος δὲ τοῦ Κλέωνος κἀπὶ τὸ ψωμίζειν τὸν Δῆμον ὁρμήσαντος, ἀντιψωμίζειν ἅτερος ἐγχειρεῖ. καὶ τέλος τοῦ Δήμου τὴν ἑκατέρου κίστην συνέντος, εἶτα τῆς μὲν κενῆς, τῆς δὲ τοῦ Κλέωνος μεστῆς εὑρεθείσης, ἐλεγχθεὶς αὐτὸς ὡς περιφανῶς τὰ τοῦ Δήμου κλέπτων, εἴκει θατέρῳ τῆς ἐπιτροπείας. μετὰ ταῦτα δὲ τοῦ ἀλλαντοπώλου τὸν Δῆμον ἀφεψήσαντος, εἶτα νεώτερον ἐξαυτῆς εἰς τοὐμφανὲς γεγονότα προάγοντος, Κλέων περικείμενος τὴν Ἀγορακρίτου σκευὴν ἐπὶ παραδειγματισμῷ διὰ μέσης πόλεως ἀλλαντοπωλῶν ἀνὰ μέρος καὶ τῇ τέχνῃ χρησάμενος

---

[a] ΔΗΜΟΣΘΕΝΗΣ. ΝΙΚΙΑΣ. — ΚΛΕΩΝ.] Tria haec nomina non leguntur in hac fabula, sed in exemplaribus ab Aristophane histrionibus traditis latebant sub personis Οἰκέτου α', Οἰκέτου β' et Παφλαγόνος, etsi spectatores statim intelligebant Παφλαγόνα Cleonem esse, neque obscurum erat οἰκέτην α' et β' Demosthenem et Niciam, copiarum Atheniensium duces, repraeseutare. Ipsa Demosthenis, Niciae et Cleonis nomina ab grammaticis demum Alexandrinis non spectatorum, qui nulli tum temporis erant, sed lectorum caussa praescripta sunt, ut ex ὑποθέσει tertia scholiastarumque annotationibus colligi potest: de quo dixi in Annotationibus Oxoniensibus p. 291. Isiciarius ἀλλαντοπώλου nomine appellativo designatur usque ad versum 1257. ubi nomen sibi proprium, Ἀγοράκριτος, Δήμῳ prodit.

πέμπεται, καὶ ἡ ἐπιτροπὴ τῷ ἀλλαντοπώλῃ παραδίδοται. τὸ δὲ δρᾶμα τῶν ἄγαν καλῶς πεποιημένων.

II. Ὁ σκοπὸς αὐτῷ πρὸς τὸ καθελεῖν Κλέωνα. οὗτος γὰρ βυρσοπώλης ὢν ἐκράτει τῶν Ἀθηναίων ἐκ προφάσεως τοιαύτης. Ἀθηναῖοι πόλιν Πύλον, λεγομένην Σφακτηρίαν, ἐπολιόρκουν διὰ Δημοσθένους στρατηγοῦ καὶ Νικίου· ὧν στρατηγῶν χρονισάντων ἐδυσχέραινον οἱ Ἀθηναῖοι. καὶ εἰς ἐκκλησίαν συνελθόντων αὐτῶν καὶ ἀδημονούντων, Κλέων τις βυρσοπώλης ἀναστὰς ὑπέσχετο δεσμίους φέρειν τοὺς ὑπεναντίους εἴσω εἴκοσιν ἡμερῶν, εἰ στρατηγὸς αἱρεθείη· ὅπερ καὶ γέγονε. κατὰ τὰς ὑποσχέσεις οὖν ἐστρατήγει, κυκῶν τὴν πόλιν. ἐφ' οἷς μὴ ἐνεγκὼν Ἀριστοφάνης καθίησι τὸ τῶν Ἱππέων δρᾶμα δι' αὐτοῦ, ἐπεὶ τῶν σκευοποιῶν οὐδεὶς ἐπλάσατο τὸ τοῦ Κλέωνος πρόσωπον διὰ φόβον. καὶ τὰ μὲν πρῶτα κύπτει φοβούμενος· εἶτα προφανεὶς αὐτὸς ἀνεδίδαξε τὸ δρᾶμα.

III. Ἔοικεν ὁ προλογίζων εἶναι Δημοσθένης, ὃς ἐκεκμήκει περὶ τὴν Πύλου πολιορκίαν, ἀφῃρέθη δὲ τὴν στρατηγίαν ὑπὸ Κλέωνος, ὑποσχομένου τότε τοῖς Ἀθηναίοις παραστήσασθαι τὴν Πύλον εἴσω εἴκοσιν ἡμερῶν· ὃ καὶ κατώρθωσε διὰ τὸ τὰ πλεῖστα τῆς ἁλώσεως προπεπονῆσθαι Δημοσθένει. ἔοικε δὲ ὡς ἐπὶ οἰκίας δεσποτικῆς ποιεῖσθαι τὸν λόγον· εἴη δ' ἂν δεσπότης ὁ Δῆμος, οἰκία ἡ πόλις. οἰκέται δὲ δύο τοῦ Δήμου προλογίζουσι, κακῶς πάσχοντες ὑπὸ Κλέωνος. ὁ δὲ χορὸς ἐκ τῶν ἱππέων ἐστὶν, οἳ καὶ ἐζημίωσαν τὸν Κλέωνα πέντε ταλάντοις ἐπὶ δωροδοκίᾳ ἁλόντα. λέγουσι δὲ τῶν οἰκετῶν τὸν μὲν εἶναι Δημοσθένην, τὸν δὲ Νικίαν, ἵνα ὦσι δημηγόροι οἱ δύο.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ Στρατοκλέους ἄρχοντος δημοσίᾳ εἰς Λήναια, δι' αὐτοῦ τοῦ Ἀριστοφάνους. πρῶτος ἐνίκα· δεύτερος Κρατῖνος Σατύροις· τρίτος Ἀριστομένης Ὑλοφόροις.

Ἰστέον ὅτι εἰς τέτταρα μέρη διῄρητο ὁ δῆμος τῶν Ἀθηναίων, εἰς πεντακοσιομεδίμνους, εἰς ἱππέας, εἰς ζευγίτας καὶ εἰς θῆτας.

---

ΔΗΜΟΣΘΕΝΗΣ.

Ἰατταταιὰξ τῶν κακῶν, ἰατταταῖ.
κακῶς Παφλαγόνα τὸν νεώνητον κακὸν
αὐταῖσι βουλαῖς ἀπολέσειαν οἱ θεοί.
ἐξ οὗ γὰρ εἰσήρρησεν ἐς τὴν οἰκίαν,
πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.

ΝΙΚΙΑΣ.

κάκιστα δῆθ' οὗτός γε πρῶτος Παφλαγόνων
αὐταῖς διαβολαῖς. ΔΗ. ὦ κακόδαιμον, πῶς ἔχεις;
ΝΙ. κακῶς καθάπερ σύ. ΔΗ. δεῦρο δὴ πρόσελθ', ἵνα
ξυναυλίαν κλαύσωμεν Οὐλύμπου νόμον.
ΔΗ. καὶ ΝΙ. μυμῦ μυμῦ μυμῦ μυμῦ μυμῦ μυμῦ.
ΔΗ. τί κινυρόμεθ' ἄλλως; οὐκ ἐχρῆν ζητεῖν τινα
σωτηρίαν νῷν, ἀλλὰ μὴ κλάειν ἔτι;
ΝΙ. τίς οὖν γένοιτ' ἄν; ΔΗ. λέγε σύ. ΝΙ. σὺ μὲν οὖν [μοι λέγε,
ἵνα μὴ μάχωμαι. ΔΗ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
ΝΙ. πῶς ἂν σύ μοι λέξειας ἁμὲ χρὴ λέγειν;
ΔΗ. ἀλλ' εἰπὲ θαρρῶν, εἶτα κἀγώ σοι φράσω.
ΝΙ. ἀλλ' οὐκ ἔνι μοι τὸ θρέττε. πῶς ἂν οὖν ποτε
εἴποιμ' ἂν αὐτὸ δῆτα κομψευριπικῶς;
ΔΗ. μή μοί γε, μή μοι, μὴ διασκανδικίσῃς·
ἀλλ' εὑρέ τιν' ἀπόκινον ἀπὸ τοῦ δεσπότου.
ΝΙ. λέγε δὴ μόλωμεν ξυνεχὲς ὡδὶ ξυλλαβών.
ΔΗ. καὶ δὴ λέγω· μόλωμεν. ΝΙ. ἐξόπισθε νῦν [λῶς.
αὐτὸ φαθὶ τοῦ μόλωμεν. ΔΗ. αὐτό. ΝΙ. πάνυ καὥσπερ δεφόμενος νῦν ἀτρέμα πρῶτον λέγε
τὸ μόλωμεν, εἶτα δ' αὐτό, κατεπάγων πυκνόν.
ΔΗ. μόλωμεν αὐτὸ μόλωμεν αὐτομολῶμεν. ΝΙ. ἦν,
οὐχ ἡδύ; ΔΗ. νὴ Δί· πλήν γε περὶ τῷ δέρματι
δέδοικα τουτονὶ τὸν οἰωνόν. ΝΙ. τί δαί;
ΔΗ. ὁτιὴ τὸ δέρμα δεφομένων ἀπέρχεται.
ΝΙ. κράτιστα τοίνυν τῶν παρόντων ἐστὶ νῷν
θεῶν ἰόντε προσπεσεῖν του πρὸς βρέτας.
ΔΗ. ποῖον βρέτας πρός; ἐτεὸν ἡγεῖ γὰρ θεούς;
ΝΙ. ἔγωγε. ΔΗ. ποίῳ χρώμενος τεκμηρίῳ;
ΝΙ. ὁτιὴ θεοῖσιν ἐχθρός εἰμ'. οὐκ εἰκότως;
ΔΗ. εὖ προσβιβάζεις μ'. ἀλλ ἑτέρᾳ πῃ σκεπτέον.
βούλει τὸ πρᾶγμα τοῖς θεαταῖσιν φράσω;
ΝΙ. οὐ χεῖρον· ἓν δ' αὐτοὺς παραιτησώμεθα,
ἐπίδηλον ἡμῖν τοῖς προσώποισιν ποιεῖν,
ἢν τοῖς ἔπεσι χαίρωσι καὶ τοῖς πράγμασιν.
ΔΗ. λέγοιμ' ἂν ἤδη. νῷν γάρ ἐστι δεσπότης
ἄγροικος ὀργήν, κυαμοτρὼξ, ἀκράχολος,
Δῆμος πυκνίτης, δύσκολον γερόντιον

---

4. εἰσήρρησεν] Schol. ἐν ἐνίοις ἀντιγράφοις εἰσέφρησε γράφεται. Huc fortasse referenda, ut Albertus coniecit, Hesychii gl. Εἰσέφρηκεν (εἰσέφρικεν codex): εἰσεπήδησεν. De utraque forma v. Nauckius in *Mélanges Gréco-Romains* vol. 2. a. 1863. p. 538. 7. αὐταῖς] αὐταῖσι libri plures (ex v. 3.): sed αὐταῖς schol. Homeri Il. 3, 2. 9. νόμον] νόμῳ Suidas s. v. ξυναυλίαν et Eustathius p. 1175, 63. 10. Hunc versum libri alii Niciae alii Demostheni tribuunt, recte ambobus tribuit scholiasta. μυμῦ] In libris sexies μὺ μῦ. 13. λέγε σύ Niciae continuatur in libris. Correxit Bergkius. 13. 14. ΝΙ. σὺ — ΔΗ μὰ — Bergkius] ΔΗ. σὺ — ΝΙ. μὰ —. Versus 15. 16. in libris inverso ordine leguntur, priore Niciae, altero Demostheni tributo. Transposuit H. Sauppius.

23. φαθὶ] φάθι, contra grammaticorum veterum praeceptum, de quo dixi in Annot. Oxon. p. 294. 27. νὴ Δί D.] νὴ Δία. Vid. ad v. 319. 29. δεφομένων Bentleius] τῶν δεφομένων 32. πρός addidit D. ἡγεῖ γάρ] ἡγῇ σὺ R. 35. ἀλλ' ἑτέρᾳ πῃ σκεπτέον] Niciae tribuunt libri. Correxit Hermannus.

ὑπόκωφον. οὗτος τῇ προτέρᾳ νουμηνίᾳ
ἐπρίατο δοῦλον, βυρσοδέψην Παφλαγόνα,
πανουργότατον καὶ διαβολώτατόν τινα.
οὗτος καταγνοὺς τοῦ γέροντος τοὺς τρόπους,
ὁ βυρσοπαφλαγὼν, ὑποπεσὼν τὸν δεσπότην
ᾔκαλλ', ἐθώπευ', ἐκολάκευ', ἐξηπάτα
κοσκυλματίοις ἄκροισι τοιαυτὶ λέγων
"ὦ Δῆμε, λοῦσαι πρῶτον ἐκδικάσας μίαν,
ἐνθοῦ, ῥόφησον, ἔντραγ', ἔχε τριώβολον.
βούλει παραθῶ σοι δόρπον;" εἶτ' ἀναρπάσας
ὅ τι ἄν τις ἡμῶν σκευάσῃ, τῷ δεσπότῃ
Παφλαγὼν κεχάρισται τοῦτο. καὶ πρώην γ' ἐμοῦ
μᾶζαν μεμαχότος ἐν Πύλῳ Λακωνικὴν,
πανουργότατά πως περιδραμὼν ὑφαρπάσας
αὐτὸς παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.
ἡμᾶς δ' ἀπελαύνει κοὐκ ἐᾷ τὸν δεσπότην
ἄλλον θεραπεύειν, ἀλλὰ βυρσίνην ἔχων
δειπνοῦντος ἑστὼς ἀποσοβεῖ τοὺς ῥήτορας.
ᾄδει δὲ χρησμούς· ὁ δὲ γέρων σιβυλλιᾷ.
ὁ δ' αὐτὸν ὡς ὁρᾷ μεμακκοακότα,
τέχνην πεποίηται. τοὺς γὰρ ἔνδον ἄντικρυς
ψευδῆ διαβάλλει· κᾆτα μαστιγούμεθα
ἡμεῖς· Παφλαγὼν δὲ περιθέων τοὺς οἰκέτας
αἰτεῖ, ταράττει, δωροδοκεῖ, λέγων ταδὶ
"ὁρᾶτε τὸν Ὕλαν δι' ἐμὲ μαστιγούμενον;
εἰ μή μ' ἀναπείσετ', ἀποθανεῖσθε τήμερον."
ἡμεῖς δὲ δίδομεν· εἰ δὲ μὴ, πατούμενοι
ὑπὸ τοῦ γέροντος ὀκταπλάσια χέζομεν.
νῦν οὖν ἀνύσαντε φροντίσωμεν, ὦγαθὲ,
ποίαν ὁδὸν νὼ τρεπτέον καὶ πρὸς τίνα.
ΝΙ. κράτιστ' ἐκείνην τὴν μόλωμεν, ὦγαθέ.
ΔΗ. ἀλλ' οὐχ οἷόν τε τὸν Παφλαγόν' οὐδὲν λαθεῖν·
ἐφορᾷ γὰρ αὐτὸς πάντ'. ἔχει γὰρ τὸ σκέλος
τὸ μὲν ἐν Πύλῳ, τὸ δ' ἕτερον ἐν τἠκκλησίᾳ.
τοσόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότος
ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χάοσιν,
τὼ χεῖρ' ἐν Αἰτωλοῖς, ὁ νοῦς δ' ἐν Κλωπιδῶν.
ΝΙ. κράτιστον οὖν νῷν ἀποθανεῖν. ΔΗ. ἀλλὰ σκόπει
ὅπως ἂν ἀποθάνοιμεν ἀνδρικώτατα.
ΝΙ. πῶς δῆτα πῶς γένοιτ' ἂν ἀνδρικώτατα;
βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν·
ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος.
ΔΗ. μὰ Δί' ἀλλ' ἄκρατον οἶνον ἀγαθοῦ δαίμονος·
ἴσως γὰρ ἂν χρηστόν τι βουλευσαίμεθα.
ΝΙ. ἰδού γ' ἄκρατον. περὶ ποτοῦ γοῦν ἐστί σοι;
πῶς δ' ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀνήρ;
ΔΗ. ἄληθες, οὗτος; κρουνοχυτρολήραιος εἶ.
οἶνον σὺ τολμᾷς εἰς ἐπίνοιαν λοιδορεῖν;
οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον;
ὁρᾷς; ὅταν πίνωσιν ἄνθρωποι, τότε
πλουτοῦσι, διαπράττουσι, νικῶσιν δίκας,
εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.
ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χόα,
τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν.
ΝΙ. οἴμοι, τί ποθ' ἡμᾶς ἐργάσει τῷ σῷ ποτῷ;
ΔΗ. ἀγάθ'· ἀλλ' ἔνεγκ'· ἐγὼ δὲ κατακλινήσομαι.
ἢν γὰρ μεθυσθῶ, πάντα ταυτὶ καταπάσω
βουλευματίων καὶ γνωμιδίων καὶ νοιδίων.
ΝΙ. ὡς εὐτυχῶς ὅτι οὐκ ἐλήφθην ἔνδοθεν
κλέπτων τὸν οἶνον. ΔΗ. εἰπέ μοι, Παφλαγὼν τί δρᾷ;
ΝΙ. ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος
ῥέγκει μεθύων ἐν ταῖσι βύρσαις ὕπτιος.
ΔΗ. ἴθι νυν, ἄκρατον ἐγκάναξόν μοι πολὺν
σπονδήν. ΝΙ. λαβὲ δὴ καὶ σπεῖσον ἀγαθοῦ δαίμονος·
ἕλχ' ἕλκε τὴν τοῦ δαίμονος τοῦ Πραμνίου.
ΔΗ. ὦ δαῖμον ἀγαθέ, σὸν τὸ βούλευμ', οὐκ ἐμόν.
ΝΙ. εἴπ', ἀντιβολῶ, τί ἐστι; ΔΗ. τοὺς χρησμοὺς ταχὺ
κλέψας ἔνεγκε τοῦ Παφλαγόνος ἔνδοθεν,
ἕως καθεύδει. ΝΙ. ταῦτ'. ἀτὰρ τοῦ δαίμονος
δέδοιχ' ὅπως μὴ τεύξομαι κακοδαίμονος.
ΔΗ. φέρε νυν ἐγὼ 'μαυτῷ προσαγάγω τὸν χόα.
[τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν.]
ΝΙ. ὡς μεγάλ' ὁ Παφλαγὼν πέρδεται καὶ ῥέγκεται,
ὥστ' ἔλαθον αὐτὸν τὸν ἱερὸν χρησμὸν λαβὼν,
ὅνπερ μάλιστ' ἐφύλαττεν. ΔΗ. ὦ σοφώτατε,
φέρ' αὐτὸν, ἵν' ἀναγνῶ· σὺ δ' ἔγχεον πιεῖν
ἀνύσας τι. φέρ' ἴδω τί ἄρ' ἔνεστιν αὐτόθι.
ὦ λόγια. δός μοι δὸς τὸ ποτήριον ταχύ.
ΝΙ. ἰδού· τί φησ' ὁ χρησμός; ΔΗ. ἑτέραν ἔγχεον.
ΝΙ. ἐν τοῖς λογίοις ἔνεστιν ἑτέραν ἔγχεον;
ΔΗ. ὦ Βάκι. ΝΙ. τί ἔστι; ΔΗ. δὸς τὸ ποτήριον ταχύ.
ΝΙ. πολλῷ γ' ὁ Βάκις ἐχρῆτο τῷ ποτηρίῳ.
ΔΗ. ὦ μιαρὲ Παφλαγὼν, ταῦτ' ἄρ' ἐφυλάττου πάλαι,
τὸν περὶ σεαυτοῦ χρησμὸν ὀρρωδῶν; ΝΙ. τιή;
ΔΗ. ἐνταῦθ' ἔνεστιν αὐτὸς ὡς ἀπόλλυται.
ΝΙ. καὶ πῶς; ΔΗ. ὅπως; ὁ χρησμὸς ἄντικρυς λέγει
ὡς πρῶτα μὲν στυππειοπώλης γίγνεται,
ὃς πρῶτος ἕξει τῆς πόλεως τὰ πράγματα.
ΝΙ. εἷς οὑτοσὶ πώλης. τί τοὐντεῦθεν; λέγε.
ΔΗ. μετὰ τοῦτον αὖθις προβατοπώλης δεύτερος.
ΝΙ. δύο τώδε πώλα. καὶ τί τόνδε χρὴ παθεῖν;
ΔΗ. κρατεῖν, ἕως ἕτερος ἀνὴρ βδελυρώτερος
αὐτοῦ γένοιτο· μετὰ δὲ ταῦτ' ἀπόλλυται.
ἐπιγίγνεται γὰρ βυρσοπώλης ὁ Παφλαγὼν,
ἅρπαξ, κεκράκτης, Κυκλοβόρου φωνὴν ἔχων.
ΝΙ. τὸν προβατοπώλην ἦν ἄρ' ἀπολέσθαι χρεὼν
ὑπὸ βυρσοπώλου; ΔΗ. νὴ Δί'. ΝΙ. οἴμοι δείλαιος.
πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης εἷς μόνος;
ΔΗ. ἔτ' ἐστὶν εἷς, ὑπερφυᾶ τέχνην ἔχων.
ΝΙ. εἴπ', ἀντιβολῶ, τίς ἐστίν; ΔΗ. εἴπω; ΝΙ. νὴ Δία.
ΔΗ. ἀλλαντοπώλης ἔσθ' ὁ τοῦτον ἐξελῶν.
ΝΙ. ἀλλαντοπώλης; ὦ Πόσειδον τῆς τέχνης.
φέρε ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν;
ΔΗ. ζητῶμεν αὐτόν. ΝΙ. ἀλλ' ὁδὶ προσέρχεται
ὥσπερ κατὰ θεῖον εἰς ἀγοράν. ΔΗ. ὦ μακάριε
ἀλλαντοπῶλα, δεῦρο δεῦρ', ὦ φίλτατε,
ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί ἔστι; τί με καλεῖτε; ΔΗ. δεῦρ' ἔλθ', ἵνα πύθῃ
ὡς εὐτυχὴς εἶ καὶ μεγάλως εὐδαιμονεῖς.
ΝΙ. ἴθι δὴ, κάθελ' αὐτοῦ τοὐλεὸν καὶ τοῦ θεοῦ
τὸν χρησμὸν ἀναδίδαξον αὐτὸν ὡς ἔχει·
ἐγὼ δ' ἰὼν προσκέψομαι τὸν Παφλαγόνα.
ΔΗ. ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί·
ἔπειτα τὴν γῆν πρόσκυσον καὶ τοὺς θεούς.

---

51. ἐνθοῦ D.] ἔνθου 55. μᾶζαν D.] μάζαν 61. ὁ δὲ R et Suidas s.v. σιβυλλιᾷ] εἶθ' ὁ ceteri. 62. μεμακκοακότα] μεμακκοηκότα R. 66. ταδὶ Brunckius] τάδε 80. ΔΗ. addidit Sauppius. 81. ἀποθάνοιμεν] ἀποθάνωμεν RV aliique. 82. Demostheni, 83. 84. Niciae tribuunt libri. Correxit Sauppius. 84. αἱρετώτερος] αἱρετώτατος Suidae codex Oxon. s. v. νῷιν. 87. ποτοῦ] πότου Kockius et πότῳ v. 97. γοῦν] οὖν R. γὰρ corr. V. (ον) 89. κρουνοχυτρολήραιος codex Flor. Γ: κρουνοχυτρολήραιον ceteri cum Suida s. h. v. et schol. Demosth. vol. 8. p. 133, 23. 90. ἐπίνοιαν] ἀπόνοιαν Sylburg. ad Etym. M. p. 618, 23. 95. 113. 355. χόα R. χοᾶ ceteri.

107. Demostheni tribuit Hermannus. 114. ex v. 96. repetitum delevit Wielandus. 121. φησ' Bentleius] φησιν 139. δείλαιος] δείλαος R. 147. θεῖον] θεὸν Cobetus.

ΑΛ. ἰδού· τί ἔστιν; ΔΗ. ὦ μακάρι', ὦ πλούσιε,
ὦ νῦν μὲν οὐδείς, αὔριον δ' ὑπέρμεγας·
ὦ τῶν Ἀθηνῶν ταγὲ τῶν εὐδαιμόνων.
ΑΛ. τί μ', ὦγάθ', οὐ πλύνειν ἐᾷς τὰς κοιλίας
πωλεῖν τε τοὺς ἀλλᾶντας, ἀλλὰ καταγελᾷς;
ΔΗ. ὦ μῶρε, ποίας κοιλίας; δευρὶ βλέπε.
τὰς στίχας ὁρᾷς τὰς τῶνδε τῶν λαῶν; ΑΛ. ὁρῶ.
ΔΗ. τούτων ἁπάντων αὐτὸς ἀρχέλας ἔσει,
καὶ τῆς ἀγορᾶς καὶ τῶν λιμένων καὶ τῆς πυκνός·
βουλὴν πατήσεις καὶ στρατηγοὺς κλαστάσεις,
δήσεις, φυλάξεις, ἐν πρυτανείῳ λαικάσει.
ΑΛ. ἐγώ; ΔΗ. σὺ μέντοι· κοὐδέπω γε πάνθ' ὁρᾷς.
ἀλλ' ἐπανάβηθι κἀπὶ τοὐλεὸν τοδὶ
καὶ κάτιδε τὰς νήσους ἁπάσας ἐν κύκλῳ.
ΑΛ. καθορῶ. ΔΗ. τί δαί; τἀμπόρια καὶ τὰς ὁλκάδας;
ΑΛ. ἔγωγε. ΔΗ. πῶς οὖν οὐ μεγάλως εὐδαιμονεῖς;
ἔτι νῦν τὸν ὀφθαλμὸν παράβαλλ' ἐς Καρίαν
τὸν δεξιόν, τὸν δ' ἕτερον ἐς Καλχηδόνα.
ΑΛ. εὐδαιμονήσω δ', εἰ διαστραφήσομαι;
ΔΗ. οὔκ, ἀλλὰ διὰ σοῦ ταῦτα πάντα πέρναται.
γίγνει γάρ, ὡς ὁ χρησμὸς οὑτοσὶ λέγει,
ἀνὴρ μέγιστος. ΑΛ. εἰπέ μοι, καὶ πῶς ἐγὼ
ἀλλαντοπώλης ὢν ἀνὴρ γενήσομαι;
ΔΗ. δι' αὐτὸ γάρ τοι τοῦτο καὶ γίγνει μέγας,
ὁτιὴ πονηρὸς κἀξ ἀγορᾶς εἶ καὶ θρασύς.
ΑΛ. οὐκ ἀξιῶ 'γὼ 'μαυτὸν ἰσχύειν μέγα.
ΔΗ. οἴμοι, τί ποτ' ἔσθ' ὅτι σαυτὸν οὐ φῂς ἄξιον;
ξυνειδέναι τί μοι δοκεῖς σαυτῷ καλόν.
μῶν ἐκ καλῶν εἶ κἀγαθῶν; ΑΛ. μὰ τοὺς θεούς,
εἰ μὴ 'κ πονηρῶν γ'. ΔΗ. ὦ μακάριε τῆς τύχης,
ὅσον πέπονθας ἀγαθὸν ἐς τὰ πράγματα.
ΑΛ. ἀλλ', ὦγάθ', οὐδὲ μουσικὴν ἐπίσταμαι,
πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς.
ΔΗ. τουτὶ μόνον σ' ἔβλαψεν, ὅτι καὶ κακὰ κακῶς.
ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ
ἔτ' ἐστὶν ἀνδρὸς οὐδὲ χρηστοῦ τοὺς τρόπους,
ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν. ἀλλὰ μὴ παρῇς
ἅ σοι διδόασ' ἐν τοῖς λογίοισιν οἱ θεοί.
ΑΛ. πῶς δῆτά φησ' ὁ χρησμός; ΔΗ. εὖ νὴ τοὺς θεοὺς
καὶ ποικίλως πως καὶ σοφῶς ᾐνιγμένος.
Ἀλλ' ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχήλης
γαμφηλῇσι δράκοντα κοάλεμον αἱματοπώτην,
δὴ τότε Παφλαγόνων μὲν ἀπόλλυται ἡ σκοροδάλμη,
κοιλιοπώλῃσιν δὲ θεὸς μέγα κῦδος ὀπάζει,
αἴ κα μὴ πωλεῖν ἀλλᾶντας μᾶλλον ἕλωνται.
ΑΛ. πῶς οὖν πρὸς ἐμὲ ταῦτ' ἐστίν; ἀναδίδασκέ με.
ΔΗ. βυρσαίετος μὲν ὁ Παφλαγών ἐσθ' οὑτοσί.
ΑΛ. τί δ' ἀγκυλοχήλης ἐστίν; ΔΗ. αὐτό που λέγει,
ὅτι ἀγκύλαις ταῖς χερσὶν ἁρπάζων φέρει.
ΑΛ. ὁ δράκων δὲ πρὸς τί; ΔΗ. τοῦτο περιφανέστατον.
ὁ δράκων γάρ ἐστι μακρὸν ὅ τ' ἀλλᾶς αὖ μακρόν·
εἶθ' αἱματοπώτης ἔσθ' ὅ τ' ἀλλᾶς χὠ δράκων.
τὸν οὖν δράκοντά φησι τὸν βυρσαίετον
ἤδη κρατήσειν, αἴ κε μὴ θαλφθῇ λόγοις.
ΑΛ. τὰ μὲν λόγι' αἰκάλλει με· θαυμάζω δ' ὅπως
τὸν δῆμον οἷός τ' ἐπιτροπεύειν εἴμ' ἐγώ.
ΔΗ. φαυλότατον ἔργον· ταῦθ' ἅπερ ποιεῖς ποίει·
τάραττε καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα
ἅπαντα, καὶ τὸν δῆμον ἀεὶ προσποιοῦ
ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς.
τὰ δ' ἄλλα σοι πρόσεστι δημαγωγικά,
φωνὴ μιαρά, γέγονας κακῶς, ἀγόραιος εἶ·
ἔχεις ἅπαντα πρὸς πολιτείαν ἃ δεῖ·
χρησμοί τε συμβαίνουσι καὶ τὸ Πυθικόν.
ἀλλὰ στεφανοῦ καὶ σπένδε τῷ Κοαλέμῳ·
χὤπως ἀμυνεῖ τὸν ἄνδρα. ΑΛ. καὶ τίς ξύμμαχος
γενήσεταί μοι; καὶ γὰρ οἵ τε πλούσιοι
δεδίασιν αὐτὸν ὅ τε πένης βδύλλει λεώς.
ΔΗ. ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι
μισοῦντες αὐτόν, οἳ βοηθήσουσί σοι,
καὶ τῶν πολιτῶν οἱ καλοί τε κἀγαθοί,
καὶ τῶν θεατῶν ὅστις ἐστὶ δεξιός,
κἀγὼ μετ' αὐτῶν χὠ θεὸς ξυλλήψεται.
καὶ μὴ δέδιθ'· οὐ γάρ ἐστιν ἐξῃκασμένος.
ὑπὸ τοῦ δέους γὰρ αὐτὸν οὐδεὶς ἤθελε
τῶν σκευοποιῶν εἰκάσαι. πάντως γε μὴν
γνωσθήσεται· τὸ γὰρ θέατρον δεξιόν.
ΑΛ. οἴμοι κακοδαίμων, ὁ Παφλαγὼν ἐξέρχεται.

ΚΛΕΩΝ.

οὔ τοι μὰ τοὺς δώδεκα θεοὺς χαιρήσετον,
ὁτιὴ 'πὶ τῷ δήμῳ ξυνόμνυτον πάλαι.
τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον;
οὐκ ἔσθ' ὅπως οὐ Χαλκιδέας ἀφίστατον.
ἀπολεῖσθον, ἀποθανεῖσθον, ὦ μιαρωτάτω.
ΔΗ. οὗτος, τί φεύγεις; οὐ μενεῖς; ὦ γεννάδα
ἀλλαντοπῶλα, μὴ προδῷς τὰ πράγματα.
ἄνδρες ἱππῆς, παραγένεσθε· νῦν ὁ καιρός. ὦ Σίμων,
ὦ Παναίτι', οὐκ ἐλᾶτε πρὸς τὸ δεξιὸν κέρας;
ἄνδρες ἐγγύς· ἀλλ' ἀμύνου, κἀπαναστρέφου πάλιν.
ὁ κονιορτὸς δῆλος αὐτῶν ὡς ὁμοῦ προσκειμένων.
ἀλλ' ἀμύνου καὶ δίωκε καὶ τροπὴν αὐτοῦ ποιοῦ.

ΧΟΡΟΣ.

παῖε παῖε τὸν πανοῦργον καὶ ταραξιππόστρατον
καὶ τελώνην καὶ φάραγγα καὶ Χάρυβδιν ἁρπαγῆς,
καὶ πανοῦργον καὶ πανοῦργον· πολλάκις γὰρ αὔτ' ἐρῶ. [ρας.
καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέ-
ἀλλὰ παῖε καὶ δίωκε καὶ τάραττε καὶ κύκα
καὶ βδελύττου, καὶ γὰρ ἡμεῖς, κἀπικείμενος βόα·
εὐλαβοῦ δὲ μὴ 'κφύγῃ σε· καὶ γὰρ οἶδε τὰς ὁδούς,
ἅσπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων.
ΚΛ. ὦ γέροντες ἡλιασταί, φράτερες τριωβόλου,
οὓς ἐγὼ βόσκω κεκραγὼς καὶ δίκαια κἄδικα,
παραβοηθεῖτ', ὡς ὑπ' ἀνδρῶν τύπτομαι ξυνωμοτῶν.
ΧΟ. ἐν δίκῃ γ', ἐπεὶ τὰ κοινὰ πρὶν λαχεῖν κατεσθίεις,
κἀποσυκάζεις πιέζων τοὺς ὑπευθύνους σκοπῶν
ὅστις αὐτῶν ὠμός ἐστιν ἢ πέπων ἢ μὴ πέπων,
κἄν τιν' αὐτῶν γνῷς ἀπράγμον' ὄντα καὶ κεχηνότα,
καταγαγὼν ἐκ Χερρονήσου διαλαβὼν ἠγκύρισας,
εἶτ' ἀποστρέψας τὸν ὦμον αὐτὸν ἐνεκολήβασας·
καὶ σκοπεῖς γε τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν,
πλούσιος καὶ μὴ πονηρὸς καὶ τρέμων τὰ πράγματα.
ΚΛ. ξυνεπίκεισθ' ὑμεῖς; ἐγὼ δ', ὦνδρες, δι' ὑμᾶς τύ-
πτομαι,
ὅτι λέγειν γνώμην ἔμελλον ὡς δίκαιον ἐν πόλει

159. Ἀθηνῶν Dawesius] ἀθηναίων 174. Χαλκηδόνα (debebat Καλχηδόνα secundum Holsten. ad Steph. Byz. p. 125.) Scaliger] καρχηδόνα 195. πῶς δῆτά φησ' — ᾐνιγμένος] πῶς δή; τί φησ' — ᾐνιγμένα Meinekius. 197. 204. ἀγκυλοχήλης ex schol.] ἀγκυλοχείλης 201. αἴκα R et Etym. M. p. 732, 30. αἴκεν vel αἴκε ceteri. 207. ὅ τ' ἀλλᾶς Bentleius] ἀλλᾶς τ' 209. τὸν βυρσαίετον] τοῦ βυρσαιέτου Bentleius. 210. αἴ κε] αἴ κα Etym. M.

218. ἀγόραιος R. ἀγοραῖος ceteri. 234. ΑΛ. C. F. Hermannus] ΝΙ. 240. 241. Schol. ἔν τισιν οἱ δύο στίχοι οὐκ ἔγκεινται. 242. Schol. τινὲς δέ φασι τὸ μὲν "ἄνδρες ἱππεῖς" τὸν ἀλλαντοπώλην λέγειν, ἄλλοι δὲ τὸ "ἄνδρες ἐγγύς" τὸν θεράποντα. Sic R. 255. φράτερες D.] φράτορες 261. κἄν D.] κἤν ἀπράγμον' ὄντα] ἀπράγμονα R, omisso ὄντα. 262. διαλαβὼν Casaubonus] διαβαλὼν ἠγκύρισας Brunckius] ἀγκυρίσας 266. ὦνδρες] ἄνδρες R

ἱστάναι μνημεῖον ὑμῶν ἐστιν ἀνδρείας χάριν.
ΧΟ. ὡς δ' ἀλαζών, ὡς δὲ μάσθλης· εἶδες οἷ' ὑπέρχεται
ὡσπερεὶ γέροντας ἡμᾶς κἀκκοβαλικεύεται;
ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ, ταυτῃὶ πεπλήξεται·
ἢν δ' ὑπεκκλίνῃ γε δευρί, τὸ σκέλος κυρηβάσει.
ΚΛ. ὦ πόλις καὶ δῆμ', ὑφ' οἵων θηρίων γαστρίζομαι.
ΧΟ. καὶ κέκραγας, ὥσπερ ἀεὶ τὴν πόλιν καταστρέφει;
ΚΛ. ἀλλ' ἐγώ σε τῇ βοῇ ταύτῃ γε πρῶτα τρέψομαι.
ΧΟ. ἀλλ' ἐὰν μὲν τόνδε νικᾷς τῇ βοῇ, τήνελλος εἶ·
ἢν δ' ἀναιδείᾳ παρέλθῃ σ', ἡμέτερος ὁ πυραμοῦς.
ΚΛ. τουτονὶ τὸν ἄνδρ' ἐγὼ 'νδείκνυμι, καὶ φήμ' ἐξάγειν
ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα.
ΑΛ. ναὶ μὰ Δία κἄγωγε τοῦτον, ὅτι κενῇ τῇ κοιλίᾳ
ἐσδραμὼν ἐς τὸ πρυτανεῖον, εἶτα πάλιν ἐκθεῖ πλέᾳ.
ΔΗ. νὴ Δί', ἐξάγων γε τἀπόρρηθ', ἅμ' ἄρτον καὶ κρέας
καὶ τέμαχος, οὗ Περικλέης οὐκ ἠξιώθη πώποτε.
ΚΛ. ἀποθανεῖσθον αὐτίκα μάλα.
ΑΛ. τριπλάσιον κεκράξομαί σου.
ΚΛ. καταβοήσομαι βοῶν σε.
ΑΛ. κατακεκράξομαί σε κράζων.
ΚΛ. διαβαλῶ σ', ἐὰν στρατηγῇς.
ΑΛ. κυνοκοπήσω σου τὸ νῶτον.
ΚΛ. περιελῶ σ' ἀλαζονείαις.
ΑΛ. ὑποτεμοῦμαι τὰς ὁδούς σου.
ΚΛ. βλέψον ἔς μ' ἀσκαρδάμυκτος.
ΑΛ. ἐν ἀγορᾷ κἀγὼ τέθραμμαι.
ΚΛ. διαφορήσω σ', εἴ τι γρύξει.
ΑΛ. κοπροφορήσω σ', εἰ λαλήσεις.
ΚΛ. ὁμολογῶ κλέπτειν· σὺ δ' οὐχί.
ΑΛ. νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον,
κἀπιορκῶ γε βλεπόντων.
ΚΛ. ἀλλότρια τοίνυν σοφίζει,
καί σε φαίνω τοῖς πρυτάνεσιν
ἀδεκατεύτους τῶν θεῶν ἱ-
ρὰς ἔχοντα κοιλίας. [θράσους
ΧΟ. ὦ μιαρὲ καὶ βδελυρὲ καὶ κατακεκρᾶκτα, τοῦ σοῦ
πᾶσα μὲν γῆ πλέα, πᾶσα δ' ἐκκλησία, καὶ τέλη
καὶ γραφαὶ καὶ δικαστήρι', ὦ βορβοροτάραξι καὶ
τὴν πόλιν ἅπασαν ἡμῶν ἀνατετυρβακώς,
ὅστις ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφηκας βοῶν,
κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺς φόρους θυννοσκο-
πῶν.
ΚΛ. οἶδ' ἐγὼ τὸ πρᾶγμα τοῦθ' ὅθεν πάλαι καττύεται.
ΑΛ. εἰ δὲ μὴ σύ γ' οἶσθα κάττυμ', οὐδ' ἐγὼ χορδεύματα,
ὅστις ὑποτέμνων ἐπώλεις δέρμα μοχθηροῦ βοὸς
τοῖς ἀγροίκοισιν πανούργως, ὥστε φαίνεσθαι παχύ,
καὶ πρὶν ἡμέραν φορῆσαι, μεῖζον ἦν δυοῖν δοχμαῖν.

303—313. = 382—396.

ΧΟ. νὴ Δὶ κἀμὲ τοῦτ' ἔδρασε ταυτόν, ὥστε καὶ γέλων
πάμπολυν τοῖς δημόταισι καὶ φίλοις παρασχεθεῖν.
πρὶν γὰρ εἶναι Περγασῆσιν, ἔνεον ἐν ταῖς ἐμβάσιν.
ἆρα δῆτ' οὐκ ἀπ' ἀρχῆς ἐδήλους ἀναί-
δειαν, ἥπερ μόνη προστατεῖ ῥητόρων;
ᾗ σὺ πιστεύων ἀμέργει τῶν ξένων τοὺς καρπί-
μους,
πρῶτος ὤν· ὁ δ' Ἱπποδάμου λείβεται θεώμενος.
ἀλλ' ἐφάνη γὰρ ἀνὴρ ἕτερος πολὺ
σοῦ μιαρώτερος, ὥστε με χαίρειν,
ὅς σε παύσει καὶ πάρεισι, δῆλός ἐστιν αὐτόθεν,
πανουργίᾳ τε καὶ θράσει
καὶ κοβαλικεύμασιν.
ἀλλ' ὦ τραφεὶς ὅθενπέρ εἰσιν ἄνδρες οἵπερ εἰσί,
νῦν δεῖξον ὡς οὐδὲν λέγει τὸ σωφρόνως τραφῆναι.
ΑΛ. καὶ μὴν ἀκούσαθ' οἷός ἐστιν οὑτοσὶ πολίτης.
ΚΛ. οὐκ αὖ μ' ἐάσεις; ΑΛ. μὰ Δί', ἐπεὶ κἀγὼ πονηρός
εἰμι.
ΧΟ. ἐὰν δὲ μὴ ταύτῃ γ' ὑπείκῃ, λέγ' ὅτι κἀκ πονηρῶν.
ΚΛ. οὐκ αὖ μ' ἐάσεις; ΑΛ. μὰ Δία. ΚΛ. ναὶ μὰ Δία.
ΑΛ. μὰ τὸν Ποσειδῶ.
ΚΛ. οἴμοι, διαρραγήσομαι. ΑΛ. καὶ μὴν σ' ἐγὼ οὐ πα-
ρήσω.
ΧΟ. πάρες πάρες πρὸς τῶν θεῶν αὐτῷ διαρραγῆναι.
ΚΛ. τῷ καὶ πεποιθὼς ἀξιοῖς ἐμοῦ λέγειν ἔναντα;
ΑΛ. ὁτιὴ λέγειν οἷός τε κἀγὼ καὶ καρυκοποιεῖν.
ΚΛ. ἰδοὺ λέγειν. καλῶς γ' ἂν οὖν τι πρᾶγμα προσπε-
σόν σοι
ὠμοσπάρακτον παραλαβὼν μεταχειρίσαιο χρηστῶς.
ἀλλ' οἶσθ' ὅ μοι πεπονθέναι δοκεῖς; ὅπερ τὸ πλῆθος.
εἴ που δικίδιον εἶπας εὖ κατὰ ξένου μετοίκου,
τὴν νύκτα θρυλῶν καὶ λαλῶν ἐν ταῖς ὁδοῖς σεαυτῷ,
ὕδωρ τε πίνων κἀπιδεικνὺς τοὺς φίλους τ' ἀνιῶν,
ᾤου δυνατὸς εἶναι λέγειν. ὦ μῶρε τῆς ἀνοίας.
ΑΛ. τί δαὶ σὺ πίνων τὴν πόλιν πεποίηκας, ὥστε νυνὶ
ὑπὸ σοῦ μονωτάτου κατεγλωττισμένην σιωπᾶν;
ΚΛ. ἐμοὶ γὰρ ἀντέθηκας ἀνθρώπων τίν'; ὅστις εὐθὺς
θύννεια θερμὰ καταφαγών, κᾆτ' ἐπιπιὼν ἀκράτου
οἴνου χόα κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς.
ΑΛ. ἐγὼ δέ γ' ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν
καταβροχθίσας, κᾆτ' ἐπιπιὼν τὸν ζωμὸν ἀναπόνι-
πτος
λαρυγγιῶ τοὺς ῥήτορας καὶ Νικίαν ταράξω. [με
ΧΟ. τὰ μὲν ἄλλα μ' ἤρεσας λέγων· ἓν δ' οὐ προσίεταί
τῶν πραγμάτων, ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήσει.
ΚΛ. ἀλλ' οὐ λάβρακας καταφαγὼν Μιλησίους κλονήσεις.
ΑΛ. ἀλλὰ σχελίδας ἐδηδοκὼς ὠνήσομαι μέταλλα.
ΚΛ. ἐγὼ δ' ἐπεσπηδῶν γε τὴν βουλὴν βίᾳ κυκήσω.

322—334. = 397—408.

339. ἀλλ' αὐτὸ περὶ τοῦ πρότερος εἰπεῖν πρῶτα δια-
μαχοῦμαι

---

268. ἱστάναι Elmsleius] ἑστάναι 270. ἡμᾶς om. R, cui non tantum tribuendum ut ὄντας substituatur cum Cobeto. κἀκκοβαλικεύεται Toupius] καὶ κοβαλικεύεται R. ἐκκοβαλικεύεται ceteri. 272. τὸ R. πρὸς ceteri. 274. Ante hunc versum chori tetrametrum unum excidisse coniecit Sauppius. 275. ΚΛ. Bergkius] ΑΛ. 276. μὲν τόνδε Porsonus] μέντοι γε τήνελλος εἶ] τήνελλ' ἔσει Porsonus. 277. παρέλθῃ σ' Bergkius] παρέλθῃς 278. 'νδείκνυμι D.] δείκνυμι. ἐνδείκνυμι legit scholiasta. 282. ἐξάγων Porsonus] ἐξαγαγών 290. ἀλαζονείαις Elmsleius] ἀλαζονείας 292. εἰς με Bentleius] εἰς ἔμ' ἀσκαρδάμυκτος] Sic etiam ap. Polluc. 2, 67. ἀσκαδαμυκτί in Bekk. Anecd. p. 452, 3. et Etym. M. et Suida s. h. v.

294. γρύξει Elmsleius] γρύξεις vel γρύζεις 300. φαίνω Burgesius] φαινῶ R, φανῶ ceteri. 301. ἱρὰς Hermannus] ἱερὰς 304. κατακεκρᾶκτα Hermannus] κεκράκτα 312. ἐκκεκώφηκας] Incertum est utrum sic an ἐκκεκώφωκας scripserit Aristophanes. 313. θυννοσκοπῶν] θυννοσκοπεῖς Kockius.

319—321. Coryphaei, non Demosthenis, cui in libris tribuuntur, esse vidit Beerius, 319. νὴ Δὶ D.] νὴ δία R. καὶ νὴ δία ceteri. De apocope νὴ Δί vel νηδί, hic et alibi ubi ab metro vel postulatur vel commendatur restituta vid. Annot. Oxon. p. 312. καὶ γέλων Elmsleius] κατάγελων παρασχεθεῖν Elmsleius] παρασχέθειν 325. ῥητόρων Bentleius] τῶν ῥητόρων

326. ἀμέργεις (debebat ἀμέργει ut Kockius) Bothius] ἀμέλγει R. ἀμέλγεις ceteri et Suidas s. v. ἀμέλγειν. 339. ἀλλ' αὐτὸ (τοῦτο addunt V aliique nonnulli) — διαμαχοῦμαι (σοι addit R)] Hunc versum in R hoc loco, in aliis post 336. lectum, eiecit D. 340. σ' ἐγὼ Bentleius] ἐγώ σ' 342. ἔναντα Bothius] ἐναντία 344. τι] σοι R. om. V. 346. ὅ μοι π.] ὅπερ π. μοι RV.

360. ῥοφήσει Elmsleius] ῥοφήσεις 361. ΚΛ. addidit Casaubonus.

ΑΛ. ἐγὼ δὲ κινήσω γέ σου τὸν πρωκτὸν ἀντὶ φύσκης.
ΚΛ. ἐγὼ δέ γ' ἐξέλξω σε τῆς πυγῆς θύραζε κύβδα.
ΧΟ. νὴ τὸν Ποσειδῶ κἀμέ τἄρ', ἤνπερ γε τοῦτον ἕλκῃς.
ΚΛ. οἷόν σε δήσω 'ν τῷ ξύλῳ.
ΑΛ. διώξομαί σε δειλίας.
ΚΛ. ἡ βύρσα σου θρανεύσεται.
ΑΛ. δερῶ σε θύλακον κλοπῆς.
ΚΛ. διαπατταλευθήσει χαμαί.
ΑΛ. περικόμματ' ἔκ σου σκευάσω.
ΚΛ. τὰς βλεφαρίδας σου παρατιλῶ.
ΑΛ. τὸν πρηγορῶνά σοὐκτεμῶ.
ΔΗ. καὶ νὴ Δί' ἐμβαλόντες αὐ-
τῷ πάτταλον μαγειρικῶς
ἐς τὸ στόμ', εἶτα δ' ἔνδοθεν
τὴν γλῶτταν ἐξείραντες αὐ-
τοῦ σκεψόμεσθ' εὖ κἀνδρικῶς
κεχηνότος
τὸν πρωκτὸν εἰ χαλαζᾷ.
ΧΟ. ἦν ἄρα πυρός γ' ἕτερα θερμότερα καὶ λόγων ἐν
πόλει [οὐ
τῶν ἀναιδῶν ἀναιδέστεροι· καὶ τὸ πρᾶγμ' ἦν ἄρ'
φαῦλον ὧδ' ⏓ ⏑ – ⏓ ⏑ –. ἀλλ' ἔπιθι καὶ στρόβει,
μηδὲν ὀλίγον ποίει. νῦν γὰρ ἔχεται μέσος·
ὡς ἐὰν νυνὶ μαλάξῃς αὐτὸν ἐν τῇ προσβολῇ,
δειλὸν εὑρήσεις· ἐγὼ γὰρ τοὺς τρόπους ἐπίσταμαι.
ΑΛ. ἀλλ' ὅμως οὗτος τοιοῦτος ὢν ἅπαντα τὸν βίον,
κᾆτ' ἀνὴρ ἔδοξεν εἶναι, τἀλλότριον ἀμῶν θέρος.
νῦν δὲ τοὺς στάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγεν,
ἐν ξύλῳ δήσας ἀφαύει κἀποδόσθαι βούλεται.
ΚΛ. οὐ δέδοιχ' ὑμᾶς, ἕως ἂν ζῇ τὸ βουλευτήριον
καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον.
ΧΟ. ὡς δὲ πρὸς πᾶν ἀναιδεύεται κοὐ μεθί-
στησι τοῦ χρώματος τοῦ παρεστηκότος.
εἴ σε μὴ μισῶ, γενοίμην ἐν Κρατίνου κῴδιον,
καὶ διδασκοίμην προσᾴδειν Μορσίμου τραγῳδίᾳ.
ὦ περὶ πάντ' ἐπὶ πᾶσί τε πράγμασι
δωροδόκοισιν ἐπ' ἄνθεσιν ἵζων,
εἴθε φαύλως, ὥσπερ ηὗρες, ἐκβάλοις τὴν ἔνθεσιν.
ᾄσαιμι γὰρ τότ' ἂν μόνον,
πῖνε πῖν' ἐπὶ συμφοραῖς·
τὸν Ἰουλίου τ' ἂν οἴομαι, γέροντα πυροπίπην,
ἡσθέντ' ἰηπαιωνίσαι καὶ Βακχέβακχον ᾆσαι.
ΚΛ. οὔ τοί μ' ὑπερβαλεῖσθ' ἀναιδείᾳ μὰ τὸν Ποσειδῶ,
ἢ μήποτ' ἀγοραίου Διὸς σπλάγχνοισι παραγενοίμην.
ΑΛ. ἔγωγε νὴ τοὺς κονδύλους, οὓς πολλὰ δὴ 'πὶ πολλοῖς
ἠνεσχόμην ἐκ παιδίου, μαχαιρίδων τε πληγάς,
ὑπερβαλεῖσθαί σ' οἴομαι τούτοισιν, ἢ μάτην γ' ἂν
ἀπομαγδαλιάς σιτούμενος τοσοῦτος ἐκτραφείην.
ΚΛ. ἀπομαγδαλιάς ὥσπερ κύων; ὦ παμπόνηρε, πῶς
οὖν
κυνὸς βορὰν σιτούμενος μαχεῖ σὺ κυνοκεφάλλῳ;
ΑΛ. καὶ νὴ Δί' ἄλλα γ' ἐστί μου κόβαλα παιδὸς ὄντος.
ἐξηπάτων γὰρ τοὺς μαγείρους ἐπιλέγων τοιαυτί
"σκέψασθε, παῖδες· οὐχ ὁρᾶθ'; ὥρα νέα, χελιδών."
οἱ δ' ἔβλεπον, κἀγὼ 'ν τοσούτῳ τῶν κρεῶν ἔκλε-
πτον.
ΧΟ. ὦ δεξιώτατον κρέας, σοφῶς γε προυνοήσω·
ὥσπερ ἀκαλήφας ἐσθίων πρὸ χελιδόνων ἔκλεπτες.
ΑΛ. καὶ ταῦτα δρῶν ἐλάνθανόν γ'· εἰ δ' οὖν ἴδοι τις
αὐτῶν,
ἀποκρυπτόμενος ἐς τὼ κοχώνα τοὺς θεοὺς ἀπώμνυν·
ὥστ' εἶπ' ἀνὴρ τῶν ῥητόρων ἰδών με τοῦτο
δρῶντα [πεύσει."
"οὐκ ἔσθ' ὅπως ὁ παῖς ὅδ' οὐ τὸν δῆμον ἐπιτρο-
ΧΟ. εὖ γε ξυνέβαλεν αὔτ'· ἀτὰρ δῆλόν γ' ἀφ' οὗ ξυνέγνω·
ὁτιὴ 'πιώρκεις θ' ἡρπακὼς καὶ κρέας ὁ πρωκτὸς
εἶχεν.
ΚΛ. ἐγώ σε παύσω τοῦ θράσους, οἶμαι δὲ μᾶλλον ἄμφω.
ἔξειμι γάρ σοι λαμπρὸς ἤδη καὶ μέγας καθιείς,
ὁμοῦ ταράττων τήν τε γῆν καὶ τὴν θάλατταν εἰκῇ.
ΑΛ. ἐγὼ δὲ συστείλας γε τοὺς ἀλλᾶντας εἶτ' ἀφήσω
κατὰ κῦμ' ἐμαυτὸν οὔριον, κλάειν σε μακρὰ κε-
λεύσας.
ΔΗ. κἄγωγ', ἐάν τι παραχαλᾷ, τὴν ἀντλίαν φυλάξω.
ΚΛ. οὔ τοι μὰ τὴν Δήμητρα καταπροίξει τάλαντα
πολλὰ [ρίει·
κλέψας Ἀθηναίων. ΧΟ. ἄθρει, καὶ τοῦ ποδὸς πα-
ὡς οὗτος ἤδη καικίας ἢ συκοφαντίας πνεῖ.
ΑΛ. σὲ δ' ἐκ Ποτειδαίας ἔχοντ' εὖ οἶδα δέκα τάλαντα.
ΚΛ. τί δῆτα; βούλει τῶν ταλάντων ἓν λαβὼν σιωπᾶν;
ΧΟ. ἁνὴρ ἂν ἡδέως λάβοι. τοὺς τερθρίους παρίει.
τὸ πνεῦμ' ἔλαττον γίγνεται.
ΚΛ. φεύξει γραφὰς ⏑ ⏓ ⏑ –
ἑκατονταλάντους τέτταρας.
ΑΛ. σὺ δ' ἀστρατείας γ' εἴκοσιν,
κλοπῆς δὲ πλεῖν ἢ χιλίας.
ΚΛ. ἐκ τῶν ἀλιτηρίων σέ φη-
μι γεγονέναι τῶν τῆς θεοῦ.
ΑΛ. τὸν πάππον εἶναί φημί σου
τῶν δορυφόρων. ΚΛ. ποίων; φράσον.
ΑΛ. τῶν Βυρσίνης τῆς Ἱππίου.
ΚΛ. κόβαλος εἶ. ΑΛ. πανοῦργος εἶ.
ΧΟ. παῖ' ἀνδρικῶς. ΚΛ. ἰοὺ ἰού,
τύπτουσί μ' οἱ ξυνωμόται.
ΧΟ. παῖ' αὐτὸν ἀνδρειότατα καὶ
γάστριζε καὶ τοῖς ἐντέροις
καὶ τοῖς κόλοις,
χὤπως κολᾷ τὸν ἄνδρα.
ὦ γεννικώτατον κρέας ψυχήν τ' ἄριστε πάντων,
καὶ τῇ πόλει σωτὴρ φανεὶς ἡμῖν τε τοῖς πολίταις,
ὡς εὖ τὸν ἄνδρα ποικίλως τ' ἐπῆλθες ἐν λόγοισιν.
πῶς ἄν σ' ἐπαινέσαιμεν οὕτως ὥσπερ ἡδόμεσθα;
ΚΛ. ταυτὶ μὰ τὴν Δήμητρά μ' οὐκ ἐλάνθανεν
τεκταινόμενα τὰ πράγματ', ἀλλ' ἠπιστάμην
γομφούμεν' αὐτὰ πάντα καὶ κολλώμενα.
ΧΟ. οἴμοι, σὺ δ' οὐδὲν ἐξ ἁμαξουργοῦ λέγεις;
ΑΛ. οὔκουν ἐν Ἄργει μ' οἷα πράττει λανθάνει.
πρόφασιν μὲν Ἀργείους φίλους ἡμῖν ποιεῖ·
ἰδίᾳ δ' ἐκεῖ Λακεδαιμονίοις ξυγγίγνεται.

---

365. δέ γ' Brunckius] δ' R. δέ τ' ceteri. ἐξέλξω Porsonus] ἐξελλέγξω R. ἐξελῶ ceteri et Suidas s. v. κύβδα. 366. κἀμέ τἄρ' Bothius] κἀμὲ γὰρ, quo servato scribendum foret τοῦτόν γ' ἐάν περ ἕλκῃς. 367. δήσω 'ν τῷ Elmsleius] δήσω τῷ 372. ἔκ σου D.] ἐκ σοῦ 374. πρηγορῶνα Bentleius] πρηγορεῶνα

388. ὀλίγον] ἔλαττον R, quod schol. quoque memorat. ποίει] ποιοῦ Bergkius. 400. ἐν] ἐν scholiasta. 401. προσᾴδειν] ὑπᾴδειν Cobetus. τραγῳδίᾳ Meinekius et Cobetus] τραγῳδίαν 404. ηὗρες D.] εὗρες 407. Ἰουλίου] Οὐλίου Bothius. Βουλίου Meinekius. πυροπίπην] πυρροπίπην nonnulli. 413. παιδίου R. παιδίων ceteri. 414. 415. ἀπομαγδαλιάς D.] ἀπὸ μαγδαλιᾶς. ἀπομαγδαλίας Suidas s. h. v. 416. κυνοκεφάλλῳ D. ex Phrynicho in Bekk. Anecd. p. 49. et Photio p. 188, 11.] κυνοκεφάλῳ

418. ἐπιλέγων] λέγων RV aliique nonnulli. 421. σοφῶς Bentleius] ὡς σοφῶς 424. 484. τὼ Meinekius] τὰ ἀπώμνυν Bentleius] ἀπώμνυον 428. θ' om. R. κρέας] τὸ κρέας R. 437. ἤδη] ἤτοι R. 438. 439. ΑΛ. — ΚΛ. Kusterus] ΚΛ. — ΑΛ. 438. Ποτειδαίας Thierschius] Ποτιδαίας 442. ⏑ ⏓ ⏑ –] σὺ δειλίας Meinekius. λιποταξίου φεύξει γραφὰς Kockius.

443. γ' om. R. 453. ἀνδρειότατα D.] ἀνδρικώτατα 465. ἐν Ἄργει μ' Porsonus] μ' ἐν Ἄργει

καὶ ταῦτ' ἐφ' οἷσίν ἐστι συμφυσώμενα
ἐγῷδ'· ἐπὶ γὰρ τοῖς δεδεμένοις χαλκεύεται.
ΧΟ. εὖ γ' εὖ γε, χάλκευ' ἀντὶ τῶν κολλωμένων.
ΑΛ. καὶ ξυγκροτοῦσιν ἄνδρες αὔτ' ἐκεῖθεν αὖ,
καὶ ταῦτά μ' οὔτ' ἀργύριον οὔτε χρυσίον
διδοὺς ἀναπείσεις οὔτε προσπέμπων φίλους,
ὅπως ἐγὼ ταῦτ' οὐκ Ἀθηναίοις φράσω.
ΚΛ. ἐγὼ μὲν οὖν αὐτίκα μάλ' ἐς βουλὴν ἰὼν
ὑμῶν ἁπάντων τὰς ξυνωμοσίας ἐρῶ,
καὶ τὰς ξυνόδους τὰς νυκτερινὰς ἐν τῇ πόλει,
καὶ πάνθ' ἃ Μήδοις καὶ βασιλεῖ ξυνόμνυτε,
καὶ τἀκ Βοιωτῶν ταῦτα συντυρούμενα.
ΑΛ. πῶς οὖν ὁ τυρὸς ἐν Βοιωτοῖς ὤνιος;
ΚΛ. ἐγώ σε νὴ τὸν Ἡρακλέα παραστορῶ.
ΧΟ. ἄγε δὴ σὺ τίνα νοῦν ἢ τίνα ψυχὴν ἔχεις;
νυνὶ διδάξεις, εἴπερ ἀπεκρύψω ποτὲ
ἐς τὼ κοχώνα τὸ κρέας, ὡς αὐτὸς λέγεις.
θεύσει γὰρ ᾄξας ἐς τὸ βουλευτήριον,
ὡς οὗτος ἐσπεσὼν ἐκεῖσε διαβαλεῖ
ἡμᾶς ἅπαντας καὶ κραγὸν κεκράξεται.
ΑΛ. ἀλλ' εἶμι· πρῶτον δ', ὡς ἔχω, τὰς κοιλίας
καὶ τὰς μαχαίρας ἐνθαδὶ καταθήσομαι.
ΧΟ. ἔχε νυν, ἄλειψον τὸν τράχηλον τουτῳί,
ἵν' ἐξολισθάνειν δύνῃ τὰς διαβολάς.
ΑΛ. ἀλλ' εὖ λέγεις καὶ παιδοτριβικῶς ταυταγί.
ΧΟ. ἔχε νυν, ἐπέγκαψον λαβὼν ταδί. ΑΛ. τί δαί;
ΧΟ. ἵν' ἄμεινον, ὦ τᾶν, ἐσκοροδισμένος μάχῃ. [νυν
καὶ σπεῦδε ταχέως. ΑΛ. ταῦτα δρῶ. ΧΟ. μέμνησό
δάκνειν, διαβάλλειν, τοὺς λόφους κατεσθίειν,
χὤπως τὰ κάλλαι' ἀποφαγὼν ἥξεις πάλιν.
ἀλλ' ἴθι χαίρων, καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμόν, καί σε φυλάττοι
Ζεὺς ἀγοραῖος· καὶ νικήσας
αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
ἔλθοις στεφάνοις κατάπαστος.
ὑμεῖς δ' ἡμῖν πρόσσχετε τὸν νοῦν
τοῖς ἀναπαίστοις,
ὦ παντοίας ἤδη μούσης
πειραθέντες καθ' ἑαυτούς.
Εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος
ἡμᾶς [ναι,
ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆ-
οὐκ ἂν φαύλως ἔτυχεν τούτου· νῦν δ' ἄξιός ἐσθ' ὁ
ποιητής, [δίκαια,
ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ, τολμᾷ τε λέγειν τὰ
καὶ γενναίως πρὸς τὸν Τυφῶ χωρεῖ καὶ τὴν ἐριώ-
λην. [όντας
ἃ δὲ θαυμάζειν ὑμῶν φησιν πολλοὺς αὐτῷ προσι-
καὶ βασανίζειν, πῶς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ'
ἑαυτόν, [ἀνὴρ
ἡμᾶς ὑμῖν ἐκέλευε φράσαι περὶ τούτου. φησὶ γὰρ
οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν, ἀλλὰ
νομίζων
κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον
ἁπάντων· [σασθαι·
πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν ὀλίγοις χαρί-
ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν
ὄντας, [διδόντας·
καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προ-
τοῦτο μὲν εἰδὼς ἅπαθε Μάγνης ἅμα ταῖς πολιαῖς
κατιούσαις,

477. ἐν R. ἐπὶ ceteri. 482. ψυχὴν] γνώμην R. 483. διδάξεις] δὲ (γε Meinekius) δείξεις margo codicis unius. ποτὲ] τότε Brunckius. 503. πρόσχετε (debebat πρόσσχετε) Bentleius] προσέχετε 513. πῶς Bentleius] ὡς

ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε
τροπαῖα· [γίζων
πάσας δ' ὑμῖν φωνὰς ἱεὶς καὶ ψάλλων καὶ πτερυ-
καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενος βατρα-
χείοις [ἐφ' ἥβης,
οὐκ ἐξήρκεσεν, ἀλλὰ τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ
ἐξεβλήθη πρεσβύτης ὤν, ὅτι τοῦ σκώπτειν ἀπε-
λείφθη·
εἶτα Κρατίνου μεμνημένος, ὃς πολλῷ ῥεύσας ποτ'
ἐπαίνῳ [ῥασύρων
διὰ τῶν ἀφελῶν πεδίων ἔρρει, καὶ τῆς στάσεως πα-
ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους καὶ τοὺς ἐχθροὺς
προθελύμνους. [δι' ἀε"
ᾆσαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ πλὴν "Δωροῖ συκοπέ-
καὶ "τέκτονες εὐπαλάμων ὕμνων·" οὕτως ἤνθησεν
ἐκεῖνος.
νυνὶ δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐκ
ἐλεεῖτε, [ἐνόντος
ἐκπιπτουσῶν τῶν ἠλέκτρων καὶ τοῦ τόνου οὐκέτ'
τῶν θ' ἁρμονιῶν διαχασκουσῶν· ἀλλὰ γέρων ὢν
περιέρρει, [ἀπολωλὼς,
ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων αὖον, δίψῃ δ'
ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ πρυ-
τανείῳ,
καὶ μὴ ληρεῖν, ἀλλὰ θεᾶσθαι λιπαρὸν παρὰ τῷ Διο-
νύσῳ. [γμούς.
οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελι-
ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμ-
πεν, [ἐπινοίας·
ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας
χοὖτος μέντοι μόνος ἀντήρκει, τοτὲ μὲν πίπτων,
τοτὲ δ' οὐχί.
ταῦτ' ὀρρωδῶν διέτριβεν ἀεί, καὶ πρὸς τούτοισιν
ἔφασκεν [ἐπιχειρεῖν,
ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλίοις
κᾆτ' ἐντεῦθεν πρῳρατεῦσαι καὶ τοὺς ἀνέμους δια-
θρῆσαι, [πάντων,
κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὖν οὕνεκα
ὅτι σωφρονικῶς κοὐκ ἀνοήτως ἐσπηδήσας ἐφλυά-
ρει,
αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ' ἐφ'
θόρυβον χρηστὸν ληναΐτην, [ἕνδεκα κώπαις,
ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων,
κατὰ νοῦν πράξας,
φαιδρὸς λάμποντι μετώπῳ.
Ἵππι' ἄναξ Πόσειδον, ᾧ
χαλκοκρότων ἵππων κτύπος
καὶ χρεμετισμὸς ἁνδάνει,
καὶ κυανέμβολοι θοαὶ
μισθοφόροι τριήρεις,
μειρακίων θ' ἅμιλλα λαμ-
πρυνομένων ἐν ἅρμασιν
καὶ βαρυδαιμονούντων,
δεῦρ' ἔλθ' ἐς χορόν, ὦ χρυσοτρίαιν', ὦ
δελφίνων μεδέων, Σουνιάρατε,
ὦ Γεραίστιε παῖ Κρόνου,
Φορμίωνί τε φίλτατ', ἐκ
τῶν ἄλλων τε θεῶν Ἀθη-
ναίοις πρὸς τὸ παρεστός.
εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτι
ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι καὶ τοῦ πέπλου,
οἵτινες πεζαῖς μάχαισιν ἔν τε ναυφάρκτῳ στρατῷ
πανταχοῦ νικῶντες ἀεὶ τήνδ' ἐκόσμησαν πόλιν·
551—580. = 581—610.

564. παρεστός R. παρεστώς ceteri. 567. ναυφάρκτῳ D.] ναυφράκτῳ

οὐ γὰρ οὐδεὶς πώποτ' αὐτῶν τοὺς ἐναντίους ἰδὼν
ἠρίθμησεν, ἀλλ' ὁ θυμὸς εὐθὺς ἦν ἀμυνίας·
εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινί,
τοῦτ' ἀπεψήσαντ' ἄν, εἶτ' ἠρνοῦντο μὴ πεπτωκέναι,
ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ' ἂν εἷς
τῶν πρὸ τοῦ σίτησιν ᾔτησ' ἐρόμενος Κλεαίνετον·
νῦν δ' ἐὰν μὴ προεδρίαν φέρωσι καὶ τὰ σιτία,
οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ' ἀξιοῦμεν τῇ πόλει
προῖκα γενναίως ἀμύνειν καὶ θεοῖς ἐγχωρίοις.
καὶ πρὸς οὐκ αἰτοῦμεν οὐδέν, πλὴν τοσουτονὶ
μόνον·
ἤν ποτ' εἰρήνη γένηται καὶ πόνων παυσώμεθα,
μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις.
ὦ πολιοῦχε Παλλάς, ὦ
τῆς ἱερωτάτης ἁπα-
σῶν πολέμῳ τε καὶ ποιη-
ταῖς δυνάμει θ' ὑπερφερού-
σης μεδέουσα χώρας,
δεῦρ' ἀφικοῦ λαβοῦσα τὴν
ἐν στρατιαῖς τε καὶ μάχαις
ἡμετέραν ξυνεργὸν
Νίκην, ἣ χορικῶν ἐστιν ἑταίρα,
τοῖς τ' ἐχθροῖσι μεθ' ἡμῶν στασιάζει.
νῦν οὖν δεῦρο φάνηθι· δεῖ
γὰρ τοῖς ἀνδράσι τοῖσδε πά-
σῃ τέχνῃ πορίσαι σε νί-
κην εἴπερ ποτὲ καὶ νῦν.
ἃ ξύνισμεν τοῖσιν ἵπποις, βουλόμεσθ' ἐπαινέσαι.
ἄξιοι δ' εἴσ' εὐλογεῖσθαι· πολλὰ γὰρ δὴ πράγματα
ξυνδιήνεγκαν μεθ' ἡμῶν, ἐσβολάς τε καὶ μάχας.
ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν οὐκ ἄγαν θαυμάζομεν,
ὡς ὅτ' ἐς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς,
πριάμενοι κώθωνας, οἱ δὲ καὶ σκόροδα καὶ κρόμμυα·
εἶτα τὰς κώπας λαβόντες ὥσπερ ἡμεῖς οἱ βροτοὶ
ἐμβαλόντες ἀνεβρύαξαν, ἱππαπαῖ, τίς ἐμβαλεῖ;
ληπτέον μᾶλλον. τί δρῶμεν; οὐκ ἐλᾷς, ὦ σαμφόρα;
ἐξεπήδων τ' ἐς Κόρινθον· εἶτα δ' οἱ νεώτατοι
ταῖς ὁπλαῖς ὤρυττον εὐνὰς καὶ μετῇσαν στρώ-
ματα·
ἤσθιον δὲ τοὺς παγούρους ἀντὶ ποίας Μηδικῆς,
εἴ τις ἐξέρποι θύραζε, κἀκ βυθοῦ θηρώμενοι·
ὥστ' ἔφη Θέωρος εἰπεῖν καρκίνον Κορίνθιον
"δεινά γ', ὦ Πόσειδον, εἰ μηδ' ἐν βυθῷ δυνήσομαι
μήτε γῇ μήτ' ἐν θαλάττῃ διαφυγεῖν τοὺς ἱππέας."
ΧΟ. ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε,
ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα·
καὶ νῦν ἐπειδὴ σῶς ἐλήλυθας πάλιν,
ἄγγειλον ἡμῖν πῶς τὸ πρᾶγμ' ἠγωνίσω.
ΑΛ. τί δ' ἄλλο γ' εἰ μὴ νικόβουλος ἐγενόμην;
ΧΟ. νῦν ἄρ' ἄξιόν γε πᾶσίν ἐστιν ἐπολολύξαι.
ὦ καλὰ λέγων, πολὺ δ' ἀμείνον' ἔτι τῶν λόγων
ἐργασάμεν', εἴθ' ἐπέλ-
θοις ἅπαντά μοι σαφῶς·
ὡς ἐγώ μοι δοκῶ
κἂν μακρὰν ὁδὸν διελθεῖν
ὥστ' ἀκοῦσαι. πρὸς τάδ', ὦ βέλ-
τιστε, θαρρήσας λέγ', ὡς ἅ-

616—623. = 683—690.

πάντες ἡδόμεσθά σοι.
ΑΛ. καὶ μὴν ἀκοῦσαί γ' ἄξιον τῶν πραγμάτων.
εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἱέμην·
ὁ δ' ἄρ' ἔνδον ἐλασίβροντ' ἀναρρηγνὺς ἔπη
τερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων,
κρημνοὺς ἐρείπων καὶ ξυνωμότας λέγων
πιθανώταθ'· ἡ βουλὴ δ' ἅπασ' ἀκροωμένη
ἐγένεθ' ὑπ' αὐτοῦ ψευδατραφάξυος πλέα,
κἄβλεψε νᾶπυ, καὶ τὰ μέτωπ' ἀνέσπασεν.
κἄγωγ' ὅτε δὴ 'γνων ἐνδεχομένην τοὺς λόγους
καὶ τοῖς φενακισμοῖσιν ἐξαπατωμένην,
"ἄγε δὴ Σκίταλοι καὶ Φένακες" ἦν δ' ἐγώ
"Βερέσχεθοί τε καὶ Κόβαλοι καὶ Μόθων,
ἀγορά τ', ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην ἐγώ,
νῦν μοι θράσος καὶ γλῶτταν εὔπορον δότε
φωνήν τ' ἀναιδῆ." ταῦτα φροντίζοντί μοι
ἐκ δεξιᾶς ἀπέπαρδε καταπύγων ἀνήρ.
κἀγὼ προσέκυσα· κᾆτα τῷ πρωκτῷ θενὼν
τὴν κιγκλίδ' ἐξήραξα, κἀναχανὼν μέγα
ἀνέκραγον "ὦ βουλή, λόγους ἀγαθοὺς φέρων
εὐαγγελίσασθαι πρῶτος ὑμῖν βούλομαι·
ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατερράγη,
οὐπώποτ' ἀφύας εἶδον ἀξιωτέρας."
οἱ δ' εὐθέως τὰ πρόσωπα διεγαλήνισαν·
εἶτ' ἐστεφάνουν μ' εὐαγγέλια· κἀγὼ 'φρασα
αὐτοῖς ἀπόρρητον ποιησάμενος ταχύ,
ἵνα τὰς ἀφύας ὠνοῖντο πολλὰς τοὐβολοῦ,
τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρύβλια.
οἱ δ' ἀνεκρότησαν καὶ πρὸς ἔμ' ἐκεχήνεσαν.
ὁ δ' ὑπονοήσας, ὁ Παφλαγών, εἰδώς τ' ἄρα
οἷς ἥδεθ' ἡ βουλὴ μάλιστα ῥήμασιν,
γνώμην ἔλεξεν "ἄνδρες, ἤδη μοι δοκεῖ
ἐπὶ συμφοραῖς ἀγαθαῖσιν εἰσηγγελμέναις
εὐαγγέλια θύειν ἑκατὸν βοῦς τῇ θεῷ."
ἐπένευσεν εἰς ἐκεῖνον ἡ βουλὴ πάλιν.
κἄγωγ' ὅτε δὴ 'γνων τοῖς βολίτοις ἡττημένος,
διακοσίαισι βουσὶν ὑπερηκόντισα·
τῇ δ' Ἀγροτέρᾳ κατὰ χιλιῶν παρῄνεσα
εὐχὴν ποιήσασθαι χιμάρων εἰσαύριον,
αἱ τριχίδες εἰ γενοίαθ' ἑκατὸν τοὐβολοῦ.
ἐκαραδόκησεν εἰς ἔμ' ἡ βουλὴ πάλιν.
ὁ δὲ ταῦτ' ἀκούσας ἐκπλαγεὶς ἐφληνάφα.
κᾆθ' εἷλκον αὐτὸν οἱ πρυτάνεις χοἰ τοξόται.
οἱ δ' ἐθορύβουν περὶ τῶν ἀφύων ἑστηκότες·
ὁ δ' ἠντιβόλει γ' αὐτοὺς ὀλίγον μεῖναι χρόνον,
ἵν' ἅτθ' ὁ κῆρυξ οὐκ Λακεδαίμονος λέγει
πύθησθ'· ἀφῖκται γὰρ περὶ σπονδῶν λέγων.
οἱ δ' ἐξ ἑνὸς στόματος ἅπαντες ἀνέκραγον
"νυνὶ περὶ σπονδῶν; ἐπειδή γ', ὦ μέλε,
ᾔσθοντο τὰς ἀφύας παρ' ἡμῖν ἀξίας;
οὐ δεόμεθα σπονδῶν· ὁ πόλεμος ἑρπέτω."
ἐκεκράγεσάν τε τοὺς πρυτάνεις ἀφιέναι·
εἶθ' ὑπερεπήδων τοὺς δρυφάκτους πανταχῇ.
ἐγὼ δὲ τὰ κορίανν' ἐπριάμην ὑποδραμὼν
ἅπαντα τά τε γήτει' ὅσ' ἦν ἐν τἀγορᾷ·

600. καὶ σκόροδα] καὶ om. RV aliique et Athenaeus 11. p. 483c. οἱ δὲ σκόροδ', ἐλάας, κρόμμυα Bergkius, quae pariter coniuncta Acharn. 550. 602. ἱππαπαῖ D.] ἱππαπαί 609. μηδ' Brunckius] μήτ' 610. μήτε γῇ Bentleius] μήτ' ἐν γῇ 614. ἠγωνίσω] ἠγώνισαι Cobetus. 616. γε om. RV aliique. 617. ἀμείνον' Berglerus] ἄμεινον 618. ἐργασάμεν' Bentleius] εἰργασμέν'

625. ἱέμην D.] ἵεμην 628. ἐρείπων Brunckius] ἐρείδων 635. Μόθων Kusterus] μόθωνες 639. ἀπέπαρδε] ἐπέπαρδε Halbertsma. 640. θενὼν D.] θένων 641. ἐξήραξα Bentleius] ἐξάραξα 643. πρῶτος V correctus et Phrynichus p. 266. ed. Lob. πρῶτον ceteri. 652. ὑπονοήσας] ἐπινοήσας Meinekius. εἰδώς τ' ἄρα D.] εἰδώς τἄμα R. εἰδὼς ἄρα ceteri. 654. ἤδη μοι] καμοὶ R. 655. εἰσηγγελμέναις] ἠγγελμέναις R. 659. διακοσίαισι D.] διηκοσίῃσι 660. χιλιῶν] χιλίων libri: sed schol. τὸ δὲ χιλίων περισπῶσι. 674. ἀφιέναι Brunckius] ἀπιέναι ὑποδραμὼν] ὑπεκδραμὼν R.

ἔπειτα ταῖς ἀφύαις ἐδίδουν ἡδύσματα
ἀποροῦσιν αὐτοῖς προῖκα κἀχαριζόμην.
οἱ δ' ὑπερεπήνουν ὑπερεπύππαζόν τέ με
ἅπαντες οὕτως ὥστε τὴν βουλὴν ὅλην
ὀβολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα.
ΧΟ. πάντα τοι πέπραγας οἷα χρὴ τὸν εὐτυχοῦντα·
ηὗρε δ' ὁ πανοῦργος ἕτερον πολὺ πανουργίαις
μείζοσι κεκασμένον
καὶ δόλοισι ποικίλοις
ῥήμασίν θ' αἱμύλοις.
ἀλλ' ὅπως ἀγωνιεῖ φρόν-
τιζε τἀπίλοιπ' ἄριστα·
ξυμμάχους δ' ἡμᾶς ἔχων εὔ-
νους ἐπίστασαι πάλαι.
ΑΛ. καὶ μὴν ὁ Παφλαγὼν οὑτοσὶ προσέρχεται,
ὠθῶν κολόκυμα καὶ ταράττων καὶ κυκῶν,
ὡς δὴ καταπιόμενός με. μορμὼ τοῦ θράσους.
ΚΛ. εἰ μή σ' ἀπολέσαιμ', εἴ τι τῶν αὐτῶν ἐμοὶ
ψευδῶν ἐνείη, διαπέσοιμι πανταχῇ.
ΑΛ. ἥσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις,
ἀπεπυδάρισα μόθωνα, περιεκόκκασα.
ΚΛ. οὔ τοι μὰ τὴν Δήμητρ' ἔτ', εἰ μή σ' ἐκφάγω
ἐκ τῆσδε τῆς γῆς, οὐδέποτε βιώσομαι.
ΑΛ. εἰ μὴ 'κφάγῃς; ἐγὼ δέ γ', εἰ μή σ' ἐκπίω,
κᾆτ' ἐκροφήσας αὐτὸς ἐπιδιαρραγῶ.
ΚΛ. ἀπολῶ σε νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.
ΑΛ. ἰδοὺ προεδρίαν· οἷον ὄψομαί σ' ἐγὼ
ἐκ τῆς προεδρίας ἔσχατον θεώμενον.
ΚΛ. ἐν τῷ ξύλῳ δήσω σε νὴ τὸν οὐρανόν.
ΑΛ. ὡς ὀξύθυμος. φέρε τί σοι δῶ καταφαγεῖν;
ἐπὶ τῷ φάγοις ἥδιστ' ἄν; ἐπὶ βαλλαντίῳ;
ΚΛ. ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα.
ΑΛ. ἀπονυχιῶ σου τἀν πρυτανείῳ σιτία.
ΚΛ. ἕλξω σε πρὸς τὸν δῆμον, ἵνα δῷς μοι δίκην.
ΑΛ. κἀγὼ δέ σ' ἕλξω καὶ διαβαλῶ πλείονα.
ΚΛ. ἀλλ', ὦ πονηρέ, σοὶ μὲν οὐδὲν πείθεται·
ἐγὼ δ' ἐκείνου καταγελῶ γ' ὅσον θέλω.
ΑΛ. ὡς σφόδρα σὺ τὸν δῆμον σεαυτοῦ νενόμικας.
ΚΛ. ἐπίσταμαι γὰρ αὐτὸν οἷς ψωμίζεται.
ΑΛ. κᾆθ' ὥσπερ αἱ τιτθαί γε σιτίζεις κακῶς.
μασώμενος γὰρ τῷ μὲν ὀλίγον ἐντίθης,
αὐτὸς δ' ἐκείνου τριπλάσιον κατέσπακας.
ΚΛ. καὶ νὴ Δί' ὑπό γε δεξιότητος τῆς ἐμῆς
δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενόν.
ΑΛ. χὡ πρωκτὸς οὑμὸς τουτογὶ σοφίζεται.
ΚΛ. οὐκ, ὦγάθ', ἐν βουλῇ με δόξεις καθυβρίσαι.
ἴωμεν ὡς τὸν Δῆμον. ΑΛ. οὐδὲν κωλύει·
ἰδού, βάδιζε, μηδὲν ἡμᾶς ἰσχέτω.
ΚΛ. ὦ Δῆμε, δεῦρ' ἔξελθε. ΑΛ. νὴ Δί', ὦ πάτερ,
ἔξελθε δῆτ'. ΚΛ. ὦ Δημίδιον ὦ φίλτατον,
ἔξελθ', ἵν' εἰδῇς οἷα περιυβρίζομαι.

ΔΗΜΟΣ.

τίνες οἱ βοῶντες; οὐκ ἄπιτ' ἀπὸ τῆς θύρας;
τὴν εἰρεσιώνην μου κατεσπαράξατε.
τίς, ὦ Παφλαγών, ἀδικεῖ σε; ΚΛ. διὰ σὲ τύπτομαι
ὑπὸ τουτουὶ καὶ τῶν νεανίσκων. ΔΗΜ. τιή;
ΚΛ. ὁτιὴ φιλῶ σ', ὦ Δῆμ', ἐραστής τ' εἰμὶ σός.
ΔΗΜ. σὺ δ' εἶ τίς ἐτεόν; ΑΛ. ἀντεραστὴς τουτουί,
ἐρῶν πάλαι σου βουλόμενός τέ σ' εὖ ποιεῖν,
ἄλλοι τε πολλοὶ καὶ καλοί τε κἀγαθοί.
ἀλλ' οὐχ οἷοί τ' ἐσμὲν διὰ τουτονί. σὺ γὰρ
ὅμοιος εἶ τοῖς παισὶ τοῖς ἐρωμένοις·
τοὺς μὲν καλούς τε κἀγαθοὺς οὐ προσδέχει,
σαυτὸν δὲ λυχνοπώλαισι καὶ νευρορράφοις
καὶ σκυτοτόμοις καὶ βυρσοπώλαισιν δίδως.
ΚΛ. εὖ γὰρ ποιῶ τὸν δῆμον. ΑΛ. εἰπέ νυν, τί δρῶν;
ΚΛ. ὅτι τῶν στρατηγῶν ὑποδραμὼν τοὺς ἐκ Πύλου
πλεύσας ἐκεῖσε τοὺς Λάκωνας ἤγαγον.
ΑΛ. ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου
ἕψοντος ἑτέρου τὴν χύτραν ὑφειλόμην.
ΚΛ. καὶ μὴν ποιήσας αὐτίκα μάλ' ἐκκλησίαν,
ὦ Δῆμ', ἵν' εἰδῇς ὁπότερος νῷν ἐστί σοι
εὐνούστερος, διάκρινον, ἵνα τοῦτον φιλῇς
ΑΛ. ναὶ ναὶ διάκρινον δῆτα, πλὴν μὴ 'ν τῇ πυκνί.
ΔΗΜ. οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ·
ἀλλ' ἐς τὸ πρόσθε χρὴ παρεῖν' ἐς τὴν πύκνα.
ΑΛ. οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ὁ γὰρ γέρων
οἴκοι μὲν ἀνδρῶν ἐστι δεξιώτατος,
ὅταν δ' ἐπὶ ταυτησὶ καθῆται τῆς πέτρας,
κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας.
ΧΟ. νῦν δή σε πάντα δεῖ κάλων ἐξιέναι σεαυτοῦ,
καὶ λῆμα θούριον φορεῖν καὶ λόγους ἀφύκτους,
ὅτοισι τόνδ' ὑπερβαλεῖ. ποικίλος γὰρ ἀνὴρ
κἀκ τῶν ἀμηχάνων πόρους εὐμήχανος πορίζειν.
πρὸς ταῦθ' ὅπως ἔξει πολὺς καὶ λαμπρὸς ἐπὶ τὸν
ἄνδρα.
ἀλλὰ φυλάττου, καὶ πρὶν ἐκεῖνον προϊκέσθαι σου,
πρότερον σὺ [βάλλου.
τοὺς δελφῖνας μετεωρίζου καὶ τὴν ἄκατον παρα-
ΚΛ. τῇ μὲν δεσποίνῃ Ἀθηναίᾳ, τῇ τῆς πόλεως μεδεούσῃ,
εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γε-
γένημαι [λαβακχῶ,
βέλτιστος ἀνὴρ μετὰ Λυσικλέα καὶ Κύνναν καὶ Σα-
ὥσπερ νυνὶ μηδὲν δράσας δειπνεῖν ἐν τῷ πρυ-
τανείῳ· [τιβεβηκώς,
εἰ δέ σε μισῶ καὶ μὴ περὶ σοῦ μάχομαι μόνος ἀν-
ἀπολοίμην καὶ διαπρισθείην κατατμηθείην τε λέ-
παδνα. [κατατμηθεὶς
ΑΛ. κἄγωγ', ὦ Δῆμ', εἰ μή σε φιλῶ καὶ μὴ στέργω,
ἑψοίμην ἐν περικομματίοις· κεἰ μὴ τούτοισι πέποι-
θας,
ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ
καὶ τῇ κρεάγρᾳ τῶν ὀρχιπέδων ἑλκοίμην ἐς Κερα-
μεικόν. [το πολίτης;
ΚΛ. καὶ πῶς ἂν ἐμοῦ μᾶλλόν σε φιλῶν, ὦ Δῆμε, γενοι-
ὃς πρῶτα μέν, ἡνίκ' ἐβούλευόν σοι, χρήματα πλεῖστ'
ἀπέδειξα [τοὺς δὲ μεταιτῶν,
ἐν τῷ κοινῷ, τοὺς μὲν στρεβλῶν, τοὺς δ' ἄγχων,
οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενός, εἰ σοὶ χαριοί-
μην.
ΑΛ. τοῦτο μέν, ὦ Δῆμ', οὐδὲν σεμνόν· κἀγὼ γὰρ τοῦτό
σε δράσω. [ραθήσω.
ἁρπάζων γὰρ τοὺς ἄρτους σοι τοὺς ἀλλοτρίους πα-

684. ηὗρε D.] εὗρε 697. περιεκόκκασα Photius p. 416, 16.] περιεκόκκαυσα R. περιεκόκκυσα ceteri. 698. Δήμητρ' ἔτ', εἰ Reisigius] δήμητρά γ' εἰ R. δήμητρ' ἐὰν ceteri. 701. κᾆτ' ἐκροφήσας Seagerus] κἀπεκροφήσας. κἂν ἐκροφήσας Bothius. 723. ὡς Meinekius] ἐς R. εἰς ceteri. 725. Hic versus Cleoni, 726. 727. isiciario tribuebantur. Correxit Reiskius. 726. Alterum ὦ addidit Elmsleius. 727. οἷα περιυβρίζομαι Elmsleius] οἵάπερ ὑβρίζομαι

740. βυρσοπώλαισιν δίδως] βυρσοπώλαις ἐπιδίδως Cobetus. 741. νυν] μοί νυν R. 742. τοὺς Bentleius] τῶν. Schol. explicat καταδραμὼν τοὺς ἐν Πύλῳ στρατηγούς. 754. καθῆται Bekkerus] κάθηται 759. εὐμήχανος πορίζειν Elmsleius] εὐμηχάνους πορίζων 760. ἐπὶ Cobetus] ἐς 761. προϊκέσθαι σου Schmidtius ex gl. Hesychii προϊκέσθαι: ἐφικέσθαι (ἐπικέσθαι codex)] προσικέσθαι σου R et Suidas s. v. δελφίς. προσκεῖσθαί σοι ceteri. πρότερον R et Suidas. πρότερος ceteri. 763. Ἀθηναίᾳ V. Ἀθηναίῃ ceteri.

ὡς δ' οὐχὶ φιλεῖ σ' οὐδ' ἔστ' εὔνους, τοῦτ' αὐτό σε πρῶτα διδάξω,
ἀλλ' ἢ διὰ τοῦτ' αὔθ' ὁτιή σου τῆς ἀνθρακιᾶς ἀπολαύει.
σὲ γάρ, ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας Μαραθῶνι,
καὶ νικήσας ἡμῖν μεγάλως ἐγγλωττοτυπεῖν παρέδωκας,
ἐπὶ ταῖσι πέτραις οὐ φροντίζει σκληρῶς σε καθήμενον οὕτως,
οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου,
κᾆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι.
ΔΗΜ. ἄνθρωπε, τίς εἶ; μῶν ἔκγονος εἶ τῶν Ἁρμοδίου τις ἐκείνων;
τοῦτό γέ τοί σου τοὔργον ἀληθῶς γενναῖον καὶ φιλόδημον.
ΚΛ. ὡς ἀπὸ μικρῶν εὔνους αὐτῷ θωπευματίων γεγένησαι.
ΑΛ. καὶ σὺ γὰρ αὐτὸν πολὺ μικροτέροις τούτων δελεάσμασιν εἷλες.
ΚΛ. καὶ μὴν εἴ πού τις ἀνὴρ ἐφάνη τῷ δήμῳ μᾶλλον ἀμύνων
ἢ μᾶλλον ἐμοῦ σε φιλῶν, ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι.
ΑΛ. καὶ πῶς σὺ φιλεῖς, ὃς τοῦτον ὁρῶν οἰκοῦντ' ἐν ταῖς πιθάκναισι
καὶ γυπαρίοις καὶ πυργιδίοις ἔτος ὄγδοον οὐκ ἐλεαίρεις,
ἀλλὰ καθείρξας αὐτὸν βλίττεις· Ἀρχεπτολέμου δὲ φέροντος
τὴν εἰρήνην ἐξεσκέδασας, τὰς πρεσβείας τ' ἀπελαύνεις
ἐκ τῆς πόλεως ῥαθαπυγίζων, αἳ τὰς σπονδὰς προκαλοῦνται.
ΚΛ. ἵνα γ' Ἑλλήνων ἄρξῃ πάντων. ἔστι γὰρ ἐν τοῖς λογίοισιν
ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ πεντωβόλου ἡλιάσασθαι,
ἢν ἀναμείνῃ· πάντως δ' αὐτὸν θρέψω 'γὼ καὶ θεραπεύσω,
ἐξευρίσκων εὖ καὶ μιαρῶς ὁπόθεν τὸ τριώβολον ἕξει.
ΑΛ. οὐχ ἵνα γ' ἄρξῃ μὰ Δί' Ἀρκαδίας προνοούμενος, ἀλλ' ἵνα μᾶλλον
σὺ μὲν ἁρπάζῃς καὶ δωροδοκῇς παρὰ τῶν πόλεων, ὁ δὲ δῆμος
ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης ἃ πανουργεῖς μὴ καθορᾷ σου,
ἀλλ' ὑπ' ἀνάγκης ἅμα καὶ χρείας καὶ μισθοῦ πρός σε κεχήνῃ.
εἰ δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθὼν εἰρηναῖος διατρίψῃ
καὶ χίδρα φαγὼν ἀναθαρρήσῃ καὶ στεμφύλῳ ἐς λόγον ἔλθῃ,
γνώσεται οἵων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου,
εἶθ' ἥξει σοι δριμὺς ἄγροικος, κατὰ σοῦ τὴν ψῆφον ἰχνεύων.
ἃ σὺ γιγνώσκων τόνδ' ἐξαπατᾷς, καὶ ὀνειροπολεῖς περὶ σαυτοῦ.
ΚΛ. οὔκουν δεινὸν ταυτί σε λέγειν δῆτ' ἔστ' ἐμὲ καὶ διαβάλλειν
πρὸς Ἀθηναίους καὶ τὸν δῆμον, πεποιηκότα πλείονα χρηστὰ
νὴ τὴν Δήμητρα Θεμιστοκλέους πολλῷ περὶ τὴν πόλιν ἤδη;
ΑΛ. ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει. σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις;
ὃς ἐποίησεν τὴν πόλιν ἡμῶν μεστὴν εὑρὼν ἐπιχειλῆ,
καὶ πρὸς τούτοις ἀριστώσῃ τὸν Πειραιᾶ προσέμαξεν,
ἀφελών τ' οὐδὲν τῶν ἀρχαίων ἰχθῦς καινοὺς παρέθηκε.
σὺ δ' Ἀθηναίους ἐζήτησας μικροπολίτας ἀποφῆναι
διατειχίζων καὶ χρησμῳδῶν, ὁ Θεμιστοκλεῖ ἀντιφερίζων.
κἀκεῖνος μὲν φεύγει τὴν γῆν, σὺ δ' Ἀχιλλείων ἀπομάττει.
ΚΛ. οὔκουν ταυτὶ δεινὸν ἀκούειν, ὦ Δῆμ', ἐστίν μ' ὑπὸ τούτου,
ὁτιή σε φιλῶ; ΔΗΜ. παῦ παῦ' οὗτος, καὶ μὴ σκέρβολλε πονηρά.
πολλοῦ δὲ πολύν με χρόνον καὶ νῦν ἐλελήθης ἐγκρυφιάζων.
ΑΛ. μιαρώτατος, ὦ Δημακίδιον, καὶ πλεῖστα πανοῦργα δεδρακώς,
ὁπόταν χασμᾷ, καὶ τοὺς καυλοὺς τῶν εὐθυνῶν ἐκκαυλίζων
καταβροχθίζει, κἀμφοῖν χειροῖν μυστιλᾶται τῶν δημοσίων.
ΚΛ. οὐ χαιρήσεις, ἀλλά σε κλέπτονθ' αἱρήσω 'γὼ τρεῖς μυριάδας.
ΑΛ. τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις,
μιαρώτατος ὢν περὶ τὸν δῆμον
τὸν Ἀθηναίων; καί σ' ἐπιδείξω
νὴ τὴν Δήμητρ', ἢ μὴ ζῴην,
δωροδοκήσαντ' ἐκ Μυτιλήνης
πλεῖν ἢ μνᾶς τετταράκοντα.
ΧΟ. ὦ πᾶσιν ἀνθρώποις φανεὶς μέγιστον ὠφέλημα,
ζηλῶ σε τῆς εὐγλωττίας. εἰ γὰρ ὧδ' ἐποίσεις,
μέγιστος Ἑλλήνων ἔσει, καὶ μόνος καθέξεις
τἀν τῇ πόλει, τῶν ξυμμάχων τ' ἄρξεις ἔχων τρίαιναν,
ᾗ πολλὰ χρήματ' ἐργάσει σείων τε καὶ ταράττων.
καὶ μὴ μεθῇς τὸν ἄνδρ', ἐπειδή σοι λαβὴν δέδωκεν·
κατεργάσει γὰρ ῥᾳδίως, πλευρὰς ἔχων τοιαύτας.
ΚΛ. οὐκ, ὦγαθοί, ταῦτ' ἐστί πω ταύτῃ μὰ τὸν Ποσειδῶ.
ἐμοὶ γὰρ ἔστ' εἰργασμένον τοιοῦτον ἔργον ὥστε
ἁπαξάπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν,
ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπόν.
ΑΛ. ἐπίσχες ἐν ταῖς ἀσπίσιν· λαβὴν γὰρ ἐνδέδωκας.
οὐ γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας
ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.
ἀλλ' ἔστι τοῦτ', ὦ Δῆμε, μηχάνημ', ἵν', ἢν σὺ βούλῃ
τὸν ἄνδρα κολάσαι τουτονί, σοὶ τοῦτο μὴ 'κγένηται.
ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν
νεανιῶν· τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι
καὶ τυροπῶλαι· τοῦτο δ' εἰς ἓν ἔστι συγκεκυφός.
ὥστ' εἰ σὺ βριμήσαιο καὶ βλέψειας ὀστρακίνδα,
νύκτωρ κατασπάσαντες ἂν τὰς ἀσπίδας θέοντες
τὰς ἐσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν.
ΔΗΜ. οἴμοι τάλας· ἔχουσι γὰρ πόρπακας; ὦ πονηρέ,
ὅσον με παρεκόπτου χρόνον τοιαῦτα κρουσιδημῶν
ΚΛ. ὦ δαιμόνιε, μὴ τοῦ λέγοντος ἴσθι, μηδ' οἰηθῇς
ἐμοῦ ποθ' εὑρήσειν φίλον βελτίον'· ὅστις εἷς ὢν
ἔπαυσα τοὺς ξυνωμότας, καί μ' οὐ λέληθεν οὐδὲν
ἐν τῇ πόλει ξυνιστάμενον, ἀλλ' εὐθέως κέκραγα.
ΑΛ. ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν,
ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
αἱροῦσι· καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.
ἓν δ' εἰπέ μοι τοσουτονί· σκύτη τοσαῦτα πωλῶν
ἔδωκας ἤδη τουτῳὶ κάττυμα παρὰ σεαυτοῦ
ταῖς ἐμβάσιν, φάσκων φιλεῖν; ΔΗΜ. οὐ δῆτα μὰ τὸν Ἀπόλλω.
ΑΛ. ἔγνωκας οὖν δῆτ' αὐτὸν οἷός ἐστιν; ἀλλ' ἐγώ σοι
ζεῦγος πριάμενος ἐμβάδοιν τουτὶ φορεῖν δίδωμι.
ΔΗΜ. κρίνω σ' ὅσων ἐγᾦδα περὶ τὸν δῆμον ἄνδρ' ἄριστον

---

781. Μαραθῶνι Bentleius] ἐν Μαραθῶνι 783. ταῖσι Brunckius] ταῖς 785. τρίβῃς Brunckius] τριβῇς 792. πιθάκναισι] Scholiasta, οἱ δὲ παλαιοὶ φιδάκνην λέγουσι: unde φιδάκναισι Brunckius. 798. πεντωβόλου Kusterus] πεντώβολον 806. χίδρα D.] χῖδρα ἔλθῃ] ἐλθὼν Hirschigius.

81. παῦ παῦ' οὗτος Elmsleius] παῦ' οὑτοσί. παῦ' ὦ οὗτος Bentleius. 822. 1044. ἐλελήθης Brunckius] ἐλελήθεις 826. χειροῖν Bentleius] χεροῖν 873. ὅσων Bentleius] ὅσον

εὐνούστατόν τε τῇ πόλει καὶ τοῖσι δακτύλοισιν.
ΚΛ. οὐ δεινὸν οὖν δῆτ' ἐμβάδας τοσουτονὶ δύνασθαι,
ἐμοῦ δὲ μὴ μνείαν ἔχειν ὅσων πέπονθας; ὅστις
ἔπαυσα τοὺς βινουμένους τὸν Γρύττον ἐξαλείψας.
ΑΛ. οὔκουν σε δῆτα ταῦτα δεινόν ἐστι πρωκτοτηρεῖν
παῦσαί τε τοὺς βινουμένους; κοὐκ ἔσθ' ὅπως ἐκεί-
νους
οὐχὶ φθονῶν ἔπαυσας, ἵνα μὴ ῥήτορες γένοιντο.
τονδὶ δ' ὁρῶν ἄνευ χιτῶνος ὄντα τηλικοῦτον,
οὐπώποτ' ἀμφιμασχάλου τὸν Δῆμον ἠξίωσας,
χειμῶνος ὄντος· ἀλλ' ἐγώ σοι τουτονὶ δίδωμι.
ΔΗΜ. τοιουτονὶ Θεμιστοκλῆς οὐπώποτ' ἐπενόησεν.
καίτοι σοφὸν κἀκεῖν' ὁ Πειραιεύς· ἔμοιγε μέντοι
οὐ μεῖζον εἶναι φαίνετ' ἐξεύρημα τοῦ χιτῶνος.
ΚΛ. οἴμοι τάλας, οἵοις πιθηκισμοῖς με περιελαύνεις.
ΑΛ. οὔκ, ἀλλ' ὅπερ πίνων ἀνὴρ πέπονθ', ὅταν χεσείῃ,
τοῖσιν τρόποις τοῖς σοῖσιν ὥσπερ βλαυτίοισι χρῶμαι.
ΚΛ. ἀλλ' οὐχ ὑπερβαλεῖ με θωπείαις· ἐγὼ γὰρ αὐτὸν
προσαμφιῶ τοδί· σὺ δ' οἴμωζ', ὦ πονήρ'. ΔΗΜ. ἰαιβοῖ.
οὐκ ἐς κόρακας ἀποφθερεῖ, βύρσης κάκιστον ὄζων;
ΑΛ. καὶ τοῦτό γ' ἐπίτηδές σε περιήμπισχεν, ἵν' ἀπο-
πνίξῃ· [ἐκεῖνον
καὶ πρότερον ἐπεβούλευσέ σοι. τὸν καυλὸν οἶσθ'
τοῦ σιλφίου τὸν ἄξιον γενόμενον; ΔΗΜ. οἶδα μέν-
τοι.
ΑΛ. ἐπίτηδες οὗτος αὐτὸν ἔσπευδ' ἄξιον γενέσθαι,
ἵν' ἐσθίοιτ' ὠνούμενοι, κἄπειτ' ἐν Ἡλιαίᾳ
βδέοντες ἀλλήλους ἀποκτείνειαν οἱ δικασταί.
ΔΗΜ. νὴ τὸν Ποσειδῶ καὶ πρὸς ἐμὲ τοῦτ' εἶπ' ἀνὴρ
κόπρειος.
ΑΛ. οὐ γὰρ τόθ' ὑμεῖς βδεόμενοι δήπου 'γένεσθε πυρροί;
ΔΗΜ. καὶ νὴ Δί' ἦν γε τοῦτο Πυρράνδρου τὸ μηχάνημα.
ΚΛ. οἵοισί μ', ὦ πανοῦργε, βωμολοχεύμασιν ταράττεις.
ΑΛ. ἡ γὰρ θεός μ' ἐκέλευσε νικῆσαί σ' ἀλαζονείαις.
ΚΛ. ἀλλ' οὐχὶ νικήσεις. ἐγὼ γάρ φημί σοι παρέξειν,
ὦ Δῆμε, μηδὲν δρῶντι μισθοῦ τρύβλιον ῥοφῆσαι.
ΑΛ. ἐγὼ δὲ κυλίχνιόν γέ σοι καὶ φάρμακον δίδωμι
τἀν τοῖσιν ἀντικνημίοις ἑλκύδρια περιαλείφειν.
ΚΛ. ἐγὼ δὲ τὰς πολιάς γέ σου κλέγων νέον ποιήσω.
ΑΛ. ἰδοὺ δέχου κέρκον λαγὼ τὠφθαλμιδίῳ περιψῆν.
ΚΛ. ἀπομυξάμενος ὦ Δῆμέ μου πρὸς τὴν κεφαλὴν ἀπο-
ΑΛ. ἐμοῦ μὲν οὖν. ΚΛ. ἐμοῦ μὲν οὖν. [ψῶ.
ἐγώ σε ποιήσω τριη-
ραρχεῖν, ἀναλίσκοντα τῶν
σαυτοῦ, παλαιὰν ναῦν ἔχοντ',
εἰς ἣν ἀναλῶν οὐκ ἐφέ-
ξεις οὐδὲ ναυπηγούμενος·
διαμηχανήσομαί θ' ὅπως
ἂν ἱστίον σαπρὸν λάβῃς.
ΧΟ. ἀνὴρ παφλάζει, παῦε παῦ',
ὑπερζέων· ὑφελκτέον
τῶν δαλίων, ἀπαρυστέον
τε τῶν ἀπειλῶν ταυτηί.
ΚΛ. δώσεις ἐμοὶ καλὴν δίκην
ἰπούμενος ταῖς ἐσφοραῖς.
ἐγὼ γὰρ ἐς τοὺς πλουσίους
σπεύσω σ' ὅπως ἂν ἐγγραφῇς.
ΑΛ. ἐγὼ δ' ἀπειλήσω μὲν οὐ-
δέν, εὔχομαι δέ σοι ταδί·
τὸ μὲν τάγηνον τευθίδων
ἐφεστάναι σίζον, σὲ δὲ
γνώμην ἐρεῖν μέλλοντα περὶ
Μιλησίων καὶ κερδανεῖν
τάλαντον, ἣν κατεργάσῃ,
σπεύδειν ὅπως τῶν τευθίδων
ἐμπλήμενος φθαίης ἔτ' εἰς
ἐκκλησίαν ἐλθεῖν ἔπει-
τα πρὶν φαγεῖν, ἀνὴρ μεθή-
κοι, καὶ σὺ τὸ τάλαντον λαβεῖν
βουλόμενος ἐ-
σθίων ἐπαποπνιγείης.
ΧΟ. εὖ γε νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω καὶ τὴν Δήμητρα.
ΔΗΜ. κἀμοὶ δοκεῖ καὶ τἄλλα γ' εἶναι καταφανῶς
ἀγαθὸς πολίτης, οἷος οὐδείς πω χρόνου
ἀνὴρ γεγένηται τοῖσι πολλοῖς τοὐβολοῦ.
σὺ δ', ὦ Παφλαγών, φάσκων φιλεῖν μ' ἐσκορόδισας.
καὶ νῦν ἀπόδος τὸν δακτύλιον, ὡς οὐκέτι
ἐμοὶ ταμιεύσεις. ΚΛ. ἔχε· τοσοῦτον δ' ἴσθ' ὅτι,
εἰ μή μ' ἐάσεις ἐπιτροπεύειν, ἕτερος αὖ
ἐμοῦ πανουργότερός τις ἀναφανήσεται.
ΔΗΜ. οὐκ ἔσθ' ὅπως ὁ δακτύλιός ἐσθ' οὑτοσὶ
οὑμός· τὸ γοῦν σημεῖον ἕτερον φαίνεται,
ἀλλ' ἢ οὐ καθορῶ. ΑΛ. φέρ' ἴδω, τί σοι σημεῖον ἦν;
ΔΗΜ. δημοῦ βοείου θρῖον ἐξωπτημένον.
ΑΛ. οὐ τοῦτ' ἔνεστιν. ΔΗΜ. οὐ τὸ θρῖον; ἀλλὰ τί;
ΑΛ. λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν. [ποδών.
ΔΗΜ. αἰβοῖ τάλας. ΑΛ. τί ἔστιν; ΔΗΜ. ἀπόφερ' ἐκ-
οὐ τὸν ἐμὸν εἶχεν, ἀλλὰ τὸν Κλεωνύμου.
παρ' ἐμοῦ δὲ τουτονὶ λαβὼν ταμίευέ μοι.
ΚΛ. μὴ δῆτά πώ γ', ὦ δέσποτ', ἀντιβολῶ σ' ἐγώ,
πρὶν ἄν γε τῶν χρησμῶν ἀκούσῃς τῶν ἐμῶν.
ΑΛ. καὶ τῶν ἐμῶν νυν. ΚΛ. ἀλλ' ἐὰν τούτῳ πίθῃ,
μολγὸν γενέσθαι δεῖ σε. ΑΛ. κἂν γε τουτῳί,
ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου.
ΚΛ. ἀλλ' οἵ γ' ἐμοὶ λέγουσιν ὡς ἄρξαι σε δεῖ
χώρας ἁπάσης ἐστεφανωμένον ῥόδοις.
ΑΛ. οὑμοὶ δέ γ' αὖ λέγουσιν ὡς ἁλουργίδα
ἔχων κατάπαστον καὶ στεφάνην ἐφ' ἅρματος
χρυσοῦ διώξει Σμικύθην καὶ κύριον.
ΔΗΜ. καὶ μὴν ἔνεγκ' αὐτοὺς ἰών, ἵν' οὑτοσὶ
αὐτῶν ἀκούσῃ. ΑΛ. πάνυ γε. ΔΗΜ. καὶ σύ νυν φέρε.
ΚΛ. ἰδού. ΑΛ. ἰδοὺ νὴ τὸν Δί'· οὐδὲν κωλύει.
ΧΟ. ἥδιστον φάος ἡμέρας
ἔσται τοῖσι παροῦσι πᾶ-
σιν καὶ τοῖς ἀφικνουμένοις,
ἢν Κλέων ἀπόληται.
καίτοι πρεσβυτέρων τινῶν
οἵων ἀργαλεωτάτων
ἐν τῷ δείγματι τῶν δικῶν
ἤκουσ' ἀντιλεγόντων,
ὡς εἰ μὴ 'γένεθ' οὗτος ἐν
τῇ πόλει μέγας, οὐκ ἂν ἤ-
στην σκεύη δύο χρησίμω,
δοῖδυξ οὐδὲ τορύνη.
ἀλλὰ καὶ τόδ' ἔγωγε θαυ-
μάζω τῆς ὑομουσίας
αὐτοῦ· φασὶ γὰρ αὐτὸν οἱ
παῖδες οἳ ξυνεφοίτων

973—984. = 985—996.

878. δῆτα om. RV aliique. 891. πονήρ'. ἰαιβοῖ D.] πόνηρε (πόνηρ' R). αἰβοῖ 893. τοῦτό γ' Bentleius] τοῦτ' περιήμπισχεν] περιήμπεσχεν R.
899. κόπρειος Brunckius. κοπρεῖος R. κόπριος ceteri.
903. ἀλαζονείαις D.] ἀλαζονείας R. ἀλαζονείᾳ ceteri. 913. ἀναλίσκοντα τῶν σαυτοῦ delet Cobetus.
921. δαλίων G. Schneiderus] τῶν δάιδων RV. τῶν δάδων vel τῶν δᾳδῶν ceteri. τῶν δᾳδίων Bentleius.

940. ἐπαποπνιγείης Elmsleius] ἀποπνιγείης
974. πᾶσιν addidit Dobraeus. 975. τοῖς R. τοῖσιν ceteri. ἀφικνουμένοις scholiasta] ἀφικνουμένοισιν
981. 'γένεθ' Scaliger] γένοιθ' libri et Suidas s. v. δοῖδυξ. 984. δοῖδυξ Suidas] δοίδυξ

τὴν Δωριστὶ μόνην ἐναρ-
μόττεσθαι θαμὰ τὴν λύραν,
ἄλλην δ' οὐκ ἐθέλειν μαθεῖν·
κᾆτα τὸν κιθαριστὴν
ὀργισθέντ' ἀπάγειν κελεύ-
ειν, ὡς ἁρμονίαν ὁ παῖς
οὗτος οὐ δύναται μαθεῖν
ἢν μὴ δωροδοκηστί.
ΚΛ. ἰδοὺ θέασαι, κοὐχ ἅπαντας ἐκφέρω.
ΑΛ. οἴμ' ὡς χεσείω, κοὐχ ἅπαντας ἐκφέρω. [μασας;
ΔΗΜ. ταυτὶ τί ἔστι; ΚΛ. λόγια. ΔΗΜ. πάντ'; ΚΛ. ἐθαύ-
καὶ νὴ Δί' ἔτι γέ μοὔστι κιβωτὸς πλέα.
ΑΛ. ἐμοὶ δ' ὑπερῷον καὶ ξυνοικία δύο.
ΔΗΜ. φέρ' ἴδω, τίνος γάρ εἰσιν οἱ χρησμοί ποτε;
ΚΛ. οὑμοὶ μέν εἰσι Βάκιδος. ΔΗΜ. οἱ δὲ σοὶ τίνος;
ΑΛ. Γλάνιδος, ἀδελφοῦ τοῦ Βάκιδος γεραιτέρου.
ΔΗΜ. εἰσὶν δὲ περὶ τοῦ; ΚΛ. περὶ Ἀθηνῶν, περὶ Πύλου,
περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων.
ΔΗΜ. οἱ σοὶ δὲ περὶ τοῦ; ΑΛ. περὶ Ἀθηνῶν, περὶ φα-
περὶ Λακεδαιμονίων, περὶ σκόμβρων νέων, [κῆς,
περὶ τῶν μετρούντων τἄλφιτ' ἐν ἀγορᾷ κακῶς,
περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων.
ΔΗΜ. ἄγε νυν ὅπως αὐτοὺς ἀναγνώσεσθέ μοι,
καὶ τὸν περὶ ἐμοῦ 'κεῖνον ᾧπερ ἥδομαι,
ὡς ἐν νεφέλαισιν ἀετὸς γενήσομαι.
ΚΛ. ἄκουε δή νυν καὶ πρόσεχε τὸν νοῦν ἐμοί.
Φράζευ, Ἐρεχθείδη, λογίων ὁδόν, ἥν σοι Ἀπόλλων
ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων.
σώζεσθαί σ' ἐκέλευσ' ἱερὸν κύνα καρχαρόδοντα,
ὃς πρὸ σέθεν λάσκων καὶ ὑπὲρ σοῦ δεινὰ κεκραγὼς
σοὶ μισθὸνποριεῖ, κἂν μὴ δρᾷς ταῦτ', ἀπολεῖται.
πολλοὶ γὰρ μίσει σφε κατακρώζουσι κολοιοί.
ΔΗΜ. ταυτὶ μὰ τὴν Δήμητρ' ἐγὼ οὐκ οἶδ' ὅ τι λέγει.
τί γάρ ἐστ' Ἐρεχθεῖ καὶ κολοιοῖς καὶ κυνί;
ΚΛ. ἐγὼ μέν εἰμ' ὁ κύων· πρὸ σοῦ γὰρ ἀπύω·
σοὶ δ' εἶπε σώζεσθαί μ' ὁ Φοῖβος τὸν κύνα.
ΑΛ. οὐ τοῦτό φησ' ὁ χρησμός, ἀλλ' ὁ κύων ὁδὶ
ὥσπερ θύρας σοῦ τῶν λογίων παρεσθίει.
ἐμοὶ γάρ ἐστ' ὀρθῶς περὶ τούτου τοῦ κυνός.
ΔΙΙΜ. λέγε νυν· ἐγὼ δὲ πρῶτα λήψομαι λίθον,
ἵνα μή μ' ὁ χρησμὸς ὁ περὶ τοῦ κυνὸς δάκῃ.
ΑΛ. Φράζευ, Ἐρεχθείδη, κύνα Κέρβερον ἀνδραποδιστήν,
ὃς κέρκῳ σαίνων σ', ὁπόταν δειπνῇς, ἐπιτηρῶν
ἐξέδεταί σοι τοὔψον, ὅταν σύ που ἄλλοσε χάσκῃς·
ἐσφοιτῶν τ' ἐς τοὐπτάνιον λήσει σε κυνηδὸν
νύκτωρ τὰς λοπάδας καὶ τὰς νήσους διαλείχων.
ΔΗΜ. νὴ τὸν Ποσειδῶ πολύ γ' ἄμεινον, ὦ Γλάνι.
ΚΛ. ὦ τᾶν, ἄκουσον, εἶτα διάκρινον τότε.
Ἔστι γυνή, τέξει δὲ λέονθ' ἱεραῖς ἐν Ἀθήναις,
ὃς περὶ τοῦ δήμου πολλοῖς κώνωψι μαχεῖται,
ὥστε περὶ σκύμνοισι βεβηκώς· τὸν σὺ φύλασσε,
τεῖχος ποιήσας ξύλινον πύργους τε σιδηροῦς.
ταῦτ' οἶσθ' ὅ τι λέγει; ΔΗΜ. μὰ τὸν Ἀπόλλω 'γὼ
ΚΛ. ἔφραζεν ὁ θεός σοι σαφῶς σώζειν ἐμέ· [μὲν οὔ.
ἐγὼ γὰρ ἀντὶ τοῦ λέοντός εἰμί σοι.
ΔΗΜ. καὶ πῶς μ' ἐλελήθης Ἀντιλέων γεγενημένος;
ΑΛ. ἓν οὐκ ἀναδιδάσκει σε τῶν λογίων ἑκὼν
μόνον, ὃ σιδηροῦν τεῖχός ἐστι καὶ ξύλον,
ἐν ᾧ σε σώζειν τόνδ' ἐκέλευσ' ὁ Λοξίας.
ΔΗΜ. πῶς δῆτα τοῦτ' ἔφραζεν ὁ θεός; ΑΛ. τουτονὶ
δῆσαί σ' ἐκέλευ' ἐν πεντεσυρίγγῳ ξύλῳ.
ΔΗΜ. ταυτὶ τελεῖσθαι τὰ λόγι' ἤδη μοι δοκεῖ.
ΚΛ. μὴ πείθου· φθονεραὶ γὰρ ἐπικρώζουσι κορῶναι.
ἀλλ' ἱέρακα φίλει μεμνημένος ἐν φρεσὶν ὥς σοι
ἤγαγε συνδήσας Λακεδαιμονίων κορακίνους.
ΑΛ. τοῦτό γέ τοι Παφλαγὼν παρεκινδύνευσε μεθυσθείς.
Κεκροπίδη κακόβουλε, τί τοῦθ' ἡγεῖ μέγα τοὔργον;
καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείῃ,
ἀλλ' οὐκ ἂν μαχέσαιτο· χέσαιτο γάρ, εἰ μαχέσαιτο.
ΚΛ. ἀλλὰ τόδε φράσσαι, πρὸ Πύλου Πύλον ἥν σοι ἔφρα-
ζεν. [Πύλοιο;
Ἔστι Πύλος πρὸ Πύλοιο ΔΗΜ. τί τοῦτο λέγει, πρὸ
ΑΛ. τὰς πυέλους φησὶν καταλήψεσθ' ἐν βαλανείῳ.
ΔΗΜ. ἐγὼ δ' ἄλουτος τήμερον γενήσομαι;
ΑΛ. οὗτος γὰρ ἡμῶν τὰς πυέλους ἀφήρπασεν.
ἀλλ' οὑτοσὶ γάρ ἐστι περὶ τοῦ ναυτικοῦ
ὁ χρησμός, ᾧ σε δεῖ προσέχειν τὸν νοῦν πάνυ.
ΔΗΜ. προσέχω· σὺ δ' ἀναγίγνωσκε, τοῖς ναύταισί μου
ὅπως ὁ μισθὸς πρῶτον ἀποδοθήσεται.
ΑΛ. Αἰγείδη, φράσσαι κυναλώπεκα, μή σε δολώσῃ,
λαίθαργον, ταχύπουν, δολίαν κερδώ, πολύιδριν.
οἶσθ' ὅ τι ἔστιν τοῦτο; ΔΗΜ. Φιλόστρατος ἡ κυ-
ναλώπηξ.
ΑΛ. οὐ τοῦτό φησιν, ἀλλὰ ναῦς ἑκάστοτε
αἰτεῖ ταχείας ἀργυρολόγους οὑτοσί·
ταύτας ἀπαυδᾷ μὴ διδόναι σ' ὁ Λοξίας.
ΔΗΜ. πῶς δὴ τριήρης ἐστὶ κυναλώπηξ; ΑΛ. ὅπως;
ὅτι ἡ τριήρης τ' ἐστὶ χὠ κύων ταχύ.
ΔΗΜ. πῶς οὖν ἀλώπηξ προσετέθη πρὸς τῷ κυνί;
ΑΛ. ἀλωπεκίοισι τοὺς στρατιώτας ᾔκασεν,
ὁτιὴ βότρυς τρώγουσιν ἐν τοῖς χωρίοις.
ΔΗΜ. εἶεν.
τούτοις ὁ μισθὸς τοῖς ἀλωπεκίοισι ποῦ;
ΑΛ. ἐγὼποριῶ καὶ τοῦτον ἡμερῶν τριῶν.
ἀλλ' ἔτι τόνδ' ἐπάκουσον, ὃν εἶπέ σοι ἐξαλέασθαι,
χρησμὸν Λητοΐδης, Κυλλήνην, μή σε δολώσῃ.
ΔΗΜ. ποίαν Κυλλήνην; ΑΛ. τὴν τούτου χεῖρ' ἐποίησεν
Κυλλήνην ὀρθῶς, ὁτιή φησ', ἔμβαλε κυλλῇ.
ΚΛ. οὐκ ὀρθῶς φράζει· τὴν Κυλλήνην γὰρ ὁ Φοῖβος
ἐς τὴν χεῖρ' ὀρθῶς ᾐνίξατο τὴν Διοπείθους.
ἀλλὰ γάρ ἐστιν ἐμοὶ χρησμὸς περὶ σοῦ πτερυγωτός,
αἰετὸς ὡς γίγνει καὶ πάσης γῆς βασιλεύσεις.
ΑΛ. καὶ γὰρ ἐμοί, καὶ γῆς καὶ τῆς ἐρυθρᾶς γε θαλάσσης,
χὤτι γ' ἐν Ἐκβατάνοις δικάσεις, λείχων ἐπίπαστα.
ΚΛ. ἀλλ' ἐγὼ εἶδον ὄναρ, καί μοὐδόκει ἡ θεὸς αὐτὴ
τοῦ δήμου καταχεῖν ἀρυταίνῃ πλουθυγίειαν.
ΑΛ. νὴ Δία καὶ γὰρ ἐγώ· καί μοὐδόκει ἡ θεὸς αὐτὴ
ἐκ πόλεως ἐλθεῖν καὶ γλαῦξ αὐτῇ 'πικαθῆσθαι·
εἶτα κατασπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ
ἀμβροσίαν κατὰ σοῦ, κατὰ τούτου δὲ σκοροδάλμην.
ΔΗΜ. ἰοὺ ἰού.

989. ἐναρμόττεσθαι D.] ἁρμόττεσθαι libri et Suidas s. v. Δωριστί. ἂν ἁρμόττεσθαι Aldus. 991. μαθεῖν] λαβεῖν Suidas l. c. 996. δωροδοκηστί] δωροδοκιστί RV. 1010. περὶ ἁπάντων πραγμάτων om. R et tres alii, addunt vero RV et quinque alii τὸ πέος οὑτοσὶ δάκοι, quae diversa est scriptura ad v. 1029. annotatн. 1018. πρὸ σέθεν Porsonus] πρόσθε vel πρόσθεν γρ. λάσκων V. χάσκων vel δάκνων ceteri. 1019. δρᾷς Bothius] δρᾷ 1026. θύρας] ἀθάρης Hermannus. 1032. σοι Cobetus] σου που] ποι Cobetus 1037. δὲ V ut in oraculo apud Herodotum 5, 92. τε ceteri. 1039. φύλασσε V aliique. φύλαξαι alii.

1046. μόνον, ὃ D.] ὃ μόνον τεῖχός ἐστι] ἐστι τεῖχος R. 1049. ἐκέλευ' ἐν] ἐκέλευσε R. ἐκέλευε ceteri. ἐν additum ex Etym. M. p. 346, 18. ubi verba ἐν πεντεσυρίγγῳ ξύλῳ afferuntur. 1052. ὥς σοι Bergkius] ὅς σοι 1056. ἀναθείῃ Cobetus] ἀναθείη 1058. φράσσαι D.] φράσαι R. φράζευ ceteri. 1062. Δήμῳ tribuit R. ἀφήρπασεν] ὑφήρπασεν Meinekius. 1074. τ' addidit Meinekius. 1080. τόνδ'] τοῦδ' Cobetus. 1087. βασιλεύσεις] βασιλεύεις R. 1089. γ' delet D.

οὐκ ἦν ἄρ' οὐδεὶς τοῦ Γλάνιδος σοφώτερος.
καὶ νῦν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονὶ
γεροντογωγεῖν κἀναπαιδεύειν πάλιν.
ΚΛ. μήπω γ', ἱκετεύω σ', ἀλλ' ἀνάμεινον, ὡς ἐγὼ
κριθὰςποριῶ σοι καὶ βίον καθ' ἡμέραν.
ΔΗΜ. οὐκ ἀνέχομαι κριθῶν ἀκούων· πολλάκις
ἐξηπατήθην ὑπό τε σοῦ καὶ Θουφάνους.
ΚΛ. ἀλλ' ἄλφιτ' ἤδη σοιποριῶ 'σκευασμένα.
ΑΛ. ἐγὼ δὲ μαζίσκας γε διαμεμαγμένας
καὶ τοὔψον ὀπτόν· μηδὲν ἄλλ' εἰ μὴ 'σθιε.
ΔΗΜ. ἀνύσατέ νυν, ὅ τι περ ποιήσεθ'· ὡς ἐγὼ,
ὁπότερος ἂν σφῷν εὖ με μᾶλλον αὖ ποιῇ,
τούτῳ παραδώσω τῆς πυκνὸς τὰς ἡνίας.
ΚΛ. τρέχοιμ' ἂν εἴσω πρότερος. ΑΛ. οὐ δῆτ', ἀλλ' ἐγώ.
ΧΟ. ὦ Δῆμε, καλήν γ' ἔχεις
ἀρχὴν, ὅτε πάντες ἄν-
θρωποι δεδίασί σ' ὥσ-
περ ἄνδρα τύραννον.
ἀλλ' εὐπαράγωγος εἶ,
θωπευόμενός τε χαί-
ρεις κἀξαπατώμενος,
πρὸς τόν τε λέγοντ' ἀεὶ
κέχηνας· ὁ νοῦς δέ σου
παρὼν ἀποδημεῖ.
ΔΗΜ. νοῦς οὐκ ἔνι ταῖς κόμαις
ὑμῶν, ὅτε μ' οὐ φρονεῖν
νομίζετ'· ἐγὼ δ' ἑκὼν
ταῦτ' ἠλιθιάζω.
αὐτός τε γὰρ ἥδομαι
βρύλλων τὸ καθ' ἡμέραν,
κλέπτοντά τε βούλομαι
τρέφειν ἕνα προστάτην.
τοῦτον δ', ὅταν ᾖ πλέως,
ἄρας ἐπάταξα.
ΧΟ. χοὔτω μὲν ἂν εὖ ποιοῖς,
εἴ σοι πυκνότης ἔνεστ'
ἐν τῷ τρόπῳ, ὡς λέγεις,
τούτῳ πάνυ πολλὴ,
εἰ τούσδ' ἐπίτηδες ὥσ-
περ δημοσίους τρέφεις
ἐν τῇ πυκνὶ, κᾆθ' ὅταν
μή σοι τύχῃ ὄψον ὂν,
τούτων ὃς ἂν ᾖ παχὺς,
θύσας ἐπιδειπνεῖς.
ΔΗΜ. σκέψασθε δέ μ', εἰ σοφῶς
αὐτοὺς περιέρχομαι,
τοὺς οἰομένους φρονεῖν
κἄμ' ἐξαπατύλλειν.
τηρῶ γὰρ ἑκάστοτ' αὐ-
τοὺς, οὐδὲ δοκῶν ὁρᾶν,
κλέπτοντας· ἔπειτ' ἀναγ-
κάζω πάλιν ἐξεμεῖν
ἅττ' ἂν κεκλόφωσί μου,
κημὸν καταμηλῶν.
ΚΛ. ἄπαγ' ἐς μακαρίαν ἐκποδών. ΑΛ. σύ γ', ὦ φθόρε.
ΚΛ. ὦ Δῆμ', ἐγὼ μέντοι παρεσκευασμένος
τρίπαλαι κάθημαι, βουλόμενός σ' εὐεργετεῖν.
ΑΛ. ἐγὼ δὲ δεκάπαλαί γε καὶ δωδεκάπαλαι
καὶ χιλιόπαλαι καὶ προπαλαιπαλαίπαλαι.
ΔΗΜ. ἐγὼ δὲ προσδοκῶν γε τρισμυριόπαλαι
βδελύττομαι σφὼ καὶ προπαλαιπαλαίπαλαι.

1111—1130. = 1131—1150.

ΑΛ. οἶσθ' οὖν ὃ δρᾶσον; ΔΗΜ. εἰ δὲ μὴ, φράσεις γε σύ.
ΑΛ. ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονὶ,
ἵνα σ' εὖ ποιῶμεν ἐξ ἴσου. ΔΗΜ. δρᾶν ταῦτα χρὴ
ἄπιτον. ΚΛ. ἰδού. ΔΗΜ. θέοιτ' ἄν. ΑΛ. ὑποθεῖν
οὐκ ἐῶ.
ΔΗΜ. ἀλλ' ἢ μεγάλως εὐδαιμονήσω τήμερον
ὑπὸ τῶν ἐραστῶν νὴ Δί' ἢ 'γὼ θρύψομαι.
ΚΛ. ὁρᾷς; ἐγώ σοι πρότερος ἐκφέρω δίφρον.
ΑΛ. ἀλλ' οὐ τράπεζαν, ἀλλ' ἐγὼ προτεραίτερος.
ΚΛ. ἰδοὺ φέρω σοι τήνδε μαζίσκην ἐγὼ
ἐκ τῶν ὀλῶν τῶν ἐκ Πύλου μεμαγμένην.
ΑΛ. ἐγὼ δὲ μυστίλας μεμυστιλημένας
ὑπὸ τῆς θεοῦ τῇ χειρὶ τἠλεφαντίνῃ.
ΔΗΜ. ὡς μέγαν ἄρ' εἶχες, ὦ πότνια, τὸν δάκτυλον.
ΚΛ. ἐγὼ δ' ἔτνος γε πίσινον εὔχρων καὶ καλόν·
ἐτόρυνε δ' αὔθ' ἡ Παλλὰς ἡ Πυλαιμάχος.
ΑΛ. ὦ Δῆμ', ἐναργῶς ἡ θεός σ' ἐπισκοπεῖ,
καὶ νῦν ὑπερέχει σου χύτραν ζωμοῦ πλέαν.
ΔΗΜ. οἴει γὰρ οἰκεῖσθ' ἂν ἔτι τήνδε τὴν πόλιν,
εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε τὴν χύτραν;
ΚΛ. τουτὶ τέμαχός σοὔδωκεν ἡ Φοβεσιστράτη.
ΑΛ. ἡ δ' Ὀβριμοπάτρα γ' ἐφθὸν ἐκ ζωμοῦ κρέας
καὶ χόλικος ἠνύστρου τε καὶ γαστρὸς τόμον.
ΔΗΜ. καλῶς γ' ἐποίησε τοῦ πέπλου μεμνημένη.
ΚΛ. ἡ Γοργολόφα σ' ἐκέλευσε τουτουὶ φαγεῖν
ἐλατῆρος, ἵνα τὰς ναῦς ἐλαύνωμεν καλῶς.
ΑΛ. λαβὲ καὶ ταδί νυν. ΔΗΜ. καὶ τί τούτοις χρήσομαι
τοῖς ἐντέροις; ΑΛ. ἐπίτηδες αὔτ' ἔπεμψέ σοι
ἐς τὰς τριήρεις ἐντερόνειαν ἡ θεός·
ἐπισκοπεῖ γὰρ περιφανῶς τὸ ναυτικόν.
ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.
ΔΗΜ. ὡς ἡδὺς, ὦ Ζεῦ, καὶ τὰ τρία φέρων καλῶς.
ΑΛ. ἡ Τριτογενὴς γὰρ αὐτὸν ἐνετριτώνισεν.
ΚΛ. λαβέ νυν πλακοῦντος πίονος παρ' ἐμοῦ τόμον.
ΑΛ. παρ' ἐμοῦ δ' ὅλον γε τὸν πλακοῦντα τουτονί.
ΚΛ. ἀλλ' οὐ λαγῷ' ἕξεις ὁπόθεν δῷς, ἀλλ' ἐγώ.
ΑΛ. οἴμοι. πόθεν λαγῷά μοι γενήσεται;
ὦ θυμέ, νυνὶ βωμολόχον ἔξευρέ τι.
ΚΛ. ὁρᾷς τάδ', ὦ κακόδαιμον; ΑΛ. ὀλίγον μοι μέλει·
ἐκεινοιὶ γὰρ ὡς ἔμ' ἔρχονταί τινες
πρέσβεις ἔχοντες ἀργυρίου βαλλάντια. [νους;
ΚΛ. ποῦ ποῦ; ΑΛ. τί δέ σοι τοῦτ'; οὐκ ἐάσεις τοὺς ξέ-
ὦ Δημίδιον, ὁρᾷς τὰ λαγῷ' ἅ σοι φέρω;
ΚΛ. οἴμοι τάλας, ἀδίκως γε τἄμ' ὑφήρπασας.
ΑΛ. νὴ τὸν Ποσειδῶ, καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου.
ΔΗΜ. εἴπ', ἀντιβολῶ, πῶς ἐπενόησας ἁρπάσαι;
ΑΛ. τὸ μὲν νόημα τῆς θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν.
ΚΛ. ἐγὼ δ' ἐκινδύνευσ', ἐγὼ δ' ὤπτησά γε.
ΔΗΜ. ἄπιθ'· οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις.
ΚΛ. οἴμοι κακοδαίμων, ὑπεραναιδισθήσομαι.
ΑΛ. τί οὐ διακρίνεις, Δῆμ', ὁπότερός ἐστι νῷν
ἀνὴρ ἀμείνων περὶ σὲ καὶ τὴν γαστέρα;
ΔΗΜ. τῷ δῆτ' ἂν ὑμᾶς χρησάμενος τεκμηρίῳ
δόξαιμι κρίνειν τοῖς θεαταῖσιν σοφῶς;
ΑΛ. ἐγὼ φράσω σοι. τὴν ἐμὴν κίστην ἰὼν
ξύλλαβε σιωπῇ, καὶ βασάνισον ἅττ' ἔνι,
καὶ τὴν Παφλαγόνος· κἀμέλει κρινεῖς καλῶς.

---

1108. αὖ Reisigius] ἂν 1151. ἄπαγ'] γρ. ἔρρ' apud schol. 1155. 1157. προπαλαιπαλαίπαλαι D.] προπάλαι πάλαι πάλαι 1158. εἰ δὲ (sic R: εἴ γε ceteri) μὴ, φράσεις] εἴσομ', ἣν φράσῃς Porsonus.

1163. ἢ 'γὼ θρύψομαι] ἢ 'πιτρίψομαι Kockius. 1196. ἐκεινοιὶ Elmsleius] ἐκεῖνοι ἔρχονται. ΚΛ. τίνες; ΑΛ. πρέσβεις libri. Correctum ex schol. 1204. ΑΛ. ante ἐγὼ δ' ὤπτησά γε delevit Bothius. 1206. ὑπεραναιδισθήσομαι D.] ὑπεραναιδεσθήσομαι libri et Suidas s. h. v. ὑπεραναιδευθήσομαι H. Stephanus in Thesauro. Antiatticista Bekkeri p. 80, 30. ἀναιδίζεσθαι: Ἀριστοφάνης Ἱππεῦσιν. ἀναιδεύεται est v. 398, nisi illic quoque ἀναιδίζεται scribendum. 1211. τὴν] τήν τ' Meinekius.

ΔΗΜ. φέρ' ἴδω, τί οὖν ἔνεστιν; ΑΛ. οὐχ ὁρᾷς κενήν,
ὦ παππίδιον; ἅπαντα γάρ σοι παρεφόρουν.
ΔΗΜ. αὕτη μὲν ἡ κίστη τὰ τοῦ δήμου φρονεῖ.
ΑΛ. βάδιζέ νυν καὶ δεῦρο πρὸς τὴν Παφλαγόνος.
ὁρᾷς τάδ'; ΔΗΜ. οἴμοι τῶν ἀγαθῶν ὅσων πλέα.
ὅσον τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο·
ἐμοὶ δ' ἔδωκεν ἀποτεμὼν τυννουτονί.
ΑΛ. τοιαῦτα μέντοι καὶ πρότερον εἰργάζετο.
σοὶ μὲν προσεδίδου μικρὸν ὧν ἐλάμβανεν,
αὐτὸς δ' ἑαυτῷ παρετίθει τὰ μείζονα.
ΔΗΜ. ὦ μιαρὲ, κλέπτων δή με ταῦτ' ἐξηπάτας;
ἐγὼ δέ τυ ἐστεφάνιξα κάδωρησάμαν.
ΚΛ. ἐγὼ δ' ἔκλεπτον ἐπ' ἀγαθῷ γε τῇ πόλει.
ΔΗΜ. κατάθου ταχέως τὸν στέφανον, ἵν' ἐγὼ τουτῳὶ
αὐτὸν περιθῶ. ΑΛ. κατάθου ταχέως, μαστιγία.
ΚΛ. οὐ δῆτ', ἐπεί μοι χρησμός ἐστι Πυθικὸς
φράζων ὑφ' οὗ χρεών ἔμ' ἡττᾶσθαι μόνου.
ΑΛ. τοὐμόν γε φράζων ὄνομα καὶ λίαν σαφῶς.
ΚΛ. καὶ μὴν σ' ἐλέγξαι βούλομαι τεκμηρίῳ,
εἴ τι ξυνοίσεις τοῦ θεοῦ τοῖς θεσφάτοις.
καί σου τοσοῦτον πρῶτον ἐκπειράσομαι·
παῖς ὢν ἐφοίτας ἐς τίνος διδασκάλου;
ΑΛ. ἐν ταῖσιν εὕστραις κονδύλοις ἡρμοττόμην.
ΚΛ. πῶς εἶπας; ὥς μοὺ χρησμὸς ἅπτεται φρενῶν.
εἶεν.
ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανες;
ΑΛ. κλέπτων ἐπιορκεῖν καὶ βλέπειν ἐναντία.
ΚΛ. ὦ Φοῖβ' Ἄπολλον Λύκιε, τί ποτέ μ' ἐργάσει;
τέχνην δὲ τίνα ποτ' εἶχες ἐξανδρούμενος;
ΑΛ. ἠλλαντοπώλουν καί τι καὶ βινεσκόμην.
ΚΛ. οἴμοι κακοδαίμων· οὐκέτ' οὐδέν εἰμ' ἐγώ.
λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα.
καί μοι τοσοῦτον εἰπέ· πότερον ἐν ἀγορᾷ
ἠλλαντοπώλεις ἐτεὸν ἢ 'πὶ ταῖς πύλαις;
ΑΛ. ἐπὶ ταῖς πύλαισιν, οὗ τὸ τάριχος ὤνιον.
ΚΛ. οἴμοι πέπρακται τοῦ θεοῦ τὸ θέσφατον.
κυλίνδετ' εἴσω τόνδε τὸν δυσδαίμονα.
ὦ στέφανε, χαίρων ἄπιθι, καί σ' ἄκων ἐγὼ
λείπω· σὲ δ' ἄλλος τις λαβὼν κεκτήσεται,
κλέπτης μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
ΑΛ. Ἑλλάνιε Ζεῦ, σὸν τὸ νικητήριον.
ΧΟ. ὦ χαῖρε καλλίνικε, καὶ μέμνησ' ὅτι
ἀνὴρ γεγένησαι δι' ἐμέ· καί σ' αἰτῶ βραχὺ,
ὅπως ἔσομαί σοι Φανὸς ὑπογραφεὺς δικῶν.
ΔΗΜ. ἐμοὶ δέ γ' ὅ τι σοι τοὔνομ' εἴπ'. ΑΛ. Ἀγοράκριτος·
ἐν τἀγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην.
ΔΗΜ. Ἀγορακρίτῳ τοίνυν ἐμαυτὸν ἐπιτρέπω,
καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί.
ΑΛ. καὶ μὴν ἐγώ σ', ὦ Δῆμε, θεραπεύσω καλῶς,
ὥσθ' ὁμολογεῖν σε μηδέν' ἀνθρώπων ἐμοῦ
ἰδεῖν ἀμείνω 'ν τῇ Κεχηναίων πόλει.
ΧΟ. τί κάλλιον ἀρχομένοισιν
ἢ καταπαυομένοισιν

1263—1289. = 1290—1315.

ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν, μηδὲν ἐς Λυσί-
στρατον, [καρδίᾳ;
μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυπεῖν ἑκούσῃ
καὶ γὰρ οὗτος, ὦ φίλ' Ἄπολλον, ἀεὶ πεινῇ θαλε-
ροῖς δακρύοισιν [νεσθαι.
σᾶς ἁπτόμενος φαρέτρας Πυθῶνι δίᾳ μὴ κακῶς πέ-
λοιδορῆσαι τοὺς πονηροὺς οὐδέν ἐστ' ἐπίφθονον,
ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται.
εἰ μὲν οὖν ἄνθρωπος, ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακὰ,
αὐτὸς ἦν ἔνδηλος, οὐκ ἂν ἀνδρὸς ἐμνήσθην φίλου.
νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται,
ὅστις ἢ τὸ λευκὸν οἶδεν ἢ τὸν ὄρθιον νόμον.
ἔστιν οὖν ἀδελφὸς αὐτῷ τοὺς τρόπους οὐ ξυγγενὴς,
Ἀριφράδης πονηρός. ἀλλὰ τοῦτο μὲν καὶ βούλεται·
ἔστι δ' οὐ μόνον πονηρὸς, οὐ γὰρ οὐδ' ἂν ᾐσθόμην,
οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξηύρηκέ τι.
τὴν γὰρ αὑτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λυμαί-
νεται,
ἐν κασωρείοισι λείχων τὴν ἀπόπτυστον δρόσον,
καὶ μολύνων τὴν ὑπήνην καὶ κυκῶν τὰς ἐσχάρας,
καὶ Πολυμνήστεια ποιῶν καὶ ξυνὼν Οἰωνίχῳ.
ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα βδελύττεται,
οὔ ποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.
ἢ πολλάκις ἐννυχίαισι
φροντίσι συγγεγένημαι,
καὶ διεζήτηχ' ὁπόθεν ποτὲ φαύλως ἐσθίει Κλεώνυ-
μος. [ἀνέρων
φασὶ μὲν γὰρ αὐτὸν ἐρεπτόμενον τὰ τῶν ἐχόντων
οὐκ ἂν ἐξελθεῖν ἀπὸ τῆς σιπύης· τοὺς δ' ἀντιβο-
λεῖν ἂν ὁμοίως· [τραπέζῃ.
ἴθ' ὦ ἄνα, πρὸς γονάτων, ἔξελθε καὶ σύγγνωθι τῇ
φασὶν ἀλλήλαις ξυνελθεῖν τὰς τριήρεις ἐς λόγον,
καὶ μίαν λέξαι τιν' αὐτῶν, ἥτις ἦν γεραιτέρα·
οὐδὲ πυνθάνεσθε ταῦτ', ὦ παρθένοι, τἀν τῇ πόλει;
φασὶν αἰτεῖσθαί τιν' ἡμῶν ἑκατὸν ἐς Καλχηδόνα
ἄνδρα μοχθηρὸν πολίτην, ὀξίνην Ὑπέρβολον·
ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο κοὐκ ἀνασχετὸν,
καί τιν' εἰπεῖν, ἥτις ἀνδρῶν ἆσσον οὐκ εἰληλύθει·
ἀποτρόπαι', οὐ δῆτ' ἐμοῦ γ' ἄρξει ποτ', ἀλλ' ἐάν
με χρῇ,
ὑπὸ τερηδόνων σαπεῖσ' ἐνταῦθα καταγηράσομαι·
οὐδὲ Ναυφάντης γε τῆς Ναύσωνος, οὐ δῆτ', ὦ θεοὶ,
εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην.
ἢν δ' ἀρέσκῃ ταῦτ' Ἀθηναίοις, καθῆσθαί μοι δοκεῖ
ἐς τὸ Θησεῖον πλεούσας ἢ 'πὶ τῶν σεμνῶν θεῶν.
οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει·
ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας, εἰ βούλεται,
τὰς σκάφας, ἐν αἷς ἐπώλει τοὺς λύχνους, καθελκύ-
σας.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

εὐφημεῖν χρὴ καὶ στόμα κλῄειν καὶ μαρτυριῶν ἀπ-
έχεσθαι, [γηθεν,
καὶ τὰ δικαστήρια συγκλῄειν, οἷς ἡ πόλις ἥδε γέ-
ἐπὶ καιναῖσιν δ' εὐτυχίαισιν παιωνίζειν τὸ θέατρον.
ΧΟ. ὦ ταῖς ἱεραῖς φέγγος Ἀθήναις καὶ ταῖς νήσοις ἐπί-
κουρε,

---

1217. βάδιζέ νυν Cobetus] βάδιζε γοῦν. βάδιζε δ' οὖν Sauppius. 1218. τάδ' addidit Elmsleius. 1221. εἰργάζετο] ἠργάζετο R. 1225. τυ] τοι R aliique nonnulli. κάδωρησάμαν V. κάδωρησάμην ceteri. Fortasse κάδωρυξάμαν. 1230. χρεών ἔμ' D.] δεήσει μ'. Sic Aesch. Prom. 996. φράσαι | πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος. 1234. τοσοῦτον D.] τοσοῦτο 1237. μοὺ (i. e. μοι ὁ) D.] μου ('μοῦ V.) 1238. εἶεν om. R. 1242. καί τι καὶ Meinekius] Κλ. καὶ τί; Ἀλλ. καὶ 1254—1256. Demostheni tribuit R. 1256. Φανὸς] Vel Φᾶνος: de quo vid. Lehrs. Aristarch. p. 280. ed. sec. 1262. 'ν addidit Hirschigius.

1270. οὗτος D.] οὑτοσὶ ἀεὶ addidit D. δακρύοισιν D.] δακρύοις 1271. δίᾳ μὴ D.] ἐν δίᾳ 1280. ἔστιν] ἔστι δ' Meinekius. 1285. κασωρίοισι (κασωρείοισι Cobetus) ex Stephano Byz. s. v. Κασώριον] κασαυρίοισι 1295. μὲν addidit Bentleius. 1296. ἂν ὁμοίως R. ἀνομοίως vel ἀλλ' ὅμως ceteri. 1303. Καλχηδόνα Casaubonus] Καρχηδόνα 1306. εἰληλύθει Meinekius] ἐληλύθει. Vid. ad Acharn. 16. 1307. χρῇ D.] χρή 1311. δοκεῖ Bentleius] δοκῶ 1312. πλεούσας Reiskius] πλεούσαις 1316. κλῄειν (et συγκλῄειν v. 1317.) hic et alibi restitutum pro κλείειν.

τίν' ἔχων φήμην ἀγαθὴν ἥκεις, ἐφ' ὅτῳ κνισῶμεν
ἀγυιάς; [ποίηκα.
ΑΓ. τὸν Δῆμον ἀφεψήσας ὑμῖν καλὸν ἐξ αἰσχροῦ πε-
ΧΟ. καὶ ποῦ 'στιν νῦν, ὦ θαυμαστὰς ἐξευρίσκων ἐπι-
νοίας; [ναις.
ΑΓ. ἐν ταῖσιν ἰοστεφάνοις οἰκεῖ ταῖς ἀρχαίαισιν 'Αθή-
ΧΟ. πῶς ἂν ἴδοιμεν; ποίαν τιν' ἔχει σκευήν; ποῖος γε-
γένηται; [σίτει.
ΑΓ. οἷός περ 'Αριστείδῃ πρότερον καὶ Μιλτιάδῃ ξυνε-
δὼψεσθε δέ· καὶ γὰρ ἀνοιγνυμένων ψόφος ἤδη τῶν
πορπυλαίων. [ναις
ἀλλ' ὀλολύξατε φαινομέναισιν ταῖς ἀρχαίαισιν 'Αθή-
καὶ θαυμασταῖς καὶ πολυύμνοις, ἵν' ὁ κλεινὸς Δῆ-
μος ἐνοικεῖ. [ναι,
ΧΟ. ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀριζήλωτοι 'Αθῆ-
δείξατε τὸν τῆς 'Ελλάδος ἡμῖν καὶ τῆς γῆς τῆσδε
μόναρχον.
ΑΓ. ὅδ' ἐκεῖνος ὁρᾶν τεττιγοφόρας, ἀρχαίῳ σχήματι
λαμπρός, [πτος.
οὐ χοιρινῶν ὄζων, ἀλλὰ σπονδῶν, σμύρνῃ κατάλει-
ΧΟ. χαῖρ', ὦ βασιλεῦ τῶν 'Ελλήνων· καί σοι ξυγχαίρο-
μεν ἡμεῖς. [τροπαίου.
τῆς γὰρ πόλεως ἄξια πράττεις καὶ τοῦ Μαραθῶνι
ΔΗΜ. ὦ φίλτατ' ἀνδρῶν, ἐλθὲ δεῦρ', 'Αγοράκριτε.
ὅσα με δέδρακας ἀγάθ' ἀφεψήσας. ΑΓ. ἐγώ;
ἀλλ', ὦ μέλ', οὐκ οἶσθ' οἷος ἦσθ' αὐτὸς πάρος,
οὐδ' οἷ' ἔδρας· ἐμὲ γὰρ νομίζοις ἂν θεόν.
ΔΗΜ. τί δ' ἔδρων πρὸ τοῦ, κάτειπε, καὶ ποῖός τις ἦ;
ΑΓ. πρῶτον μέν, ὁπότ' εἴποι τις ἐν τἠκκλησίᾳ
"ὦ Δῆμ', ἐραστής εἰμι σὸς φιλῶ τέ σε
καὶ κήδομαί σου καὶ προβουλεύω μόνος,"
τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις,
ἀνωρτάλιζες κἀκερουτίας. ΔΗΜ. ἐγώ;
ΑΓ. εἶτ' ἐξαπατήσας σ' ἀντὶ τούτων ᾤχετο.
ΔΗΜ. τί φῄς;
ταυτί μ' ἔδρων, ἐγὼ δὲ τοῦτ' οὐκ ᾐσθόμην;
ΑΓ. τὰ δ' ὦτά γ' ἄν σου νὴ Δί' ἐξεπετάννυτο
ὥσπερ σκιάδειον καὶ πάλιν ξυνήγετο.
ΔΗΜ. οὕτως ἀνόητος ἐγεγενήμην καὶ γέρων;
ΑΓ. καὶ νὴ Δί' εἴ γε δύο λεγοίτην ῥήτορε,
ὁ μὲν ποιεῖσθαι ναῦς μακράς, ὁ δ' ἕτερος αὖ
καταμισθοφορῆσαι τοῦθ', ὁ τὸν μισθὸν λέγων
τὸν τὰς τριήρεις παραδραμὼν ἂν ᾤχετο.
οὗτος, τί κύπτεις; οὐχὶ κατὰ χώραν μενεῖς;
ΔΗΜ. αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις.
ΑΓ. ἀλλ' οὐ σὺ τούτων αἴτιος, μὴ φροντίσῃς,
ἀλλ' οἵ σε ταῦτ' ἐξηπάτων. νυνδὶ φράσον·
ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος
"οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἄλφιτα,
εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην",
τοῦτον τί δράσεις, εἰπέ, τὸν ξυνήγορον;
ΔΗΜ. ἄρας μετέωρον ἐς τὸ βάραθρον ἐμβαλῶ,
ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας 'Υπέρβολον.
ΑΓ. τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις·
τὰ δ' ἄλλα, φέρ' ἴδω, πῶς πολιτεύσει φράσον.
ΔΗΜ. πρῶτον μὲν ὁπόσοι ναῦς ἐλαύνουσιν μακράς,
καταγομένοις τὸν μισθὸν ἀποδώσω 'ντελῆ.
ΑΓ. πολλοῖς γ' ὑπολίσφοις πυγιδίοισιν ἐχαρίσω.
ΔΗΜ. ἔπειθ' ὁπλίτης ἐντεθεὶς ἐν καταλόγῳ
οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται,
ἀλλ' ὥσπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.
ΑΓ. τοῦτ' ἔδακε τὸν πόρπακα τὸν Κλεωνύμου.
ΔΗΜ. οὐδ' ἀγορασἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.
ΑΓ. ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;
ΔΗΜ. τὰ μειράκια ταυτὶ λέγω, τἀν τῷ μύρῳ,
ἃ στωμυλεῖται τοιαδὶ καθήμενα
"σοφός γ' ὁ Φαίαξ, δεξιῶς τε κατέμαθεν·
ξυνερτικὸς γάρ ἐστι καὶ περαντικός,
καὶ γνωμοτυπικὸς καὶ σαφὴς καὶ κρουστικός,
καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ."
ΑΓ. οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ;
ΔΗΜ. μὰ Δί', ἀλλ' ἀναγκάσω κυνηγετεῖν ἐγὼ
τούτους ἅπαντας παυσαμένους ψηφισμάτων.
ΑΓ. ἔχε νυν ἐπὶ τούτοις τουτονὶ τὸν ὀκλαδίαν,
καὶ παῖδ' ἐνόρχην, ὅσπερ οἴσει τόνδε σοι·
κἄν που δοκῇ σοι, τοῦτον ὀκλαδίαν ποίει.
ΔΗΜ. μακάριος ἐς τἀρχαῖα δὴ καθίσταμαι.
ΑΓ. φήσεις γ', ἐπειδὰν τὰς τριακοντούτιδας
σπονδὰς παραδῶ σοι. δεῦρ' ἴθ' αἱ Σπονδαὶ ταχύ.
ΔΗΜ. ὦ Ζεῦ πολυτίμηθ', ὡς καλαί· πρὸς τῶν θεῶν,
ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι;
πῶς ἔλαβες αὐτὰς ἐτεόν; ΑΓ. οὐ γὰρ ὁ Παφλαγὼν
ἀπέκρυπτε ταύτας ἔνδον, ἵνα σὺ μὴ λάβοις;
νῦν οὖν ἐγώ σοι παραδίδωμ' ἐς τοὺς ἀγροὺς
αὐτὰς ἰέναι λαβόντα. ΔΗΜ. τὸν δὲ Παφλαγόνα,
ὃς ταῦτ' ἔδρασεν, εἴφ' ὅ τι ποιήσεις κακόν.
ΑΓ. οὐδὲν μέγ' ἀλλ' ἢ τὴν ἐμὴν ἕξει τέχνην·
ἐπὶ ταῖς πύλαις ἀλλαντοπωλήσει μόνος,
τὰ κύνεια μιγνὺς τοῖς ὀνείοις πράγμασιν,
μεθύων τε ταῖς πόρναισι λοιδορήσεται,
κἀκ τῶν βαλανείων πίεται τὸ λούτριον.
ΔΗΜ. εὖ γ' ἐπενόησας οὗπέρ ἐστιν ἄξιος,
πόρναισι καὶ βαλανεῦσι διακεκραγέναι,
καί σ' ἀντὶ τούτων ἐς τὸ πρυτανεῖον καλῶ
ἐς τὴν ἕδραν θ', ἵν' ἐκεῖνος ἦν ὁ φαρμακός.
ἕπου δὲ ταυτηνὶ λαβὼν τὴν βατραχίδα·
κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην,
ἵν' ἴδωσιν αὐτόν, οἷς ἐλωβᾶθ', οἱ ξένοι.

---

1324. ἴδοιμεν Brunckius] ἴδωμεν τιν' addidit Porsonus. ποῖος Reisigius] καὶ ποῖος 1331. τεττιγοφόρας Porsonus ex Hesychio] τεττιγοφόρος 1334. τοῦ Μαραθῶνι Bentleius] τοὐμμαραθῶνι R. τοῦ 'ν μαραθῶνι ceteri. 1346. ᾐσθόμην] ᾔδειν RV aliique. 1350. Δί' εἴ γε Porsonus] Δία γ' εἰ 1352. τοῦθ' codices duo. τοῦτό θ' alii duo. τούτων R. τοῦτον ceteri. 1357. νυνδὶ Seidlerus] νῦν δὲ 1368. ὑπολίσφοις Brunckius] ὑπολίσποις 1369. ὁπλίτης Fr. Thierschius] ὁ πολίτης 1373. ἀγορασἀγένειος D.] ἀγοράσει γ' (τ' R) οὐδεὶς ἐν ἀγορᾷ] οὐδεὶς ἐν τἀγορᾷ V. ἐν τ' ἀγορᾶι οὐδείς R. 1377. τε κατέμαθεν D.] τ' οὐκ ἀπέθανε. In cod. Paris. A. δεξιῶς ἐμάνθανε. 1378. ξυνερτικὸς D.] συνερκτικὸς vel ξυνερκτικὸς 1392. αὐτὰς Bentleius] ταύτας 1393. ἀπέκρυπτε ταύτας] ἀπέκρυπτεν αὐτὰς Hirschigius. λάβοις Brunckius] λάβῃς 1401. λούτριον Elmsleius] λοῦτρον 1405. ἦν] ᾖσθ' Meinekius. Post v. 1408. chori versus aliquot excidisse coniecit Bergkius.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΑΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΣΤΡΕΨΙΑΔΗΣ.
ΦΕΙΔΙΠΠΙΔΗΣ.
ΘΕΡΑΠΩΝ ΣΤΡΕΨΙΑΔΟΥ.
ΜΑΘΗΤΑΙ ΣΩΚΡΑΤΟΥΣ.
ΣΩΚΡΑΤΗΣ.
ΧΟΡΟΣ ΝΕΦΕΛΩΝ.
ΔΙΚΑΙΟΣ ΛΟΓΟΣ.
ΑΔΙΚΟΣ ΛΟΓΟΣ.
ΠΑΣΙΑΣ, δανειστής.
ΑΜΥΝΙΑΣ, δανειστής.
ΜΑΡΤΥΣ.
ΧΑΙΡΕΦΩΝ.

## ΥΠΟΘΕΣΙΣ.

I. Πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς δεῖται τούτου φοιτήσαντα ὡς τὸν Σωκράτην μαθεῖν τὸν ἥττονα λόγον, εἴ πως δύναιτο τὰ ἄδικα λέγων ἐν τῷ δικαστηρίῳ τοὺς χρήστας νικᾶν καὶ μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδοῦναι. οὐ βουλομένου δὲ τοῦ μειρακίσκου διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν μαθητὴν τοῦ Σωκράτους ἐκκαλέσας τινὰ διαλέγεται. ἐκκυκληθείσης δὲ τῆς διατριβῆς οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται καὶ αὐτὸς ὁ Σωκράτης ἐπὶ κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖ παραλαβὼν τὸν πρεσβύτην, καὶ τοὺς νομιζομένους παρ' αὐτῷ θεούς, Ἀέρα, προσέτι δὲ καὶ Αἰθέρα καὶ Νεφέλας κατακαλεῖται. πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι ἐν σχήματι χοροῦ καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους ἀποκαταστᾶσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ δὲ ταῦτα ὁ μὲν πρεσβύτης διδασκόμενος ἐν τῷ φανερῷ τινὰ τῶν μαθημάτων γελωτοποιεῖ, καὶ ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιστηρίου ἐκβάλλεται, ἄγων πρὸς βίαν τὸν υἱὸν συνίστησι τῷ Σωκράτει. τούτου δὲ ἐξαγαγόντος αὐτῷ ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνισθεὶς ὁ ἄδικος πρὸς τὸν δίκαιον λόγον, καὶ παραλαβὼν αὐτὸν ὁ ἄδικος λόγος ἐκδιδάσκει, κομισάμενος δὲ αὐτὸν ὁ πατὴρ ἐκπεπονημένον ἐπηρεάζει τοῖς χρήσταις καὶ ὡς κατωρθωκὼς εὐωχεῖ παραλαβών. γενομένης δὲ περὶ τὴν εὐωχίαν ἀντιλογίας πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἵστησι, καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀντιτύπτεσθαι, ὑπεραλγῶν διὰ τὴν πρὸς τὸν υἱὸν σύγκρουσιν ὁ γέρων κατασκάπτει καὶ ἐμπίπρησι τὸ φροντιστήριον τῶν Σωκρατικῶν. τὸ δὲ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων.

II. Φασὶ τὸν Ἀριστοφάνην γράψαι τὰς Νεφέλας ἀναγκασθέντα ὑπὸ Ἀνύτου καὶ Μελήτου, ἵνα προδιασκέψαιντο ποῖοί τινες εἶεν Ἀθηναῖοι κατὰ Σωκράτους ἀκούοντες. ηὐλαβοῦντο γάρ, ὅτι πολλοὺς εἶχεν ἐραστάς, καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητήν. ὁ δὲ πρόλογός ἐστι τῶν Νεφελῶν ἁρμοδιώτατα καὶ δεξιώτατα συγκείμενος. πρεσβύτης γάρ ἐστιν ἄγροικος ἀχθόμενος παιδὶ ἀστικοῦ φρονήματος γέμοντι καὶ τῆς εὐγενείας εἰς πολυτέλειαν ἀπολελαυκότι. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν

οἰκία, ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος ὁ μειρακίσκος, ἐξ ἀρχῆς, ὥς φησιν Ἡρόδοτος, τεθριπποτρόφος ἦν καὶ πολλὰς ἀνῃρημένη νίκας, τὰς μὲν Ὀλυμπίασι, τὰς δὲ Πυθοῖ, ἐνίας δὲ Ἰσθμοῖ καὶ Νεμέᾳ καὶ ἐν ἄλλοις πολλοῖς ἀγῶσιν. εὐδοκιμοῦσαν οὖν ὁρῶν ὁ νεανίσκος ἀπέκλινε πρὸς τὸ ἔθος τῶν πρὸς μητρὸς προγόνων.

III. Τὴν μὲν κωμῳδίαν καθῆκε κατὰ Σωκράτους, ὡς τοιαῦτα νομίζοντος καὶ Νεφέλας καὶ Ἀέρα καὶ τί γὰρ ἀλλ' ἢ ξένους εἰσάγοντος δαίμονας. χορῷ δὲ ἐχρήσατο Νεφελῶν πρὸς τὴν τοῦ ἀνδρὸς κατηγορίαν, καὶ διὰ τοῦτο οὕτως ἐπεγράφη τὸ δρᾶμα. διτταὶ δὲ φέρονται Νεφέλαι. οἱ δὲ κατηγορήσαντες Σωκράτους Μέλητος καὶ Ἄνυτος.

IV. Αἱ πρῶται Νεφέλαι[a] ἐν ἄστει ἐδιδάχθησαν ἐπὶ ἄρχοντος Ἰσάρχου· ὅτε Κρατῖνος μὲν ἐνίκα Πυτίνῃ, Ἀμειψίας δὲ Κόννῳ. διόπερ Ἀριστοφάνης ἀπορριφθεὶς παραλόγως ᾠήθη δεῖν ἀναδιδάξαι τὰς Νεφέλας [τὰς δευτέρας] καὶ ἀπομέμφεσθαι τὸ θέατρον. ἀποτυχὼν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα οὐκέτι τὴν διασκευὴν εἰσήγαγεν. αἱ δὲ δεύτεραι Νεφέλαι ἐπὶ Ἀμεινίου ἄρχοντος.

V. Τὸ δρᾶμα τὸ τῶν Νεφελῶν κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι, τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἐχόντων τινὰ ἀντιλογίαν, οὐχ, ὥς τινες, δι' Ἀρχέλαον τὸν Μακεδόνων βασιλέα, ὅτι προύκρινεν αὐτὸν Ἀριστοφάνους.

VI. Τοῦτο ταυτόν ἐστι τῷ προτέρῳ, διεσκεύασται δὲ ἐπὶ μέρους, ὡς ἂν δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ποιητοῦ προθυμηθέντος, οὐκέτι δὲ τοῦτο δι' ἥν ποτε αἰτίαν ποιήσαντος. καθόλου μὲν οὖν σχεδὸν παρὰ πᾶν μέρος γεγενημένη διόρθωσις. τὰ μὲν γὰρ περιῄρηται, τὰ δὲ παραπέπλεκται, καὶ ἐν τῇ τάξει καὶ ἐν τῇ τῶν προσώπων διαλλαγῇ μετεσχημάτισται, τὰ δὲ ὁλοσχεροῦς τῆς διασκευῆς τοιαῦτα ὄντα τετύχηκεν· αὐτίκα ἡ παράβασις τοῦ χοροῦ ἤμειπται, καὶ ὅπου ὁ δίκαιος λόγος πρὸς τὸν ἄδικον λαλεῖ, καὶ τελευταῖον ὅπου καίεται ἡ διατριβὴ Σωκράτους.

[a] Αἱ πρῶται Νεφέλαι] De duplici Nubium editione dixi in Fragmentorum editione Oxoniensi p. 507—513. De loco Diogenis L. 2, 18., de quo ibi dixi p. 511—513. addendum omnia illa ἐδόκει δὲ συμποιεῖν usque ad verba οὗτός ἐστι τὰς σοφάς non esse ab Diogene scripta, sed margini olim adscripta fuisse ex Vita Euripidis loco alieno: quod demonstravit L. Dindorfius in Praefat. ad Xenophontis Memorabilium editionem Oxoniensem p. XIX. XX.

ΣΤΡΕΨΙΑΔΗΣ.

Ἰοὺ ἰού·
ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον
ἀπέραντον. οὐδέποθ' ἡμέρα γενήσεται;
καὶ μὴν πάλαι γ' ἀλεκτρυόνος ἤκουσ' ἐγώ·
οἱ δ' οἰκέται ῥέγκουσιν· ἀλλ' οὐκ ἂν πρὸ τοῦ.
ἀπόλοιο δῆτ', ὦ πόλεμε, πολλῶν οὕνεκα,
ὅτ' οὐδὲ κολάσ' ἔξεστί μοι τοὺς οἰκέτας.
ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσὶ νεανίας
ἐγείρεται τῆς νυκτός, ἀλλὰ πέρδεται
ἐν πέντε σισύραις ἐγκεκορδυλημένος.
ἀλλ' εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι.
ἀλλ' οὐ δύναμαι δείλαιος εὕδειν δακνόμενος
ὑπὸ τῆς δαπάνης καὶ τῆς φάτνης καὶ τῶν χρεῶν,
διὰ τουτονὶ τὸν υἱόν. ὁ δὲ κόμην ἔχων
ἱππάζεταί τε καὶ ξυνωρικεύεται
ὀνειροπολεῖ θ' ἵππους· ἐγὼ δ' ἀπόλλυμαι,
ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας·
οἱ γὰρ τόκοι χωροῦσιν. ἅπτε, παῖ, λύχνον,
κἄκφερε τὸ γραμματεῖον, ἵν' ἀναγνῶ λαβὼν
ὁπόσοις ὀφείλω καὶ λογίσωμαι τοὺς τόκους.
φέρ' ἴδω, τί ὀφείλω; δώδεκα μνᾶς Πασίᾳ.
τοῦ δώδεκα μνᾶς Πασίᾳ; τί ἐχρησάμην;
ὅτ' ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας,
εἴθ' ἐξεκόπη πρότερον τὸν ὀφθαλμὸν λίθῳ.

24. ἐξεκόπη Kusterus] ἐξεκόπην

ΦΕΙΔΙΠΠΙΔΗΣ.

Φίλων, ἀδικεῖς· ἔλαυνε τὸν σαυτοῦ δρόμον.
ΣΤ. τοῦτ' ἔστι τουτὶ τὸ κακὸν ὅ μ' ἀπολώλεκεν·
ὀνειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.
ΦΕ. πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια;
ΣΤ. ἐμὲ μὲν σὺ πολλοὺς τὸν πατέρ' ἐλαύνεις δρόμους.
ἀτὰρ τί χρέος ἔβα με μετὰ τὸν Πασίαν;
τρεῖς μναῖ διφρίσκου καὶ τροχοῖν Ἀμυνίᾳ.
ΦΕ. ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.
ΣΤ. ἀλλ', ὦ μέλ', ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν,
ὅτε καὶ δίκας ὦφληκα χἄτεροι τόκου
ἐνεχυράσεσθαί φασιν. ΦΕ. ἐτεόν, ὦ πάτερ,
τί δυσκολαίνεις καὶ στρέφει τὴν νύχθ' ὅλην;
ΣΤ. δάκνει με δήμαρχός τις ἐκ τῶν στρωμάτων.
ΦΕ. ἔασον, ὦ δαιμόνιε, καταδαρθεῖν τί με.
ΣΤ. σὺ δ' οὖν κάθευδε· τὰ δὲ χρέα ταῦτ' ἴσθ' ὅτι
ἐς τὴν κεφαλὴν ἅπαντα τὴν σὴν τρέψεται.
φεῦ.
εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα·
ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος,
εὐρωτιῶν, ἀκόρητος, εἰκῇ κείμενος,
βρύων μελίτταις καὶ προβάτοις καὶ στεμφύλοις.
ἔπειτ' ἔγημα Μεγακλέους τοῦ Μεγακλέους
ἀδελφιδῆν ἄγροικος ὢν ἐξ ἄστεως,

37. δήμαρχός τις] τις δήμαρχος V aliique.

σεμνήν, τρυφῶσαν, ἐγκεκοισυρωμένην.
ταύτην ὅτ' ἐγάμουν, ξυγκατεκλινόμην ἐγὼ
ὄζων τρυγός, τρασιᾶς, ἐρίων περιουσίας,
ἡ δ' αὖ μύρου, κρόκου, καταγλωττισμάτων,
δαπάνης, λαφυγμοῦ, Κωλιάδος, Γενετυλλίδος.
οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα.
ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ
πρόφασιν ἔφασκον. ὦ γύναι, λίαν σπαθᾷς.

ΘΕΡΑΠΩΝ.

ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ.
ΣΤ. οἴμοι· τί γάρ μοι τὸν πότην ἧπτες λύχνον;
δεῦρ' ἔλθ', ἵνα κλάῃς. ΘΕ. διὰ τί δῆτα κλαύσομαι;
ΣΤ. ὅτι τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων.
μετὰ ταῦθ', ὅπως νῷν ἐγένεθ' υἱὸς οὑτοσί,
ἐμοί τε δὴ καὶ τῇ γυναικὶ τἀγαθῇ,
περὶ τοὐνόματος δὴ 'ντεῦθεν ἐλοιδορούμεθα·
ἡ μὲν γὰρ ἵππον προσετίθει πρὸς τοὔνομα,
Ξάνθιππον ἢ Χάριππον ἢ Καλλιππίδην,
ἐγὼ δὲ τοῦ πάππου 'τιθέμην Φειδωνίδην.
τέως μὲν οὖν ἐκρινόμεθ'· εἶτα τῷ χρόνῳ
κοινῇ ξυνέβημεν κἀθέμεθα Φειδιππίδην.
τοῦτον τὸν υἱὸν λαμβάνουσ' ἐκορίζετο,
ὅταν σὺ μέγας ὢν ἅρμ' ἐλαύνῃς πρὸς πόλιν,
ὥσπερ Μεγακλέης, ξυστίδ' ἔχων· ἐγὼ δ' ἔφην,
ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ Φελλέως,
ὥσπερ ὁ πατήρ σου, διφθέραν ἐνημμένος.
ἀλλ' οὐκ ἐπίθετο τοῖς ἐμοῖς οὐδὲν λόγοις,
ἀλλ' ἵππερών μου κατέχεεν τῶν χρημάτων.
νῦν οὖν ὅλην τὴν νύκτα φροντίζων ὁδοῦ
μίαν ηὗρον ἀτραπὸν δαιμονίως ὑπερφυᾶ,
ἣν ἢν ἀναπείσω τουτονί, σωθήσομαι.
ἀλλ' ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι.
πῶς δῆτ' ἂν ἥδιστ' αὐτὸν ἐπεγείραιμι; πῶς;
Φειδιππίδη, Φειδιππίδιον. ΦΕ. τί, ὦ πάτερ;
ΣΤ. κύσον με καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.
ΦΕ. ἰδού. τί ἔστιν; ΣΤ. εἰπέ μοι, φιλεῖς ἐμέ;
ΦΕ. νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν ἵππιον.
ΣΤ. μή μοί γε τοῦτον μηδαμῶς τὸν ἵππιον·
οὗτος γὰρ ὁ θεὸς αἴτιός μοι τῶν κακῶν.
ἀλλ' εἴπερ ἐκ τῆς καρδίας μ' ὄντως φιλεῖς,
ὦ παῖ, πιθοῦ μοι. ΦΕ. τί δὲ πίθωμαι δῆτά σοι;
ΣΤ. ἔκστρεψον ὡς τάχιστα τοὺς σαυτοῦ τρόπους,
καὶ μάνθαν' ἐλθὼν ἂν ἐγὼ παραινέσω. [σομαι,
ΦΕ. λέγε δή, τί κελεύεις; ΣΤ. καί τι πείσει; ΦΕ. πεί-
νὴ τὸν Διόνυσον. ΣΤ. δεῦρό νυν ἀπόβλεπε.
ὁρᾷς τὸ θύριον τοῦτο καὶ τῳκίδιον;
ΦΕ. ὁρῶ. τί οὖν τοῦτ' ἐστὶν ἐτεόν, ὦ πάτερ;
ΣΤ. ψυχῶν σοφῶν τοῦτ' ἐστὶ φροντιστήριον.
ἐνταῦθ' ἐνοικοῦσ' ἄνδρες οἳ τὸν οὐρανὸν
λέγοντες ἀναπείθουσιν ὡς ἔστιν πνιγεύς
κἄστιν περὶ ἡμᾶς οὗτος, ἡμεῖς δ' ἄνθρακες.
οὗτοι διδάσκουσ', ἀργύριον ἤν τις διδῷ,
λέγοντα νικᾶν καὶ δίκαια κἄδικα.
ΦΕ. εἰσὶν δὲ τίνες; ΣΤ. οὐκ οἶδ' ἀκριβῶς τοὔνομα·
μεριμνοφροντισταὶ καλοί τε κἀγαθοί.
ΦΕ. αἰβοῖ, πονηροί γ', οἶδα. τοὺς ἀλαζόνας,
τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις·
ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.
ΣΤ. ἢ ἤ, σιώπα· μηδὲν εἴπῃς νήπιον.
ἀλλ' εἴ τι κήδει τῶν πατρῴων ἀλφίτων,
τούτων γενοῦ μοι σχασάμενος τὴν ἱππικήν.
ΦΕ. οὐκ ἂν μὰ τὸν Διόνυσον, εἰ δοίης γέ μοι
τοὺς φασιανοὺς οὓς τρέφει Λεωγόρας.
ΣΤ. ἴθ', ἀντιβολῶ σ', ὦ φίλτατ' ἀνθρώπων ἐμοί,
ἐλθὼν διδάσκου. ΦΕ. καὶ τί σοι μαθήσομαι;
ΣΤ. εἶναι παρ' αὐτοῖς φασιν ἄμφω τὼ λόγω,
τὸν κρείττον', ὅστις ἐστί, καὶ τὸν ἥττονα.
τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα,
νικᾶν λέγοντά φασι τἀδικώτερα.
ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον,
ἃ νῦν ὀφείλω διὰ σέ, τούτων τῶν χρεῶν
οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί.
ΦΕ. οὐκ ἂν πιθοίμην· οὐ γὰρ ἂν τλαίην ἰδεῖν
τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος.
ΣΤ. οὐκ ἄρα μὰ τὴν Δήμητρα τῶν γ' ἐμῶν ἔδει,
οὔτ' αὐτὸς οὔθ' ὁ ζύγιος οὔθ' ὁ σαμφόρας·
ἀλλ' ἐξελῶ σ' ἐς κόρακας ἐκ τῆς οἰκίας.
ΦΕ. ἀλλ' οὐ περιόψεταί μ' ὁ θεῖος Μεγακλέης
ἄνιππον. ἀλλ' εἴσειμι, σοῦ δ' οὐ φροντιῶ.
ΣΤ. ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κείσομαι,
ἀλλ' εὐξάμενος τοῖσιν θεοῖς διδάξομαι
αὐτὸς βαδίζων ἐς τὸ φροντιστήριον.
πῶς οὖν γέρων ὢν κἀπιλήσμων καὶ βραδὺς
λόγων ἀκριβῶν σχινδαλάμους μαθήσομαι;
ἰτητέον. τί ταῦτ' ἔχων στραγγεύομαι,
ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; παῖ, παιδίον.

ΜΑΘΗΤΗΣ.

βάλλ' ἐς κόρακας· τίς ἐσθ' ὁ κόψας τὴν θύραν;
ΣΤ. Φείδωνος υἱὸς Στρεψιάδης Κικυννόθεν.
ΜΑ. ἀμαθής γε νὴ Δί', ὅστις οὑτωσὶ σφόδρα
ἀπεριμερίμνως τὴν θύραν λελάκτικας
καὶ φροντίδ' ἐξήμβλωκας ἐξηυρημένην.
ΣΤ. ξύγγνωθί μοι· τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.
ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον.
ΜΑ. ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσιν λέγειν.
ΣΤ. λέγε νυν ἐμοὶ θαρρῶν· ἐγὼ γὰρ οὑτοσὶ
ἥκω μαθητὴς ἐς τὸ φροντιστήριον.
ΜΑ. λέξω. νομίσαι δὲ ταῦτα χρὴ μυστήρια.
ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης
ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας·
δακοῦσα γὰρ τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν
ἐπὶ τὴν κεφαλὴν τὴν Σωκράτους ἀφήλατο.
ΣΤ. πῶς δῆτα τοῦτ' ἐμέτρησε; ΜΑ. δεξιώτατα.
κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβὼν
ἐνέβαψεν ἐς τὸν κηρὸν αὐτῆς τὼ πόδε,
κᾆτα ψυχείσῃ περιέφυσαν Περσικαί.
ταύτας ὑπολύσας ἀνεμέτρει τὸ χωρίον.
ΣΤ. ὦ Ζεῦ βασιλεῦ, τῆς λεπτότητος τῶν φρενῶν.
ΜΑ. τί δῆτ' ἄν, ἕτερον εἰ πύθοιο Σωκράτους
φρόντισμα; ΣΤ. ποῖον; ἀντιβολῶ, κάτειπέ μοι.
ΜΑ. ἀνήρετ' αὐτὸν Χαιρεφῶν ὁ Σφήττιος
ὁπότερα τὴν γνώμην ἔχοι, τὰς ἐμπίδας
κατὰ τὸ στόμ' ᾄδειν, ἢ κατὰ τοὐρροπύγιον.
ΣΤ. τί δῆτ' ἐκεῖνος εἶπε περὶ τῆς ἐμπίδος;
ΜΑ. ἔφασκεν εἶναι τοὔντερον τῆς ἐμπίδος
στενόν· διὰ λεπτοῦ δ' ὄντος αὐτοῦ τὴν πνοὴν
βίᾳ βαδίζειν εὐθὺ τοὐρροπυγίου·

---

64. Χάριππον] Χαίριππον V. 65. τοῦ] τὸ τοῦ Cobetus. 74. ἵππερων D. ex Photio] ἵππερον 87. πιθοῦ μοι R. μοι om. ceteri. πιθοῦμαι V. τί δὲ C. F. Hermannus] τί οὖν πίθωμαι Dawesius] πείθομαι, recentiores nonnulli πιθοῦμαι 97. ἄνθρακες] ἄνθρακες Meinekius. 104. om. R. 105. ἢ ἤ D.] ἢ ἤ

125. εἴσειμι] εἶμι codex unus. ἄνιππον ὄντ'· ἀλλ' εἶμι Cobetus. 130. σχινδαλάμους Brunckius] σκινδάλμους RV. σκινδαλάμους alii. 137. ἐξηυρημένην Etym. M. p.80, 9.] ἐξευρημένην. Augmentum verbo εὑρίσκω similibusque, in codicibus plerumque neglectum, ubique restitui, praeeunte Elmsleio: de quo dixi in Annot. Oxon. p. 127. 148. τοῦτ' ἐμέτρησε] τοῦτο διεμέτρησεν R et recentiores nonnulli, eiecto in aliis τοῦτο.

ἔπειτα κοῖλον πρὸς στενῷ προσκείμενον
τὸν πρωκτὸν ἠχεῖν ὑπὸ βίας τοῦ πνεύματος.
ΣΤ. σάλπιγξ ὁ πρωκτός ἐστιν ἄρα τῶν ἐμπίδων.
ὦ τρισμακάριος τοῦ διεντερεύματος.
ἦ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην
ὅστις δίοιδε τοὔντερον τῆς ἐμπίδος.
ΜΑ. πρώην δέ γε γνώμην μεγάλην ἀφῃρέθη
ὑπ' ἀσκαλαβώτου. ΣΤ. τίνα τρόπον; κάτειπέ μοι.
ΜΑ. ζητοῦντος αὐτοῦ τῆς σελήνης τὰς ὁδοὺς
καὶ τὰς περιφοράς, εἶτ' ἄνω κεχηνότος
ἀπὸ τῆς ὀροφῆς νύκτωρ γαλεώτης κατέχεσεν.
ΣΤ. ἥσθην γαλεώτῃ καταχέσαντι Σωκράτους.
ΜΑ. ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας.
ΣΤ. εἶεν· τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο;
ΜΑ. κατὰ τῆς τραπέζης καταπάσας λεπτὴν τέφραν,
κάμψας ὀβελίσκον, εἶτα διαβήτην λαβών,
ἐκ τῆς παλαίστρας θοἰμάτιον ὑφείλετο.
ΣΤ. τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;
ἄνοιγ' ἄνοιγ' ἀνύσας τὸ φροντιστήριον,
καὶ δεῖξον ὡς τάχιστά μοι τὸν Σωκράτη
μαθητιῶ γάρ· ἀλλ' ἄνοιγε τὴν θύραν.
ὦ Ἡράκλεις, ταυτὶ ποδαπὰ τὰ θηρία;
ΜΑ. τί ἐθαύμασας; τῷ σοι δοκοῦσιν εἰκέναι;
ΣΤ. τοῖς ἐκ Πύλου ληφθεῖσι, τοῖς Λακωνικοῖς.
ἀτὰρ τί ποτ' ἐς τὴν γῆν βλέπουσιν οὑτοιί;
ΜΑ. ζητοῦσιν οὗτοι τὰ κατὰ γῆς. ΣΤ. βολβοὺς ἄρα
ζητοῦσι. μή νυν τουτογὶ φροντίζετε·
ἐγὼ γὰρ οἶδ' ἵν' εἰσὶ μεγάλοι καὶ καλοί.
τί γὰρ οἵδε δρῶσιν οἱ σφόδρ' ἐγκεκυφότες;
ΜΑ. οὗτοι δ' ἐρεβοδιφῶσιν ὑπὸ τὸν Τάρταρον.
ΣΤ. τί δῆθ' ὁ πρωκτὸς ἐς τὸν οὐρανὸν βλέπει;
ΜΑ. αὐτὸς καθ' αὑτὸν ἀστρονομεῖν διδάσκεται.
ἀλλ' εἴσιθ', ἵνα μὴ 'κεῖνος ὑμῖν ἐπιτύχῃ.
ΣΤ. μήπω γε μήπω γ', ἀλλ' ἐπιμεινάντων, ἵνα
αὐτοῖσι κοινώσω τι πραγμάτιον ἐμόν.
ΜΑ. ἀλλ' οὐχ οἷόν τ' αὐτοῖσι πρὸς τὸν ἀέρα
ἔξω διατρίβειν πολὺν ἄγαν ἐστὶν χρόνον.
ΣΤ. πρὸς τῶν θεῶν, τί γὰρ τάδ' ἐστίν; εἰπέ μοι.
ΜΑ. ἀστρονομία μὲν αὑτηί. ΣΤ. τουτὶ δὲ τί;
ΜΑ. γεωμετρία. ΣΤ. τοῦτ' οὖν τί ἐστι χρήσιμον;
ΜΑ. γῆν ἀναμετρεῖσθαι. ΣΤ. πότερα τὴν κληρουχικήν;
ΜΑ. οὔκ, ἀλλὰ τὴν ξύμπασαν. ΣΤ. ἀστεῖον λέγεις.
τὸ γὰρ σόφισμα δημοτικὸν καὶ χρήσιμον.
ΜΑ. αὕτη δέ σοι γῆς περίοδος πάσης. ὁρᾷς;
αἵδε μὲν Ἀθῆναι. ΣΤ. τί σὺ λέγεις; οὐ πείθομαι,
ἐπεὶ δικαστὰς οὐχ ὁρῶ καθημένους.
ΜΑ. ὡς τοῦτ' ἀληθῶς Ἀττικὸν τὸ χωρίον.
ΣΤ. καὶ ποῦ Κικυννῆς εἰσὶν οὑμοὶ δημόται;
ΜΑ. ἐνταῦθ' ἔνεισιν. ἡ δέ γ' Εὔβοι', ὡς ὁρᾷς,
ἡδὶ παρατέταται μακρὰ πόρρω πάνυ.
ΣΤ. οἶδ'· ὑπὸ γὰρ ἡμῶν παρετάθη καὶ Περικλέους.
ἀλλ' ἡ Λακεδαίμων ποῦ 'στιν; ΜΑ. ὅπου 'στίν; αὑτηί.
ΣΤ. ὡς ἐγγὺς ἡμῶν. τοῦτό νυν φροντίζετε,
ταύτην ἀφ' ἡμῶν ἀπαγαγεῖν πόρρω πάνυ.
ΜΑ. ἀλλ' οὐχ οἷόν τε. ΣΤ. νὴ Δί' οἰμώξεσθ' ἄρα.
φέρε τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας ἀνήρ;
ΜΑ. αὐτός. ΣΤ. τίς αὐτός; ΜΑ. Σωκράτης. ΣΤ. ὦ Σώκρα-
ἴθ' οὗτος, ἀναβόησον αὐτόν μοι μέγα. [τες.
ΜΑ. αὐτὸς μὲν οὖν σὺ κάλεσον· οὐ γάρ μοι σχολή.
ΣΤ. ὦ Σώκρατες,
ὦ Σωκρατίδιον.

185. εἰκέναι Brunckius] ἐοικέναι 189. τουτογὶ Porsonus] τοῦτό γε 195. ὑμῖν scholiasta] ἡμῖν 203. ἀναμετρεῖσθαι] ἀναμετρῆσαι Cobetus. 209. Ἀττικὸν] Ἀττικὴ Dobraeus. 215. νυν Bergkius] πάνυ (γρ. μέγα ap. schol.) In solo V πάλιν. 217. τε. ΣΤ. νὴ Δί' Cobetus] τε νὴ Δί'. ΣΤ.

ΣΩΚΡΑΤΗΣ.
τί με καλεῖς, ὦφήμερε;
ΣΤ. πρῶτον μὲν ὅ τι δρᾷς, ἀντιβολῶ, κάτειπέ μοι.
ΣΩ. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.
ΣΤ. ἔπειτ' ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς,
ἀλλ' οὐκ ἀπὸ τῆς γῆς, εἴπερ; ΣΩ. οὐ γὰρ ἄν ποτε
ἐξηῦρον ὀρθῶς τὰ μετέωρα πράγματα,
εἰ μὴ κρεμάσας τὸ νόημα καὶ τὴν φροντίδα
λεπτὴν καταμίξας ἐς τὸν ὅμοιον ἀέρα.
εἰ δ' ὢν χαμαὶ τἄνω κάτωθεν ἐσκόπουν,
οὐκ ἄν ποθ' ηὗρον· οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ
ἕλκει πρὸς αὑτὴν τὴν ἰκμάδα τῆς φροντίδος.
πάσχει δὲ ταὐτὸ τοῦτο καὶ τὰ κάρδαμα.
ΣΤ. τί φῄς;
ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ' ἐς τὰ κάρδαμα;
ἴθι νυν, κατάβηθ', ὦ Σωκρατίδιον, ὡς ἐμέ,
ἵνα με διδάξῃς ὧνπερ ἕνεκ' ἐλήλυθα.
ΣΩ. ἦλθες δὲ κατὰ τί; ΣΤ. βουλόμενος μαθεῖν λέγειν.
ὑπὸ γὰρ τόκων χρήστων τε δυσκολωτάτων
ἄγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι.
ΣΩ. πόθεν δ' ὑπόχρεως σαυτὸν ἔλαθες γενόμενος;
ΣΤ. νόσος μ' ἐπέτριψεν ἱππικὴ δεινὴ φαγεῖν.
ἀλλά με δίδαξον τὸν ἕτερον τοῖν σοῖν λόγοιν,
τὸν μηδὲν ἀποδιδόντα. μισθὸν δ' ὅντιν' ἂν
πράττῃ μ' ὀμοῦμαί σοι καταθήσειν τοὺς θεούς.
ΣΩ. ποίους θεοὺς ὀμεῖ σύ; πρῶτον γὰρ θεοὶ
ἡμῖν νόμισμ' οὐκ ἔστι. ΣΤ. τῷ γὰρ ὄμνυτ'; ἢ
σιδαρέοισιν, ὥσπερ ἐν Βυζαντίῳ;
ΣΩ. βούλει τὰ θεῖα πράγματ' εἰδέναι σαφῶς
ἅττ' ἐστὶν ὀρθῶς; ΣΤ. νὴ Δί', εἴπερ ἔστι γε.
ΣΩ. καὶ ξυγγενέσθαι ταῖς Νεφέλαισιν ἐς λόγους,
ταῖς ἡμετέραισι δαίμοσιν; ΣΤ. μάλιστά γε.
ΣΩ. κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν σκίμποδα.
ΣΤ. ἰδοὺ κάθημαι. ΣΩ. τουτονὶ τοίνυν λαβὲ [κρατες,
τὸν στέφανον. ΣΤ. ἐπὶ τί στέφανον; οἴμοι, Σώ-
ὥσπερ με τὸν Ἀθάμανθ' ὅπως μὴ θύσετε.
ΣΩ. οὔκ, ἀλλὰ ταῦτα πάντα τοὺς τελουμένους
ἡμεῖς ποιοῦμεν. ΣΤ. εἶτα δὴ τί κερδανῶ;
ΣΩ. λέγειν γενήσει τρῖμμα, κρόταλον, παιπάλη.
ἀλλ' ἔχ' ἀτρεμί. ΣΤ. μὰ τὸν Δί' οὐ ψεύσει γέ με·
καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.
ΣΩ. εὐφημεῖν χρὴ τὸν πρεσβύτην καὶ τῆς εὐχῆς ἐπα-
κούειν. [μετέωρον,
ὦ δέσποτ' ἄναξ, ἀμέτρητ' Ἀήρ, ὃς ἔχεις τὴν γῆν
λαμπρός τ' Αἰθὴρ σεμναί τε θεαὶ Νεφέλαι βροντη-
σικέραυνοι, [ωροι.
ἄρθητε, φάνητ', ὦ δέσποιναι, τῷ φροντιστῇ μετέ-
ΣΤ. μήπω μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ κατα-
βρεχθῶ. [μον' ἔχοντα.
τὸ δὲ μηδὲ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαί-
ΣΩ. ἔλθετε δῆτ', ὦ πολυτίμητοι Νεφέλαι, τῷδ' εἰς ἐπί-
δειξιν, [κάθησθε,
εἴτ' ἐπ' Ὀλύμπου κορυφαῖς ἱεραῖς χιονοβλήτοισι
εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε
Νύμφαις, [σθε πρόχοισιν,
εἴτ' ἄρα Νείλου προχοὰς ὑδάτων χρυσέαις ἀρύτε-
ἢ Μαιῶτιν λίμνην ἔχετ' ἢ σκόπελον νιφόεντα Μί-
μαντος·

238. ἕνεκ' Bentleius] οὕνεκ' 261. ἀτρεμί R. ἀτρέμας ceteri. ἀτρεμεί probarunt grammatici nonnulli: de quo dixi in Annot. Oxon. p. 134. 263. ἐπακούειν RV. ὑπακούειν ceteri. Conf. ad v. 274. 272. προχοὰς V et Suidas s. v. ἀρύτεσθε: προχοαῖς ceteri. ἀρύτεσθε ex Suida] ἀρύεσθε πρόχοισιν] προχόοισι R. προχόοισιν V. Alii πρόχοισιν προχοῖσιν προχόησιν προχοαῖσιν προχόοις vel, ut apud Suidam, πρόχουσιν: de quo dixi in Annot. Oxon. p. 135 et in Thesauro vol. 6. p. 2108.

ἐπακούσατε δεξάμεναι θυσίαν καὶ τοῖς ἱεροῖσι χα-
ρεῖσαι.

ΧΟΡΟΣ.

ἀέναοι Νεφέλαι,
ἀρθῶμεν φανεραὶ δροσερὰν φύσιν εὐάγητον,
πατρὸς ἀπ' Ὠκεανοῦ βαρυαχέος
ὑψηλῶν ὀρέων κορυφὰς ἐπὶ
δενδροκόμους, ἵνα
τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα,
καρπούς τ' ἀρδομέναν ἱερὰν χθόνα,
καὶ ποταμῶν ζαθέων κελαδήματα,
καὶ πόντον κελάδοντα βαρύβρομον·
ὄμμα γαρ αἰθέρος ἀκάματον σελαγεῖται
μαρμαρέαις ἐν αὐγαῖς.
ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον
ἀθανάτας ἰδέας ἐπιδώμεθα
τηλεσκόπῳ ὄμματι γαῖαν.
ΣΩ. ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου
καλέσαντος. [πτου;
ᾔσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέ-
ΣΤ. καὶ σέβομαί γ', ὦ πολυτίμητοι, καὶ βούλομαι ἀντα-
ποπαρδεῖν [πεφόβημαι·
πρὸς τὰς βροντάς· οὕτως αὐτὰς τετρεμαίνω καὶ
κεἰ θέμις ἐστὶν, νυνί γ' ἤδη, κεἰ μὴ θέμις ἐστὶ, χεσείω.
ΣΩ. οὐ μὴ σκώψει μηδὲ ποιήσεις ἅπερ οἱ τρυγοδαίμο-
νες οὗτοι, [ἀοιδῆς.
ἀλλ' εὐφήμει· μέγα γάρ τι θεῶν κινεῖται σμῆνος
ΧΟ. παρθένοι ὀμβροφόροι,
ἔλθωμεν λιπαρὰν χθόνα Παλλάδος, εὔανδρον γᾶν
Κέκροπος ὀψόμεναι πολυήρατον·
οὗ σέβας ἀρρήτων ἱερῶν, ἵνα
μυστοδόκος δόμος
ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται,
οὐρανίοις τε θεοῖς δωρήματα,
ναοί θ' ὑψερεφεῖς καὶ ἀγάλματα,
καὶ πρόσοδοι μακάρων ἱερώταται,
εὐστέφανοί τε θεῶν θυσίαι θαλίαι τε,
παντοδαπαῖς ἐν ὥραις,
ἦρί τ' ἐπερχομένῳ Βρομία χάρις,
εὐκελάδων τε χορῶν ἐρεθίσματα,
καὶ Μοῦσα βαρύβρομος αὐλῶν.
ΣΤ. πρὸς τοῦ Διὸς ἀντιβολῶ σε, φράσον, τίνες εἴσ', ὦ
Σώκρατες, αὗται [εἰσιν;
αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν; μῶν ἡρῷναί τινές
ΣΩ. ἥκιστ', ἀλλ' οὐράνιαι Νεφέλαι, μεγάλαι θεαὶ ἀνδρά-
σιν ἀργοῖς·
αἵπερ γνώμην καὶ διάλεξιν καὶ νοῦν ἡμῖν παρέχουσι
καὶ τερατείαν καὶ περίλεξιν καὶ κροῦσιν καὶ κατά-
ληψιν.
ΣΤ. ταῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου
πεπότηται, [λεσχεῖν,
καὶ λεπτολογεῖν ἤδη ζητεῖ καὶ περὶ καπνοῦ στενο-
καὶ γνωμιδίῳ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλο-
γῆσαι· [θυμῶ.
ὥστ' εἴ πως ἔστιν, ἰδεῖν αὐτὰς ἤδη φανερῶς ἐπι-
ΣΩ. βλέπε νυν δευρὶ πρὸς τὴν Πάρνηθ'· ἤδη γὰρ ὁρῶ
κατιούσας [ροῦσ' αὗται πάνυ πολλαί,
ἡσυχῇ αὐτάς. ΣΤ. φέρε, ποῦ; δεῖξον. ΣΩ. χω-

275—290. = 299—313.

διὰ τῶν κοίλων καὶ τῶν δασέων, αὗται πλάγιαι.
ΣΤ. τί τὸ χρῆμα; [νυνὶ μόλις οὕτως.
ὡς οὐ καθορῶ. ΣΩ. παρὰ τὴν εἴσοδον. ΣΤ. ἤδη
ΣΩ. νῦν γέ τοι ἤδη καθορᾷς αὐτάς, εἰ μὴ λημᾷς κολο-
κύνταις. [ἔχουσι.
ΣΤ. νὴ Δί' ἔγωγ', ὦ πολυτίμητοι· πάντα γὰρ ἤδη κατ-
ΣΩ. ταύτας μέντοι σὺ θεὰς οὔσας οὐκ ᾔδησθ' οὐδ' ἐνό-
μιζες; [καὶ καπνὸν εἶναι.
ΣΤ. μὰ Δί', ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγούμην
ΣΩ. οὐ γὰρ μὰ Δί' οἶσθ' ὁτιὴ πλείστους αὗται βόσκουσι
σοφιστάς, [μήτας,
θουριομάντεις, ἰατροτέχνας, σφραγιδονυχαργοκο-
κυκλίων τε χορῶν ᾀσματοκάμπτας, ἄνδρας μετεω-
ροφένακας, [ποιοῦσιν.
οὐδὲν δρῶντας βόσκουσ' ἀργούς, ὅτι ταύτας μουσο-
ΣΤ. ταῦτ' ἄρ' ἐποίουν ὑγρᾶν Νεφελᾶν στραπταίγλαν
δάϊον ὁρμάν, [τε θυέλλας,
πλοκάμους θ' ἑκατογκεφάλα Τυφῶ, πρημαινούσας
εἶτ' ἀερίας, διεράς, γαμψοὺς οἰωνοὺς ἀερονηχεῖς,
ὄμβρους θ' ὑδάτων δροσερᾶν Νεφελᾶν· εἶτ' ἀντ'
αὐτῶν κατέπινον [κιχηλᾶν.
κεστρᾶν τεμάχη μεγαλᾶν ἀγαθᾶν, κρέα τ' ὀρνίθεια
ΣΩ. διὰ μέντοι τάσδ' οὐχὶ δικαίως; ΣΤ. λέξον δή μοι,
τί παθοῦσαι, [ναιξίν;
εἴπερ Νεφέλαι γ' εἰσὶν ἀληθῶς, θνηταῖς εἴξασι γυ-
οὐ γὰρ ἐκεῖναί γ' εἰσὶ τοιαῦται. ΣΩ. φέρε, ποῖαι
γάρ τινές εἰσιν;
ΣΤ. οὐκ οἶδα σαφῶς· εἴξασιν δ' οὖν ἐρίοισιν πεπταμέ-
νοισι, [νας ἔχουσιν.
κοὐχὶ γυναιξὶν, μὰ Δί', οὐδ' ὁτιοῦν· αὗται δὲ ῥῖ-
ΣΩ. ἀπόκριναί νυν ἅττ' ἂν ἔρωμαι. ΣΤ. λέγε νυν τα-
χέως ὅ τι βούλει.
ΣΩ. ἤδη ποτ' ἀναβλέψας εἶδες νεφέλην Κενταύρῳ
ὁμοίαν, [εἶτα τί τοῦτο;
ἢ παρδάλει ἢ λύκῳ ἢ ταύρῳ; ΣΤ. νὴ Δί' ἔγωγ'.
ΣΩ. γίγνονται πάνθ' ὅ τι βούλονται· κᾆτ' ἢν μὲν ἴδωσι
κομήτην, [φάντου,
ἄγριόν τινα τῶν λασίων τούτων οἷόνπερ τὸν Ξενο-
σκώπτουσαι τὴν μανίαν αὐτοῦ Κενταύροις ᾔκασαν
αὐτάς.
ΣΤ. τί γάρ, ἢν ἅρπαγα τῶν δημοσίων κατίδωσι Σίμωνα,
τί δρῶσιν; [νοντο.
ΣΩ. ἀποφαίνουσαι τὴν φύσιν αὐτοῦ λύκοι ἐξαίφνης ἐγέ-
ΣΤ. ταῦτ' ἄρα ταῦτα Κλεώνυμον αὗται τὸν ῥίψασπιν
χθὲς ἰδοῦσαι, [ἐγένοντο.
ὅτι δειλότατον τοῦτον ἑώρων, ἔλαφοι διὰ τοῦτ'
ΣΩ. καὶ νῦν γ' ὅτι Κλεισθένη εἶδον, ὁρᾷς, διὰ τοῦτ'
ἐγένοντο γυναῖκες.
ΣΤ. χαίρετε τοίνυν, ὦ δέσποιναι· καὶ νῦν, εἴπερ τινὶ
κἄλλῳ,
οὐρανομήκη ῥήξατε κἀμοὶ φωνήν, ὦ παμβασίλειαι.
ΧΟ. χαῖρ', ὦ πρεσβῦτα παλαιογενές, θηρατὰ λόγων φι-
λομούσων· [ὅ τι χρῄζεις.
σύ τε, λεπτοτάτων λήρων ἱερεῦ, φράζε πρὸς ἡμᾶς
οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσαιμεν τῶν νῦν μετεω-
ροσοφιστῶν
πλὴν ἢ Προδίκῳ, τῷ μὲν σοφίας καὶ γνώμης οὕ-
νεκα, σοὶ δέ, βάλλεις,
ὅτι βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς καὶ τὠφθαλμὼ παρα-
κἀνυπόδητος κακὰ πόλλ' ἀνέχει κἀφ' ἡμῖν σεμνο-
προσωπεῖς. [ρατῶδες.
ΣΤ. ὦ Γῆ τοῦ φθέγματος, ὡς ἱερὸν καὶ σεμνὸν καὶ τε-
ΣΩ. αὗται γάρ τοι μόναι εἰσὶ θεαί· τἄλλα δὲ πάντ' ἐστὶ
φλύαρος.

---

274. ἐπακούσατε] ὑπακούσατε V. οὐπακούσατε R. 282. ἀρδομέναν (ἀρδομένην R)] In libris nonnullis deterioribus ἀρδομέναν θ', praecedente τ' vel servato vel omisso. 296. σκώψει Elmsleius] σκώψῃς (σκώψεις Brunckius) ποιήσεις Brunckius] ποιήσῃς 297. ἀοιδῆς C. F. Hermannus] ἀοιδαῖς 322. φανερῶς] φανερὰς Halbertsma. 324. ἡσυχῇ αὐτάς Elmsleius] ἡσύχως αὐτάς RV. Alii vel sic vel ἥσυχα ταύτας.

329. ᾔδησθ' Blaydesius] ᾔδεις (RV) vel ᾔδης 335. στραπταίγλαν Bentleius (de quo vid. L. Dindorfius in Thes. vol. 7. p. 859.)] στρεπταιγλᾶν vel στρεπταίγλαν

ΣΤ. ὁ Ζεὺς δ' ὑμῖν, φέρε, πρὸς τῆς Γῆς, οὑλύμπιος οὐ
θεός ἐστιν; [λέγεις σύ;
ΣΩ. ποῖος Ζεύς; οὐ μὴ ληρήσεις· οὐδ ἔστι Ζεύς. ΣΤ. τί
ἀλλὰ τίς ὕει; τουτὶ γὰρ ἔμοιγ' ἀπόφηναι πρῶτον
ἁπάντων. [δάξω.
ΣΩ. αὗται δήπου· μεγάλοις δέ σ' ἐγὼ σημείοις αὐτὸ δι-
φέρε, ποῦ γὰρ πώποτ' ἄνευ Νεφελῶν ὕοντ' ἤδη
τεθέασαι;
καίτοι χρῆν αἰθρίας ὕειν αὐτόν, ταύτας δ' ἀποδημεῖν.
ΣΤ. νὴ τὸν Ἀπόλλω, τοῦτό γέ τοι δὴ τῷ νῦν λόγῳ εὖ
προσέφυσας· [σκίνου οὐρεῖν.
καίτοι πρότερον τὸν Δί' ἀληθῶς ᾤμην διὰ κο-
ἀλλ' ὅστις ὁ βροντῶν ἐστι φράσον· τοῦτό με ποιεῖ
τετρεμαίνειν. [πάντα σὺ τολμῶν;
ΣΩ. αὗται βροντῶσι κυλινδόμεναι. ΣΤ. τῷ τρόπῳ, ὦ
ΣΩ. ὅταν ἐμπλησθῶσ' ὕδατος πολλοῦ κἀναγκασθῶσι
φέρεσθαι, [εἶτα βαρεῖαι
κατακρημνάμεναι πλήρεις ὄμβρου δι' ἀνάγκην,
εἰς ἀλλήλας ἐμπίπτουσαι ῥήγνυνται καὶ παταγοῦ-
σιν. [φέρεσθαι;
ΣΤ. ὁ δ' ἀναγκάζων ἐστὶ τίς αὐτάς, οὐχ ὁ Ζεύς, ὥστε
ΣΩ. ἥκιστ', ἀλλ' αἰθέριος δῖνος. ΣΤ. Δῖνος; τουτί μ'
ἐλελήθει,
ὁ Ζεὺς οὐκ ὤν, ἀλλ' ἀντ' αὐτοῦ Δῖνος νυνὶ βασι-
λεύων. [μ' ἐδίδαξας.
ἀτὰρ οὐδέν πω περὶ τοῦ πατάγου καὶ τῆς βροντῆς
ΣΩ. οὐκ ἤκουσάς μου τὰς Νεφέλας ὕδατος μεστὰς ὅτι
φημὶ [τητα;
ἐμπιπτούσας εἰς ἀλλήλας παταγεῖν διὰ τὴν πυκνό-
ΣΤ. φέρε τουτὶ τῷ χρὴ πιστεύειν; ΣΩ. ἀπὸ σαυτοῦ
'γώ σε διδάξω.
ἤδη ζωμοῦ Παναθηναίοις ἐμπλησθεὶς εἶτ' ἐταρά-
χθης [κορύγησεν;
τὴν γαστέρα, καὶ κλόνος ἐξαίφνης αὐτὴν διεκορ-
ΣΤ. νὴ τὸν Ἀπόλλω, καὶ δεινὰ ποιεῖ γ' εὐθύς μοι καὶ
τετάρακται, [κραγεν·
χὤσπερ βροντὴ τὸ ζωμίδιον παταγεῖ καὶ δεινὰ κέ-
ἀτρέμας πρῶτον παππὰξ παππάξ, κἄπειτ' ἐπάγει
παπαπαππάξ, [ἐκεῖναι.
χὤταν χέζω, κομιδῇ βροντᾷ παπαπαππάξ, ὥσπερ
ΣΩ. σκέψαι τοίνυν ἀπὸ γαστριδίου τυννουτουὶ οἷα πέ-
πορδας· [μέγα βροντᾶν;
τὸν δ' ἀέρα τόνδ' ὄντ' ἀπέραντον πῶς οὐκ εἰκὸς
ΣΤ. ταῦτ' ἄρα καὶ τὠνόματ' ἀλλήλοιν, βροντὴ καὶ
πορδή, ὁμοίω. [τοῦτο δίδαξον,
ἀλλ' ὁ κεραυνὸς πόθεν αὖ φέρεται λάμπων πυρί,
καὶ καταφρύγει βάλλων ἡμᾶς, τοὺς δὲ ζῶντας περι-
φλύει. [ὅρκους.
τοῦτον γὰρ δὴ φανερῶς ὁ Ζεὺς ἵησ' ἐπὶ τοὺς ἐπι-
ΣΩ. καὶ πῶς, ὦ μῶρε σὺ καὶ Κρονίων ὄζων καὶ βεκκε-
σέληνε, [πρησεν
εἴπερ βάλλει τοὺς ἐπιόρκους, πῶς οὐχὶ Σίμων' ἐνέ-
οὐδὲ Κλεώνυμον οὐδὲ Θέωρον; καίτοι σφόδρα γ'
εἴσ' ἐπίορκοι·
ἀλλὰ τὸν αὑτοῦ γε νεὼν βάλλει καὶ Σούνιον ἄκρον
Ἀθηνέων [δρῦς γ' ἐπιορκεῖ.
καὶ τὰς δρῦς τὰς μεγάλας· τί παθών; οὐ γὰρ δὴ
ΣΤ. οὐκ οἶδ'· ἀτὰρ εὖ σὺ λέγειν φαίνει. τί γάρ ἐστιν
δῆθ' ὁ κεραυνός;
ΣΩ. ὅταν ἐς ταύτας ἄνεμος ξηρὸς μετεωρισθεὶς κατα-
κλῃσθῇ, [ἀνάγκης
ἔνδοθεν αὐτὰς ὥσπερ κύστιν φυσᾷ, κἄπειθ' ὑπ'
ῥήξας αὐτὰς ἔξω φέρεται σοβαρὸς διὰ τὴν πυκνό-
τητα, [κάων.
ὑπὸ τοῦ ῥοίβδου καὶ τῆς ῥύμης αὐτὸς ἑαυτὸν κατα-
ΣΤ. νὴ Δί', ἐγὼ γοῦν ἀτεχνῶς ἔπαθον τουτί ποτε Δια-
σίοισιν. [ἀμελήσας
ὤπτων γαστέρα τοῖς ξυγγενέσιν, κᾆτ' οὐκ ἔσχων
ἡ δ' ἄρ' ἐφυσᾶτ', εἶτ' ἐξαίφνης διαλακήσασα πρὸς
αὐτὼ [πρόσωπον.
τὠφθαλμώ μου προσετίλησεν καὶ κατέκαυσεν τὸ
ΧΟ. ὦ τῆς μεγάλης ἐπιθυμήσας σοφίας ἄνθρωπε παρ'
ἡμῶν,
ὡς εὐδαίμων ἐν Ἀθηναίοις καὶ τοῖς Ἕλλησι γενήσει,
εἰ μνήμων εἶ καὶ φροντιστὴς καὶ τὸ ταλαίπωρον
ἔνεστιν [δίζων,
ἐν τῇ ψυχῇ, καὶ μὴ κάμνεις μήθ' ἑστὼς μήτε βα-
μήτε ῥιγῶν ἄχθει λίαν, μήτ' ἀριστᾶν ἐπιθυμεῖς,
οἴνου τ' ἀπέχει καὶ γυμνασίων καὶ τῶν ἄλλων ἀνο-
ήτων, [ἄνδρα,
καὶ βέλτιστον τοῦτο νομίζεις, ὅπερ εἰκὸς δεξιὸν
νικᾶν πράττων καὶ βουλεύων καὶ τῇ γλώττῃ πο-
λεμίζων. [μερίμνης,
ΣΤ. ἀλλ' ἕνεκέν γε ψυχῆς στερρᾶς δυσκολοκοίτου τε
καὶ φειδωλοῦ καὶ τρυσιβίου γαστρὸς καὶ θυμβρεπι-
δείπνου, [ἔχοιμ' ἄν.
ἀμέλει θαρρῶν, οὕνεκα τούτων ἐπιχαλκεύειν παρ-
ΣΩ. ἄλλο τι δῆτ' οὖν νομιεῖς ἤδη θεὸν οὐδὲν πλὴν ἅπερ
ἡμεῖς, [τρία ταυτί;
τὸ Χάος τουτὶ καὶ τὰς Νεφέλας καὶ τὴν γλῶτταν,
ΣΤ. οὐδ' ἂν διαλεχθείην γ' ἀτεχνῶς τοῖς ἄλλοις, οὐδ' ἂν
ἀπαντῶν· [βανωτόν.
οὐδ' ἂν θύσαιμ', οὐδ' ἂν σπείσαιμ', οὐδ' ἐπιθείην λι-
ΧΟ. λέγε νυν ἡμῖν ὅ τι σοι δρῶμεν θαρρῶν, ὡς οὐκ ἀτυ-
χήσεις,
ἡμᾶς τιμῶν καὶ θαυμάζων καὶ ζητῶν δεξιὸς εἶναι.
ΣΤ. ὦ δέσποιναι, δέομαι τοίνυν ὑμῶν τουτὶ πάνυ μι-
κρόν, [ἄριστον.
τῶν Ἑλλήνων εἶναί με λέγειν ἑκατὸν σταδίοισιν
ΧΟ. ἀλλ' ἔσται σοι τοῦτο παρ' ἡμῶν· ὥστε τὸ λοιπόν
γ' ἀπὸ τουδὶ
ἐν τῷ δήμῳ γνώμας οὐδεὶς νικήσει πλείονας ἢ σύ.
ΣΤ. μή μοί γε λέγειν γνώμας μεγάλας· οὐ γὰρ τούτων.
ἐπιθυμῶ, [διολισθεῖν
ἀλλ' ὅσ' ἐμαυτῷ στρεψοδικῆσαι καὶ τοὺς χρήστας
ΧΟ. τεύξει τοίνυν ὧν ἱμείρεις· οὐ γὰρ μεγάλων ἐπιθυ-
μεῖς. [πόλοισι.
ἀλλὰ σεαυτὸν παράδος θαρρῶν τοῖς ἡμετέροις προ-
ΣΤ. δράσω ταῦθ' ὑμῖν πιστεύσας· ἡ γὰρ ἀνάγκη με
πιέζει [μ' ἐπέτριψεν.
διὰ τοὺς ἵππους τοὺς κοππατίας καὶ τὸν γάμον, ὅς
νῦν οὖν χρήσθων ὅ τι βούλονται.
τουτὶ τό γ' ἐμὸν σῶμ' αὐτοῖσιν
παρέχω τύπτειν, πεινῆν, διψῆν,
αὐχμεῖν, ῥιγῶν, ἀσκὸν δείρειν,
εἴπερ τὰ χρέα διαφευξοῦμαι,

---

366. ὑμῖν Dobraeus] ἡμῖν 372. δὴ addidit Porsonus. νῦν Suidas s. v. τῷ νῦν λόγῳ, glossa ex hoc loco, ut videtur, sumta] νυνὶ 390. ἀτρέμας] ἀτρέμα RV, ut ἀτρεμί coniicere liceat, de quo dictum ad v. 261. 399. πῶς] πῶς δῆτ' R. δῆτ' V. 401. Ἀθηνέων Porsonus] ἀθηναίων RV. ἀθηνῶν alii. 402. παθών] μαθών RV aliique.

404. κατακλῃσθῇ Meinekius] κατακλεισθῇ 408. ἐγὼ γοῦν] ἔγωγ' V. 409. ὤπτων] ὀπτῶν R. 420. ἕνεκεν γε] οὕνεκά γε Cobetus. γε om. R. 422. οὕνεκα] ἕνεκα R. εἵνεκα ceteri, uno excepto, qui οὕνεκα. 423. οὐδὲν Bentleius] οὐδένα 436. παράδος θαρρῶν] θαρρῶν παράδος RV aliique nonnulli et Suidas s. v. πρόπολοι. 439. χρήσθων Brunckius] χρήσθων ἀτεχνῶς 440. τό γ' ἐμόν] τοὐμὸν Cobetus. 442. ῥιγῶν Heindorfius] ῥιγοῦν δείρειν Scaliger] δέρειν, pauci δαίρειν.

ἐπακούσατε δεξάμεναι θυσ
ρεῖσαι.

ΧΟΡΟ

ἀέναοι Νεφέλαι,
ἀρθῶμεν φανεραὶ δροσερ
πατρὸς ἀπ' Ὠκεανοῦ βα
ὑψηλῶν ὀρέων κορυφὰς
δενδροκόμους, ἵνα
τηλεφανεῖς σκοπιὰς ἀφ
καρπούς τ' ἀρδομέναν ἱ
καὶ ποταμῶν ζαθέων κ
καὶ πόντον κελάδοντα
ὄμμα γαρ αἰθέρος ἀκάμ
μαρμαρέαις ἐν αὐγαῖς
ἀλλ' ἀποσεισάμεναι ν
ἀθανάτας ἰδέας ἐπιδ
τηλεσκόπῳ ὄμματι

ΣΩ. ὦ μέγα σεμναὶ Νε
καλέσαντος.
ἤσθου φωνῆς ἅμα

ΣΤ. καὶ σέβομαί γ', ὦ
ποπαρδεῖν
πρὸς τὰς βρον
κεἰ θέμις ἐστίν,

ΣΩ. οὐ μὴ σκώψει
νες οὗτοι,
ἀλλ' εὐφήμ

ΧΟ. παρθένοι ὀ
ἔλθωμεν λ
Κέκροπος
οὗ σέβα
μυστοδ
ἐν τελ
οὐραν
ναοί
καὶ
εὐσ
πο
ἤ

ΣΤ

---

ai
vel omi
Brunckius)
ἀοιδῆς C. F. Herm
φανεράς Halbertsma.
ἡσύχως αὐτὰς RV. Alii vel sic

'ν μεμφόμεσθ' ἐναντίον·
ιπάντων ὠφελούσαις τὴν πόλιν
ναις οὐ θύετ' οὐδὲ σπένδετε,
ὑμᾶς. ἢν γὰρ ᾖ τις ἔξοδος
ιτ' ἢ βροντῶμεν ἢ ψακάζομεν.
ἐχθρὸν βυρσοδέψην Παφλαγόνα
ρατηγόν, τὰς ὀφρῦς ξυνήγομεν
ι· βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς·
.ειπε τὰς ὁδούς· ὁ δ' ἥλιος
..ς ἑαυτὸν εὐθέως ξυνελκύσας
κεν ὑμῖν, εἰ στρατηγήσει Κλέων.
.οθε τοῦτον. φασὶ γὰρ δυσβουλίαν
προσεῖναι, ταῦτα μέντοι τοὺς θεοὺς
ἐξαμάρτητ' ἐπὶ τὸ βέλτιον τρέπειν.
το ξυνοίσει ῥᾳδίως διδάξομεν.
ον λάρον δώρων ἑλόντες καὶ κλοπῆς,
τε τούτου 'ν τῷ ξύλῳ τὸν αὐχένα,
;αῖον ὑμῖν, εἴ τι κἀξημάρτετε,
ὸν τὸ πρᾶγμα τῇ πόλει ξυνοίσεται.
τε, Φοῖβ' ἄναξ Δήλιε, Κυνθίαν ἔχων
α πέτραν·
υ μάκαιρα πάγχρυσον ἔχεις
ι κόραι σε Λυδῶν μεγάλως σέβουσιν·
ριος ἡμετέρα θεός,
ίοχος, πολιοῦχος Ἀθάνα,
ν θ' ὃς κατέχων πέτραν σὺν πεύκαις σε-
Δελφίσιν ἐμπρέπων, κωμαστὴς Διόνυσος.
εῖς δεῦρ' ἀφορμᾶσθαι παρεσκευάσμεθα,
η ξυντυχοῦσ' ἡμῖν ἐπέστειλεν φράσαι
μὲν χαίρειν Ἀθηναίοισι καὶ τοῖς ξυμμάχοις·
μαίνειν ἔφασκε· δεινὰ γὰρ πεπονθέναι
οσ' ὑμᾶς ἅπαντας, οὐ λόγοις, ἀλλ' ἐμφανῶς.
μὲν τοῦ μηνὸς ἐς δᾷδ' οὐκ ἔλαττον ἢ δραχμήν,
καὶ λέγειν ἅπαντας ἐξιόντας ἑσπέρας,
ίῃ, παῖ, δᾷδ', ἐπειδὴ φῶς Σεληναίας καλόν.
τ' εὖ δρᾶν φησιν, ὑμᾶς δ' οὐκ ἄγειν τὰς ἡμέρας
ι ὀρθῶς, ἀλλ' ἄνω τε καὶ κάτω κυδοιδοπᾶν·
ἀπειλεῖν φησιν αὐτῇ τοὺς θεοὺς ἑκάστοτε,
' ἂν ψευσθῶσι δείπνου κἀπίωσιν οἴκαδε
ἑορτῆς μὴ τυχόντες κατὰ λόγον τῶν ἡμερῶν.
' ὅταν θύειν δέῃ, στρεβλοῦτε καὶ δικάζετε·
λλάκις δ' ἡμῶν ἀγόντων τῶν θεῶν ἀπαστίαν,
ίκ' ἂν πενθῶμεν ἢ τὸν Μέμνον' ἢ Σαρπηδόνα,
ένδεθ' ὑμεῖς καὶ γελᾶτ'· ἀνθ' ὧν λαχὼν Ὑπέρ-
βολος
ῆτες ἱερομνημονεῖν, κἄπειθ' ὑφ' ἡμῶν τῶν θεῶν
ὸν στέφανον ἀφῃρέθη· μᾶλλον γὰρ οὕτως εἴσεται
κατὰ σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας.
μὰ τὴν Ἀναπνοήν, μὰ τὸ Χάος, μὰ τὸν Ἀέρα,
οὐκ εἶδον οὕτως ἄνδρ' ἄγροικον οὐδένα
οὐδ' ἄπορον οὐδὲ σκαιὸν οὐδ' ἐπιλήσμονα·
ὅστις σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων,
ταῦτ' ἐπιλέλησται πρὶν μαθεῖν· ὅμως γε μὴν
αὐτὸν καλῶ θύραζε δευρὶ πρὸς τὸ φῶς.
ποῦ Στρεψιάδης; ἔξει τὸν ἀσκάντην λαβών.
Γ. ἀλλ' οὐκ ἐῶσί μ' ἐξενεγκεῖν οἱ κόρεις.
Ω. ἀνύσας τι κατάθου καὶ πρόσεχε τὸν νοῦν. ΣΤ. ἰδού.
Ω. ἄγε δή, τί βούλει πρῶτα νυνὶ μανθάνειν
ὧν οὐκ ἐδιδάχθης πώποτ' οὐδέν; εἰπέ μοι.
πότερον περὶ μέτρων ἢ ῥυθμῶν ἢ περὶ ἐπῶν;
ΣΤ. περὶ τῶν μέτρων ἔγωγ'· ἔναγχος γάρ ποτε
ὑπ' ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ.
ΣΩ. οὐ τοῦτ' ἐρωτῶ σ', ἀλλ' ὅ τι κάλλιστον μέτρον
ἡγεῖ, πότερον τὸ τρίμετρον ἢ τὸ τετράμετρον.
ΣΤ. ἐγὼ μὲν οὐδὲν πρότερον ἡμιεκτέου.
ΣΩ. οὐδὲν λέγεις, ὤνθρωπε. ΣΤ. περίδου νυν ἐμοί,
εἰ μὴ τετράμετρόν ἐστιν ἡμιεκτέον.
ΣΩ. ἐς κόρακας, ὡς ἄγροικος εἶ καὶ δυσμαθής.
τάχα γ' ἂν δύναιο μανθάνειν περὶ ῥυθμῶν.
ΣΤ. τί δέ μ' ὠφελήσουσ' οἱ ῥυθμοὶ πρὸς τἄλφιτα;
ΣΩ. πρῶτον μὲν εἶναι κομψὸν ἐν ξυνουσίᾳ,
ἐπαΐονθ' ὁποῖός ἐστι τῶν ῥυθμῶν
κατ' ἐνόπλιον, χὠποῖος αὖ κατὰ δάκτυλον.
ΣΤ. κατὰ δάκτυλον; νὴ τὸν Δί' ἀλλ' οἶδ'. ΣΩ. εἰπὲ δή.
ΣΤ. τίς ἄλλος ἀντὶ τουτουὶ τοῦ δακτύλου;
πρὸ τοῦ μέν, ἔτ' ἐμοῦ παιδὸς ὄντος, οὑτοσί.
ΣΩ. ἀγρεῖος εἶ καὶ σκαιός. ΣΤ. οὐ γάρ, ᾠζυρέ,
τούτων ἐπιθυμῶ μανθάνειν οὐδέν. ΣΩ. τί δαί;
ΣΤ. ἐκεῖν' ἐκεῖνο, τὸν ἀδικώτερον λόγον.
ΣΩ. ἀλλ' ἕτερα δεῖ σε πρότερα τούτων μανθάνειν,
τῶν τετραπόδων ἅττ' ἐστὶν ὀρθῶς ἄρρενα.
ΣΤ. ἀλλ' οἶδ' ἔγωγε τἄρρεν', εἰ μὴ μαίνομαι·
κριός, τράγος, ταῦρος, κύων, ἀλεκτρυών.
ΣΩ. ὁρᾷς ὃ πάσχεις; τήν τε θήλειαν καλεῖς
ἀλεκτρυόνα κατὰ ταὐτὸ καὶ τὸν ἄρρενα.
ΣΤ. πῶς δή; φέρ'. ΣΩ. ὅπως; ἀλεκτρυὼν κἀλεκτρυών.
ΣΤ. νὴ τὸν Ποσειδῶ. νῦν δὲ πῶς με χρὴ καλεῖν;
ΣΩ. ἀλεκτρύαιναν, τὸν δ' ἕτερον ἀλέκτορα.
ΣΤ. ἀλεκτρύαιναν; εὖ γε νὴ τὸν Ἀέρα·
ὥστ' ἀντὶ τούτου τοῦ διδάγματος μόνου
διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.
ΣΩ. ἰδοὺ μάλ' αὖθις τοῦθ' ἕτερον. τὴν κάρδοπον
ἄρρενα καλεῖς, θήλειαν οὖσαν. ΣΤ. τῷ τρόπῳ
ἄρρενα καλῶ 'γὼ κάρδοπον; ΣΩ. μάλιστά γε,
ὥσπερ γε καὶ Κλεώνυμον. ΣΤ. πῶς δή; φράσον.
ΣΩ. ταὐτὸν δύναταί σοι κάρδοπος Κλεωνύμῳ.
ΣΤ. ἀλλ', ὠγάθ', οὐδ' ἦν κάρδοπος Κλεωνύμῳ,
ἀλλ' ἐν θυείᾳ στρογγύλῃ 'νεμάττετο.
ἀτὰρ τὸ λοιπὸν πῶς με χρὴ καλεῖν; ΣΩ. ὅπως;
τὴν καρδόπην, ὥσπερ καλεῖς τὴν Σωστράτην.
ΣΤ. τὴν καρδόπην θήλειαν; ΣΩ. ὀρθῶς γὰρ λέγεις.
ΣΤ. ἐκεῖνο δ' ἦν ἄν, καρδόπη, Κλεωνύμη.

---

577. ὠφελούσαις] ὠφελοῦσαι R. 586. στρατηγήσει] στρατηγοίη V in annot. scholiastae. Poterat etiam στρατηγήσοι. 588. ταῦτα] πάντα Meinekius. 592. 'ν addidit Sauppius. 614. Σεληναίας] σεληναίης RV. σεληναίας vel σεληναῖον alii. 615. φησιν, ὑμᾶς δ' οὐκ Bentleius] φησιν ὑμᾶς κοὐκ 622. ἢ τὸν] ἤτοι Meinekius.

638. πότερον R aliique cum Longino Fragm. 3, 5.] πότερα. Contra v. 642. codex unus πότερα pro πότερον. Aristophanes, quum par sit utriusque versus ratio, utrobique aut πότερον aut πότερα scripserat. Tertius eiusdem generis versus est infra 845. ἢ ῥυθμῶν ἢ περὶ ἐπῶν Hermannus] ἢ περὶ ἐπῶν ἢ ῥυθμῶν R aliique. ἢ ἐπῶν ἢ ῥυθμῶν V. Alii ἢ περὶ ῥυθμῶν ἢ ἐπῶν. Apud Longinum ἢ περὶ ἐπῶν ἢ περὶ ῥυθμῶν. 647. τάχα Reiskius] ταχύ 640. ἐπαΐονθ'] ἐπαΐοντ' R. εἶτ' ἐπαΐειν ceteri, quod correctoris est, qui syllabam verbi secundam corripi putabat. 652. νὴ τὸν Δί' Socrati tribuit Hirschigius. 654. ἔτ'] ἐπ' RV. 657. ἀδικώτερον Meinekius] ἀδικώτατον. Sic v. 115. τἀδικώτερα in libris pluribus corruptum in τἀδικώτατα. 661. Inter hunc versum proximumque duo versus excidisse coniecit Bentleius. 662. ὃ RV. ἃ alii. 663. ἀλεκτρυόνα] ἀλεκτρυῶ Porsonus recte, ut videtur. Vid. Annot. Oxon. p. 160. 664. φέρε. ὅπως codex recens unus. φέρε. πῶς ceteri. 666. τὸν δ' ἕτερον] τὸν ἕτερον δ' Cobetus. 669. σου] σοι Cobetus. 676. 'νεμάττετο (i. e. ἐνεμάττετο) Dobraeus] γ' ἀνεμάττετο. γ' om. V. 679. ΣΩ. addidit Hermannus.

ΣΩ. ἵθ' ἄν τι περὶ τῶν ὀνομάτων μαθεῖν σε δεῖ,
ἅττ' ἄρρεν' ἐστὶν, ἅττα δ' αὐτῶν θήλεα.
ΣΤ. ἀλλ' οἶδ' ἔγωγ' ἃ θήλε' ἐστίν. ΣΩ. εἰπὲ δή.
ΣΤ. Λύσιλλα, Φίλιννα, Κλειταγόρα, Δημητρία.
ΣΩ. ἄρρενα δὲ ποῖα τῶν ὀνομάτων; ΣΤ. μυρία.
Φιλόξενος, Μελησίας, Ἀμυνίας.
ΣΩ. ἀλλ', ὦ πονηρὲ, ταῦτά γ' ἔστ' οὐκ ἄρρενα.
ΣΤ. οὐκ ἄρρεν' ὑμῖν ἐστιν; ΣΩ. οὐδαμῶς γ', ἐπεὶ
πῶς ἂν καλέσειας ἐντυχὼν Ἀμυνίᾳ;
ΣΤ. ὅπως ἄν; ὡδί, δεῦρο δεῦρ', Ἀμυνία.
ΣΩ. ὁρᾷς; γυναῖκα τὴν Ἀμυνίαν καλεῖς.
ΣΤ. οὔκουν δικαίως ἥτις οὐ στρατεύεται;
ἀτὰρ τί ταῦθ' ἃ πάντες ἴσμεν μανθάνω;
ΣΩ. οὐδὲν μὰ Δί', ἀλλὰ κατακλινεὶς δευρὶ ΣΤ. τί δρῶ;
ΣΩ. ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων.
ΣΤ. μὴ δῆθ', ἱκετεύω σ', ἐνθάδ', ἀλλ', εἴπερ γε χρή,
χαμαί μ' ἔασον αὐτὰ ταῦτ' ἐκφροντίσαι.
ΣΩ. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα. ΣΤ. κακοδαίμων ἐγὼ,
οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον.
ΧΟ. φρόντιζε δὴ καὶ διάθρει, πάντα τρόπον τε σαυτὸν
στρόβει πυκνώσας.
ταχὺς δ', ὅταν εἰς ἄπορον πέσῃς,
ἐπ' ἄλλο πήδα
νόημα φρενός· ὕπνος δ' ἀπέστω γλυκύθυμος ὀμμά-[τιων
ΣΤ. ἀτταταῖ ἀτταταῖ.
ΧΟ. τί πάσχεις; τί κάμνεις;
ΣΤ. ἀπόλλυμαι δείλαιος· ἐκ τοῦ σκίμποδος
δάκνουσί μ' ἐξέρποντες οἱ Κορίνθιοι,
καὶ τὰς πλευρὰς δαρδάπτουσιν
καὶ τὴν ψυχὴν ἐκπίνουσιν,
καὶ τοὺς ὄρχεις ἐξέλκουσιν,
καὶ τὸν πρωκτὸν διορύττουσιν,
καί μ' ἀπολοῦσιν.
ΧΟ. μή νυν βαρέως ἄλγει λίαν.
ΣΤ. καὶ πῶς, ὅτε μου
φροῦδα τὰ χρήματα, φρούδη χροιά,
φρούδη ψυχή, φρούδη δ' ἐμβάς·
καὶ πρὸς τούτοις ἔτι τοῖσι κακοῖς
φρουρᾶς ᾄδων
ὀλίγου φροῦδος γεγένημαι.
ΣΩ. οὗτος, τί ποιεῖς; οὐχὶ φροντίζεις; ΣΤ. ἐγώ;
νὴ τὸν Ποσειδῶ. ΣΩ. καὶ τί δῆτ' ἐφρόντισας;
ΣΤ. ὑπὸ τῶν κόρεων εἴ μού τι περιλειφθήσεται.
ΣΩ. ἀπολεῖ κάκιστ'. ΣΤ. ἀλλ', ὦγάθ', ἀπόλωλ' ἀρτίως.
ΣΩ. οὐ μαλθακιστέ', ἀλλὰ περικαλυπτέα.
ἐξευρετέος γὰρ νοῦς ἀποστερητικὸς
κἀπαιόλημα. ΣΤ. οἴμοι, τίς ἂν δῆτ' ἐπιβάλοι
ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα;
ΣΩ. φέρε νυν ἀθρήσω πρῶτον ὅ τι δρᾷ τουτονί.
οὗτος, καθεύδεις; ΣΤ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
ΣΩ. ἔχεις τι; ΣΤ. μὰ Δί' οὐ δῆτ' ἔγωγ'. ΣΩ. οὐδὲν πάνυ;
ΣΤ. οὐδέν γε πλὴν ἢ τὸ πέος ἐν τῇ δεξιᾷ.
ΣΩ. οὐκ ἐγκαλυψάμενος ταχέως τι φροντιεῖς;
ΣΤ. περὶ τοῦ; σὺ γάρ μοι τοῦτο φράσον, ὦ Σώκρατες.
ΣΩ. αὐτὸς ὅ τι βούλει πρῶτος ἐξευρὼν λέγε.
ΣΤ. ἀκήκοας μυριάκις ἁγὼ βούλομαι,
περὶ τῶν τόκων, ὅπως ἂν ἀποδῶ μηδενί.
ΣΩ. ἴθι νυν, καλύπτου καὶ σχάσας τὴν φροντίδα
λεπτὴν κατὰ μικρὸν περιφρόνει τὰ πράγματα,
ὀρθῶς διαιρῶν καὶ σκοπῶν. ΣΤ. οἴμοι τάλας.
ΣΩ. ἔχ' ἀτρέμα· κἂν ἀπορῇς τι τῶν νοημάτων,
ἀφεὶς ἄπελθε· κᾆτα τὴν γνώμην πάλιν
κίνησον αὖθις αὐτὸ καὶ ζυγώθρισον.
ΣΤ. ὦ Σωκρατίδιον φίλτατον. ΣΩ. τί, ὦ γέρον;
ΣΤ. ἔχω τόκου γνώμην ἀποστερητικήν.
ΣΩ. ἐπίδειξον αὐτήν. ΣΤ. εἰπὲ δή νύν μοι τοδί·
γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλὴν
καθέλοιμι νύκτωρ τὴν σελήνην, εἶτα δὲ
αὐτὴν καθείρξαιμ' ἐς λοφεῖον στρογγύλον,
ὥσπερ κάτοπτρον, κᾆτα τηροίην ἔχων,
ΣΩ. τί δῆτα τοῦτ' ἂν ὠφελήσειέν σ'; ΣΤ. ὅ τι;
εἰ μηκέτ' ἀνατέλλοι σελήνη μηδαμοῦ,
οὐκ ἂν ἀποδοίην τοὺς τόκους. ΣΩ. ὁτιὴ τί δή;
ΣΤ. ὁτιὴ κατὰ μῆνα τἀργύριον δανείζεται.
ΣΩ. εὖ γ'· ἀλλ' ἕτερον αὖ σοι προβαλῶ τι δεξιόν,
εἴ σοι γράφοιτο πεντετάλαντός τις δίκη,
ὅπως ἂν αὐτὴν ἀφανίσειας εἰπέ μοι.
ΣΤ. ὅπως; ὅπως; οὐκ οἶδ'· ἀτὰρ ζητητέον.
ΣΩ. μή νυν περὶ σαυτὸν εἷλλε τὴν γνώμην ἀεί,
ἀλλ' ἀποχάλα τὴν φροντίδ' ἐς τὸν ἀέρα,
λινόδετον ὥσπερ μηλολόνθην τοῦ ποδός.
ΣΤ. ηὕρηκ' ἀφάνισιν τῆς δίκης σοφωτάτην,
ὥστ' αὐτὸν ὁμολογεῖν σ' ἐμοί. ΣΩ. ποίαν τινά;
ΣΤ. ἤδη παρὰ τοῖσι φαρμακοπώλαις τὴν λίθον
ταύτην ἑόρακας, τὴν καλήν, τὴν διαφανῆ,
ἀφ' ἧς τὸ πῦρ ἅπτουσι; ΣΩ. τὴν ὕαλον λέγεις;
ΣΤ. ἔγωγε. φέρε, τί δῆτ' ἄν, εἰ ταύτην λαβὼν,
ὁπότε γράφοιτο τὴν δίκην ὁ γραμματεύς,
ἀπωτέρω στὰς ὧδε πρὸς τὸν ἥλιον
τὰ γράμματ' ἐκτήξαιμι τῆς ἐμῆς δίκης;
ΣΩ. σοφῶς γε νὴ τὰς Χάριτας. ΣΤ. οἴμ' ὡς ἥδομαι
ὅτι πεντετάλαντος διαγέγραπταί μοι δίκη.
ΣΩ. ἄγε δὴ ταχέως τουτὶ ξυνάρπασον. ΣΤ. τὸ τί;
ΣΩ. ὅπως ἀποστρέψαις ἂν ἀντιδικῶν δίκην,
μέλλων ὀφλήσειν, μὴ παρόντων μαρτύρων.
ΣΤ. φαυλότατα καὶ ῥᾷστ'. ΣΩ. εἰπὲ δή. ΣΤ. καὶ δὴ λέγω.
εἰ πρόσθεν ἔτι μιᾶς ἐνεστώσης δίκης,
πρὶν τὴν ἐμὴν καλεῖσθ', ἀπαγξαίμην τρέχων.
ΣΩ. οὐδὲν λέγεις. ΣΤ. νὴ τοὺς θεοὺς ἔγωγ', ἐπεὶ
οὐδεὶς κατ' ἐμοῦ τεθνεῶτος εἰσάξει δίκην.
ΣΩ. ὑθλεῖς· ἄπερρ'. οὐκ ἂν διδάξαιμην σ' ἔτι.
ΣΤ. ὁτιὴ τί; ναὶ πρὸς τῶν θεῶν, ὦ Σώκρατες.
ΣΩ. ἀλλ' εὐθὺς ἐπιλήθει σύ γ' ἅττ' ἂν καὶ μάθῃς·
ἐπεὶ τί νυνὶ πρῶτον ἐδιδάχθης; λέγε.
ΣΤ. φέρ' ἴδω, τί μέντοι πρῶτον ἦν; τί πρῶτον ἦν;
τίς ἦν ἐν ᾗ ματτόμεθα μέντοι τἄλφιτα;
οἴμοι, τίς ἦν; ΣΩ. οὐκ ἐς κόρακας ἀποφθερεῖ,
ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον;
ΣΤ. οἴμοι, τί οὖν δῆθ' ὁ κακοδαίμων πείσομαι;
ἀπὸ γὰρ ὀλοῦμαι μὴ μαθὼν γλωττοστροφεῖν.
ἀλλ', ὦ Νεφέλαι, χρηστόν τι συμβουλεύσατε.
ΧΟ. ἡμεῖς μέν, ὦ πρεσβῦτα, συμβουλεύομεν,
εἴ σοί τις υἱός ἐστιν ἐκτεθραμμένος,
πέμπειν ἐκεῖνον ἀντὶ σαυτοῦ μανθάνειν.
ΣΤ. ἀλλ' ἔστ' ἔμοιγ' υἱὸς καλός τε κἀγαθός·
ἀλλ' οὐκ ἐθέλει γὰρ μανθάνειν. τί ἐγὼ πάθω;
ΧΟ. σὺ δ' ἐπιτρέπεις; ΣΤ. εὐσωματεῖ γὰρ καὶ σφριγᾷ,
κἄστ' ἐκ γυναικῶν εὐπτέρων τῶν Κοισύρας.
ἀτὰρ μέτειμί γ' αὐτόν· ἢν δὲ μὴ θέλῃ,

[illegible]

[illegible]

οὐκ ἔσθ' ὅπως οὐκ ἐξελῶ 'κ τῆς οἰκίας.
ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον εἰσελθὼν χρόνον.
ΧΟ. ἆρ' αἰσθάνει πλεῖστα δι' ἡμᾶς ἀγάθ' αὐτίχ' ἕξων
μόνας θεῶν; ὡς
ἕτοιμος ὅδ' ἐστὶν ἅπαντα δρᾶν
ὅσ' ἂν κελεύῃς. [νου
σὺ δ' ἀνδρὸς ἐκπεπληγμένου καὶ φανερῶς ἐπηρμέ-
γνοὺς ἀπολάψεις ὅ τι πλεῖστον δύνασαι
ταχέως· φιλεῖ γάρ πως τὰ τοιαῦθ' ἑτέρᾳ τρέπεσθαι.
ΣΤ. οὔτοι μὰ τὴν Ὁμίχλην ἔτ' ἐνταυθὶ μενεῖς·
ἀλλ' ἔσθι' ἐλθὼν τοὺς Μεγακλέους κίονας.
ΦΕ. ὦ δαιμόνιε, τί χρῆμα πάσχεις, ὦ πάτερ;
οὐκ εὖ φρονεῖς μὰ τὸν Δία τὸν Ὀλύμπιον.
ΣΤ. ἰδού γ' ἰδοὺ Δί' Ὀλύμπιον· τῆς μωρίας,
τὸ Δία νομίζειν ὄντα τηλικουτονί.
ΦΕ. τί δὲ τοῦτ' ἐγέλασας ἐτεόν; ΣΤ. ἐνθυμούμενος
ὅτι παιδάριον εἶ καὶ φρονεῖς ἀρχαιικά.
ὅμως γε μὴν πρόσελθ', ἵν' εἰδῇς πλείονα,
καί σοι φράσω πρᾶγμ' ὃ σὺ μαθὼν ἀνὴρ ἔσει.
ὅπως δὲ τοῦτο μὴ διδάξεις μηδένα.
ΦΕ. ἰδού· τί ἔστιν; ΣΤ. ὤμοσας νυνὶ Δία.
ΦΕ. ἔγωγ'. ΣΤ. ὁρᾷς οὖν ὡς ἀγαθὸν τὸ μανθάνειν;
οὐκ ἔστιν, ὦ Φειδιππίδη, Ζεύς. ΦΕ. ἀλλὰ τίς;
ΣΤ. Δῖνος βασιλεύει, τὸν Δί' ἐξεληλακώς.
ΦΕ. αἰβοῖ, τί ληρεῖς; ΣΤ. ἴσθι τοῦθ' οὕτως ἔχον.
ΦΕ. τίς φησι ταῦτα; ΣΤ. Σωκράτης ὁ Μήλιος
καὶ Χαιρεφῶν, ὃς οἶδε τὰ ψυλλῶν ἴχνη.
ΦΕ. σὺ δ' ἐς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας
ὥστ' ἀνδράσιν πείθει χολῶσιν; ΣΤ. εὐστόμει
καὶ μηδὲν εἴπῃς φλαῦρον ἄνδρας δεξιοὺς
καὶ νοῦν ἔχοντας· ὧν ὑπὸ τῆς φειδωλίας
ἀπεκείρατ' οὐδεὶς πώποτ' οὐδ' ἠλείψατο,
οὐδ' ἐς βαλανεῖον ἦλθε λουσόμενος· σὺ δὲ
ὥσπερ τεθνεῶτος καταλόει μου τὸν βίον.
ἀλλ' ὡς τάχιστ' ἐλθὼν ὑπὲρ ἐμοῦ μάνθανε.
ΦΕ. τί δ' ἂν παρ' ἐκείνων καὶ μάθοι χρηστόν τις ἄν;
ΣΤ. ἄληθες; ὅσαπερ ἔστ' ἐν ἀνθρώποις σοφά·
γνώσει δὲ σαυτὸν ὡς ἀμαθὴς εἶ καὶ παχύς.
ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον ἐνταυθὶ χρόνον.
ΦΕ. οἴμοι, τί δράσω παραφρονοῦντος τοῦ πατρός;
πότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω,
ἢ τοῖς σοροπηγοῖς τὴν μανίαν αὐτοῦ φράσω;
ΣΤ. φέρ' ἴδω, σὺ τοῦτον τί ὀνομάζεις; εἰπέ μοι.
ΦΕ. ἀλεκτρυόνα. ΣΤ. καλῶς γε. ταυτηνὶ δὲ τί;
ΦΕ. ἀλεκτρυόν'. ΣΤ. ἄμφω ταὐτό; καταγέλαστος εἶ.
μή νυν τὸ λοιπόν, ἀλλὰ τήνδε μὲν καλεῖν
ἀλεκτρύαιναν, τουτονὶ δ' ἀλέκτορα.
ΦΕ. ἀλεκτρύαιναν; ταῦτ' ἔμαθες τὰ δεξιὰ
εἴσω παρελθὼν ἄρτι παρὰ τοὺς γηγενεῖς;
ΣΤ. χἄτερά γε πόλλ'· ἀλλ' ὅ τι μάθοιμ' ἑκάστοτε,
ἐπελανθανόμην ἂν εὐθὺς ὑπὸ πλήθους ἐτῶν.
ΦΕ. διὰ ταῦτα δὴ καὶ θοἰμάτιον ἀπώλεσας;
ΣΤ. ἀλλ' οὐκ ἀπολώλεκ', ἀλλὰ καταπεφρόντικα.
ΦΕ. τὰς δ' ἐμβάδας ποῖ τέτροφας, ὠνόητε σύ;
ΣΤ. ὥσπερ Περικλέης ἐς τὸ δέον ἀπώλεσα.
ἀλλ' ἴθι, βάδιζ', ἴωμεν· εἶτα τῷ πατρὶ
πιθόμενος ἐξάμαρτε· κἀγώ τοί ποτε
οἶδ' ἑξέτει σοι τραυλίσαντι πιθόμενος,
ὃν πρῶτον ἔλαβον ὀβολὸν Ἡλιαστικόν,
τούτου 'πριάμην σοι Διασίοις ἁμαξίδα.
ΦΕ. ἦ μὴν σὺ τούτοις τῷ χρόνῳ ποτ' ἀχθέσει.
ΣΤ. εὖ γ' ὅτι ἐπείσθης. δεῦρο δεῦρ', ὦ Σώκρατες,
ἔξελθ'· ἄγω γάρ σοι τὸν υἱὸν τουτονὶ
ἄκοντ' ἀναπείσας. ΣΩ. νηπύτιος γάρ ἐστ' ἔτι
καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε.
ΦΕ. αὐτὸς τρίβων εἴης ἄν, εἰ κρεμαιό γε.
ΣΤ. οὐκ ἐς κόρακας; καταρᾷ σὺ τῷ διδασκάλῳ;
ΣΩ. ἰδοὺ κρέμαι', ὡς ἠλίθιον ἐφθέγξατο
καὶ τοῖσι χείλεσιν διερρυηκόσιν.
πῶς ἂν μάθοι ποθ' οὗτος ἀπόφυξιν δίκης
ἢ κλῆσιν ἢ χαύνωσιν ἀναπειστηρίαν;
καίτοι ταλάντου τοῦτ' ἔμαθεν Ὑπέρβολος.
ΣΤ. ἀμέλει, δίδασκε· θυμόσοφός ἐστιν φύσει·
εὐθύς γέ τοι παιδάριον ὂν τυννουτονὶ
ἔπλαττεν ἔνδον οἰκίας ναῦς τ' ἔγλυφεν,
ἁμαξίδας τε σκυτίνας εἰργάζετο,
κἀκ τῶν σιδίων βατράχους ἐποίει πῶς δοκεῖς.
ὅπως δ' ἐκείνω τὼ λόγω μαθήσεται,
τὸν κρείττον', ὅστις ἐστί, καὶ τὸν ἥττονα,
ὃς τἄδικα λέγων ἀνατρέπει τὸν κρείττονα·
ἐὰν δὲ μή, τὸν γοῦν ἄδικον πάσῃ τέχνῃ.
ΣΩ. αὐτὸς μαθήσεται παρ' αὐτοῖν τοῖν λόγοιν,
ἐγὼ δ' ἀπέσομαι. ΣΤ. τοῦτό νυν μέμνησ', ὅπως
πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται.

ΔΙΚΑΙΟΣ.

χώρει δευρί, δεῖξον σαυτὸν
τοῖσι θεαταῖς, καίπερ θρασὺς ὤν.

ΑΔΙΚΟΣ.

ἴθ' ὅποι χρῄζεις. πολὺ γὰρ μᾶλλόν σ'
ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.
ΔΙ. ἀπολεῖς σύ; τίς ὤν; ΑΔ. λόγος. ΔΙ. ἥττων γ' ὤν.
ΑΔ. ἀλλά σε νικῶ τὸν ἐμοῦ κρείττω
φάσκοντ' εἶναι. ΔΙ. τί σοφὸν ποιῶν;
ΑΔ. γνώμας καινὰς ἐξευρίσκων.
ΔΙ. ταῦτα γὰρ ἀνθεῖ διὰ τουτουσὶ
τοὺς ἀνοήτους.
ΑΔ. οὔκ, ἀλλὰ σοφούς. ΔΙ. ἀπολῶ σε κακῶς.
ΑΔ. εἰπέ, τί ποιῶν; ΔΙ. τὰ δίκαια λέγων.
ΑΔ. ἀλλ' ἀνατρέψω 'γὼ αὔτ' ἀντιλέγων·
οὐδὲ γὰρ εἶναι πάνυ φημὶ δίκην.
ΛΙ. οὐκ εἶναι φῄς; ΑΔ. φέρε γάρ, ποῦ 'στιν;
ΔΙ. παρὰ τοῖσι θεοῖς.
ΑΔ. πῶς δῆτα δίκης οὔσης ὁ Ζεὺς
οὐκ ἀπόλωλεν τὸν πατέρ' αὑτοῦ
δήσας; ΔΙ. αἰβοῖ, τουτὶ καὶ δὴ
χωρεῖ τὸ κακόν· δότε μοι λεκάνην.
ΑΔ. τυφογέρων εἶ κἀνάρμοστος.
ΔΙ. καταπύγων εἶ κἀναίσχυντος.

---

819. τὸ Valckenarius] τὸν 821. ἀρχαιικά cum Phrynicho in Bekk. Anecd. p. 22, 30. et Antiattic. ib. p. 83, 1.] ἀρχαϊκά 823. πρᾶγμ'] τι πρᾶγμ' RV aliique nonnulli. 824. διδάξεις Dawesius] διδάξῃς 825. νυνὶ V. νῦν R. νῦν δὴ alii. 838. καταλόει Bekkerus] καταλούει 845. πότερον] πότερ' ἂν RV, quod πότερα esse potest. Conf. ad v. 638. 847. τοῦτον] τουτονὶ RV. τιν' (debebat τι, ut Meinekius) ὀνομάζεις Mehlerus ad Heraclit. p. 40.] τίνα νομίζεις. τουτονὶ τί νομίζεις Reisigius. 855. ἐτῶν] τῶν ἐτῶν RV aliique nonnulli, omisso in quattuor codicibus, inter quos V, ἄν.

861. πιθόμενος Bentleius] πειθόμενος 862. οἶδ'] οἶσθ' Kockius. πιθόμενος Suidas s. v. ἑξέτει] πειθόμενος 869. κρεμαθρῶν οὐ] κρεμαθρῶν οὔπω Meinekius. ἐνθάδε] ἐνθαδὶ Meinekius. 872. κρέμαι' Brunckius] κρέμαιό γ' 874. ἀπόφυξιν D] ἀπόφευξιν 876. καίτοι] καίτοι γε RV. 887. ἐγὼ δ' ἀπέσομαι. ΣΤ. Beerius] ΣΤ. ἐγὼ δ' ἀπέσομαι νῦν R. γοῦν V aliique. In aliis δ' οὖν. 888. Post hunc versum in R aliisque nonnullis scriptum Χοροῦ, quo significatur chori canticum desiderari, quod non scripserat poeta, quum alteram hanc Nubium editionem imperfectam relinqueret. 893. γ' om. V. 897. ταῦτα] καὶ ταῦτα R. 902. 'γαὔτ' (i e. ἐγὼ αὔτ') Hermannus] γ' αὐτά R. ταῦτ' ceteri.

ΑΔ. ῥόδα μ' εἴρηκας. ΔΙ. καὶ βωμολόχος.
ΑΔ. κρίνεσι στεφανοῖς. ΔΙ. καὶ πατραλοίας.
ΑΔ. χρυσῷ πάττων μ' οὐ γιγνώσκεις.
ΔΙ. οὐ δῆτα πρὸ τοῦ γ', ἀλλὰ μολύβδῳ.
ΑΔ. νῦν δέ γε κόσμος τοῦτ' ἐστὶν ἐμοί.
ΔΙ. θρασὺς εἶ πολλοῦ. ΑΔ. σὺ δέ γ' ἀρχαῖος.
ΑΙ. διὰ σὲ δὲ φοιτᾶν οὐδεὶς ἐθέλει
τῶν μειρακίων·
καὶ γνωσθήσει ποτ' Ἀθηναίοις
οἷα διδάσκεις τοὺς ἀνοήτους.
ΑΔ. αὐχμεῖς αἰσχρῶς. ΔΙ. σὺ δέ γ' εὖ πράττεις.
καίτοι πρότερόν γ' ἐπτώχευες,
Τήλεφος εἶναι Μυσὸς φάσκων,
ἐκ πηριδίου
γνώμας τρώγων Πανδελετείους.
ΑΔ. ὤμοι σοφίας. ΔΙ. ὤμοι μανίας,
ΑΔ. ἧς ἐμνήσθης. ΔΙ. τῆς σῆς πόλεώς θ',
ἥτις σε τρέφει
λυμαινόμενον τοῖς μειρακίοις.
ΑΔ. οὐχὶ διδάξεις τοῦτον Κρόνος ὤν.
ΔΙ. εἴπερ γ' αὐτὸν σωθῆναι χρὴ
καὶ μὴ λαλιὰν μόνον ἀσκῆσαι.
ΑΔ. δεῦρ' ἴθι, τοῦτον δ' ἔα μαίνεσθαι.
ΔΙ. κλαύσει, τὴν χεῖρ' ἢν ἐπιβάλλῃς.
ΧΟ. παύσασθε μάχης καὶ λοιδορίας.
ἀλλ' ἐπίδειξαι
σύ τε τοὺς προτέρους ἅττ' ἐδίδασκες,
σύ τε τὴν καινὴν
παίδευσιν, ὅπως ἂν ἀκούσας σφῷν
ἀντιλεγόντοιν κρίνας φοιτᾷ.
ΔΙ. δρᾶν ταῦτ' ἐθέλω. ΑΔ. κἄγωγ' ἐθέλω.
ΧΟ. φέρε δή, πότερος λέξει πρότερος;
ΑΔ. τούτῳ δώσω· κᾆτ' ἐκ τούτων
ὧν ἂν λέξῃ
ῥηματίοισιν καινοῖς αὐτὸν
καὶ διανοίαις κατατοξεύσω.
τὸ τελευταῖον δ', ἢν ἀναγρύξῃ,
τὸ πρόσωπον ἅπαν καὶ τὠφθαλμὼ
κεντούμενος ὥσπερ ὑπ' ἀνθρηνῶν
ὑπὸ τῶν γνωμῶν ἀπολεῖται.
ΧΟ. νῦν δείξετον τὼ πισύνω τοῖς περιδεξίοισι
λόγοισι καὶ φροντίσι καὶ γνωμοτύποις μερίμναις,
ὁπότερος αὐτοῖν λέγων ἀμείνων φανήσεται.
νῦν γὰρ ἅπας ἐνθάδε κίνδυνος ἀνεῖται σοφίας,
ἧς πέρι τοῖς ἐμοῖς φίλοις ἐστὶν ἀγὼν μέγιστος.
ἀλλ', ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρηστοῖς
στεφανώσας,
ῥῆξον φωνὴν ᾗτινι χαίρεις, καὶ τὴν σαυτοῦ φύσιν
εἰπέ.
ΔΙ. λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡς διέκειτο,

949—958. = 1024—1033.

913. μολύβδῳ Brunckius] μολίβδῳ 916. διὰ σὲ δὲ] δὲ om. V aliique nonnulli: in quibusdam δὴ scriptum. Proceleusmaticus in metro anapaestico non minus suspectus quam διὰ σὲ τὰ pro dactylo positum Av. 1752. Quamobrem utrobique ζά, de qua forma dixi in Thesauro vol. 2. p. 1107., restituendum foret, si satis constaret ζά pro syllaba longa interdum positum esse. 918. καὶ om. RV aliique; unde γνωσθήσει τοι Hermannus. 929. τοῦτον om. RV. 932. ἔα] Monosyllabum ideoque ἆ potius scribendum hic et aliis locis nonnullis, quum synizesis aliena sit ab comicis. Vid. ad Thesm. 176. 945. ἀναγρύξῃ] ἀναγρύζῃ RV. 949—958. Respondent huic carmini versus 1024—1033. sed non omni ex parte, non librariorum culpa, sed, ut videtur, poetae, qui imperfectum reliquit.

ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη
'νενόμιστο. [ἀκοῦσαι·
πρῶτον μὲν ἔδει παιδὸς φωνὴν γρύξαντος μηδέν'
εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως ἐς κιθαριστοῦ [τανίφοι.
τοὺς κωμήτας γυμνοὺς ἁθρόους, κεἰ κριμνώδη κα-
εἶτ' αὖ προμαθεῖν ᾆσμ' ἐδίδασκεν τὼ μηρὼ μὴ
ξυνέχοντας, [βόαμα,
ἢ Παλλάδα περσέπολιν δεινάν, ἢ Τηλέπορόν τι
ἐντειναμένους τὴν ἁρμονίαν, ἣν οἱ πατέρες παρέδωκαν. [καμπήν,
εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειέν τινα
οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους, [ἀφανίζων.
ἐπετρίβετο τυπτόμενος πολλὰς ὡς τὰς Μούσας
ἐν παιδοτρίβου δὲ καθίζοντας τὸν μηρὸν ἔδει προβαλέσθαι [ἀπηνές·
τοὺς παῖδας, ὅπως τοῖς ἔξωθεν μηδὲν δείξειαν
εἶτ' αὖ πάλιν αὖθις ἀνιστάμενον ξυμψῆσαι καὶ προνοεῖσθαι
εἴδωλον τοῖσιν ἐρασταῖσιν τῆς ἥβης μὴ καταλείπειν.
ἠλείψατο δ' ἂν τοὐμφαλοῦ οὐδεὶς παῖς ὑπένερθεν
τότ' ἄν, ὥστε [ἐπήνθει·
τοῖς αἰδοίοισι δρόσος καὶ χνοῦς ὥσπερ μήλοισιν
οὐδ' ἂν μαλακὴν φυρασάμενος τὴν φωνὴν πρὸς
τὸν ἐραστὴν [διζεν,
αὐτὸς ἑαυτὸν προαγωγεύων τοῖς ὀφθαλμοῖς ἐβά-
οὐδ' ἂν ἑλέσθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον τῆς ῥαφανῖδος, [λινον,
οὐδ' ἄννηθον τῶν πρεσβυτέρων ἁρπάζειν οὐδὲ σέ-
οὐδ' ὀψοφαγεῖν, οὐδὲ κιχλίζειν, οὐδ' ἴσχειν τὼ πόδ'
ἐναλλάξ.
ΑΔ. ἀρχαῖά γε καὶ Διπολιώδη καὶ τεττίγων ἀνάμεστα
καὶ Κηκείδου καὶ Βουφονίων. ΔΙ. ἀλλ' οὖν ταῦτ'
ἐστὶν ἐκεῖνα, [ψεν
ἐξ ὧν ἄνδρας Μαραθωνομάχας ἡμὴ παίδευσις ἔθρε-
σὺ δὲ τοὺς νῦν εὐθὺς ἐν ἱματίοισι διδάσκεις ἐντετυλίχθαι· [δέον αὐτοὺς
ὥστε μ' ἀπάγχεσθ', ὅταν ὀρχεῖσθαι Παναθηναίοις
τὴν ἀσπίδα τῆς κωλῆς προέχων ἀμελῇ τῆς Τριτογενείης. [λόγον αἱροῦ·
πρὸς ταῦτ', ὦ μειράκιον, θαρρῶν ἐμὲ τὸν κρείττω
κἀπιστήσει μισεῖν ἀγορὰν καὶ βαλανείων ἀπέχεσθαι,
καὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι, κἂν σκώπτῃ τίς σε,
φλέγεσθαι· [προσιοῦσιν,
καὶ τῶν θάκων τοῖς πρεσβυτέροις ὑπανίστασθαι
καὶ μὴ περὶ τοὺς σαυτοῦ γονέας σκαιουργεῖν, ἄλλο
τε μηδὲν [ἀναπλήσειν·
αἰσχρὸν ποιεῖν, ὅ τι τῆς Αἰδοῦς μέλλει τἄγαλμ'
μηδ' εἰς ὀρχηστρίδος εἰσᾴττειν, ἵνα μὴ πρὸς ταῦτα
κεχηνώς, [θραυσθῇς·
μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀπο-
μηδ' ἀντειπεῖν τῷ πατρὶ μηδέν, μηδ' Ἰαπετὸν καλέσαντα
μνησικακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτροφήθης.
ΑΔ. εἰ ταῦτ', ὦ μειράκιον, πείσει τούτῳ, νὴ τὸν Διόνυσον [τομάμμαν.
τοῖς Ἱπποκράτους υἱέσιν εἴξεις, καί σε καλοῦσι βλι-
ΔΙ. ἀλλ' οὖν λιπαρός γε καὶ εὐανθὴς ἐν γυμνασίοις διατρίψεις,

962. 'νενόμιστο Brunckius] νενόμιστο. Vid. ad Acharn. 10. 976. ἐρασταῖσιν Toupius] ἐρασταῖς 982. ἄννηθον D.] ἄνηθον 986. Μαραθωνομάχας V. Μαραθωνομάχους ceteri cum Aristide vol 2. p. 162. 995. ὅ τι — μέλλει Reizius] ὅτι — μέλλεις ἀναπλήσειν] ἀναπλάττειν R. ἀναπλάσσειν vel ἀναπλάσειν alii nonnulli.

οὐ στωμύλλων κατὰ τὴν ἀγορὰν τριβολεκτράπελ',
οἷάπερ οἱ νῦν, [γεξεπιτρίπτου·
οὐδ' ἑλκόμενος περὶ πραγματίου γλισχραντιλο-
ἀλλ' εἰς Ἀκαδήμειαν κατιὼν ὑπὸ ταῖς μορίαις ἀπο-
θρέξει [ἡλικιώτου,
στεφανωσάμενος καλάμῳ λευκῷ μετὰ σώφρονος
μίλακος ὄζων καὶ ἀπραγμοσύνης καὶ λεύκης φυλλο-
βολούσης, [ψιθυρίζῃ.
ἦρος ἐν ὥρᾳ χαίρων, ὁπόταν πλάτανος πτελέᾳ
ἢν ταῦτα ποιῇς ἁγὼ φράζω,
καὶ πρὸς τούτοις προσέχῃς τὸν νοῦν,
ἕξεις ἀεὶ στῆθος λιπαρὸν,
χροιὰν λευκὴν, ὤμους μεγάλους,
γλῶτταν βαιὰν, πυγὴν μεγάλην,
πόσθην μικράν.
ἢν δ' ἅπερ οἱ νῦν ἐπιτηδεύῃς,
πρῶτα μὲν ἕξεις χροιὰν ὠχρὰν,
ὤμους μικροὺς, στῆθος λεπτὸν,
γλῶτταν μεγάλην, πυγὴν μικρὰν,
κωλῆν μεγάλην, ψήφισμα μακρὸν,
καί σ' ἀναπείσει
τὸ μὲν αἰσχρὸν ἅπαν καλὸν ἡγεῖσθαι,
τὸ καλὸν δ' αἰσχρόν·
καὶ πρὸς τούτοις τῆς Ἀντιμάχου
καταπυγοσύνης ἀναπλήσει.

ΧΟ. ὦ καλλίπυργον σοφίαν κλεινοτάτην ἐπασκῶν,
ὡς ἡδύ σου τοῖσι λόγοις σῶφρον ἔπεστιν ἄνθος.
εὐδαίμονες δ' ἦσαν ἄρ' οἱ ζῶντες τότ' ἐπὶ τῶν
προτέρων.
πρὸς οὖν τάδ', ὦ κομψοπρεπῆ μοῦσαν ἔχων,
δεῖ σε λέγειν τι καινὸν, ὡς ηὐδοκίμηκεν ἀνήρ.
δεινῶν δέ σοι βουλευμάτων ἔοικε δεῖν πρὸς αὐτὸν,
εἴπερ τὸν ἄνδρ' ὑπερβαλεῖ καὶ μὴ γέλωτ' ὀφλήσεις.

ΑΔ. καὶ μὴν πάλαι γ' ἐπνιγόμην τὰ σπλάγχνα κἀπε-
θύμουν
ἅπαντα ταῦτ' ἐναντίαις γνώμαισι συνταράξαι.
ἐγὼ γὰρ ἥττων μὲν λόγος δι' αὐτὸ τοῦτ' ἐκλήθην
ἐν τοῖσι φροντισταῖσιν, ὅτι πρώτιστος ἐπενόησα
καὶ τοῖς νόμοις καὶ ταῖς δίκαις τἀναντί' ἀντιλέξαι.
καὶ τοῦτο πλεῖν ἢ μυρίων ἔστ' ἄξιον στατήρων,
αἱρούμενον τοὺς ἥττονας λόγους ἔπειτα νικᾶν.
σκέψαι δὲ τὴν παίδευσιν ᾗ πέποιθεν ὡς ἐλέγξω·
ὅστις σε θερμῷ φησι λοῦσθαι πρῶτον οὐκ ἐάσειν.
καίτοι τίνα γνώμην ἔχων ψέγεις τὰ θερμὰ λουτρά;

ΔΙ. ὁτιὴ κάκιστόν ἐστι καὶ δειλὸν ποιεῖ τὸν ἄνδρα.

ΑΔ. ἐπίσχες· εὐθὺς γάρ σε μέσον ἔχω λαβὼν ἄφυκτον.
καί μοι φράσον, τῶν τοῦ Διὸς παίδων τίν' ἄνδρ'
ἄριστον [νῆσαι;
ψυχὴν νομίζεις, εἰπὲ, καὶ πλείστους πόνους πο-

ΔΙ. ἐγὼ μὲν οὐδέν' Ἡρακλέους βελτίον' ἄνδρα κρίνω.

ΑΔ. ποῦ ψυχρὰ δῆτα πώποτ' εἶδες Ἡράκλεια λουτρά;
καίτοι τίς ἀνδρειότερος ἦν; ΔΙ. ταῦτ' ἐστὶν αὔτ'
ἐκεῖνα,
ἃ τῶν νεανίσκων ἀεὶ δι' ἡμέρας λαλούντων
πλῆρες τὸ βαλανεῖον ποιεῖ, κενὰς δὲ τὰς παλαίστρας.

ΑΔ. εἶτ' ἐν ἀγορᾷ τὴν διατριβὴν ψέγεις, ἐγὼ δ' ἐπαινῶ.
εἰ γὰρ πονηρὸν ἦν, Ὅμηρος οὐδέποτ' ἂν ἐποίει
τὸν Νέστορ' ἀγορητὴν ἂν οὐδὲ τοὺς σοφοὺς ἅπαντας.
ἄνειμι δῆτ' ἐντεῦθεν ἐς τὴν γλῶτταν, ἣν ὁδὶ μὲν
οὔ φησι χρῆναι τοὺς νέους ἀσκεῖν, ἐγὼ δὲ φημί.
καὶ σωφρονεῖν αὖ φησι χρῆναι· δύο κακὼ με-
γίστω.
ἐπεὶ σὺ διὰ τὸ σωφρονεῖν τῷ πώποτ' εἶδες ἤδη
ἀγαθόν τι γενόμενον, φράσον, καί μ' ἐξέλεγξον
εἰπών. [μάχαιραν.

ΔΙ. πολλοῖς. ὁ γοῦν Πηλεὺς ἔλαβε δι' αὐτὸ τὴν

ΑΔ. μάχαιραν; ἀστεῖόν γε κέρδος ἔλαβεν ὁ κακοδαίμων.
Ὑπέρβολος δ' οὐκ τῶν λύχνων πλεῖν ἢ τάλαντα
πολλὰ
εἴληφε διὰ πονηρίαν, ἀλλ' οὐ μὰ Δία μάχαιραν.

ΔΙ. καὶ τὴν Θέτιν γ' ἔγημε διὰ τὸ σωφρονεῖν ὁ Πηλεύς.

ΑΔ. κᾆτ' ἀπολιποῦσά γ' αὐτὸν ᾤχετ'· οὐ γὰρ ἦν
ὑβριστὴς [ζειν·
οὐδ' ἡδὺς ἐν τοῖς στρώμασιν τὴν νύκτα παννυχί-
γυνὴ δὲ σιναμωρουμένη χαίρει· σὺ δ' εἶ κρόνιππος.
σκέψαι γὰρ, ὦ μειράκιον, ἐν τῷ σωφρονεῖν ἅπαντα
ἄνεστιν, ἡδονῶν θ' ὅσων μέλλεις ἀποστερεῖσθαι,
παίδων, γυναικῶν, κοττάβων, ὄψων, πότων,
καχασμῶν.
καίτοι τί σοι ζῆν ἄξιον, τούτων ἐὰν στερηθῇς;
εἶεν. πάρειμ' ἐντεῦθεν ἐς τὰς τῆς φύσεως ἀνάγ-
κας.
ἥμαρτες, ἠράσθης, ἐμοίχευσάς τι, κᾆτ' ἐλήφθης·
ἀπόλωλας· ἀδύνατος γὰρ εἶ λέγειν. ἐμοὶ δ' ὁμιλῶν
χρῶ τῇ φύσει, σκίρτα, γέλα, νόμιζε μηδὲν αἰσχρόν.
μοιχὸς γὰρ ἢν τύχῃς ἁλοὺς, τάδ' ἀντερεῖς πρὸς αὐτὸν,
ὡς οὐδὲν ἠδίκηκας· εἶτ' ἐς τὸν Δί' ἐπανενεγκεῖν,
κἀκεῖνος ὡς ἥττων ἔρωτός ἐστι καὶ γυναικῶν·
καίτοι σὺ θνητὸς ὢν θεοῦ πῶς μεῖζον ἂν δύναιο;

ΔΙ. τί δ' ἢν ῥαφανιδωθῇ πιθόμενός σοι τέφρᾳ τε τιλθῇ;
ἕξει τίνα γνώμην λέγειν τὸ μὴ εὐρύπρωκτος εἶναι;

ΑΔ. ἢν δ' εὐρύπρωκτος ᾖ, τί πείσεται κακόν;

ΔΙ. τί μὲν οὖν ἂν ἔτι μεῖζον πάθοι τούτου ποτέ;

ΑΔ. τί δῆτ' ἐρεῖς, ἢν τοῦτο νικηθῇς ἐμοῦ;

ΔΙ. σιγήσομαι. τί δ' ἄλλο; ΑΔ. φέρε δή μοι φράσον·
ξυνηγοροῦσιν ἐκ τίνων;

ΔΙ. ἐξ εὐρυπρώκτων. ΑΔ. πείθομαι.
τί δαί; τραγῳδοῦσ' ἐκ τίνων;

ΔΙ. ἐξ εὐρυπρώκτων. ΑΔ. εὖ λέγεις.
δημηγοροῦσι δ' ἐκ τίνων;

ΔΙ. ἐξ εὐρυπρώκτων. ΑΔ. ἆρα δῆτ'
ἔγνωκας ὡς οὐδὲν λέγεις;
καὶ τῶν θεατῶν ὁπότεροι
πλείους σκόπει. ΔΙ. καὶ δὴ σκοπῶ.

ΑΔ. τί δῆθ' ὁρᾷς;

ΔΙ. πολὺ πλείονας, νὴ τοὺς θεοὺς,
τοὺς εὐρυπρώκτους· τουτονὶ
γοῦν οἶδ' ἐγὼ κἀκεινονὶ
καὶ τὸν κομήτην τουτονί.

ΑΔ. τί δῆτ' ἐρεῖς;

ΔΙ. ἡττήμεθ', ὦ βινούμενοι,
πρὸς τῶν θεῶν δέξασθέ μου

---

1005. Ἀκαδήμειαν Hermannus] ἀκαδημίαν 1013. λευκὴν] λαμπρὰν libri deteriores. 1023. ἀναπλήσει] σ' ἀναπλήσει libri nonnulli recentiores. 1029. εὐδαίμονες — προτέρων] Sic RV: in recentioribus pluribus εὐδαίμονες δ' ἄρ' ἦσαν οἱ | τότε ζῶντες, ἡνίκ' ἧς | τῶν προτέρων — scriptura ab correctore metrico interpolata, qui haec verba versui strophico 954. exaequare volebat conatu inutili, ut diximus ad v. 949. 1031. ηὐδοκίμηκεν D.] εὐδοκίμηκεν 1036. μὴν πάλαι γ'] μὴν ἔγωγ' RV. καὶ μὴν πάλαι γ' est v. 4. 1040. καὶ τοῖς νόμοις Porsonus] καὶ τοῖσι νόμοις (τοῖσιν νόμοισιν, omisso καὶ RV). τοῖσιν νόμοις ἐν ταῖς δίκαις Kockius. 1046. δειλὸν] δειλότατον RV aliique, ab librario positum cui obversabatur superlativus praecedens κάκιστον. 1047. σε μέσον ἔχω] σ' ἔχω μέσον libri nonnulli et Suidas s. v. εὐθύς. Utrique praestat μέσον σ' ἔχω.

1052. ἐστὶν αὔτ' Reisigius] ἐστὶ ταῦτ' 1063. δι' αὐτὸ Porsonus] διὰ τοῦτο 1066. Δία Elmsleius] Δί' οὐ 1073. καχασμῶν R. κιχλισμῶν ceteri. 1075. φύσεως] φύσεος Bentleius. 1083. πιθόμενος Kusterus] πειθόμενος 1103. βινούμενοι D.] κινούμενοι

θοἰμάτιον, ὡς
ἐξαυτομολῶ πρὸς ὑμᾶς.
ΣΩ. τί δῆτα; πότερα τοῦτον ἀπάγεσθαι λαβὼν
βούλει τὸν υἱόν, ἢ διδάσκω σοι λέγειν;
ΣΤ. δίδασκε καὶ κόλαζε, καὶ μέμνησ' ὅπως
εὖ μοι στομώσεις αὐτόν, ἐπὶ μὲν θάτερα
οἷον δικιδίοις, τὴν δ' ἑτέραν αὐτοῦ γνάθον
στόμωσον οἵαν ἐς τὰ μείζω πράγματα.
ΣΩ. ἀμέλει, κομιεῖ τοῦτον σοφιστὴν δεξιόν.
ΣΤ. ὠχρὸν μὲν οὖν ἔγωγε καὶ κακοδαίμονα.
ΧΟ. χωρεῖτέ νυν. οἶμαι δέ σοι ταῦτα μεταμελήσειν.
τοὺς κριτὰς ἃ κερδανοῦσιν, ἤν τι τόνδε τὸν χορὸν
ὠφελῶσ' ἐκ τῶν δικαίων, βουλόμεσθ' ἡμεῖς φράσαι.
πρῶτα μὲν γάρ, ἢν νεᾶν βούλησθ' ἐν ὥρᾳ τοὺς ἀγρούς,
ὕσομεν πρώτοισιν ὑμῖν, τοῖσι δ' ἄλλοις ὕστερον.
εἶτα τὸν καρπόν τε καὶ τὰς ἀμπέλους φυλάξομεν,
ὥστε μήτ' αὐχμὸν πιέζειν μήτ' ἄγαν ἐπομβρίαν.
ἢν δ' ἀτιμάσῃ τις ἡμᾶς θνητὸς ὢν οὔσας θεάς,
προσσχέτω τὸν νοῦν πρὸς ἡμῶν οἷα πείσεται κακά,
λαμβάνων οὔτ' οἶνον οὔτ' ἄλλ' οὐδὲν ἐκ τοῦ χωρίου.
ἡνίκ' ἂν γὰρ αἵ τ' ἐλᾶαι βλαστάνωσ' αἵ τ' ἄμπελοι,
ἀποκεκόψονται· τοιαύταις σφενδόναις παιήσομεν.
ἢν δὲ πλινθεύοντ' ἴδωμεν, ὕσομεν καὶ τοῦ τέγους
τὸν κέραμον αὐτοῦ χαλάζαις στρογγύλαις ξυντρίψομεν.
κἂν γαμῇ ποτ' αὐτὸς ἢ τῶν ξυγγενῶν ἢ τῶν φίλων,
ὕσομεν τὴν νύκτα πᾶσαν· ὥστ' ἴσως βουλήσεται
κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον ἢ κρῖναι κακῶς.
ΣΤ. πέμπτη, τετράς, τρίτη, μετὰ ταύτην δευτέρα,
εἶθ' ἣν ἐγὼ μάλιστα πασῶν ἡμερῶν
δέδοικα καὶ πέφρικα καὶ βδελύττομαι,
εὐθὺς μετὰ ταύτην ἕσθ' ἕνη τε καὶ νέα.
πᾶς γάρ τις ὀμνύς, οἷς ὀφείλων τυγχάνω,
θείς μοι πρυτανεῖ' ἀπολεῖν μέ φησι κἀξολεῖν,
καί μου μέτρι' ἄττα καὶ δίκαι' αἰτουμένου
"ὦ δαιμόνιε, τὸ μέν τι νυνὶ μὴ λάβῃς,
τὸ δ' ἀναβαλοῦ μοι, τὸ δ' ἄφες," οὔ φασίν ποτε
οὕτως ἀπολήψεσθ', ἀλλὰ λοιδοροῦσί με
ὡς ἄδικός εἰμι, καὶ δικάσεσθαί φασί μοι.
νῦν οὖν δικαζέσθων· ὀλίγον γάρ μοι μέλει,
εἴπερ μεμάθηκεν εὖ λέγειν Φειδιππίδης.
τάχα δ' εἴσομαι κόψας τὸ φροντιστήριον.
παῖ, ἠμί, παῖ παῖ. ΣΩ. Στρεψιάδην ἀσπάζομαι.
ΣΤ. κἄγωγέ σ'. ἀλλὰ τουτονὶ πρῶτον λαβέ·
χρὴ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον.
καί μοι τὸν υἱόν, εἰ μεμάθηκε τὸν λόγον
ἐκεῖνον, εἴφ', ὃν ἀρτίως εἰσήγαγες.
ΣΩ. μεμάθηκεν. ΣΤ. εὖ γ', ὦ παμβασίλει' Ἀπαιόλη.
ΣΩ. ὥστ' ἀποφύγοις ἂν ἥντιν' ἂν βούλῃ δίκην.
ΣΤ. κεἰ μάρτυρες παρῆσαν, ὅτ' ἐδανειζόμην;
ΣΩ. πολλῷ γε μᾶλλον, κἂν παρῶσι χίλιοι.
ΣΤ. βοάσομαί τἄρα τὰν ὑπέρτονον
βοάν. ἰώ, κλάετ', ὠβολοστάται,
αὐτοί τε καὶ τἀρχαῖα καὶ τόκοι τόκων·
οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσαισθ' ἔτι,
οἷος ἐμοὶ τρέφεται
τοῖσδ' ἐνὶ δώμασι παῖς,
ἀμφήκει γλώττῃ λάμπων,
πρόβολος ἐμός, σωτὴρ δόμοις, ἐχθροῖς βλάβη,
λυσανίας πατρῴων μεγάλων κακῶν·
ὃν κάλεσον τρέχων ἔνθοθεν ὡς ἐμέ.
ΣΩ. ὦ τέκνον, ὦ παῖ, ἔξελθ' οἴκων,
ἄϊε σοῦ πατρός.
ὅδ' ἐκεῖνος ἀνήρ.
ΣΤ. ὦ φίλος, ὦ φίλος.
ΣΩ. ἄπιθι λαβὼν τὸν υἱόν.
ΣΤ. ἰὼ ἰὼ τέκνον.
ἰοῦ ἰοῦ.
ὡς ἥδομαί σου πρῶτα τὴν χροιὰν ἰδών.
νῦν μέν γ' ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς
κἀντιλογικός, καὶ τοῦτο τοὐπιχώριον
ἀτεχνῶς ἐπανθεῖ, τὸ "τί λέγεις σύ;" καὶ δοκεῖν
ἀδικοῦντ' ἀδικεῖσθαι καὶ κακουργοῦντ', οἶδ' ὅτι.
ἐπὶ τοῦ προσώπου τ' ἐστὶν Ἀττικὸν βλέπος.
νῦν οὖν ὅπως σώσεις μ', ἐπεὶ κἀπώλεσας.
ΦΕ. φοβεῖ δὲ δὴ τί; ΣΤ. τὴν ἕνην τε καὶ νέαν.
ΦΕ. ἕνη γάρ ἐστι καὶ νέα τις ἡμέρα;
ΣΤ. εἰς ἥν γε θήσειν τὰ πρυτανεῖά φασί μοι.
ΦΕ. ἀπολοῦσ' ἄρ' αὔθ' οἱ θέντες· οὐ γὰρ ἔσθ' ὅπως
μί' ἡμέρα γένοιτ' ἂν ἡμέρα δύο.
ΣΤ. οὐκ ἂν γένοιτο; ΦΕ. πῶς γάρ; εἰ μή πέρ γ' ἅμα
αὑτὴ γένοιτ' ἂν γραῦς τε καὶ νέα γυνή.
ΣΤ. καὶ μὴν νενόμισταί γ'. ΦΕ. οὐ γάρ, οἶμαι, τὸν νόμον
ἴσασιν ὀρθῶς ὅ τι νοεῖ. ΣΤ. νοεῖ δὲ τί;
ΦΕ. ὁ Σόλων ὁ παλαιὸς ἦν φιλόδημος τὴν φύσιν.
ΣΤ. τουτὶ μὲν οὐδέν πω πρὸς ἕνην τε καὶ νέαν.
ΦΕ. ἐκεῖνος οὖν τὴν κλῆσιν ἐς δύ' ἡμέρας
ἔθηκεν, ἔς γε τὴν ἕνην τε καὶ νέαν,
ἵν' αἱ θέσεις γίγνοιντο τῇ νουμηνίᾳ.
ΣΤ. ἵνα δὴ τί τὴν ἕνην προσέθηχ'; ΦΕ. ἵν', ὦ μέλε,
παρόντες οἱ φεύγοντες ἡμέρᾳ μιᾷ
πρότερον ἀπαλλάττοινθ' ἑκόντες, εἰ δὲ μή,
ἕωθεν ὑπανιῷντο τῇ νουμηνίᾳ.
ΣΤ. πῶς οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ
ἀρχαὶ τὰ πρυτανεῖ', ἀλλ' ἕνῃ τε καὶ νέᾳ;
ΦΕ. ὅπερ οἱ προτένθαι γὰρ δοκοῦσί μοι ποιεῖν·
ἵν' ὡς τάχιστα τὰ πρυτανεῖ' ὑφελοίατο,
διὰ τοῦτο προυτένθευσαν ἡμέρᾳ μιᾷ.
ΣΤ. εὖ γ', ὦ κακοδαίμονες, τί κάθησθ' ἀβέλτεροι,
ἡμέτερα κέρδη τῶν σοφῶν, ὄντες λίθοι,
ἀριθμός, πρόβατ' ἄλλως, ἀμφορῆς νενησμένοι,
ὥστ' εἰς ἐμαυτὸν καὶ τὸν υἱὸν τουτονὶ
ἐπ' εὐτυχίαισιν ᾀστέον μοὐγκώμιον.
μάκαρ ὦ Στρεψίαδες,
αὐτός τ' ἔφυς ὡς σοφός,
χοῖον τὸν υἱὸν τρέφεις,
φήσουσι δή μ' οἱ φίλοι
χοἰ δημόται

---

1105. πότερα RV. πότερον ceteri. 1109. οἷον Teuffelius] οἵαν 1110. οἵαν] οἷον RV. 1115. ἃ] δ' ἃ Halbertsma. 1116. ἡμεῖς RV. ὑμῖν ceteri. 1119. καρπόν τε καὶ τὰς Coraës ad Plutarch. vol. 5. p. 352.] καρπὸν τεκούσας 1122. προσχέτω (debebat προσσχέτω) Bentleius] προσεχέτω 1124. ἐλᾶαι D.] ἐλαῖαι 1134. ἕσθ' ἕνη] ἔσθ' ἕνη R. ἔστ' ἕνη alii. Quae perpetua codicum fluctuatio est inter spiritum asperum et lenem. Ego ubique asperum praetuli: de quo dictum in Thesauro vol. 3. p. 1118—1121. 1135. ὀμνὺς] ὄμνυσ' RV aliique. 1137. καί μου Meinekius] ἐμοῦ μέτρι' ἄττα Porsonus] μέτριά τε. In recentioribus nonnullis μέτρι' ἄτα cum gl. ὀλίγα τινά.
1141. δικάσεσθαι Kusterus] δικάσασθαι (ut ἐνεχυράσασθαι pro ἐνεχυράσεσθαι plerique v. 35.) 1143. μεμάθηκεν] μεμάθηκέ γ' Cobetus.

1168. ἄπιθι λαβὼν τὸν υἱόν D.] ἄπιθι λαβὼν τὸν υἱόν σου RV. ἄπιθι σὺ λαβὼν ceteri. 1182. ἡμέρα] ἡμέραι R. 1192. προσέθηχ' Hirschigius] προσέθηκ' Cantabrig. unus. προσέθηκεν ceteri. 1197. ἀρχαὶ] ἀρχαί. αἱ ἀρχαὶ Athen. 4. p. 171 c. 1198. γὰρ om. RV. ποιεῖν R. παθεῖν ceteri. 1206. μάκαρ] μακάρτατ' Westphalius.

ζηλοῦντες ἡνίκ' ἂν σὺ νικᾷς λέγων τὰς δίκας.
ἀλλ' εἰσάγων σε βούλομαι πρῶτον ἑστιᾶσαι.

ΠΑΣΙΑΣ.

εἶτ' ἄνδρα τῶν αὑτοῦ τι χρὴ προϊέναι;
οὐδέποτέ γ', ἀλλὰ κρεῖττον εὐθὺς ἦν τότε
ἀπερυθριᾶσαι μᾶλλον ἢ σχεῖν πράγματα,
ὅτε τῶν ἐμαυτοῦ γ' ἕνεκα νυνὶ χρημάτων
ἕλκω σε κλητεύσοντα, καὶ γενήσομαι
ἐχθρὸς ἔτι πρὸς τούτοισιν ἀνδρὶ δημότῃ.
ἀτὰρ οὐδέποτέ γε τὴν πατρίδα καταισχυνῶ
ζῶν, ἀλλὰ καλοῦμαι Στρεψιάδην. ΣΤ. τίς οὑτοσί;
ΠΑ. ἐς τὴν ἕνην τε καὶ νέαν. ΣΤ. μαρτύρομαι,
ὅτι ἐς δύ' εἶπεν ἡμέρας. τοῦ χρήματος;
ΠΑ. τῶν δώδεκα μνῶν, ἃς ἔλαβες ὠνούμενος
τὸν ψαρὸν ἵππον. ΣΤ. ἵππον; οὐκ ἀκούετε,
ὃν πάντες ὑμεῖς ἴστε μισοῦνθ' ἱππικήν;
ΠΑ. καὶ νὴ Δί' ἀποδώσειν γ' ἐπώμνυς τοὺς θεούς.
ΣΤ. μὰ τὸν Δί'· οὐ γάρ πω τότ' ἐξηπίστατο
Φειδιππίδης μοι τὸν ἀκατάβλητον λόγον.
ΠΑ. νῦν δὲ διὰ τοῦτ' ἔξαρνος εἶναι διανοεῖ;
ΣΤ. τί γὰρ ἄλλ' ἂν ἀπολαύσαιμι τοῦ μαθήματος;
ΠΑ. καὶ ταῦτ' ἐθελήσεις ἀπομόσαι μοι τοὺς θεούς;
ΣΤ. ποίους θεούς;
ΠΑ. τὸν Δία, τὸν Ἑρμῆν, τὸν Ποσειδῶ. ΣΤ. νὴ Δία,
κἂν προσκαταθείην γ', ὥστ' ὀμόσαι, τριώβολον.
ΠΑ. ἀπόλοιο τοίνυν ἕνεκ' ἀναιδείας ἔτι.
ΣΤ. ἁλσὶν διασμηχθεὶς ὄναιτ' ἂν οὑτοσί.
ΠΑ. οἴμ' ὡς καταγελᾷς. ΣΤ. ἓξ χόας χωρήσεται.
ΠΑ. οὔ τοι μὰ τὸν Δία τὸν μέγαν καὶ τοὺς θεοὺς
ἐμοῦ καταπροίξει. ΣΤ. θαυμασίως ἥσθην θεοῖς,
καὶ Ζεὺς γέλοιος ὀμνύμενος τοῖς εἰδόσιν.
ΠΑ. ἦ μὴν σὺ τούτων τῷ χρόνῳ δώσεις δίκην.
ἀλλ' εἴτ' ἀποδώσεις μοι τὰ χρήματ' εἴτε μή,
ἀπόπεμψον ἀποκρινάμενος. ΣΤ. ἔχε νυν ἥσυχος.
ἐγὼ γὰρ αὐτίκ' ἀποκρινοῦμαί σοι σαφῶς.
ΠΑ. τί σοι δοκεῖ δράσειν;

ΜΑΡΤΥΣ.

ἀποδώσειν μοι δοκεῖ.
ΣΤ. ποῦ' σθ' οὗτος ἀπαιτῶν με τἀργύριον; λέγε,
τουτὶ τί ἐστι; ΠΑ. τοῦθ' ὅ τι ἐστί; κάρδοπος.
ΣΤ. ἔπειτ' ἀπαιτεῖς τἀργύριον τοιοῦτος ὤν;
οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί,
ὅστις καλέσειε κάρδοπον τὴν καρδόπην.
ΠΑ. οὐκ ἄρ' ἀποδώσεις; ΣΤ. οὐχ, ὅσον γέ μ' εἰδέναι.
οὔκουν ἀνύσας τι θᾶττον ἀπολιταργιεῖς
ἀπὸ τῆς θύρας; ΠΑ. ἄπειμι, καὶ τοῦτ' ἴσθ', ὅτι
θήσω πρυτανεῖ', ἢ μηκέτι ζῴην ἐγώ.
ΣΤ. προσαποβαλεῖς ἄρ' αὐτὰ πρὸς ταῖς δώδεκα.
καίτοι σε τοῦτό γ' οὐχὶ βούλομαι παθεῖν,
ὁτιὴ 'κάλεσας εὐηθικῶς τὴν κάρδοπον.

ΑΜΥΝΙΑΣ.

ἰώ μοί μοι.
ΣΤ. ἔα.
τίς οὑτοσί ποτ' ἔσθ' ὁ θρηνῶν; οὔ τί που
τῶν Καρκίνου τις δαιμόνων ἐφθέγξατο;
ΑΜ. τί δ' ὅστις εἰμί, τοῦτο βούλεσθ' εἰδέναι;
ἀνὴρ κακοδαίμων. ΣΤ. κατὰ σεαυτόν νυν τρέπου.
ΑΜ. ὦ σκληρὲ δαῖμον, ὦ τύχαι θραυσάντυγες
ἵππων ἐμῶν· ὦ Παλλάς, ὥς μ' ἀπώλεσας.
ΣΤ. τί δαί σε Τληπόλεμός ποτ' εἴργασται κακόν;
ΑΜ. μὴ σκῶπτέ μ', ὦ τᾶν, ἀλλά μοι τὰ χρήματα
τὸν υἱὸν ἀποδοῦναι κέλευσον ἅλαβεν,
ἄλλως τε μέντοι καὶ κακῶς πεπραγότι.
ΣΤ. τὰ ποῖα ταῦτα χρήμαθ'; ΑΜ. ἁδανείσατο.
ΣΤ. κακῶς ἄρ' ὄντως εἶχες, ὥς γ' ἐμοὶ δοκεῖς.
ΑΜ. ἵππους ἐλαύνων ἐξέπεσον νὴ τοὺς θεούς.
ΣΤ. τί δῆτα ληρεῖς ὥσπερ ἀπ' ὄνου καταπεσών;
ΑΜ. ληρῶ, τὰ χρήματ' ἀπολαβεῖν εἰ βούλομαι;
ΣΤ. οὐκ ἔσθ' ὅπως σύ γ' αὐτὸς ὑγιαίνεις. ΑΜ. τί δαί;
ΣΤ. τὸν ἐγκέφαλον ὥσπερ σεσεῖσθαί μοι δοκεῖς.
ΑΜ. σὺ δὲ νὴ τὸν Ἑρμῆν προσκεκλήσεσθαί γέ μοι,
εἰ μἀποδώσεις τἀργύριον. ΣΤ. κάτειπέ νυν,
πότερα νομίζεις καινὸν ἀεὶ τὸν Δία
ὕειν ὕδωρ ἑκάστοτ', ἢ τὸν ἥλιον
ἕλκειν κάτωθεν ταὐτὸ τοῦθ' ὕδωρ πάλιν;
ΑΜ. οὐκ οἶδ' ἔγωγ' ὁπότερον, οὐδέ μοι μέλει.
ΣΤ. πῶς οὖν ἀπολαβεῖν τἀργύριον δίκαιος εἶ,
εἰ μηδὲν οἶσθα τῶν μετεώρων πραγμάτων;
ΑΜ. ἀλλ' εἰ σπανίζεις, τἀργυρίου μοι τὸν τόκον
ἀπόδοτε. ΣΤ. τοῦτο δ' ἔσθ' ὁ τόκος τί θηρίον;
ΑΜ. τί δ' ἄλλο γ' ἢ κατὰ μῆνα καὶ καθ' ἡμέραν
πλέον πλέον τἀργύριον ἀεὶ γίγνεται,
ὑπορρέοντος τοῦ χρόνου; ΣΤ. καλῶς λέγεις.
τί δῆτα; τὴν θάλατταν ἔσθ' ὅτι πλείονα
νυνὶ νομίζεις ἢ πρὸ τοῦ; ΑΜ. μὰ Δί', ἀλλ' ἴσην.
οὐ γὰρ δίκαιον πλείον' εἶναι. ΣΤ. κᾆτα πῶς
αὕτη μέν, ὦ κακόδαιμον, οὐδὲν γίγνεται
ἐπιρρεόντων τῶν ποταμῶν πλείων, σὺ δὲ
ζητεῖς ποιῆσαι τἀργύριον πλέον τὸ σόν;
οὐκ ἀποδιώξει σαυτὸν ἀπὸ τῆς οἰκίας;
φέρε μοι τὸ κέντρον. ΑΜ. ταῦτ' ἐγὼ μαρτύρομαι.
ΣΤ. ὕπαγε, τί μέλλεις; οὐκ ἐλᾷς, ὦ σαμφόρα;
ΑΜ. ταῦτ' οὐχ ὕβρις δῆτ' ἐστίν; ΣΤ. ἄξεις; ἐπιαλῶ
κεντῶν ὑπὸ τὸν πρωκτόν σε τὸν σειραφόρον.
φεύγεις; ἔμελλον σ' ἄρα κινήσειν ἐγὼ

1214. ΠΑΣΙΑΣ] δανειστὴς R hic et posthac. 1233. ποίους θεούς R. Legebatur continuata Pasiae oratione ἵν' ἂν κελεύσω 'γώ σε; Στρ. τοὺς (τοὺς om. V aliique nonnulli) ποίους θεούς; 1238. χόας D.] χοᾶς vel χοάς. Utrumque legit scholiasta. 1243. μοι om. R aliique nonnulli. 1246. μοι R. σοι ceteri, quo recepto verba ἀποδώσειν σοι δοκεῖ in interrogatione posuit et Pasiae continuavit Bergkius, ut testis persona muta adstare cogitetur (ut in Vespis factum v. 1412. et in Pluto v. 891.): quae ratio non magis probari potest quam Beerii p. 116., qui prima verba τί σοι δοκεῖ δράσειν; choro, proxima ἀποδώσειν μοι δοκεῖ Pasiae tribui voluit. Scholiasta verba τί σοι δοκεῖ δράσειν; testi tributa legit, cui Pasias responderit ἀποδώσειν μοι δοκεῖ, nec dubitandum quin versus inter duas personas sit distribuendus. Aristophanem tamen probabile est pausam, quae Strepsiade domum introeunte est inter v. 1245 et 1247., aliter quam uno debili qui nunc legitur versu 1246. expleturum fuisse, si alteram fabulae editionem perfecisset. 1247. ἀπαιτῶν] ἀπαιτῶν RV. ὁ 'παιτῶν alii.

1256. προσαποβαλεῖς] καὶ προσαποβαλεῖς R. καὶ προσαπολεῖς V. 1260. τίς οὑτοσί ποτ' ἔσθ' ὁ θρηνῶν] τίς ἔσθ' ὁ θρηνῶν οὗτος RV. 1269. τε] γε RV aliique. 1277. προσκεκλήσεσθαί γέ μοι] προσκεκλῆσθαί μοι δοκεῖς RV aliique nonnulli, non Suidas s. v. προσκεκλήσεσθαι. 1278. μἀποδώσεις D.] μὴ ἀποδώσεις vel μὴ 'ποδώσεις 1285. μοι] γοῦν Meinekius. 1286. ἀπόδοτε RV. ἀπόδος γε ceteri. 1295. πλέον D.] πλεῖον 1296. ἀποδιώξει Elmsleius] ἀποδιώξεις ἀπὸ] ἐκ RV aliique. 1298. ΣΤ.] Scholiasta in RV: ταῦτα ἔοικεν ὁ μάρτυς λέγειν τῷ δανειστῇ. et alius: τινὲς τοῦτο Στρεψιάδου, τινὲς ὅλον τοῦ κλητῆρος. σαμφόρα] πασία RV, quorum V saepius in hoc colloquio Pasiae tribuit quae Amyniae sunt, incogitantia librarii non recordati versuum 30. 31. 1299. ἐπιαλῶ] ἐπὶ ἀλῶ R. ἐπὶ ἄλλων (γρ. ἐπεὶ ἀλῶ) V et ἐπεὶ ἀλῶ alii non pauci. Inania sunt scholiastarum commenta. 1301. ἔμελλόν σ' ἄρα κινήσειν ἐγώ] Sic Acharn. 347. ἐμέλλετ' ἄρ' ἅπαντες ἀνασείειν βοήν, quod ἀνασείσειν potius scribendum.

αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν.
ΧΟ. οἷον τὸ πραγμάτων ἐρᾶν φλαύρων· ὁ γὰρ
γέρων ὅδ' ἐξαρθεὶς
ἀποστερῆσαι βούλεται
τὰ χρήμαθ' ἁδανείσατο·
κοὐκ ἔσθ' ὅπως οὐ τήμερον
λήψεταί τι πρᾶγμ', ὃ τοῦ-
τον ποιήσει τὸν σοφιστὴν ἴσως [κόν τι.
ἀνθ' ὧν πανουργεῖν ἤρξατ', ἐξαίφνης λαβεῖν κα-
οἶμαι γὰρ αὐτὸν αὐτίχ' εὑρήσειν ὅπερ
πάλαι ποτ' ἐζήτει,
εἶναι τὸν υἱὸν δεινόν οἱ
γνώμας ἐναντίας λέγειν
τοῖσιν δικαίοις, ὥστε νι-
κᾶν ἅπαντας οἷσπερ ἂν
ξυγγένηται, κἂν λέγῃ παμπόνηρ'.
ἴσως δ' ἴσως βουλήσεται κἄφωνον αὐτὸν εἶναι.
ΣΤ. ἰοὺ ἰού.
ὦ γείτονες καὶ ξυγγενεῖς καὶ δημόται,
ἀμυνάθετέ μοι τυπτομένῳ πάσῃ τέχνῃ.
οἴμοι κακοδαίμων τῆς κεφαλῆς καὶ τῆς γνάθου.
ὦ μιαρὲ, τύπτεις τὸν πατέρα; ΦΕ. φήμ', ὦ
πάτερ.
ΣΤ. ὁρᾶθ' ὁμολογοῦνθ' ὅτι με τύπτει. ΦΕ. καὶ μάλα.
ΣΤ. ὦ μιαρὲ καὶ πατραλοῖα καὶ τοιχωρύχε.
ΦΕ. αὖθίς με ταὐτὰ ταῦτα καὶ πλείω λέγε.
ἆρ' οἶσθ' ὅτι χαίρω πόλλ' ἀκούων καὶ κακά;
ΣΤ. ὦ λακκόπρωκτε. ΦΕ. πάττε πολλοῖς τοῖς ῥόδοις.
ΣΤ. τὸν πατέρα τύπτεις; ΦΕ. κἀποφανῶ γε νὴ Δία
ὡς ἐν δίκῃ σ' ἔτυπτον. ΣΤ. ὦ μιαρώτατε,
καὶ πῶς γένοιτ' ἂν πατέρα τύπτειν ἐν δίκῃ;
ΦΕ. ἔγωγ' ἀποδείξω, καί σε νικήσω λέγων.
ΣΤ. τουτὶ σὺ νικήσεις; ΦΕ. πολύ γε καὶ ῥᾳδίως.
ἑλοῦ δ' ὁπότερον τοῖν λόγοιν βούλει λέγειν.
ΣΤ. ποίοιν λόγοιν; ΦΕ. τὸν κρείττον', ἢ τὸν ἥττονα;
ΣΤ. ἐδιδαξάμην μέντοι σε νὴ Δί', ὦ μέλε,
τοῖσιν δικαίοις ἀντιλέγειν, εἰ ταῦτά γε
μέλλεις ἀναπείσειν, ὡς δίκαιον καὶ καλὸν
τὸν πατέρα τύπτεσθ' ἐστὶν ὑπὸ τῶν υἱέων.
ΦΕ. ἀλλ' οἴομαι μέντοι σ' ἀναπείσειν, ὥστε γε
οὐδ' αὐτὸς ἀκροασάμενος οὐδὲν ἀντερεῖς.
ΣΤ. καὶ μὴν ὅ τι καὶ λέξεις ἀκοῦσαι βούλομαι.
ΧΟ. σὸν ἔργον, ὦ πρεσβῦτα, φροντίζειν ὅπῃ
τὸν ἄνδρα κρατήσεις,
ὡς οὗτος, εἰ μή τῳ 'πεποίθειν, οὐκ ἂν ἦν
οὕτως ἀκόλαστος.
ἀλλ' ἔσθ' ὅτῳ θρασύνεται ⏑ ⏓ ⏑ –·
δῆλον δὲ τὸ λῆμα.
ἀλλ' ἐξ ὅτου τὸ πρῶτον ἤρξαθ' ἡ μάχη γενέσθαι
ἤδη λέγειν χρὴ πρὸς χορόν· πάντως δὲ τοῦτο δράσεις.
ΣΤ. καὶ μὴν ὅθεν γε πρῶτον ἠρξάμεσθα λοιδορεῖσθαι
ἐγὼ φράσω· 'πειδὴ γὰρ εἱστιώμεθ', ὥσπερ ἴστε,
πρῶτον μὲν αὐτὸν τὴν λύραν λαβόντ' ἐγὼ 'κέ-
λευσα

1303—1310. = 1311—1320.
1345—1352. = 1391—1398.

ᾆσαι Σιμωνίδου μέλος, τὸν Κριὸν, ὡς ἐπέχθη.
ὁ δ' εὐθέως ἀρχαῖον εἶν' ἔφασκε τὸ κιθαρίζειν
ᾄδειν τε πίνονθ' ὡσπερεὶ κάχρυς γυναῖκ' ἀλοῦσαν.
ΦΕ. οὐ γὰρ τότ' εὐθὺς χρῆν σ' ἀράττεσθαί τε καὶ πα-
τεῖσθαι,
ᾄδειν κελεύονθ' ὡσπερεὶ τέττιγας ἑστιῶντα;
ΣΤ. τοιαῦτα μέντοι καὶ τότ' ἔλεγεν ἔνδον οἷάπερ νῦν,
καὶ τὸν Σιμωνίδην ἔφασκ' εἶναι κακὸν ποιητήν.
κἀγὼ μόλις μὲν, ἀλλ' ὅμως ἠνεσχόμην τὸ πρῶτον·
ἔπειτα δ' ἐκέλευσ' αὐτὸν ἀλλὰ μυρρίνην λαβόντα
τῶν Αἰσχύλου λέξαι τί μοι· κᾆθ' οὗτος εὐθὺς εἶπεν
"ἐγὼ γὰρ Αἰσχύλον νομίζω πρῶτον ἐν ποιηταῖς,
ψόφου πλέων, ἀξύστατον, στόμφακα, κρημνο-
ποιόν;"
κἀνταῦθα πῶς οἴεσθέ μου τὴν καρδίαν ὀρεχθεῖν;
ὅμως δὲ τὸν θυμὸν δακὼν ἔφην, σὺ δ' ἀλλὰ τούτων
λέξον τι τῶν νεωτέρων, ἅττ' ἐστὶ τὰ σοφὰ ταῦτα.
ὁ δ' εὐθὺς ᾖσ' Εὐριπίδου ῥῆσίν τιν', ὡς ἐβίνει
ἀδελφὸς, ὦλεξίκακε, τὴν ὁμομητρίαν ἀδελφήν.
κἀγὼ οὐκέτ' ἐξηνεσχόμην, ἀλλ' εὐθὺς ἐξαράττω
πολλοῖς κακοῖς κᾀσχροῖσι· κᾆτ' ἐντεῦθεν, οἷον εἰκὸς,
ἔπος πρὸς ἔπος ἠρειδόμεσθ'· εἶθ' οὗτος ἐπαναπηδᾷ,
κἄπειτ' ἔφλα με κἀσπόδει κἄπνιγε κἀπέτριβεν.
ΦΕ. οὔκουν δικαίως, ὅστις οὐκ Εὐριπίδην ἐπαινεῖς
σοφώτατον; ΣΤ. σοφώτατόν γ' ἐκεῖνον, ὦ τί σ'
εἴπω; [δίκῃ γε.
ἀλλ' αὖθις αὖ τυπήσομαι. ΦΕ. νὴ τὸν Δί', ἐν
ΣΤ. καὶ πῶς δικαίως; ὅστις ὦναίσχυντέ σ' ἐξέθρεψα,
αἰσθανόμενός σου πάντα τραυλίζοντος, ὅ τι νοοίης.
εἰ μέν γε βρῦν εἴποις, ἐγὼ γνοὺς ἂν πιεῖν ἐπέσχον
μαμμᾶν δ' ἂν αἰτήσαντος ἧκόν σοι φέρων ἂν ἄρτον·
κακκᾶν δ' ἂν οὐκ ἔφθης φράσαι, κἀγὼ λαβὼν θύραζε
ἐξέφερον ἂν καὶ προυσχόμην σε· σὺ δ' ἐμὲ νῦν
βοῶντα καὶ κεκραγόθ' ὅτι [ἀπάγχων
χεζητιῴην, οὐκ ἔτλης
ἔξω 'ξενεγκεῖν, ὦ μιαρὲ,
θύραζέ μ', ἀλλὰ πνιγόμενος
αὐτοῦ 'ποίησα κακκᾶν.
ΧΟ. οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας
πηδᾶν ὅ τι λέξει.
εἰ γὰρ τοιαῦτά γ' οὗτος ἐξειργασμένος
λαλῶν ἀναπείσει,
τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἂν
ἀλλ' οὐδ' ἐρεβίνθου.
σὸν ἔργον, ὦ καινῶν ἐπῶν κινητὰ καὶ μοχλευτὰ,
πειθώ τινα ζητεῖν, ὅπως δόξεις λέγειν δίκαια.
ΦΕ. ὡς ἡδὺ καινοῖς πράγμασιν καὶ δεξιοῖς ὁμιλεῖν,
καὶ τῶν καθεστώτων νόμων ὑπερφρονεῖν δύ-
νασθαι.
ἐγὼ γὰρ ὅτε μὲν ἱππικῇ τὸν νοῦν μόνῃ προσεῖχον,
οὐδ' ἂν τρί' εἰπεῖν ῥήμαθ' οἷός τ' ἢ πρὶν ἐξαμαρτεῖν.

---

1304. ἐξαρθεὶς Reisigius] ἐρασθεὶς 1308. λήψεταί τι Hermannus] λήψεται RV. Alii nonnulli τι λήψεται 1309. ἴσως ἀνθ' addidit Reisigius. 1310. κακὸν λαβεῖν τι Hermannus] τι κακὸν λαβεῖν 1312. ἐζήτει] ἐπεζήτει RV. In aliis ἐζήτει vel ἐξεζήτει. ἐπῃτει Hermannus, servato in versu strophico 1304. ἐρασθείς. 1347. πεποίθειν Dawesius] πεποίθει R. πέποιθ' vel πέποιθεν ceteri. 1349. θρασύνεται ⏑ ⏓ ⏑ –·| δῆλον δὲ τὸ λῆμα D.] θρασύνεται . δῆλον (γε addunt libri deteriores) τὸ | λῆμ' ἐστὶ τἀνθρώπου

1356. Κριὸν] De accentu huius nominis, quod in aliorum scriptorum libris interdum Κρῖος scribitur contra regulam Aristarchi, vid. Lehrs. de stud. Aristarchi p. 285. ed. sec. 1359. σ' ἀράττεσθαι Meinekius] σ' ἄρα τύπτεσθαι 1366. ἐγὼ — ποιηταῖς] Hunc versum post 1368. transponi posse credidit Hermannus. 1371. ἐβίνει D.] ἐκίνει 1373. κἀγὼ οὐκέτ'] κἀγ' οὐκέτ' R. κἀγὼ δ' οὐκέτ' V. 1374. κᾀσχροῖσι Meinekius] καἰσχροῖσι κᾆτ' ἐντεῦθεν ex codice uno recenti. κἀντεϋθεν ceteri. 1376. κἀπέτριβεν] κἀπέθλιβε R. κἀπέθλιβεν V. 1379. τυπήσομαι Buttmannus] τυπτήσομαι γε D.] γ' ἂν RV aliique. Alii γάρ. 1384. φράσαι] φράσας Cobetus. 1401. τὸν νοῦν μόνῃ Bentleius] τὸν νοῦν μόνον R. τὸν νοῦν μου V. μόνῃ τὸν νοῦν alii. 1402. οὐδ'] οὐκ V. ἢ D.] ἦν

νυνὶ δ' ἐπειδή μ' οὑτοσὶ τούτων ἔπαυσεν αὐτός,
γνώμαις δὲ λεπταῖς καὶ λόγοις ξύνειμι καὶ μερίμναις,
οἶμαι διδάξειν ὡς δίκαιον τὸν πατέρα κολάζειν.
ΣΤ. ἵππευε τοίνυν νὴ Δί', ὡς ἔμοιγε κρεῖττόν ἐστιν
ἵππων τρέφειν τέθριππον ἢ τυπτόμενον ἐπιτριβῆναι.
ΦΕ. ἐκεῖσε δ' ὅθεν ἀπέσχισάς με τοῦ λόγου μέτειμι,
καὶ πρῶτ' ἐρήσομαί σε τουτί· παῖδά μ' ὄντ' ἔτυπτες;
ΣΤ. ἔγωγέ σ', εὐνοῶν τε καὶ κηδόμενος. ΦΕ. εἰπὲ δή μοι,
οὐ κἀμέ σοι δίκαιόν ἐστιν εὐνοεῖν ὁμοίως
τύπτοντ', ἐπειδήπερ γε τοῦτ' ἔστ' εὐνοεῖν, τὸ τύπτειν;
πῶς γὰρ τὸ μὲν σὸν σῶμα χρὴ πληγῶν ἀθῷον εἶναι,
τοὐμὸν δὲ μή; καὶ μὴν ἔφυν ἐλεύθερός γε κἀγώ.
κλάουσι παῖδες, πατέρα δ' οὐ κλάειν δοκεῖς;
φήσεις νομίζεσθαι σὺ παιδὸς τοῦτο τοὔργον εἶναι·
ἐγὼ δέ γ' ἀντείποιμ' ἂν ὡς δὶς παῖδες οἱ γέροντες,
εἰκός τε μᾶλλον τοὺς γέροντας ἢ νέους τι κλάειν,
ὅσῳπερ ἐξαμαρτάνειν ἧττον δίκαιον αὐτούς.
ΣΤ. ἀλλ' οὐδαμοῦ νομίζεται τὸν πατέρα τοῦτο πάσχειν.
ΦΕ. οὔκουν ἀνὴρ ὁ τὸν νόμον θεὶς τοῦτον ἦν τὸ πρῶτον,
ὥσπερ σὺ κἀγώ, καὶ λέγων ἔπειθε τοὺς παλαιούς;
ἧττον τί δῆτ' ἔξεστι κἀμοὶ καινὸν αὖ τὸ λοιπὸν
θεῖναι νόμον τοῖς υἱέσιν, τοὺς πατέρας ἀντιτύπτειν;
ὅσας δὲ πληγὰς εἴχομεν πρὶν τὸν νόμον τεθῆναι,
ἀφίεμεν, καὶ δίδομεν αὐτοῖς προῖκα συγκεκόφθαι.
σκέψαι δὲ τοὺς ἀλεκτρυόνας καὶ τἄλλα τὰ βοτὰ ταυτί,
ὡς τοὺς πατέρας ἀμύνεται· καίτοι τί διαφέρουσιν
ἡμῶν ἐκεῖνοι, πλὴν ὅτι ψηφίσματ' οὐ γράφουσιν;
ΣΤ. τί δῆτ', ἐπειδὴ τοὺς ἀλεκτρυόνας ἅπαντα μιμεῖ,
οὐκ ἐσθίεις καὶ τὴν κόπρον κἀπὶ ξύλου καθεύδεις;
ΦΕ. οὐ ταυτόν, ὦ τᾶν, ἐστὶν, οὐδ' ἂν Σωκράτει δοκοίη.
ΣΤ. πρὸς ταῦτα μὴ τύπτ'· εἰ δὲ μή, σαυτόν ποτ' αἰτιάσει.
ΦΕ. καὶ πῶς; ΣΤ. ἐπεὶ σὲ μὲν δίκαιός εἰμ' ἐγὼ κολάζειν,
σὺ δ', ἢν γένηταί σοι, τὸν υἱόν. ΦΕ. ἢν δὲ μὴ γένηται,
μάτην ἐμοὶ κεκλαύσεται, σὺ δ' ἐγχανὼν τεθνήξεις.
ΣΤ. ἐμοὶ μέν, ὦνδρες ἥλικες, δοκεῖ λέγειν δίκαια·
κἄμοιγε συγχωρεῖν δοκεῖ τούτοισι τἀπιεική.
κλάειν γὰρ ἡμᾶς εἰκός ἐστ', ἢν μὴ δίκαια δρῶμεν.
ΦΕ. σκέψαι δὲ χἀτέραν ἔτι γνώμην. ΣΤ. ἀπὸ γὰρ ὀλοῦμαι.
ΦΕ. καὶ μὴν ἴσως γ' οὐκ ἀχθέσει παθὼν ἃ νῦν πέπονθας.
ΣΤ. πῶς δή; δίδαξον γάρ τί μ' ἐκ τούτων ἐπωφελήσεις.
ΦΕ. τὴν μητέρ' ὥσπερ καὶ σὲ τυπτήσω. ΣΤ. τί φῄς; τί φῂς σύ; [τὸν ἥττω
τοῦθ' ἕτερον αὖ μεῖζον κακόν. ΦΕ. τί δ' ἢν ἔχων
λόγον σε νικήσω λέγων
τὴν μητέρ' ὡς τύπτειν χρεών;
ΣΤ. τί δ' ἄλλο γ' ἤ, ταῦτ' ἢν ποιῇς,
οὐδέν σε κωλύσει σεαυ-
τὸν ἐμβαλεῖν ἐς τὸ βάραθρον
μετὰ Σωκράτους
καὶ τὸν λόγον τὸν ἥττω.
ταυτὶ δι' ὑμᾶς, ὦ Νεφέλαι, πέπονθ' ἐγώ,
ὑμῖν ἀναθεὶς ἅπαντα τἀμὰ πράγματα.
ΧΟ. αὐτὸς μὲν οὖν σαυτῷ σὺ τούτων αἴτιος,
στρέψας σεαυτὸν ἐς πονηρὰ πράγματα.
ΣΤ. τί δῆτα ταῦτ' οὔ μοι τότ' ἠγορεύετε,
ἀλλ' ἄνδρ' ἄγροικον καὶ γέροντ' ἐπήρετε;
ΧΟ. ἡμεῖς ποιοῦμεν ταῦθ' ἑκάστοθ' ὅντιν' ἂν
γνῶμεν πονηρῶν ὄντ' ἐραστὴν πραγμάτων,
ἕως ἂν αὐτὸν ἐμβάλωμεν ἐς κακόν,
ὅπως ἂν εἰδῇ τοὺς θεοὺς δεδοικέναι.
ΣΤ. οἴμοι, πονηρά γ', ὦ Νεφέλαι, δίκαια δέ.
οὐ γάρ μ' ἐχρῆν τὰ χρήμαθ' ἁδανεισάμην
ἀποστερεῖν. νῦν οὖν ὅπως, ὦ φίλτατε,
τὸν Χαιρεφῶντα τὸν μιαρὸν καὶ Σωκράτη
ἀπολεῖς, μετ' ἐμοῦ γ' ἐλθ', οἳ σὲ κἄμ' ἐξηπάτων.
ΦΕ. ἀλλ' οὐκ ἂν ἀδικήσαιμι τοὺς διδασκάλους.
ΣΤ. ναὶ ναί, καταιδέσθητι πατρῷον Δία.
ΦΕ. ἰδού γε Δία πατρῷον· ὡς ἀρχαῖος εἶ. [ἐπεὶ
Ζεὺς γάρ τις ἔστιν; ΣΤ. ἔστιν. ΦΕ. οὐκέτ' ἔστ',
Δῖνος βασιλεύει τὸν Δί' ἐξεληλακώς.
ΣΤ. οὐκ ἐξελήλακ', ἀλλ' ἐγὼ τοῦτ' ᾠόμην,
διὰ τουτονὶ τὸν Δῖνον. οἴμοι δείλαιος.
[ὅτε καὶ σὲ χυτρεοῦν ὄντα θεὸν ἡγησάμην.]
ΦΕ. ἐνταῦθα σαυτῷ παραφρόνει καὶ φληνάφα.
ΣΤ. οἴμοι παρανοίας· ὡς ἐμαινόμην ἄρα,
ὅτ' ἐξέβαλλον τοὺς θεοὺς διὰ Σωκράτη.
ἀλλ', ὦ φίλ' Ἑρμῆ, μηδαμῶς θύμαινέ μοι,
μηδέ μ' ἐπιτρίψῃς, ἀλλὰ συγγνώμην ἔχε
ἐμοῦ παρανοήσαντος ἀδολεσχίᾳ·
καί μοι γενοῦ ξύμβουλος, εἴτ' αὐτοὺς γραφὴν
διωκάθω γραψάμενος εἴθ' ὅ τι σοι δοκεῖ.
ὀρθῶς παραινεῖς οὐκ ἐῶν δικορραφεῖν,
ἀλλ' ὡς τάχιστ' ἐμπιμπράναι τὴν οἰκίαν
τῶν ἀδολεσχῶν. δεῦρο δεῦρ', ὦ Ξανθία,
κλίμακα λαβὼν ἔξελθε καὶ σμινύην φέρων,
κἄπειτ' ἐπαναβὰς ἐπὶ τὸ φροντιστήριον
τὸ τέγος κατάσκαπτ', εἰ φιλεῖς τὸν δεσπότην,
ἕως ἂν αὐτοῖς ἐμβάλῃς τὴν οἰκίαν·
ἐμοὶ δὲ δᾷδ' ἐνεγκάτω τις ἡμμένην,
κἀγώ τιν' αὐτῶν τήμερον δοῦναι δίκην
ἐμοὶ ποιήσω, κεἰ σφόδρ' εἴσ' ἀλαζόνες.

ΜΑΘΗΤΗΣ Α.

ἰοὺ ἰού.

---

1412. τύπτοντ'] τύπτειν R. τύπτειν δ' V. τύπτειν τ' alii. γε om. RV aliique: quo omisso Bentleius τόδ' ἐστὶν scribebat pro τοῦτ' ἔστιν. 1415. κλάουσι — δοκεῖς] Parodia versus Euripidei Alcest. 619. χαίρεις ὁρῶν φῶς, πατέρα δ' οὐ χαίρειν δοκεῖς; unde factum ut tetrametris senarium immiscuerit: quod non animadvertit interpolator qui τίη δή vel τίη τί δη adiecit, quod in aliquot infimae aetatis codicibus legitur. 1418. 1419. inverso ordine in R. 1418. ἢ νέους Kusterus] ἢ τοὺς νέους R aliique. Alii, inter quos V, ἢ τοὺς νεωτέρους τι om. V aliique multi. 1421. θεὶς] τιθεὶς RV. 1436. τεθνήξεις Dawesius] τεθνήξει vel τεθνήξῃ 1448. τί δ' ἄλλο γ' ἤ, ταῦτ' ἢν Kockius] τί δῆτ' ἄλλο γ' ἢν ταύτην V. τί δ' ἄλλο γ' ἢν ταυτὶ ceteri.

1458. ὅντιν' ἂν Porsonus] ὅταν τινὰ 1462. οἴμοι Aldus. ὤμοι codices. 1465. Σωκράτη Aldus] σωκράτην codices. 1466. ἐλθ'] ἐλθὼν RV et plerique. 1470. οὐκέτ' ἔστ' Porsonus] οὐκ ἔστ' οὐκ R. οὐκ ἔστιν οὐκ V. Alii οὐκ ἔστι (vel ἔστιν) γ'. 1473. διὰ] δία codex Paris. unus. Accentu carent RV. τότ' ᾠόμην | Δία Bentleius. οἴμοι] ὤμοι codices aliquot recentes, ut omnes supra v. 1462. et nonnulli v. 1504. 1474. ὅτε — ἡγησάμην] Perabsurdum est commentum scholiastae de Dino testaceo, quo nihil alienius ab Socratis numinibus cogitari potest. Mihi non dubitandum videtur quin versus hic ab interprete confictus sit δεικτικὸν illud τουτονί explicante ad eamque rem vasculum adhibente quod δῖνον Graeci vocant nomine ab forma ducto. Similis est error scholiastae τουτονὶ de signo aliquo Neptuni intelligentis v. 83. ubi vide quae dixi in Annot. Oxon. p. 121. 1484. ἐμπιμπράναι codex Barocc. 127. a m. pr. ἐμπιπράναι ceteri. 1493—1499. ΜΑΘΗΤΗΣ Α. — Β. — Γ.] Numeros in libris omissos addidit Brunckius, recte sentiens plures hic produci debuisse discipulos, ut supra quoque factum esse apparet ex v. 195. 196.

ΣΤ. σὸν ἔργον, ὦ δᾴς, ἱέναι πολλὴν φλόγα.
ΜΑΘ. Α. ἄνθρωπε, τί ποιεῖς; ΣΤ. ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
διαλεπτολογοῦμαι ταῖς δοκοῖς τῆς οἰκίας;

ΜΑΘΗΤΗΣ Β.

οἴμοι, τίς ἡμῶν πυρπολεῖ τὴν οἰκίαν;
ΣΤ. ἐκεῖνος οὗπερ θοἰμάτιον εἰλήφατε.

ΜΑΘΗΤΗΣ Γ.

ἀπολεῖς ἀπολεῖς. ΣΤ. τοῦτ' αὐτὸ γὰρ καὶ βούλομαι,
ἢν ἡ σμινύη μοι μὴ προδῷ τὰς ἐλπίδας,
ἢ 'γὼ πρότερόν πως ἐκτραχηλισθῶ πεσών.
ΣΩ. οὗτος, τί ποιεῖς ἐτεόν, οὑπὶ τοῦ τέγους;
ΣΤ. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.
ΣΩ. οἴμοι τάλας, δείλαιος ἀποπνιγήσομαι.

ΧΑΙΡΕΦΩΝ.

ἐγὼ δὲ κακοδαίμων γε κατακαυθήσομαι.
ΣΤ. τί γὰρ παθόντ' ἐς τοὺς θεοὺς ὑβριζέτην,
καὶ τῆς Σελήνης ἐσκοπεῖσθον τὴν ἕδραν;
δίωκε, βάλλε, παῖε, πολλῶν οὕνεκα,
μάλιστα δ' εἰδὼς τοὺς θεοὺς ὡς ἠδίκουν.
ΧΟ. ἡγεῖσθ' ἔξω· κεχόρευται γὰρ μετρίως τό γε τήμερον ἡμῖν.

---

1495. Στ.] ξανθ. οἰκ. R. 1497. ΜΑΘΗΤΗΣ Β.] σωκ. R. 1499. ΜΑΘΗΤΗΣ Γ.] σωκ. R. καὶ om. RV. 1503. ΣΤ.] ξανθ. οἰκ. R. 1505. ΧΑΙΡΕΦΩΝ] μαθ. R. ἕτερος φιλόσοφος V. Socrates et Chaerephon coniuncti nominantur v. 104. ὦν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν. 1506. παθόντ' ἐς τοὺς θεοὺς ὑβριζέτην] μαθόντες τοὺς θεοὺς ὑβρίζετε R aliique nonnulli. μαθόντες εἰς τοὺς θεοὺς ὑβρίζετε V. Novem alii μαθόνθ' ὑβρίζετον ἐς (vel εἰς) τοὺς θεούς. Tres μαθόνθ' (vel μαθόντ') ὑβρίζετόν γ' εἰς τοὺς θεούς. unde Elmsleius ad Acharn. 733. μαθόνθ' ὑβριζέτην ἐς τοὺς θεούς, quod recepi, servato tamen ordine verborum qui est in libris antiquis. παθόντες pro μαθόντες praebuerunt codices recentes duo, Dorvillianus et Baroccianus 43.

1507. ἐσκοπεῖσθον pauci codices recentes. ἐσκοπεῖσθε RV et ceteri, exceptis quattuor, in quibus est ἐσκοπεῖτε τὰς ἕδρας, 1508. ἑρμ. praescriptum in R, ἑρμῆς in V. Ad δίωκε in R annotatum, πρὸς τὸν οἰκέτην, in V πρὸς τὸν Ξανθίαν ὁ Ἑρμῆς. 1509. ὡς ἠδίκουν] γρ. οὓς ἠδίκουν schol. 1510. γε om. RV. τό γε τήμερον ἡμῖν] Moeris p. 364. (210, 14. ed. Bekk.) τήμερον εἶναι Ἀττικῶς· ὡς Νεφέλαις "κεχόρευται γὰρ μετρίως ἡμῖν τοῦ τήμερον εἶναι", manifesto memoriae errore. Similiter in fine Thesm. 1218. ἀλλὰ πέπαισται μετρίως ἡμῖν.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΣΦΗΚΕΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΣΩΣΙΑΣ. } οἰκέται Φιλοκλέωνος.
ΞΑΝΘΙΑΣ. }
ΒΔΕΛΥΚΛΕΩΝ.
ΦΙΛΟΚΛΕΩΝ.
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ΣΦΗΚΩΝ.
ΠΑΙΔΕΣ.
ΚΥΩΝ.
ΑΡΤΟΠΩΛΙΣ.
ΧΑΙΡΕΦΩΝ, κωφὸν πρόσωπον.
ΚΑΤΗΓΟΡΟΣ.

## ΥΠΟΘΕΣΙΣ.

I. Φιλοκλέων Ἀθηναῖος φιλόδικος ὢν τὴν φύσιν ἐφοίτα περὶ τὰ δικαστήρια συνεχῶς. Βδελυκλέων δὲ ὁ τούτου παῖς ἀχθόμενος ταύτῃ τῇ νόσῳ καὶ πειρώμενος τὸν πατέρα παύειν, ἐγκαθείρξας τοῖς οἴκοις καὶ δίκτυα περιβαλὼν ἐφύλαττε νύκτωρ καὶ μεθ' ἡμέραν. ὁ δὲ ἐξόδου αὐτῷ μὴ προκειμένης ἔκραζεν. οἱ δὲ συνδικασταὶ αὐτοῦ σφηξὶν ἑαυτοὺς ἀφομοιώσαντες παρεγένοντο, βουλόμενοι διὰ ταύτης τῆς τέχνης ὑποκλέπτειν τὸν συνδικαστήν· ἐξ ὧν καὶ ὁ χορὸς συνέστηκε καὶ τὸ δρᾶμα ἐπιγέγραπται. ἀλλ' οὐδὲν ἤνυον οὐδὲ οὗτοι. πέρας δὲ τοῦ νεανίσκου θαυμάζοντος τίνος ἕνεκα ὁ πατὴρ οὕτως ἥττηται τοῦ πράγματος, ἔφη ὁ πρεσβύτης εἶναι τὸ πρᾶγμα σπουδαῖον καὶ σχεδὸν ἀρχὴν τὸ δικάζειν. ὁ δὲ παῖς ἐπειρᾶτο τὰς ὑποψίας ἐξαιρεῖν τοῦ πράγματος νουθετῶν τὸν γέροντα. ὁ δὲ πρεσβύτης μηδαμῶς νουθετούμενος οὐ μεθίει τοῦ πάθους· ἀλλ' ἀναγκάζεται ὁ νέος ἐπιτρέπειν φιλοδικεῖν, καὶ ἐπὶ τῆς οἰκίας τοῦτο ποιεῖ, καὶ τοῖς κατὰ τὴν οἰκίαν δικάζει. καὶ δύο κύνες ἐπεισάγονται πολιτικῶς παρ' αὐτῷ κρινόμενοι· καὶ κατὰ τοῦ φεύγοντος ἐκφέρειν συνεχῶς τὴν ψῆφον μέλλων ἀπατηθεὶς ἄκων τὴν ἀποδικάζουσαν φέρει ψῆφον. περιέχει δὲ καὶ δικαιολογίαν τινὰ τοῦ χοροῦ ἐκ τοῦ ποιητοῦ προσώπου, ὡς σφηξὶν ἐμφερεῖς εἰσὶν οἱ τοῦ χοροῦ, ἐξ ὧν καὶ τὸ δρᾶμα. οἳ ὅτε μὲν ἦσαν νέοι, πικρῶς ταῖς δίκαις ἐφήδρευον, ἐπεὶ δὲ γέροντες γεγόνασι, κεντοῦσι τοῖς κέντροις, ἐπὶ τέλει δὲ τοῦ δράματος ὁ γέρων ἐπὶ δεῖπνον καλεῖται; καὶ ἐπὶ ὕβριν τρέπεται, καὶ κρίνει αὐτὸν ὕβρεως ἀρτόπωλις· ὁ δὲ γέρων πρὸς αὐλὸν καὶ ὄρχησιν τρέπεται, καὶ γελωτοποιεῖ τὸ δρᾶμα.

II. Τοῦτο τὸ δρᾶμα πεποίηται αὐτῷ οὐκ ἐξ ὑποκειμένης ὑποθέσεως, ἀλλ' ὡσανεὶ γενομένης. πέπλασται γὰρ τὸ ὅλον. διαβάλλει δὲ Ἀθηναίους ὡς φιλοδικοῦντας, καὶ σωφρονίζει τὸν δῆμον ἀποστῆναι τῶν δικῶν, καὶ διὰ τοῦτο καὶ τοὺς δικαστὰς σφηξὶν ἀπεικάζει κέντρα ἔχουσι καὶ πλήττουσι. πεποίηται δ' αὐτῷ χαριέντως. ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀμεινίου διὰ Φιλωνίδου εἰς Λήναια ἐν τῇ πθ' ὀλυμπιάδι. δεύτερος ἦν. καὶ ἐνίκα πρῶτος Φιλωνίδης Προαγῶνι, Λεύκων Πρέσβεσι τρίτος.

ΣΩΣΙΑΣ.

Οὗτος, τί πάσχεις, ὦ κακόδαιμον Ξανθία;

ΞΑΝΘΙΑΣ.

φυλακὴν καταλύειν νυκτερινὴν διδάσκομαι.
ΣΩ. κακὸν ἄρα ταῖς πλευραῖς τι προυφείλεις μέγα.
ἆρ' οἶσθά γ' οἷον κνώδαλον φυλάττομεν;
ΞΑ. οἶδ', ἀλλ' ἐπιθυμῶ σμικρὸν ἀπομερμηρίσαι.
ΣΩ. σὺ δ' οὖν παρακινδύνευ', ἐπεὶ καὐτοῦ γ' ἐμοῦ
κατὰ τοῖν κόραιν ὕπνου τι καταχεῖται γλυκύ.
ΞΑ. ἀλλ' ἦ παραφρονεῖς ἐτεὸν ἢ κορυβαντιᾷς;
ΣΩ. οὔκ, ἀλλ' ὕπνος μ' ἔχει τις ἐκ Σαβαζίου.
ΞΑ. τὸν αὐτὸν ἆρ' ἐμοὶ βουκολεῖς Σαβάζιον.
κἀμοὶ γὰρ ἀρτίως ἐπεστρατεύσατο
Μῆδός τις ἐπὶ τὰ βλέφαρα νυστακτὴς ὕπνος·
καὶ δῆτ' ὄναρ θαυμαστὸν εἶδον ἀρτίως.
ΣΩ. κἄγωγ' ἀληθῶς οἷον οὐδεπώποτε.
ἀτὰρ σὺ λέξον πρότερος. ΞΑ. ἐδόκουν ἀετὸν
καταπτόμενον ἐς τὴν ἀγορὰν μέγαν πάνυ
ἀναρπάσαντα τοῖς ὄνυξιν ἀσπίδα
φέρειν ἐπίχαλκον ἀνεκὰς ἐς τὸν οὐρανόν,
κἄπειτα ταύτην ἀποβαλεῖν Κλεώνυμον.
ΣΩ. οὐδὲν ἄρα γρίφου διαφέρει Κλεώνυμος.
ΞΑ. πῶς δή; ΣΩ. προτενεῖ τις τοῖσι συμπόταις λέγων
"τί ταυτὸν ἐν γῇ τ' ἀπέβαλεν κἀν οὐρανῷ
κἀν τῇ θαλάττῃ θηρίον τὴν ἀσπίδα;"
ΞΑ. οἴμοι, τί δῆτά μοι κακὸν γενήσεται
ἰδόντι τοιοῦτον ἐνύπνιον; ΣΩ. μὴ φροντίσῃς.
οὐδὲν γὰρ ἔσται δεινὸν οὐ μὰ τοὺς θεούς.
ΞΑ. δεινόν γέ τοὔστ' ἄνθρωπος ἀποβαλὼν ὅπλα.
ἀτὰρ σὺ τὸ σὸν αὖ λέξον. ΣΩ. ἀλλ' ἐστὶν μέγα.
περὶ τῆς πόλεως γάρ ἐστι τοῦ σκάφους ὅλου.
ΞΑ. λέγε νυν ἀνύσας τι τὴν τρόπιν τοῦ πράγματος.
ΣΩ. ἔδοξέ μοι περὶ πρῶτον ὕπνον ἐν τῇ πυκνὶ
ἐκκλησιάζειν πρόβατα συγκαθήμενα,
βακτηρίας ἔχοντα καὶ τριβώνια·
κἄπειτα τούτοις τοῖσι προβάτοις μοὐδόκει
δημηγορεῖν φάλλαινα πανδοκεύτρια
ἔχουσα φωνὴν ἐμπεπρημένης ὑός.
ΞΑ. αἰβοῖ. ΣΩ. τί ἔστι; ΞΑ. παῦε παῦε, μὴ λέγε·
ὄζει κάκιστον τοὐνύπνιον βύρσης σαπρᾶς.
ΣΩ. εἶθ' ἡ μιαρὰ φάλλαιν' ἔχουσα τρυτάνην
ἵστη βόειον δημόν. ΞΑ. οἴμοι δείλαιος·
τὸν δῆμον ἡμῶν βούλεται διιστάναι.
ΣΩ. ἐδόκει δέ μοι Θέωρος αὐτῆς πλησίον
χαμαὶ καθῆσθαι τὴν κεφαλὴν κόρακος ἔχων.
εἶτ' Ἀλκιβιάδης εἶπε πρός με τραυλίσας
"ὀλᾷς; Θέωλος τὴν κεφαλὴν κόλακος ἔχει."
ΞΑ. ὀρθῶς γε τοῦτ' Ἀλκιβιάδης ἐτραύλισεν.
ΣΩ. οὔκουν ἐκεῖν' ἀλλόκοτον, ὁ Θέωρος κόραξ
γενόμενος; ΞΑ. ἥκιστ', ἀλλ' ἄριστον. ΣΩ. πῶς;
ΞΑ. ὅπως;
ἄνθρωπος ὢν εἶτ' ἐγένετ' ἐξαίφνης κόραξ·
οὔκουν ἐναργὲς τοῦτο συμβαλεῖν, ὅτι
ἀρθεὶς ἀφ' ἡμῶν ἐς κόρακας οἰχήσεται;
ΣΩ. εἶτ' οὐκ ἐγὼ δοὺς δύ' ὀβολὼ μισθώσομαι
οὕτω σ' ὑποκρινόμενον σοφῶς ὀνείρατα;
ΞΑ. φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον,
ὀλίγ' ἅτθ' ὑπειπὼν πρῶτον αὐτοῖσιν ταδί,
μηδὲν παρ' ἡμῶν προσδοκᾶν λίαν μέγα,
μηδ' αὖ γέλωτα Μεγαρόθεν κεκλεμμένον.
ἡμῖν γὰρ οὐκ ἔστ' οὔτε κάρυ' ἐκ φορμίδος
δούλω διαρριπτοῦντε τοῖς θεωμένοις,
οὔθ' Ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος,
οὐδ' αὖθις ἐνασελγαινόμενος Εὐριπίδης·
οὐδ' εἰ Κλέων γ' ἔλαμψε τῆς τύχης χάριν,
αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν.
ἀλλ' ἔστιν ἡμῖν λογίδιον γνώμην ἔχον,
ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον,
κωμῳδίας δὲ φορτικῆς σοφώτερον.
ἔστιν γὰρ ἡμῖν δεσπότης ἐκεινοσὶ
ἄνω καθεύδων, ὁ μέγας, οὑπὶ τοῦ τέγους.
οὗτος φυλάττειν τὸν πατέρ' ἐπέταξε νῷν,
ἔνδον καθείρξας, ἵνα θύραζε μὴ 'ξίῃ.
νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον αὐτοῦ νοσεῖ,
ἣν οὐδ' ἂν εἷς γνοίη ποτ' οὐδ' ἂν ξυμβάλοι,
εἰ μὴ πύθοιθ' ἡμῶν· ἐπεὶ τοπάζετε.
ΣΩ. Ἀμυνίας μὲν ὁ Προνάπους φήσ' οὑτοσὶ
εἶναι φιλόκυβον αὐτόν. ΞΑ. ἀλλ' οὐδὲν λέγει
μὰ Δί', ἀλλ' ἀφ' αὑτοῦ τὴν νόσον τεκμαίρεται.
ΣΩ. * * * * * *
ΞΑ. οὔκ, ἀλλὰ φιλο μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ.
ΣΩ. ὁδὶ δέ φησι Σωσίας πρὸς Δερκύλον
εἶναι φιλοπότην αὐτόν. ΞΑ. οὐδαμῶς γ', ἐπεὶ

---

3. προυφείλεις Elmsleius] προὔφειλες, quod scholiasta quoque legit. Phrynichus in Bekk. Anecd. p.47, 29. κακόν τι σαυτῷ προυφείλεις: ἐπί τινος κακόν τι λαβεῖν ἐπισπωμένου. 7. τοῖν Hirschigius] ταῖν ὕπνου RV. ἤδη ceteri. 8. ἦ Berglerus] ἢ 11. ἀρτίως R. ἀρτίως τις ceteri. 16. καταπτόμενον Brunckius] καταπτάμενον 21. πῶς δή quod in libris cum Sosiae verbis coniunctum est, Xanthiae tribuit Bentleius. προτενεῖ Cobetus] προσερεῖ (προερεῖ V) λέγων] λέγω V. 22. τί Cobetus] ὅτι. Scholiasta, ἐν τῷ ὅτι περιττεύει τὸ ο Ἀττικῶς· τὸ γὰρ σημαινόμενον ἀντὶ τοῦ τί ταυτὸν ἐν γῇ ἐν ἐρωτήσει. 25. τοιοῦτον RV. τοιοῦτ' ceteri. 27. γέ τοὔστ' D.] γε τοὖστ' vel γέ πουστ' 34. τοῖσι προβάτοις RV. τοῖς προβάτοισι ceteri. 35. φάλλαινα et v. 39. φάλλαιν' R. φάλαινα et φάλαιν' ceteri: de quo dixi in Thesauro. 36. ἐμπεπρημένης Brunckius] ἐμπεπρημένην R. ἐμπεπρησμένην V. ἐμπεπρησμένης ceteri. Genitivum legit scholiasta. 41. διιστάναι RV. διιστάνειν ceteri cum Steph. Byz. s. v. Δῆμος

48. γενόμενος Bothius] γιγνόμενος 50. συμβαλεῖν] συμβάλλειν R. 53. οὕτω σ' Geelius] οὕτως 55. ὀλίγ' ἅτθ' Kusterus] ὀλίγ' ἄττα RV. ὀλίγα γ' ceteri. πρῶτον RV. πρότερον ceteri. 57. κεκλεμμένον RV aliique: alii κεκλαμμένον, quod annotavit scholiasta, γράφεται Δωρικῶς κεκλαμμένον. 61. ἐνασελγαινόμενος D.] ἀνασελγαινόμενος, ut ἐνευρίσκειν constanter ab librariis in ἀνευρίσκειν cerruptum est, et quae sunt similia. 72. οὐδ' ἂν συμβάλοι V. οὐδ' ἂν ξυμβάλῃ R. οὐδὲ ξυμβάλοι ceteri. 74. Προνάπους RV. Προνάπου ceteri. 75. Schol. cod. Rav. φιλόκυβος οὗτος. τινὲς ἀμοιβαῖα. χαριέστερον δὲ λέγεσθαι αὐτά (videtur versus dicere 76—84., quos fuerunt qui Xanthiae omnes tribuerent) συνεχῶς πρὸς ἑνός. Verbis ἀλλ' οὐδὲν λέγει in ed. Ald. Σω. est praescriptum, quod versui 76. potius praeponi debebat, ubi Ξαν. est, errore manifesto, quum idem Ξαν. etiam versui 77. praepositum sit. Quod animadvertit editor Florentinus a. 1515. qui versui 76. Σω. praescripsit, etsi hoc quoque falsum est, quum idem illud Σω. etiam ante verba ἀλλ' οὐδὲν λέγει legatur. In sequentibus hae sunt personarum notae in ed. Ald., quacum codices, de quibus editores tacuerunt, consentire videntur, 77. Ξαν. οὔκ — αὐτόν. 79. Σω. οὐδαμῶς — νόσος. 81. Ξαν. Νικόστρατος — 83. Σω. μὰ τὸν — 85. Ξαν. ἄλλως — usque ad v. 135. Qui sublatis personarum vicibus omnia uni Xanthiae tribuerunt, ut annotavit scholiasta, non cogitarunt hoc pacto Xanthiae orationem versibus constituram esse non interruptis octoginta duobus (54—135.) quod non est verisimile. Ego Bergkium secutus sum, qui hoc quoque recte animadvertit, post v. 76. Sosiae verba excidisse, ad quae manifeste referuntur proxima Xanthiae verba οὔκ, ἀλλὰ φιλο μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ. 76. ἀρχὴ Dobraeus] ἀρχὴ

αὕτη γε χρηστῶν ἐστιν ἀνδρῶν ἡ νόσος.
ΣΩ. Νικόστρατος δ' αὖ φησιν ὁ Σκαμβωνίδης
εἶναι φιλοθύτην αὐτὸν ἢ φιλόξενον.
ΞΑ. μὰ τὸν κύν', ὦ Νικόστρατ', οὐ φιλόξενος,
ἐπεὶ καταπύγων ἐστὶν ὅ γε Φιλόξενος.
ἄλλως φλυαρεῖτ'· οὐ γὰρ ἐξευρήσετε.
εἰ δὴ 'πιθυμεῖτ' εἰδέναι, σιγᾶτε νῦν.
φράσω γὰρ ἤδη τὴν νόσον τοῦ δεσπότου.
φιληλιαστής ἐστιν ὡς οὐδεὶς ἀνήρ,
ἐρᾷ τε τούτου, τοῦ δικάζειν, καὶ στένει,
ἢν μὴ 'πὶ τοῦ πρώτου καθίζηται ξύλου.
ὕπνου δ' ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασπάλην.
ἢν δ' οὖν καταμύσῃ κἂν ἄχνην, ὅμως ἐκεῖ
ὁ νοῦς πέτεται τὴν νύκτα περὶ τὴν κλεψύδραν.
ὑπὸ τοῦ δὲ τὴν ψῆφόν γ' ἔχειν εἰωθέναι
τοὺς τρεῖς ξυνέχων τῶν δακτύλων ἀνίσταται,
ὥσπερ λιβανωτὸν ἐπιτιθεὶς νουμηνίᾳ.
καὶ νὴ Δί' ἢν ἴδῃ γέ που γεγραμμένον
υἱὸν Πυριλάμπους ἐν θύρᾳ Δῆμον καλόν,
ἰὼν παρέγραψε πλησίον "κημὸς καλός."
τὸν ἀλεκτρυόνα δ', ὃς ᾖδ' ἐφ' ἑσπέρας, ἔφη
ὄψ' ἐξεγείρειν αὐτὸν ἀναπεπεισμένον,
παρὰ τῶν ὑπευθύνων ἔχοντα χρήματα.
εὐθὺς δ' ἀπὸ δορπηστοῦ κέκραγεν ἐμβάδας,
κἄπειτ' ἐκεῖσ' ἐλθὼν προκαθεύδει πρῴ πάνυ,
ὥσπερ λεπὰς προσισχόμενος τῷ κίονι.
ὑπὸ δυσκολίας δ' ἅπασι τιμῶν τὴν μακρὰν
ὥσπερ μέλιττ' ἢ βομβυλιὸς εἰσέρχεται,
ὑπὸ τοῖς ὄνυξι κηρὸν ἀναπεπλασμένος.
ψήφων δὲ δείσας μὴ δεηθείη ποτέ,
ἵν' ἔχοι δικάζειν, αἰγιαλὸν ἔνδον τρέφει.
τοιαῦτ' ἀλύει· νουθετούμενος δ' ἀεὶ
μᾶλλον δικάζει. τοῦτον οὖν φυλάττομεν
μοχλοῖσιν ἐνδήσαντες, ὡς ἂν μὴ 'ξίῃ.
ὁ γὰρ υἱὸς αὐτοῦ τὴν νόσον βαρέως φέρει.
καὶ πρῶτα μὲν λόγοισι παραμυθούμενος
ἀνέπειθεν αὐτὸν μὴ φορεῖν τριβώνιον
μηδ' ἐξιέναι θύραζ', ὁ δ' οὐκ ἐπείθετο.
εἶτ' αὐτὸν ἀπέλου κἀκάθαιρ', ὁ δ' οὐ μάλα.
μετὰ ταῦτ' ἐκορύβαντιζ', ὁ δ' αὐτῷ τυμπάνῳ
ᾄξας ἐδίκαζεν ἐς τὸ Καινὸν ἐμπεσών.
ὅτε δῆτα ταύταις ταῖς τελεταῖς οὐκ ὠφέλει,
διέπλευσεν εἰς Αἴγιναν· εἶτα ξυλλαβὼν
νύκτωρ κατέκλινεν αὐτὸν εἰς Ἀσκληπιοῦ.
ὁ δ' ἀνεφάνη κνεφαῖος ἐπὶ τῇ κιγκλίδι.
ἐντεῦθεν οὐκέτ' αὐτὸν ἐξεφρίεμεν,
ὁ δ' ἐξεδίδρασκε διά τε τῶν ὑδρορρόων
καὶ τῶν ὀπῶν· ἡμεῖς δ' ὅσ' ἦν τετρημένα
ἐνεβύσαμεν ῥακίοισι κἀπακτώσαμεν·
ὁ δ' ὡσπερεὶ κολοιὸς αὑτῷ παττάλους
ἐνέκρουεν ἐς τὸν τοῖχον, εἶτ' ἐξήλλετο.
ἡμεῖς δὲ τὴν αὐλὴν ἅπασαν δικτύοις
καταπετάσαντες ἐν κύκλῳ φυλάττομεν.
ἔστιν δ' ὄνομα τῷ μὲν γέροντι Φιλοκλέων,
ναὶ μὰ Δία, τῷ δ' υἱεῖ γε τῳδὶ Βδελυκλέων,
ἔχων τρόπους φρυαγμοσεμνάκους τινάς.

ΒΔΕΛΥΚΛΕΩΝ.

ὦ Ξανθία καὶ Σωσία, καθεύδετε;
ΞΑ. οἴμοι. ΣΩ. τί ἔστι; ΞΑ. Βδελυκλέων ἀνίσταται.
ΒΔ. οὐ περιδραμεῖται σφῷν ταχέως δεῦρ' ἅτερος;
ὁ γὰρ πατὴρ ἐς τὸν ἰπνὸν εἰσελήλυθεν
καὶ μυσπολεῖ τι καταδεδυκώς. ἀλλ' ἄθρει,
κατὰ τῆς πυέλου τὸ τρῆμ' ὅπως μὴ 'κδύσεται·
σὺ δὲ τῇ θύρᾳ πρόσκεισο. ΞΑ. ταῦτ', ὦ δέσποτα.
ΒΔ. ἄναξ Πόσειδον, τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ;
οὗτος, τίς εἶ σύ;

ΦΙΛΟΚΛΕΩΝ.

καπνὸς ἔγωγ' ἐξέρχομαι.
ΒΔ. καπνός; φέρ' ἴδω, ξύλου τίνος σύ; ΦΙ. συκίνου.
ΒΔ. νὴ τὸν Δί' ὅσπερ γ' ἐστὶ δριμύτατος καπνῶν.
ἀτὰρ οὐκέτ' ἐρρήσεις γε, ποῦ 'σθ' ἡ τηλία;
δύου πάλιν· φέρ' ἐπαναθῶ σοι καὶ ξύλον.
ἐνταῦθά νυν ζήτει τιν' ἄλλην μηχανήν.
ἀτὰρ ἄθλιός γ' εἴμ' ὡς ἕτερος οὐδεὶς ἀνήρ,
ὅστις πατρὸς νυνὶ Καπνίου κεκλήσομαι.
ΣΩ. ὅδε τὴν θύραν ὠθεῖ· πίεζέ νυν σφόδρα
εὖ κἀνδρικῶς· κἀγὼ γὰρ ἐνταῦθ' ἔρχομαι·
καὶ τῆς κατακλῇδος ἐπιμέλου, καὶ τοῦ μοχλοῦ
φύλατθ' ὅπως μὴ τὴν βάλανον ἐκτρώξεται.
ΦΙ. τί δράσετ'; οὐκ ἐκφρήσετ', ὦ μιαρώτατοι,
δικάσοντά μ', ἀλλ' ἐκφεύξεται Δρακοντίδης;
ΞΑ. σὺ δὲ τοῦτο βαρέως ἂν φέροις. ΦΙ. ὁ γὰρ θεὸς
μαντευομένῳ μοὔχρησεν ἐν Δελφοῖς ποτέ,
ὅταν τις ἐκφύγῃ μ', ἀποσκλῆναι τότε.
ΞΑ. Ἄπολλον ἀποτρόπαιε, τοῦ μαντεύματος.
ΦΙ. ἴθ', ἀντιβολῶ σ', ἔκφρες με, μὴ διαρραγῶ.
ΞΑ. μὰ τὸν Ποσειδῶ, Φιλοκλέων, οὐδέποτέ γε.
ΦΙ. διατρώξομαι τοίνυν ὀδὰξ τὸ δίκτυον.
ΞΑ. ἀλλ' οὐκ ἔχεις ὀδόντας. ΦΙ. οἴμοι δείλαιος·
πῶς ἄν σ' ἀποκτείναιμι; πῶς; δότε μοι ξίφος
ὅπως τάχιστ', ἢ πινάκιον τιμητικόν.
ΒΔ. ἄνθρωπος οὗτος μέγα τι δρασείει κακόν.

---

94. γ' ἔχειν] ἔχειν γ' V. κατέχειν Hirschigius. 98. υἱὸν RV. τὸν ceteri. τὸν τοῦ Bentleius. 100. ὃς] ὡς Hamakerus. ἐφ'] ἀφ' RV. 105. προσισχόμενος Hirschigius] προσεχόμενος 108. ἀναπεπλασμένος RV et γρ. schol. ὑποπεπλασμένος ceteri.
119. ταῦτ'] τοῦτ' V. τοῦδ' R. 121. δῆτα RV. δὴ δὲ ceteri. 122. ξυλλαβὼν RV, non συλλαβὼν ut ceteri. 125. ἐξεφρίεμεν Nauckius in *Mélanges Gréco-Romains (Bulletin del 'Académie de Pétersbourg)* vol. 6. p. 541.] ἐξεφρίομεν RV. ἐξεφρείομεν ceteri.

135. φρυαγμοσεμνακούς τινας Suidas s. h. v. φρυαγμοσεμνακουστίνας V. φρυαγμοσεμνακουστίνους R. ὀφρυαγμοσεμνακουστίνους alii. Scholiasta, συνήθως δὲ ὀφρυαγμο ἀπὸ τοῦ ὀφρῦς, ἢ φρύαγμα, καὶ σεμνὸν ἀντὶ τοῦ ὑπερήφανον. et in cod. Rav. σύνθετον παρὰ τὴν ὀφρὺν, καὶ (corrige ἢ) φρύαγμα, καὶ τὸ σεμνόν, unde in scholio priore σύνθετον corrigendum pro συνήθως. Mores autem Bdelycleonis ab servis eius timeri indicio est etiam οἴμοι, quod v. 137. exclamat Xanthias ubi herum surrexisse videt. τινάς] Vid. ad Pac. 831.
142. ΞΑ.] Οἰκέ Ald. cui Brunckius Σω. substituit. Xanthiae tribuit Beerius p. 52. qui infra quoque locis pluribus Sosiae personam removit. Nam Sosias scenam relinquit post Bdelycleonis verba v. 138., mox Philocleonis partes acturus. 143. ΒΔ. om. Ald.: addidit Brunckius. 147. οὐκέτ' Elmsleius] οὐκ ἐρρήσεις R. ἐσερρήσεις ceteri, quod legisse videtur scholiasta qui explicat οὐκ εἰσελεύσῃ μετὰ φθορᾶς, ut Photius p. 17, 19. ἐρρήσεις explicat μετὰ βίας εἰσελεύσῃ, licet sensus loci ἐξελεύσῃ postulet. 150. ἕτερος] ἑτερός γ' RV. 151. νυνὶ] νῦν RV. 152—155. Bdelycleoni continuavit Reisigius. Οἱ. Ald. Σω. Brunckius.
152. ὅδε τὴν θύραν ὠθεῖ Hermannus] τὴν θύραν ὤθει RV. παῖ τὴν θύραν ὤθει ceteri. 154. κατακλῇδος Meinekius] κατακλεῖδος (κατάκλειδος V.) ἐπιμέλου D.] ἐπιμελοῦ 155. φύλατθ' Elmsleius] φύλαττέ θ' 158. ΞΑ. Beerius] ΒΔ. Ald. ΦΙ. addidit Brunckius. 161. ΞΑ. Beerius] ΦΙ. Ald. ΒΔ. Brunckius. 162. ΦΙ. addidit Brunckius. ἔκφρες Buttmannus] ἔκφερε 163. ΞΑ. Beerius] ΒΔ. Ald. et Brunck. 165. ΞΑ. Beerius. ΒΔ. Brunckius. Omisit Ald. fortasse typothetae culpa.

ΦΙ. μὰ τὸν Δί' οὐ δῆτ', ἀλλ' ἀποδόσθαι βούλομαι
τὸν ὄνον ἄγων αὐτοῖσι τοῖς κανθηλίοις·
νουμηνία γάρ ἐστιν. ΒΔ. οὔκουν κἂν ἐγὼ
αὐτὸν ἀποδοίμην δῆτ' ἄν; ΦΙ. οὐχ ὥσπερ γ' ἐγώ.
ΒΔ. μὰ Δί' ἀλλ' ἄμεινον. ἀλλὰ τὸν ὄνον ἔξαγε.
ΞΑ. οἵαν πρόφασιν καθῆκεν, ὡς εἰρωνικῶς,
ἵν' αὐτὸν ἐκπέμψειας. ΒΔ. ἀλλ' οὐκ ἔσπασεν
ταύτῃ γ'. ἐγὼ γὰρ ᾐσθόμην τεχνωμένου.
ἀλλ' εἰσιὼν μοι τὸν ὄνον ἐξάγειν δοκῶ.
[ὅπως ἂν ὁ γέρων μηδὲ παρακύψῃ πάλιν.]
κάνθων, τί κλάεις; ὅτι πεπράσει τήμερον;
βάδιζε θᾶττον. τί στένεις, εἰ μὴ φέρεις
'Οδυσσέα τιν'; ΞΑ. ἀλλὰ ναὶ μὰ Δία φέρει
κάτω γε τουτονί τιν' ὑποδεδυκότα.
ΒΔ. ποῖον; φέρ' ἴδωμαι. ΞΑ. τουτονί. ΒΔ. τουτὶ τί ἦν;
τίς εἶ ποτ', ὤνθρωπ', ἐτεόν; ΦΙ. Οὖτις νὴ Δία.
ΒΔ. Οὖτις σύ; ποδαπός; ΦΙ. Ἴθακος Ἀποδρασιππίδου.
ΒΔ. Οὖτις μὰ τὸν Δί' οὔ τι χαιρήσων γε σύ.
ὕφελκε θᾶττον αὐτόν. ὦ μιαρώτατος
ἵν' ὑποδέδυκεν· ὥστ' ἔμοιγ' ἰνδάλλεται
ὁμοιότατος κλητῆρος εἶναι πωλίῳ.
ΦΙ. εἰ μή μ' ἐάσεθ' ἥσυχον, μαχούμεθα.
ΒΔ. περὶ τοῦ μαχεῖ νῷν δῆτα; ΦΙ. περὶ ὄνου σκιᾶς.
ΒΔ. πονηρὸς εἶ πόρρω τέχνης καὶ παράβολος.
ΦΙ. ἐγὼ πονηρός; οὐ μὰ Δί', ἀλλ' οὐκ οἶσθα σὺ
νῦν μ' ὄντ' ἄριστον· ἀλλ' ἴσως, ὅταν φάγῃς
ὑπογάστριον γέροντος ἡλιαστικοῦ.
ΒΔ. ὤθει τὸν ὄνον καὶ σαυτὸν ἐς τὴν οἰκίαν.
ΦΙ. ὦ ξυνδικασταὶ καὶ Κλέων, ἀμύνατε.
ΒΔ. ἔνδον κέκραχθι τῆς θύρας κεκλῃμένης.
ὤθει σὺ πολλοὺς τῶν λίθων πρὸς τὴν θύραν,
καὶ τὴν βάλανον ἔμβαλλε πάλιν ἐς τὸν μοχλόν,
καὶ τῇ δοκῷ προσθεὶς τὸν ὅλμον τὸν μέγαν
ἀνύσας τι προσκύλισον. ΞΑ. οἴμοι δείλαιος·
πόθεν ποτ' ἐμπέπτωκέ μοι τὸ βώλιον;
ΒΔ. ἴσως ἄνωθεν μῦς ἐνέβαλέ σοί ποθεν.
ΞΑ. μῦς; οὐ μὰ Δί', ἀλλ' ὑποδυόμενός τις οὑτοσὶ
ὑπὸ τῶν κεραμίδων ἡλιαστὴς ὀροφίας.
ΒΔ. οἴμοι κακοδαίμων, στροῦθος ἁνὴρ γίγνεται·
ἐκπτήσεται. ποῦ ποῦ 'στί μοι τὸ δίκτυον;
σοῦ σοῦ, πάλιν σοῦ. νὴ Δί' ἦ μοι κρεῖττον ἦν
τηρεῖν Σκιώνην ἀντὶ τούτου τοῦ πατρός.
ΞΑ. ἄγε νυν, ἐπειδὴ τουτονὶ σεσοβήκαμεν
κοὐκ ἔσθ' ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι,
τί οὐκ ἀπεκοιμήθημεν ὅσον ὅσον στίλην;
ΒΔ. ἀλλ', ὦ πονήρ', ἥξουσιν ὀλίγον ὕστερον
οἱ ξυνδικασταὶ παρακαλοῦντες τουτονὶ
τὸν πατέρα. ΞΑ. τί λέγεις; ἀλλὰ νῦν ὄρθρος βαθύς.
ΒΔ. νὴ τὸν Δί', ὀψέ τἄρ' ἀνεστήκασι νῦν.
ὡς ἀπὸ μέσων νυκτῶν γε παρακαλοῦσ' ἀεί,
λύχνους ἔχοντες καὶ μινυρίζοντες μέλη
ἀρχαιομελισιδωνοφρυνιχήρατα,
οἷς ἐκκαλοῦνται τοῦτον. ΞΑ. οὐκοῦν, ἢν δέῃ,
ἤδη ποτ' αὐτοὺς τοῖς λίθοις βαλλήσομεν.
ΒΔ. ἀλλ', ὦ πονηρέ, τὸ γένος ἤν τις ὀργίσῃ
τὸ τῶν γερόντων, ἔσθ' ὅμοιον σφηκιᾷ.
ἔχουσι γὰρ καὶ κέντρον ἐκ τῆς ὀσφύος
ὀξύτατον, ᾧ κεντοῦσι, καὶ κεκραγότες
πηδῶσι καὶ βάλλουσιν ὥσπερ φέψαλοι.
ΞΑ. μὴ φροντίσῃς· ἐὰν ἐγὼ λίθους ἔχω,
πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.

ΧΟΡΟΣ.

χώρει, πρόβαιν' ἐρρωμένως. ὦ Κωμία, βραδύνεις;
μὰ τὸν Δί', οὐ μέντοι πρὸ τοῦ γ', ἀλλ' ἦσθ' ἱμὰς
κύνειος·
νυνὶ δὲ κρείττων ἐστὶ σοῦ Χαρινάδης βαδίζειν.
ὦ Στρυμόδωρε Κονθυλεῦ, βέλτιστε συνδικαστῶν,
Εὐεργίδης ἄρ' ἐστί που 'νταῦθ', ἢ Χάβης ὁ Φλυεύς;
πάρεσθ' ὃ δὴ λοιπόν γ' ἔτ' ἐστίν, ἀππαπαῖ παπαιάξ,
ἥβης ἐκείνης, ἡνίκ' ἐν Βυζαντίῳ ξυνῆμεν
φρουροῦντ' ἐγώ τε καὶ σύ· κᾆτα περιπατοῦντε
νύκτωρ
τῆς ἀρτοπώλιδος λαθόντ' ἐκλέψαμεν τὸν ὅλμον,
κᾆθ' ἥψομεν τοῦ κορκόρου, κατασχίσαντες αὐτόν.
ἀλλ' ἐγκονῶμεν, ὦνδρες, ὡς ἔσται Λάχητι νυνί·
σίμβλον δέ φασι χρημάτων ἔχειν ἅπαντες αὐτόν.
χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ
ἥκειν ἔχοντας ἡμερῶν ὀργὴν τριῶν πονηρὰν
ἐπ' αὐτόν, ὡς κολωμένους ὧν ἠδίκησεν. ἀλλὰ
σπεύσωμεν, ὦνδρες ἥλικες, πρὶν ἡμέραν γενέσθαι
χωρῶμεν, ἅμα τε τῷ λύχνῳ πάντῃ διασκοπῶμεν,
μή που λαθών τις ἐμποδὼν ἡμᾶς κακόν τι δράσῃ.

ΠΑΙΣ.

τὸν πηλόν, ὦ πάτερ πάτερ, τουτονὶ φύλαξαι.
ΧΟ. κάρφος χαμᾶθέν νυν λαβὼν τὸν λύχνον πρόβυσον
ΠΑ. οὔκ, ἀλλὰ τῳδί μοι δοκῶ τὸν λύχνον προβύσειν.
ΧΟ. τί δὴ παθὼν τῷ δακτύλῳ τὴν θρυαλλίδ' ὠθεῖς,
καὶ ταῦτα τοὐλαίου σπανίζοντος, ὦνόητε;
οὐ γὰρ δάκνει σ', ὅταν δέῃ τίμιον πρίασθαι.
ΠΑ. εἰ νὴ Δί' αὖθις κονδύλοις νουθετήσεθ' ἡμᾶς,
ἀποσβέσαντες τοὺς λύχνους ἄπιμεν οἴκαδ' αὐτοί·
κἄπειτ' ἴσως ἐν τῷ σκότῳ τουτουὶ στερηθεὶς
τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων.
ΧΟ. ἦ μὴν ἐγὼ σοῦ χἀτέρους μείζονας κολάζω.
ἀλλ' οὑτοσί μοι βόρβορος φαίνεται πατοῦντι,
κοὐκ ἔσθ' ὅπως οὐχ ἡμερῶν τεττάρων τὸ πλεῖστον
ὕδωρ ἀναγκαίως ἔχει τὸν θεὸν ποιῆσαι.

---

172. γ' om. RV. 174—229. In his versibus in Ald. nec Xanthiae nec Sosiae nomen legitur, sed constanter ΟΙ. vel Οἰκέ. Omnia Xanthiae tribuenda esse vidit Beerius, quod ex parte tantum perspexerat Brunckius, qui v. 174—183. Xanthiae, v. 202—228. Sosiae nomine usus est. Versui 228. ξαν praescriptum esse in R annotavit Bekkerus. 175. ἵν' αὐτὸν R. ἵνα θᾶττον ceteri. 178. Versum spurium seclusit D. 181. τιν'] τινά V et fortasse R. τινά γ' alii. 183. ἴδωμαι] ἴδωμεν Richterus. 185. 'Αποδρασιππίδου Elmsleius] ἀπὸ δρασιππίδου. 190. ἥσυχον] ἡσύχως RV. 191. μαχεῖ Bekkerus] μάχει 198. κεκλῃμένης Meinekius] κεκλεισμένης 202. προσκύλισον Cobetus] προσκύλιε RV. προσκύλιέ γ' alii. οἴμοι] ὤιμοι R. 203. βώλιον] βωλίον Bergkius. 207. στροῦθος D.] στρουθὸς 208. μοι] μου RV et Suidas s. v. ἐποποῖ et σοῦ. 217. τἄρ' Lentingius] γὰρ

220. ἀρχαιομελι— Suidas s. v. ἀρχαῖος et μινυρίζω] ἀρχαιομελη— (ἀρχαῖα μελη—R). Scholiasta ex ἀρχαῖον, μέλος, Σιδών, Φρύνιχος et ἐρατόν compositum esse dicit, sed addit, 'Αρίσταρχος δέ φησι γεγενῆσθαι ἀπὸ τοῦ μέλι καὶ τοῦ Σιδῶνος etc. 235. γ' om. RV. 242. οὖν] γοῦν Hermannus. 244. κολωμένους ex gl. Hesychii H. Stephanus in Thesauro] χολουμένους, superscripto κολω, V. καλουμένους ceteri, nisi quod Ald. κολουμένους. ἠδίκησεν] ἠδίκηκεν Bergkius. 247. λαθών τις] λίθο ξις V. 248—272. Versus asynartetos ex dimetro iambico et tripodia trochaica compositos correctores metrici in tetrametros iambicos mutarunt, quae interpolationes partim iam in RV reperiuntur. De quo errore, quem Florens Christianus et Brunckius animadverterunt, dictum in Annnot. Oxon. p. 468—470. 248. ΠΑΙΣ] Pueri (quattuor, ut videtur) qui senes comitantur, extra chorum sunt, qui eos dimittit v. 408. 251. παθὼν Elmsleius] μαθὼν 255. αὐτοί] αὖθις Kiehlius. 259. μοι] μὴ R. βόρβορος] βάρβαρος V. μάρμαρος Hermannus.

ἔπεισι γοῦν τοῖσιν λύχνοις οὑτοιὶ μύκητες·
φιλεῖ δ', ὅταν τοῦτ' ᾖ, ποιεῖν ὑετὸν μάλιστα.
δεῖται δὲ καὶ τῶν καρπίμων ἅττα μὴ 'στι πρῷα
ὕδωρ γενέσθαι κἀπιπνεῦσαι βόρειον αὐτοῖς.
τί χρῆμ' ἄρ' οὐκ τῆς οἰκίας τῆσδε συνδικαστὴς
πέπονθεν, ὡς οὐ φαίνεται δεῦρο πρὸς τὸ πλῆθος;
οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν, ἀλλὰ πρῶτος ἡμῶν
ἡγεῖτ' ἂν ᾄδων Φρυνίχου· καὶ γάρ ἐστιν ἀνὴρ
φιλῳδός. ἀλλά μοι δοκεῖ στάντας ἐνθάδ', ὦνδρες,
ᾄδοντας αὐτὸν ἐκκαλεῖν, ἤν τί πως ἀκούσας
τοὐμοῦ μέλους ὑφ' ἡδονῆς ἑρπύσῃ θύραζε.
τί ποτ' οὐ πρὸ θυρῶν φαίνετ' ἄρ' ἡμῖν ὁ γέρων
μῶν ἀπολώλεκεν τὰς [οὐδ' ὑπακούει;
ἐμβάδας, ἢ προσέκοψ' ἐν
τῷ σκότῳ τὸν δάκτυλόν που,
εἶτ' ἐφλέγμηνεν αὐτοῦ
τὸ σφυρὸν γέροντος ὄντος;
καὶ τάχ' ἂν βουβωνιῴη.
ἦ μὴν πολὺ δριμύτατός γ' ἦν τῶν παρ' ἡμῖν,
καὶ μόνος οὐκ ἂν ἐπείθετ',
ἀλλ' ὁπότ' ἀντιβολοίη
τις, κάτω κύπτων ἂν οὕτω
"λίθον ἕψεις" ἔλεγεν.
ὕπαγ', ὦ παῖ, ὕπαγε.
τάχα δ' ἂν διὰ τὸν χθιζινὸν ἄνθρωπον, ὃς ἡμᾶς διε-
ξαπατῶν λέγων ὡς [δυέτ'
καὶ φιλαθήναιος ἦν καὶ
τἀν Σάμῳ πρῶτος κατείποι,
διὰ τοῦτ' ὀδυνηθεὶς
εἶτ' ἴσως κεῖται πυρέττων·
ἔστι γὰρ τοιοῦτος ἀνήρ.
ἀλλ', ὦγάθ', ἀνίστασο μηδ' οὕτω σεαυτὸν
ἔσθιε, μηδ' ἀγανάκτει.
καὶ γὰρ ἀνὴρ παχὺς ἥκει
τῶν προδόντων τἀπὶ Θρᾴκης·
ὃν ὅπως ἐγχυτριεῖς.
ὕπαγ', ὦ παῖ, ὕπαγε,
ΠΑ. ἐθελήσεις τί μοι οὖν, ὦ πάτερ, ἤν σού τι δεηθῶ;
ΧΟ. πάνυ γ', ὦ παιδίον. ἀλλ' εἰπὲ τί βούλει με πρία-
σθαι [ὦ παῖ.
καλόν; οἶμαι δέ σ' ἐρεῖν ἀστραγάλους δήπουθεν,
ΠΑ. μὰ Δί', ἀλλ' ἰσχάδας, ὦ παππία· ἥδιον γάρ. ΧΟ.
μὰ Δί', εἰ κρέμαισθέ γ' ὑμεῖς. [οὐκ ἂν

273—281. = 282—290.

291—302. = 303—315.

ΠΑ. μὰ Δί' οὐ τἄρα προπέμψω σε τὸ λοιπόν.
ΧΟ. ἀπὸ γὰρ τουδέ με τοῦ μισθαρίου
τρίτον αὐτὸν ἔχειν ἄλφιτα δεῖ καὶ ξύλα κὤψον·
σὺ δὲ σῦκά μ' αἰτεῖς.
ΠΑ. ἄγε νυν, ὦ πάτερ, ἢν μὴ τὸ δικαστήριον ἄρχων
καθίσῃ νῦν, πόθεν ὠνησόμεθ' ἄριστον; ἔχεις ἐλ-
πίδα χρηστήν τινα νῷν ἢ πόρον Ἕλλας ἱρὸν εἰπεῖν;
ΧΟ. ἀπαπαῖ φεῦ, ἀπαπαῖ φεῦ, μὰ Δί' οὐκ ἔγωγε νῷν
οἶδ'
ὁπόθεν γε δεῖπνον ἔσται.
ΠΑ. τί με δῆτ', ὦ μελέα μῆτερ, ἔτικτες;
ΧΟ. ἵν' ἐμοὶ πράγματα βόσκειν παρέχῃς.
ἀνόνητον ἄρ' ὦ θυλάκιόν σ' εἶχον ἄγαλμα.
ΠΑ. ἐή,
πάρα νῷν στενάζειν.
ΦΙ. φίλοι, τήκομαι μὲν
πάλαι διὰ τῆς ὀπῆς
ὑμῶν ὑπακούων.
ἀλλ' οὐ γὰρ οἷός τ' ἔτ' εἴμ'
ᾄδειν, τί ποιήσω;
τηροῦμαι δ' ὑπὸ τῶνδ', ἐπεὶ
βούλομαί γε πάλαι μεθ' ὑ-
μῶν ἐλθὼν ἐπὶ τοὺς καδί-
σκους κακόν τι ποιῆσαι.
ἀλλ', ὦ Ζεῦ Ζεῦ, μέγα βροντήσας
ἤ με ποίησον καπνὸν ἐξαίφνης,
ἢ Προξενίδην, ἢ τὸν Σέλλου
τοῦτον τὸν ψευδαμάμαξυν.
τόλμησον, ἄναξ, χαρίσασθαί μοι,
πάθος οἰκτείρας·
ἤ με κεραυνῷ διατινθαλέῳ
σπόδισον ταχέως·
κἄπειτ' ἀνελών μ' ἀποφυσήσας
εἰς ὀξάλμην ἔμβαλε θερμήν·
ἢ δῆτα λίθον με ποίησον ἐφ' οὗ
τὰς χοιρίνας ἀριθμοῦσιν.
ΧΟ. τίς γάρ ἐσθ' ὁ ταῦτά σ' εἴργων
κἀποκλῄων τὰς θύρας; λέ-
ξον· πρὸς εὔνους γὰρ φράσεις.
ΦΙ. οὑμὸς υἱός. ἀλλὰ μὴ βοᾶτε· καὶ γὰρ τυγχάνει
οὑτοσὶ πρόσθεν καθεύδων. ἀλλ' ὕφεσθε τοῦ τόνου.
ΧΟ. τοῦ δ' ἔφεξιν, ὦ μάταιε, ταῦτα δρᾶν σε βούλεται;
∸ ⏑ ⏑ ⏑ ∸ ⏑ –
ΦΙ. οὐκ ἐᾷ μ', ὦνδρες, δικάζειν οὐδὲ δρᾶν οὐδὲν κακόν,
ἀλλά μ' εὐωχεῖν ἕτοιμός ἐστ', ἐγὼ δ' οὐ βούλομαι.
ΧΟ. τοῦτ' ἐτόλμησ' ὁ μιαρὸς χα-

334—345. = 365—378.

339. τίνα πρόφασιν ἔχων;

---

263. τοῦτ' ᾗ Florens Christianus] ᾗ τουτὶ ποιεῖν] ποεῖν ὁ Ζεὺς RV. 272. ἑρπύσῃ Florens Christianus] ἐξερπύσῃ 274. ἀπολώλεκεν Hermannus] ἀπολώλεκε 275. προσέκοψ' ἐν Bentleius] προσέκοψεν 276. εἶτ' ἐφλέγμηνεν αὐτοῦ] Huic versui respondet v. 283. διὰ τοῦτ' ὀδυνηθείς. Quum versus strophicus aptissimam praebeat metri formam, etsi cum duriore vocalis brevis ante γμ correptione, ∸⏑⏑–, ⏑∸–, ut paullo ante μῶν ἀπολώλεκεν τάς, aptissimumque sit verbum ἐφλέγμηνεν, non videtur dubitari posse quin versus antistrophicus interpolatoris manum sit expertus. 281. ὕπαγ', ὦ παῖ, ὕπαγε] Haec verba quibus etiam antistropha finitur, addidit Hermannus. 282. χθιζινὸν Hermannus] χθεσινόν διεδύετ'] Vitiosa est syllaba ultima brevis. Fortasse διέδυ πως. De aoristo διέδυ etiam Bentleius cogitavit. λέγων ὡς καὶ Hermannus] καὶ λέγων ὡς 283. διὰ τοῦτ' ὀδυνηθείς] Versus ab interpolatore, ut videtur, compositus, quum verba poetae excidissent, quorum de metro dictum ad v. 276. 297. παππία Bentleius] παπία 298. κρέμαισθε Dobraeus] κρέμεσθε V. κρέμοισθε ceteri.

307. ἱρὸν Hermannus] ἱερὸν εἰπεῖν addidit Hermannus. 308. ἀπαπαῖ (codices ἀπαπαί) φεῦ in libris semel scriptum duplicavit Hermannus. 311. γε] τὸ Cobetus. 313. puero continuant, proxima ἀνόνητον — ἄγαλμα choro, reliqua ἒ ἒ — στενάζειν puero tribuunt libri. Correxit Cobetus. 315. ἄρ', ὦ θυλάκιόν σ' Hermannus] ἆρα σ' ὦ θυλάκιόν γ' 316. ἐὴ D.] ἒ ἒ. Hanc interiectionem etiam in stropha v. 303. ante verba σὺ δὲ σῦκά μ' αἰτεῖς ponendam esse coniecit Hermannus. 318. ἀλλ' οὐ γὰρ οἷός τ' ἔτ' εἴμ' D.] ἀλλὰ γὰρ οὐχ οἷός τ' εἴμ' 323. Alterum Ζεῦ addidit Porsonus. βροντήσας D.] βρόντα 334. κἀποκλῄων D.] κἀποκλείων (κατακλείων V.) τὰς θύρας] τῇ θύρᾳ V. 339. Interpolatoris vel interpretis verba τίνα πρόφασιν ἔχων, ad τοῦ δ' ἔφεξιν adscripta, eiicienda esse vidit Florens Christianus: de quo dixi in Annot. Oxon. p. 474.

νεῖν ὁ Δημολογοκλέων ὅδ',
ὅτι λέγεις τι περὶ τῶν νε-
ῶν ἀληθές. οὐ γὰρ ἄν ποθ'
οὗτος ἀνὴρ τοῦτ' ἐτόλμη-
σεν λέγειν, εἰ
μὴ ξυνωμότης τις ἦν.
ἀλλ' ἐκ τούτων ὥρα τινά σοι ζητεῖν καινὴν ἐπί-
νοιαν, [ποιήσει.
ἥτις σε λάθρα τἀνδρὸς τουδὶ καταβῆναι δεῦρο
ΦΙ. τίς ἂν οὖν εἴη; ζητεῖθ' ὑμεῖς, ὡς πᾶν ἂν ἔγωγε
ποιοίην· [θεῖν.
οὕτω κιττῶ διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελ-
ΧΟ. ἔστιν ὀπὴ δῆθ' ἥντιν' ἂν ἔνδοθεν οἷός τ' εἴης δια-
λέξαι, [Ὀδυσσεύς;
εἶτ' ἐκδῦναι ῥάκεσιν κρυφθείς, ὥσπερ πολύμητις
ΦΙ. πάντα πέφαρκται κοὐκ ἔστιν ὀπῆς οὐδ' εἰ σέρφῳ
διαδῦναι. [γενέσθαι.
ἀλλ' ἄλλο τι δεῖ ζητεῖν ὑμᾶς· ὀπίαν δ' οὐκ ἔστι
ΧΟ. μέμνησαι δῆθ', ὅτ' ἐπὶ στρατιᾶς κλέψας ποτὲ τοὺς
ὀβελίσκους [ἑάλω;
ἵεις σαυτὸν κατὰ τοῦ τείχους ταχέως, ὅτε Νάξος
ΦΙ. οἶδ'· ἀλλὰ τί τοῦτ'; οὐδὲν γὰρ τοῦτ' ἐστὶν ἐκείνῳ
προσόμοιον. [ἐμαυτοῦ,
ἥβων γὰρ κἀδυνάμην κλέπτειν, ἴσχυόν τ' αὐτὸς
κοὐδείς μ' ἐφύλαττ', ἀλλ' ἐξῆν μοι
φεύγειν ἀδεῶς. νῦν δὲ ξὺν ὅπλοις
ἄνδρες ὁπλῖται διαταξάμενοι
κατὰ τὰς διόδους σκοπιωροῦνται,
τὼ δὲ δύ' αὐτῶν ἐπὶ ταῖσι θύραις
ὥσπερ με γαλῆν κρέα κλέψασαν
τηροῦσιν ἔχοντ' ὀβελίσκους.
ΧΟ. ἀλλὰ καὶ νῦν ἐκπόριζε
μηχανὴν ὅπως τάχισθ'· ἕ-
ως γάρ, ὦ μελίττιον.
ΦΙ. διατραγεῖν τοίνυν κράτιστον ἐστί μοι τὸ δίκτυον.
ἡ δέ μοι Δίκτυννα συγγνώμην ἔχοι τοῦ δικτύου.
ΧΟ. ταῦτα μὲν πρὸς ἀνδρός ἐστ' ἄνοντος ἐς σωτηρίαν.
ἀλλ' ἔπαγε τὴν γνάθον.
ΦΙ. διατέτρωκται τοῦτό γ'. ἀλλὰ μὴ βοᾶτε μηδαμῶς,
ἀλλὰ τηρώμεσθ' ὅπως μὴ Βδελυκλέων αἰσθήσεται.
ΧΟ. μηδέν, ὦ τᾶν, δέδιθι, μηδέν·
ὡς ἐγὼ τοῦτόν γ', ἐὰν γρύ-
ξῃ τι, ποιήσω δακεῖν τὴν
καρδίαν καὶ τὸν περὶ ψυ-
χῆς δρόμον δραμεῖν, ἵν' εἰδῇ
μὴ πατεῖν τὰ
τοῖν θεοῖν ψηφίσματα.
ἀλλ' ἐξάψας διὰ τῆς θυρίδος τὸ καλῴδιον εἶτα κα-
θίμα [πείθους.
δήσας σαυτὸν καὶ τὴν ψυχὴν ἐμπλησάμενος Διο-
ΦΙ. ἄγε νυν, ἢν αἰσθομένω τούτω ζητῆτόν μ' ἐσκαλα-
μᾶσθαι [νυνί.
κἀνάσπαστον ποιεῖν εἴσω, τί ποιήσετε; φράζετε
ΧΟ. ἀμυνοῦμέν σοι τὸν πρινώδη θυμὸν ἅπαντες καλέ-
σαντες, [σομεν ἡμεῖς.
ὥστ' οὐ δυνατόν σ' εἴργειν ἔσται· τοιαῦτα ποιή-
ΦΙ. δράσω τοίνυν ὑμῖν πίσυνος· καὶ μανθάνετ'· ἤν τι
πάθω 'γώ, [δρυφάκτοις.
ἀνελόντες καὶ κατακλαύσαντες θεῖναί μ' ὑπὸ τοῖσι
ΧΟ. οὐδὲν πείσει· μηδὲν δείσῃς. ἀλλ', ὦ βέλτιστε,
καθίει [οἷσιν
σαυτὸν θαρρῶν κἀπευξάμενος τοῖσι πατρῴοισι θε-
ΦΙ. ὦ Λύκε δέσποτα, γείτων ἥρως· σὺ γὰρ οἷσπερ ἐγὼ
κεχάρησαι, [φυρμοῖς·
τοῖς δακρύοισιν τῶν φευγόντων ἀεὶ καὶ τοῖς ὀλο-
ᾤκησας γοῦν ἐπίτηδες ἰὼν ἐνταῦθ', ἵνα ταῦτ'
ἀκροῷο, [θῆσθαι.
κἀβουλήθης μόνος ἡρώων παρὰ τὸν κλάοντα κα-
ἐλέησον καὶ σῶσον νυνὶ τὸν σαυτοῦ πλησιόχωρον·
κοὐ μή ποτέ σου παρὰ τὰς κάννας οὐρήσω μηδ'
ἀποπάρδω.
ΒΔ. οὗτος, ἐγείρου. ΞΑ. τί τὸ πρᾶγμ'; ΒΔ. ὥσπερ
φωνή μέ τις ἐγκεκύκλωται.
ΞΑ. μῶν ὁ γέρων πῃ διαδύεται αὖ; ΒΔ. μὰ Δί' οὐ
δῆτ', ἀλλὰ καθιμᾷ
αὑτὸν δήσας. ΞΑ. ὦ μιαρώτατε, τί ποιεῖς; οὐ μὴ
καταβήσει; [λάσι παῖε,
ΒΔ. ἀνάβαιν' ἀνύσας κατὰ τὴν ἑτέραν καὶ ταῖσιν φυλ-
ῆν πως πρύμνην ἀνακρούσηται πληγεὶς ταῖς εἰρε-
σιώναις. [ἔσεσθαι,
ΦΙ. οὐ ξυλλήψεσθ' ὁπόσοισι δίκαι τῆτες μέλλουσιν
ὦ Σμικυθίων καὶ Τισιάδη καὶ Χρήμων καὶ Φερέ-
δειπνε; [μᾶλλον ἄγεσθαι;
πότε δ', εἰ μὴ νῦν, ἐπαρήξετέ μοι, πρίν μ' εἴσω
ΧΟ. εἰπέ μοι, τί μέλλομεν κινεῖν ἐκείνην τὴν χολήν,
ἥνπερ, ἡνίκ' ἄν τις ἡμῶν ὀργίσῃ τὴν σφηκιάν;
νῦν ἐκεῖνο νῦν ἐκεῖνο
τοὐξύθυμον, ᾧ κολαζό-
μεσθα, κέντρον ἐντέτατ' ὀξύ.
ἀλλὰ θαἰμάτια λαβόντες ὡς τάχιστα, παιδία,
θεῖτε καὶ βοᾶτε, καὶ Κλέωνι ταῦτ' ἀγγέλλετε,
μισόπολιν οὗτος ὅτι
τόνδε λόγον ἐσφέρει,
μὴ δικάζειν δίκας.

403—429. = 461—487.

---

342. Δημολογοκλέων] Nomen suspectum, cuius syllabae extremae ex glossemate Βδελυκλέων remansisse videri possunt. ὅδ' addidit Hermannus coniectura incerta. 343. ὅτι λέγεις — ἀληθές] Verba ab interpolatore, ut videtur, lacunae explendae caussa conficta: de quo dixi in Annot. Oxon. p. 474. τῶν νεῶν, quod de trierarchia dictum intelligit scholissta, corruptum videtur. 344. Philocleonis personam ante οὐ γὰρ — τις ἦν positam delevit Hermannus. 347. τουδὶ Brunckius] τοῦδε 348. ἂν post πᾶν addidit Bentleius. 350. διαλέξαι (ex gl. Hesychii διαλέξαι: διορύξαι) D. in Annot. Oxon. p. 475.] διορύξαι 352. πέφαρκται D.] πέφρακται 378. τοῖν θεοῖν Hirschigius] τῶν θεῶν R. ταῖν θεαῖν ceteri. 379. καλῴδιον V. καλώδιον ceteri. Vid. Boeckh. ad inscriptiones navales p. 146.

389. οἷσπερ] ὥσπερ Cobetus. 395. 396. 397. ΞΑ. Beerius] ΟΙ. (i. e. οἰκέτης). 396. αὖ addidit D. 399. πρύμνην Elmsleius] πρύμναν 400. ὁπόσοισι Florens Christianus] ὁπόσοις (ὁπόσοι R). 401. Χρήμων] Vel Χρῆμον. 407. ἐντέτατ' ὀξύ] Diphthongus perfecti ἐντέταται neque elidi potest nec, si plene scribatur, corripi. Ex quo sequitur ἐντέτατ' ὀξύ veteris correctoris supplementum esse, quo eiecto quot syllabarum lacuna sit notanda non liquet, quum antistrophici quoque versus 465. incerta sit scriptura, etsi non improbabile est versum creticum trimetrum fuisse. 408. λαβόντες] βαλόντες superscr. in cod. Paris. uno. 410—414. μισόπολιν — δίκας D.] In libris haec sic scripta sunt, καὶ κελεύετ' αὐτὸν ἥκειν | ὡς ἐπ' ἄνδρα μισόπολιν | ὄντα κἀπολούμενον | ὅτι τόνδε λόγον εἰσφέρει | ὡς χρὴ μὴ δικάζειν δίκας. quibus in antistropha tres respondent versus cretici 468—470. omni ex parte integerrimi, quorum ad exemplum versus strophicos correxi sublatis quae lacunae explendae caussa interpolator vetus finxerat supplementis: de quo interpolationis genere dixi in Praef. ad Annotationes Oxonienses p. VI. 414. μὴ Hermannus] ὡς χρὴ μὴ

ΒΔ. ὦγαθοί, τὸ πρᾶγμ' ἀκούσατ', ἀλλὰ μὴ κεκράγετε.
ΧΟ. νὴ Δί' ἐς τὸν οὐρανόν γ'· ὡς τοῦδ' ἐγὼ οὐ μεθήσομαι.
ταῦτα δῆτ' οὐ δεινὰ καὶ τυραννίς ἐστιν ἐμφανής;
ὦ πόλις καὶ Θεώρου θεοισεχθρία,
κεἴ τις ἄλλος προέστηκεν ἡμῶν κόλαξ.
ΞΑ. Ἡράκλεις, καὶ κέντρ' ἔχουσιν. οὐχ ὁρᾷς, ὦ δέσποτα;
ΒΔ. οἷς γ' ἀπώλεσαν Φίλιππον ἐν δίκῃ τὸν Γοργίου.
ΧΟ. καὶ σέ γ' αὐτίκ' ἐξολοῦμεν· ἀλλὰ πᾶς ἐπίστρεφε
δεῦρο κἀξείρας τὸ κέντρον εἶτ' ἐπ' αὐτὸν ἵεσο,
ξυσταλεὶς, εὔτακτος, ὀργῆς καὶ μένους ἐμπλήμενος,
ὡς ἂν εὖ εἰδῇ τὸ λοιπὸν σμῆνος οἷον ὤργισεν.
ΞΑ. τοῦτο μέντοι δεινὸν ἤδη νὴ Δί', εἰ μαχούμεθα·
ὡς ἔγωγ' αὐτῶν ὁρῶν δέδοικα τὰς ἐγκεντρίδας.
ΧΟ. ἀλλ' ἀφίει τὸν ἄνδρ'· εἰ δὲ μή, φήμ' ἐγὼ
τὰς χελώνας μακαριεῖν σε τοῦ δέρματος.
ΦΙ. εἶά νυν, ὦ ξυνδικασταὶ, σφῆκες ὀξυκάρδιοι,
οἱ μὲν ἐς τὸν πρωκτὸν αὐτῶν ἐσπέτεσθ' ὠργισμένοι,
οἱ δὲ τὠφθαλμὼ 'ν κύκλῳ κεντεῖτε καὶ τοὺς δακτύλους.
ΒΔ. ὦ Μίδα καὶ Φρὺξ βοήθει δεῦρο καὶ Μασυντία,
καὶ λάβεσθε τουτουὶ καὶ μὴ μεθῆσθε μηδενί·
εἰ δὲ μή, 'ν πέδαις παχείαις οὐδὲν ἀριστήσετε.
ὡς ἐγὼ πολλῶν ἀκούσας οἶδα θρίων τὸν ψόφον.
ΧΟ. εἰ δὲ μὴ τοῦτον μεθήσεις, ἕν τί σοι παγήσεται.
ΦΙ. ὦ Κέκροψ ἥρως ἄναξ, τὰ πρὸς ποδῶν Δρακοντίδη,
περιορᾷς οὕτω μ' ὑπ' ἀνδρῶν βαρβάρων χειρούμενον,
οὓς ἐγὼ 'δίδαξα κλάειν τέτταρ' ἐς τὴν χοίνικα;
ΧΟ. εἶτα δῆτ' οὐ πόλλ' ἔνεστι δεινὰ τῷ γήρᾳ κακά;
δῆλα δ', εἰ καὶ νῦν γε τούτω τὸν παλαιὸν δεσπότην
πρὸς βίαν χειροῦσιν, οὐδὲν τῶν πάλαι μεμνημένοι
διφθερῶν κἀξωμίδων, ἃς οὗτος αὐτοῖς ἠμπόλα,
καὶ κυνᾶς, καὶ τοὺς πόδας χειμῶνος ὄντος ὠφέλει,
ὥστε μὴ ῥιγῶν ἑκάστοτ'· ἀλλὰ τούτοις γ' οὐκ ἔνι
οὐδ' ἐν ὀφθαλμοῖσιν αἰδὼς τῶν παλαιῶν ἐμβάδων.
ΦΙ. οὐκ ἀφήσεις οὐδὲ νυνί μ', ὦ κάκιστον θηρίον;
οὐδ' ἀναμνησθεὶς ὅθ' εὑρὼν τοὺς βότρυς κλέπτοντά σε [κῶς,
προσαγαγὼν πρὸς τὴν ἐλάαν ἐξέδειρ' εὖ κἀνδρι-
ὥστε σε ζηλωτὸν εἶναι, σὺ δ' ἀχάριστος ἦσθ' ἄρα.
ἀλλ' ἄφες με καὶ σὺ καὶ σύ, πρὶν τὸν υἱὸν ἐκδραμεῖν.
ΧΟ. ἀλλὰ τούτων μὲν τάχ' ἡμῖν δώσετον καλὴν δίκην,
οὐκέτ' ἐς μακράν, ἵν' εἰδῆθ' οἷόν ἐστ' ἀνδρῶν τρόπος
ὀξυθύμων καὶ δικαίων καὶ βλεπόντων κάρδαμα.
ΒΔ. παῖε παῖ', ὦ Ξανθία, τοὺς σφῆκας ἀπὸ τῆς οἰκίας.
ΞΑ. ἀλλὰ δρῶ τοῦτ'· ἀλλὰ καὶ σὺ τῦφε πολλῷ τῷ καπνῷ.
ΒΔ. οὐχὶ σοῦσθ'; οὐκ ἐς κόρακας; οὐκ ἄπιτε; παῖε τῷ ξύλῳ.
ΞΑ. καὶ σὺ προσθεὶς Αἰσχίνην ἔντυφε τὸν Σελλαρτίου.
ἆρ' ἐμέλλομέν ποθ' ὑμᾶς ἀποσοβήσειν τῷ χρόνῳ.
ΒΑ. ἀλλὰ μὰ Δί' οὐ ῥᾳδίως οὕτως ἂν αὐτοὺς διέφυγες,
εἴπερ ἔτυχον τῶν μελῶν τῶν Φιλοκλέους βεβρω- [κότες.
ΧΟ. ἆρα δῆτ' οὐκ αὐτόδηλα
τοῖς πένησιν, ἡ τυραννὶς
ὡς λάθρα 'λάμβαν' ὑπιοῦσά με;
εἰ σύ γ', ὦ πόνῳ πονηρὲ καὶ κομηταμυνία,
τῶν νόμων ἡμᾶς ἀπείργεις ὧν ἔθηκεν ἡ πόλις,
οὔτε τιν' ἔχων πρόφασιν
οὔτε λόγον εὐτράπελον,
αὐτὸς ἄρχων μόνος.
ΒΔ. ἔσθ' ὅπως ἄνευ μάχης καὶ τῆς κατοξείας βοῆς
ἐς λόγους ἔλθοιμεν ἀλλήλοισι καὶ διαλλαγάς;
ΧΟ. σοὺς λόγους, ὦ μισόδημε καὶ μοναρχίας ἐρῶν,
καὶ ξυνὼν Βρασίδᾳ καὶ φορῶν κράσπεδα
στεμμάτων, τήν θ' ὑπήνην ἄκουρον τρέφων;
ΒΔ. νὴ Δί' ἦ μοι κρεῖττον ἐκστῆναι τὸ παράπαν τοῦ πατρὸς
μᾶλλον ἢ κακοῖς τοσούτοις ναυμαχεῖν ὁσημέραι.
ΧΟ. οὐδὲ μέν γ' οὐδ' ἐν σελίνῳ σοὔστὶν οὐδ' ἐν πηγάνῳ·
τοῦτο γὰρ παρεμβαλοῦμεν τῶν τριχοινίκων ἐπῶν.
ἀλλὰ νῦν μὲν οὐδὲν ἀλγεῖς, ἀλλ' ὅταν ξυνήγορος
ταὐτὰ ταῦτά σου καταντλῇ καὶ ξυνωμότην καλῇ.
ΒΔ. ἆρ' ἄν, ὦ πρὸς τῶν θεῶν, ὑμεῖς ἀπαλλαχθεῖτέ μου;
ἢ δέδοκταί σοι δέρεσθαι καὶ δέρειν δι' ἡμέρας;
ΧΟ. οὐδέπω γ', οὐχ, ἕως ἄν τί μου λοιπὸν ᾖ,
ὅστις ἡμῶν ἐπὶ τυραννίδ' ὧδ' ἐστάλης.
ΒΔ. ὡς ἅπανθ' ἡμῖν τυραννίς ἐστι καὶ ξυνωμόται,
ἤν τε μεῖζον ἤν τ' ἔλαττον πρᾶγμά τις κατηγορῇ,
ἧς ἐγὼ οὐκ ἤκουσα τοὔνομ' οὐδὲ πεντήκοντ' ἐτῶν·
νῦν δὲ πολλῷ τοῦ ταρίχους ἐστὶν ἀξιωτέρα,
ὥστε καὶ δὴ τοὔνομ' αὐτῆς ἐν ἀγορᾷ κυλίνδεται.
ἢν μὲν ὠνῆταί τις ὀρφώς, μεμβράδας δὲ μὴ 'θέλῃ,
εὐθέως εἴρηχ' ὁ πωλῶν πλησίον τὰς μεμβράδας
"οὗτος ὀψωνεῖν ἔοιχ' ἄνθρωπος ἐπὶ τυραννίδι,"
ἢν δὲ γήτειον προσαιτῇ τις ἀφύαις ἡδύσματα,
ἡ λαχανόπωλις παραβλέψασά φησι θἀτέρῳ
"εἰπέ μοι, γήτειον αἰτεῖς, πότερον ἐπὶ τυραννίδι;
ἢ νομίζεις τὰς Ἀθήνας σοὶ φέρειν ἡδύσματα;"
ΞΑ. κἀμέ γ' ἡ πόρνη χθὲς εἰσελθόντα τῆς μεσημβρίας,
ὅτε κελητίσαι 'κέλευον, ὀξυθυμηθεῖσά μοι
ἤρετ' εἰ τὴν Ἱππίου καθίσταμαι τυραννίδα.

---

415. κεκράγετε] κεκράγατε R. Eodem errore in Acharn. 133. in libris omnibus κεχήνατε pro κεχήνετε.
416. ὡς — μεθήσομαι] Bdelycleoni tribuit Hamakerus. τοῦδ' Dawesius] τόνδ' 417. Hunc versum Bdelycleoni tribuunt libri. Correxit Bentleius.
418. θεοισεχθρία Bentleius] θεὸς ἐχθρία vel θεοσεχθρία
419. ἡμῶν codex Paris. unus. ὑμῶν ceteri.
422. αὐτίκ' D.] αὖτις. In V αὐτῆς: unde αὐτοῖς Hirschigius, quod melius ex praecedente οἷς intelligitur. ἀλλὰ πᾶς V. ἀλλ' ἅπας ceteri. 432. τὠφθαλμὼ 'ν Elmsleius] τωφθαλμων sine accentu R. τὠφθαλμὼ ceteri. κεντεῖτε Florens Christianus] κεντεῖθ', οἱ δὲ 433. βοήθει Bentleius] βοηθεῖτε Μασυντία] μασιντυα V. 434. λάβεσθε] βάλεσθε R. βάλλεσθε V.
437. ἕν Berglerus] ἓν 441. ΧΟ.] ἡμι[χ] R. 442. δῆλα δ', εἰ Cobetus] δηλαδὴ 445. κυνᾶς] κυνῶν Hamakerus. καὶ] χαῖς Hamakerus. Fort. χὡς.
446. ῥιγῶν D.] ῥιγῶν γ' (ῥιγόν τ' R.) 452. ἄφες Cobetus] ἄνες 454. οἷον] οἷος V, Suidas s. v. ἵν' εἰδῇς et ed. Iuntina a. 1515. Sic οἷος pro οἷον in R Ach. 321.

458. ΒΔ. Beerius] Σω. 459. ἔντυφε] ἔκτυφε Meinekius. 461. ΒΔ. Brunckius] Χο. Aldus et, ut videtur, codices. 462. μελῶν τῶν Brunckius] μελέων 463. ἆρα —] ἡμι. praescriptum in Ald. et, ut opinor, in codicibus. Delevit Brunckius. αὐτόδηλα L. Dindorfius in Thesauro vol. 2. p. 1062.] αὐτὰ δῆλα
465. λάθρα 'λάμβαν' D.] λάθρα γ' ἐλάμβαν' R. λάθρα γ' ἐλάνθαν' ceteri. 466. πόνῳ πονηρὲ Lennepius ad Phalar. p. 61.] πονωπόνηρε 471. ἄνευ] ἂν ἐκ Hermannus. 472. ἔλθοιμεν V. ἔλθωμεν ceteri.
474. σοὺς (i. e. σοι ἐς) D.] σοὶ (σοὶ 'ς Bothius.) ἐρῶν D.] ἐραστὰ 480. ΧΟ.] ἡμι[χ] R. μέν γ'] μὴν Brunckius. σοὔστὶν] σ' οὐστὶν V. που (vel ποῦ) 'στιν ceteri. 483. ταὐτὰ ταῦτα Berglerus] ταῦτα ταυτά vel ταῦτα ταῦτα ξυνωμότην Hamakerus] ξυνωμότας (ξυνωμο[τ] R). 484. μου] μοι RV. 485. σοι Bergkius] μοι 486. οὐδέπω Hermannus] οὐδέποτε
487. ὧδ' addidit Hermannus. 488. ἡμῖν RV. ὑμῖν ceteri. 495. ἔοιχ' ἄνθρωπος (cum spiritu leni) RV. ἔοικ' ἄνθρωπος ceteri. 496. τις Brunckius] ταῖς ἡδύσματα Dobraeus] ἥδυσμά τι 501. ὅτε D.] ὅτι

ΒΔ. ταῦτα γὰρ τούτοις ἀκούειν ἡδέ', εἰ καὶ νῦν ἐγὼ
τὸν πατέρ' ὅτι βούλομαι τούτων ἀπαλλαχθέντα τῶν
ὀρθροφοιτοσυκοφαντοδικοταλαιπώρων τρόπων
ζῆν βίον γενναῖον ὥσπερ Μόρυχος, αἰτίαν ἔχω
ταῦτα δρᾶν ξυνωμότης ὢν καὶ φρονῶν τυραννίδα.
ΦΙ. νὴ Δί' ἐν δίκῃ γ'· ἐγὼ γὰρ οὐδ' ἂν ὀρνίθων γάλα
ἀντὶ τοῦ βίου λάβοιμ' ἂν οὗ με νῦν ἀποστερεῖς·
οὐδὲ χαίρω βατίσιν οὐδ' ἐγχέλεσιν, ἀλλ' ἥδιον ἂν
δικίδιον σμικρὸν φάγοιμ' ἂν ἐν λοπάδι πεπνιγμένον.
ΒΔ. νὴ Δί' εἰθίσθης γὰρ ἥδεσθαι τοιούτοις πράγμασιν·
ἀλλ' ἐὰν σιγῶν ἀνάσχῃ καὶ μάθῃς ἁγὼ λέγω,
ἀναδιδάξειν οἴομαί σ' ὡς πάντα ταῦθ' ἁμαρτάνεις.
ΦΙ. ἐξαμαρτάνω δικάζων; ΒΔ. καταγελώμενος μὲν οὖν
οὐκ ἐπαΐεις ὑπ' ἀνδρῶν, οὓς σὺ μόνον οὐ προσκυνεῖς·
ἀλλὰ δουλεύων λέληθας. ΦΙ. παῦε δουλείαν λέ-
γων, [ὑπηρετεῖς
ὅστις ἄρχω τῶν ἁπάντων. ΒΔ. οὐ σύ γ', ἀλλ'
οἰόμενος ἄρχειν· ἐπεὶ δίδαξον ἡμᾶς, ὦ πάτερ,
ἥτις ἡ τιμή 'στί σοι καρπουμένῳ τὴν Ἑλλάδα.
ΦΙ. πάνυ γε· καὶ τούτοισί γ' ἐπιτρέψαι 'θέλω. ΒΔ. καὶ
μὴν ἐγώ
ἄφετέ νυν ἅπαντες αὐτόν. ΦΙ. καὶ ξίφος γέ μοι δότε·
ἢν γὰρ ἡττηθῶ λέγων σου, περιπεσοῦμαι τῷ ξίφει.
ΒΔ. εἰπέ μοι, τί δ' ἤν, τὸ δεῖνα, τῇ διαίτῃ μὴ 'μμένῃς;
ΦΙ. μηδέποτε πίοιμ' ἄκρατον μισθὸν ἀγαθοῦ δαίμονος.
ΧΟ. νῦν δὴ τὸν ἐκ θἠμετέρου
γυμνασίου δεῖ τι λέγειν
καινόν, ὅπως φανήσει
ΒΔ. ἐνεγκάτω μοι δεῦρο τὴν κίστην τις ὡς τάχιστα.
ἀτὰρ φανεῖ ποῖός τις ὤν, ἢν ταῦτα παρακελεύῃ;
ΧΟ. μὴ κατὰ τὸν νεανίαν
τονδὶ λέγειν. ὁρᾷς γὰρ ὡς
σοὶ μέγας ἐστὶν ἀγὼν
καὶ περὶ τῶν ἁπάντων,
εἴπερ, ὃ μὴ γένοιθ', οὗ-
τός σ' ἐθέλει κρατῆσαι.
ΒΔ. καὶ μὴν ὅσ' ἂν λέξῃ γ' ἁπλῶς μνημόσυνα γράψο-
μαι 'γώ.
ΦΙ. τί γὰρ φάθ' ὑμεῖς, ἢν ὁδί με τῷ λόγῳ κρατήσῃ;
ΧΟ. οὐκέτι πρεσβυτῶν ὄχλος
χρήσιμος ἔστ' οὐδ' ἀκαρῆ·
σκωπτόμενοι δ' ἐν ταῖς ὁδοῖς
θαλλοφόροι καλούμεθ', ἀν-
τωμοσιῶν κελύφη.
ἀλλ', ὦ περὶ τῆς πάσης μέλλων βασιλείας ἀντιλο-
γήσειν [νιζε.
τῆς ἡμετέρας, νυνὶ θαρρῶν πᾶσαν γλῶτταν βασά-

526—545. — 631—647.

ΦΙ. καὶ μὴν εὐθύς γ' ἀπὸ βαλβίδων περὶ τῆς ἀρχῆς
ἀποδείξω
τῆς ἡμετέρας ὡς οὐδεμιᾶς ἥττων ἐστὶν βασιλείας.
τί γὰρ εὔδαιμον καὶ μακαριστὸν μᾶλλον νῦν ἐστι
δικαστοῦ, [ροντος;
ἢ τρυφερώτερον, ἢ δεινότερον ζῷον, καὶ ταῦτα γέ-
δν πρῶτα μὲν ἕρποντ' ἐξ εὐνῆς τηροῦσ' ἐπὶ τοῖσι
δρυφάκτοις [προσιόντι
ἄνδρες μεγάλοι καὶ τετραπήχεις· κἄπειτ' εὐθὺς
ἐμβάλλει μοι τὴν χεῖρ' ἁπαλήν, τῶν δημοσίων
κεκλοφυῖαν· [χοοῦντες
ἱκετεύουσίν θ' ὑποκύπτοντες, τὴν φωνὴν οἰκτρο-
"οἴκτειρόν μ', ὦ πάτερ, αἰτοῦμαί σ', εἰ καὐτὸς πώ-
ποθ' ὑφείλου [ράζων·"
ἀρχὴν ἄρξας ἢ 'πὶ στρατιᾶς τοῖς ξυσσίτοις ἀγο-
ὃς ἔμ' οὐδ' ἂν ζῶντ' ᾔδειν, εἰ μὴ διὰ τὴν προτέραν
ἀπόφυξιν. [νόν μοι.
ΒΔ. τουτὶ περὶ τῶν ἀντιβολούντων ἔστω τὸ μνημόσυ-
ΦΙ. εἶτ' εἰσελθὼν ἀντιβοληθεὶς καὶ τὴν ὀργὴν ἀπο-
μορχθεὶς [ποίηκα,
ἔνδον τούτων ὧν ἂν φάσκω πάντων οὐδὲν πε-
ἀλλ' ἀκροῶμαι πάσας φωνὰς ἱέντων εἰς ἀπόφυξιν.
φέρ' ἴδω, τί γὰρ οὐκ ἔστιν ἀκοῦσαι θώπευμ' ἐν-
ταῦθα δικαστῇ; [θέασιν
οἱ μέν γ' ἀποκλάονται πενίαν αὐτῶν καὶ προστι-
κακὰ πρὸς τοῖς οὖσιν, ἕως ἀνιῶν ἂν ἰσώσῃ τοῖσιν
ἐμοῖσιν·
οἱ δὲ λέγουσιν μύθους ἡμῖν, οἱ δ' Αἰσώπου τι γέλοιον·
οἱ δὲ σκώπτουσ', ἵν' ἐγὼ γελάσω καὶ τὸν θυμὸν
κατάθωμαι. [ἀνέλκει,
κἂν μὴ τούτοις ἀναπειθώμεσθα, τὰ παιδάρι' εὐθὺς
τὰς θηλείας καὶ τοὺς υἱεῖς, τῆς χειρός, ἐγὼ δ'
ἀκροῶμαι· [ὑπὲρ αὐτῶν
τὰ δὲ συγκύψανθ' ἅμα βληχᾶται· κἄπειθ' ὁ πατὴρ
ὥσπερ θεὸν ἀντιβολεῖ με τρέμων τῆς εὐθύνης
ἀπολῦσαι· [σαις·
εἰ μὲν χαίρεις ἀρνὸς φωνῇ, παιδὸς φωνὴν ἐλεή-
εἰ δ' αὖ τοῖς χοιριδίοις χαίρω, θυγατρὸς φωνῇ με
πιθέσθαι. [ἀνεῖμεν.
χἠμεῖς αὐτῷ τότε τῆς ὀργῆς ὀλίγον τὸν κόλλοπ'
ἆρ' οὐ μεγάλη τοῦτ' ἔστ' ἀρχὴ καὶ τοῦ πλούτου
καταχήνη;
ΒΔ. δεύτερον αὖ σου τουτὶ γράφομαι, τὴν τοῦ πλούτου
καταχήνην· [δος ἄρχειν.
καὶ τἀγαθά μοι μέμνησ' ἄχεις φάσκων τῆς Ἑλλά-
ΦΙ. παίδων τοίνυν δοκιμαζομένων αἰδοῖα πάρεστι
θεᾶσθαι. [ἂν ἡμῖν
κἂν Οἴαγρος εἰσέλθῃ φεύγων, οὐκ ἀποφεύγει πρὶν
ἐκ τῆς Νιόβης εἴπῃ ῥῆσιν τὴν καλλίστην ἀπολέξας.
κἂν αὐλητής γε δίκην νικᾷ, ταύτης ἡμῖν ἐπίχειρα
ἐν φορβειᾷ τοῖσι δικασταῖς ἔξοδον ηὔλησ' ἀπιοῦσιν.
κἂν ἀποθνήσκων ὁ πατήρ τῳ δῷ καταλείπων παῖδ'
ἐπίκληρον, [διαθήκη
κλάειν ἡμεῖς μακρὰ τὴν κεφαλὴν εἰπόντες τῇ
καὶ τῇ κόγχῃ τῇ πάνυ σεμνῶς τοῖς σημείοισιν
ἐπούσῃ,
ἔδομεν ταύτην ὅστις ἂν ἡμᾶς ἀντιβολήσας ἀναπείσῃ.

504. ὅτι Suidas s. v. εἰ καί] ὁτιὴ 505. ὀρθρο— ex scholiasta] ὀρθο— 507. τυραννίδα] τυραννικὰ V et Suidas s. v. εἰ καί et ξυνωμότης. 510. ἐγχέλεσιν ex Athenaeo 7. p. 299 c.] ἐγχέλυσιν 521. τούτοισί γ'] τούτοισιν Brunckius. 521—525. καὶ μὴν — μὴ 'μμένῃς Bdelycleoni omnia tribuebantur. Correxit Berglerus. 525. ἄκρατον Richterus] ἀκράτου 526. δὴ cod. Paris. unus. δὲ ceteri. 527. δεῖ τι λέγειν Porsonus] λέγειν τι δεῖ 530. Choro tribuunt libri. Bdelycleoni (qui versibus 529. 530. chori orationem interrumpit) tribuit Hermannus. ταῦτα] ταῦτ' αὐτὰ R. ταῦτα αὐτὰ V. 532. τονδὶ Bentleius] τόνδε λέγειν] λέγων Hirschigius. 533. ἐστὶν] ἔστ' RV. ἀγὼν Elmsleius] ἀγὼν 535. γένοιθ' Bentleius] γένοιτο νῦν 536. σ' addidit Porsonus. 537. γράψομαι 'γὼ codex Vaticanus. γράψομ' ἐγὼ ceteri. 542. δ' ἐν Porsonus] δ' ἂν ἐν ταῖς codex Havniensis] ταῖσιν ὁδοῖς Porsonus] ὁδοῖς (ὁδοῖσιν V) ἁπάσαις 544. καλούμεθ' (i. e. καλεσόμεθα) Porsonus] καλοιμεθ'

550. καὶ D.] ἢ καὶ vel γ' ἢ καὶ 554. τὴν] τις Meinekius. 555. ὑποκύπτοντες] ὑποπίπτοντες R. 558. 562. ἀπόφυξιν RV. ἀπόφευξιν ceteri. 565. ἀνιῶν addidi ex V, in quo syllaba ων compendio est expressa. Ex eo ἀνιῶν attulit Bekkerus. 568. ἀναπειθώμεσθα Aldus: codices ἀναπειθώμεθα vel ἀναπειθόμεθα 570. συγκύψαντ' (sic) RV. συγκύπτονθ' ceteri. ἅμα βληχᾶται] ἅμ ἅμα βληχᾶται R. ἀποβληχᾶται V. 572. φωνῇ] κωλῇ Richterus. 576. γράφομαι Brunckius] γράψομαι

καὶ ταῦτ' ἀνυπεύθυνοι δρῶμεν· τῶν δ' ἄλλων οὐ-
δεμί' ἀρχή. [ρίζω·
ΒΔ. τουτὶ γάρ τοί σε μόνον τούτων ὧν εἴρηκας μακα-
τῆς δ' ἐπικλήρου τὴν διαθήκην ἀδικεῖς ἀνακογχυ-
λιάζων. [ἀπορήσῃ,
ΦΙ. ἔτι δ' ἡ βουλὴ χὠ δῆμος ὅταν κρῖναι μέγα πρᾶγμ'
ἐψήφισται τοὺς ἀδικοῦντας τοῖσι δικασταῖς παρα-
δοῦναι· [ποβλῆς
εἶτ' Εὔαθλος χὠ μέγας οὗτος κολακώνυμος ἀσπιδα-
οὐχὶ προδώσειν ἡμᾶς φασιν, περὶ τοῦ πλήθους δὲ
μαχεῖσθαι.
κἀν τῷ δήμῳ γνώμην οὐδεὶς πώποτ' ἐνίκησεν,
ἐὰν μὴ [σαντας·
εἴπῃ τὰ δικαστήρι' ἀφεῖναι πρώτιστα μίαν δικά-
αὐτὸς δ' ὁ Κλέων ὁ κεκραξιδάμας μόνον ἡμᾶς οὐ
περιτρώγει, [ἀπαμύνει.
ἀλλὰ φυλάττει διὰ χειρὸς ἔχων καὶ τὰς μυίας
σὺ δὲ τὸν πατέρ' οὐδ' ὁτιοῦν τούτων τὸν σαυτοῦ
πώποτ' ἔδρασας. [ἐλάττων,
ἀλλὰ Θέωρος, καίτοὐστὶν ἀνὴρ Εὐφημίδου οὐδὲν
τὸν σφόγγον ἔχων ἐκ τῆς λεκάνης τἀμβάδι' ἡμῶν
περικωνεῖ. [κατερύκεις,
σκέψαι δ' ἀπὸ τῶν ἀγαθῶν οἵων μ' ἀποκλῄεις καὶ
ἣν δουλείαν οὖσαν ἔφασκες χὐπηρεσίαν ἀποδείξειν.
ΒΔ. ἔμπλησο λέγων· πάντως γάρ τοι παύσει ποτὲ
κἀναφανήσει [περισέμνου.
πρωκτὸς λουτροῦ περιγιγνόμενος τῆς ἀρχῆς τῆς
ΦΙ. ὃ δέ γ' ἥδιστον τούτων ἐστὶν πάντων, οὗ 'γὼ 'πι-
λελήσμην,
ὅταν οἴκαδ' ἴω τὸν μισθὸν ἔχων, κᾆτ' εἰσήκονθ'
ἅμα πάντες [γάτηρ με
ἀσπάζωνται διὰ τἀργύριον, καὶ πρῶτα μὲν ἡ θυ-
ἀπονίζῃ καὶ τὼ πόδ' ἀλείφῃ καὶ προσκύψασα φι-
λήσῃ, [λαμᾶται,
καὶ παππίζουσ' ἅμα τῇ γλώττῃ τὸ τριώβολον ἐκκα-
καὶ τὸ γύναιόν μ' ὑποθωπεῦσαν φυστὴν μᾶζαν
προσενέγκῃ,
κᾄπειτα καθεζομένη παρ' ἐμοὶ προσαναγκάζῃ, φάγε
τουτί, [δεήσει
ἔντραγε τουτί· τούτοισιν ἐγὼ γάνυμαι κεἰ μή με
ἐς σὲ βλέψαι καὶ τὸν ταμίαν, ὁπότ' ἄριστον παρα-
θήσει [ταχὺ μάξῃ.
καταρασάμενος καὶ τονθορύσας, ἄλλην μή μοι
τάδε κέκτημαι πρόβλημα κακῶν, σκευὴν βελέων
ἀλεωρήν·
κἂν οἶνόν μοι μὴ 'γχῇς σὺ πιεῖν, τὸν ὄνον τόνδ'
ἐσκεκόμισμαι [κεχηνὼς
οἴνου μεστόν, κᾆτ' ἐγχέομαι κλίνας· οὗτος δὲ
βρωμησάμενος τοῦ σοῦ δίνου μέγα καὶ στράτιον
ἆρ' οὐ μεγάλην ἀρχὴν ἄρχω [κατέπαρδεν.
καὶ τῆς τοῦ Διὸς οὐδὲν ἐλάττω,
ὅστις ἀκούω ταὔθ' ἅπερ ὁ Ζεύς;
ἢν γοῦν ἡμεῖς θορυβήσωμεν,
πᾶς τίς φησιν τῶν παριόντων,
οἷον βροντᾷ τὸ δικαστήριον,
ὦ Ζεῦ βασιλεῦ.
κἂν ἀστράψω, ποππύζουσιν,
κἀγκεχόδασίν μ' οἱ πλουτοῦντες
καὶ πάνυ σεμνοί.
καὶ σὺ δέδοικάς με μάλιστ' αὐτός·
νὴ τὴν Δήμητρα, δέδοικας, ἐγὼ δ'
ἀπολοίμην, εἴ σε δέδοικα.
ΧΟ. οὐπώποθ' οὕτω καθαρῶς
οὐδενὸς ἠκούσαμεν οὐ-
δὲ ξυνετῶς λέγοντος.
ΦΙ. οὔκ, ἀλλ' ἐρήμας ᾤεθ' οὗτος ῥᾳδίως τρυγήσειν·
καλῶς γὰρ ᾔδειν ὡς ἐγὼ ταύτῃ κράτιστός εἰμι.
ΧΟ. ὡς δ' ἐπὶ πάντ' ἐλήλυθεν
κοὐδὲν παρῆλθεν, ὥστ' ἔγωγ' •
ηὐξανόμην ἀκούων,
κἀν μακάρων δικάζειν
αὐτὸς ἔδοξα νήσοις,
ἡδόμενος λέγοντι.
ΦΙ. ὡς οὗτος ἤδη σκορδινᾶται κἄστιν οὐκ ἐν αὑτοῦ.
ἦ μὴν ἐγώ σε τήμερον σκύτη βλέπειν ποιήσω.
ΧΟ. δεῖ δέ σε παντοίας πλέκειν
εἰς ἀπόφυξιν παλάμας.
τὴν γὰρ ἐμὴν ὀργὴν πεπᾶ-
ναι χαλεπὸν ⏑ ⏒ ⏑ –
μὴ πρὸς ἐμοῦ λέγοντι.
πρὸς ταῦτα μύλην ἀγαθὴν ὥρα ζητεῖν σοι καὶ νεό-
κοπτον, [ρεῖξαι.
ἢν μή τι λέγῃς, ἥτις δυνατὴ τὸν ἐμὸν θυμὸν κατε-
ΒΔ. χαλεπὸν μὲν καὶ δεινῆς γνώμης καὶ μείζονος ἢ 'πὶ
τρυγῳδοῖς,
ἰάσασθαι νόσον ἀρχαίαν ἐν τῇ πόλει ἐντετοκυῖαν.
ἀτάρ, ὦ πάτερ ἡμέτερε Κρονίδη ΦΙ. παῦσαι καὶ
μὴ πατέριζε. [δάξεις.
εἰ μὴ γὰρ ὅπως δουλεύω 'γὼ, τουτὶ ταχέως με δι-
οὐκ ἔστιν ὅπως οὐχὶ τεθνήξεις, κἂν χρῇ σπλάγχνων
μ' ἀπέχεσθαι. [μέτωπον·
ΒΔ. ἀκρόασαί νυν, ὦ παππίδιον, χαλάσας ὀλίγον τὸ
καὶ πρῶτον μὲν λόγισαι φαύλως, μὴ ψήφοις, ἀλλ'
ἀπὸ χειρός, [προσιόντα·
τὸν φόρον ἡμῖν ἀπὸ τῶν πόλεων ξυλλήβδην τὸν
κἄξω τούτου τὰ τέλη χωρὶς καὶ τὰς πολλὰς ἑκατο-
στάς, [δημιόπρατα.
πρυτανεῖα, μέταλλ', ἀγοράς, λιμένας, μισθοὺς καὶ
τούτων πλήρωμα τάλαντ' ἐγγὺς δισχίλια γίγνεται
ἡμῖν.
ἀπὸ τούτου νυν κατάθες μισθὸν τοῖσι δικασταῖς
ἐνιαυτοῦ, [σθεν,
ἓξ χιλιάσιν, κοὔπω πλείους ἐν τῇ χώρᾳ κατένα-
γίγνεται ἡμῖν ἑκατὸν δήπου καὶ πεντήκοντα τά-
λαντα. [ὁ μισθός.
ΦΙ. οὐδ' ἡ δεκάτη τῶν προσιόντων ἡμῖν ἆρ' ἐγίγνεθ'

588. γάρ τοι] γάρ τὸ V. σε μόνον Reiskius] σεμνὸν (σεμνῶν R.) 593. ἡμᾶς] ὑμᾶς Brunckius. 596. δ' ὁ Κλέων] δὲ ὁ κλέων R. δὲ κλέων V. μόνον Florens Christianus] μόνους 599. Εὐφημίδου Meinekius] Εὐφημίου 600. σφόγγον Brunckius] σπόγγον 601. μ' addidit Hirschigius. ἀποκλῄεις Meinekius] ἀποκλείεις 602. χὐπηρεσίαν] καὶ ὑπηρεσίαν R. 606. κᾆτ' Florens Christianus] κἀθ' V. κἄπειτ' ceteri. εἰσήκονθ' ἅμα] εἰσήκονθάμε V. ἥκονθ' ἅμα codices recentes duo. 609. παππίζουσ' V et Suidas s. v. ἐκκαλαμᾶσθαι. παππάζουσ' ceteri. τὸ addidit Florens Christianus. 612. τούτοισιν Bentleius] τοῖσιν κεἰ Elmsleius] καὶ δεήσει Brunckius] δεήσῃ 614. ἄλλην] ἀλλ' ἣν codex Flor. Γ. Quo recepto lacunam post μάξῃ indicavit Meinekius. 618. δίνου] δείνου R. 620. τῆς om. RV.

621. ταὔθ' D.] ταῦθ' 626. μ' om. V. 634. οὗτος Dawesius] οὕτως R. οὕτω ceteri. 636. ὡς δ' ἐπὶ πάντ' ἐλήλυθεν Porsonus] ὡς δὲ πάντ' ἐπελήλυθεν 642. ὡς D.] ὥσθ' 643. Bdelycleoni tribuit Hamakerus. 645. ἀπόφυξιν D.] ἀπόφευξιν 646. Post χαλεπὸν quattuor syllabarum defectum indicavit D. 654. τεθνήξεις Elmsleius] τεθνήσει (τεθνήξει codex Paris. B.) χρῇ Brunckius] χρὴ 655. παππίδιον Kusterus] παπίδιον 659. μισθοὺς] I. e. μισθώσεις, ut monuit Schoemannus, nisi id ipsum, deleto καὶ, restituendum cum Bergkio. 661. ἐνιαυτοῦ Bentleius] τοὐνιαυτοῦ

ΒΔ. μὰ Δί' οὐ μέντοι. ΦΙ. καὶ ποῖ τρέπεται δὴ 'πειτα
τὰ χρήματα τἄλλα;
ΒΔ. ἐς τούτους τοὺς "οὐχὶ προδώσω τὸν Ἀθηναίων
κολοσυρτόν, [ὦ πάτερ, αὐτοὺς
ἀλλὰ μαχοῦμαι περὶ τοῦ πλήθους ἀεί." σὺ γάρ,
ἄρχειν αἱρεῖ σαυτοῦ, τούτοις τοῖς ῥηματίοις περι-
πεφθείς. [τάλαντα
κᾀθ' οὗτοι μὲν δωροδοκοῦσιν κατὰ πεντήκοντα
ἀπὸ τῶν πόλεων, ἐπαπειλοῦντες τοιαυτὶ κἀναφο-
βοῦντες,
δώσετε τὸν φόρον, ἢ βροντήσας τὴν πόλιν ὑμῶν
ἀνατρέψω. [φους περιτρώγων.
σὺ δὲ τῆς ἀρχῆς ἀγαπᾷς τῆς σῆς τοὺς ἀργελό-
οἱ δὲ ξύμμαχοι ὡς ᾔσθηνται τὸν μὲν σύρφακα τὸν
ἄλλον [μηδὲν.
ἐκ κηθαρίου λαγαρυζόμενον καὶ τραγαλίζοντα τὸ
σὲ μὲν ἡγοῦνται Κόννου ψῆφον, τούτοισι δὲ δωρο-
φοροῦσιν
ὕρχας, οἶνον, δάπιδας, τυρόν, μέλι, σήσαμα,
προσκεφάλαια, [πλουθυγίειαν·
φιάλας, χλανίδας, στεφάνους, ὅρμους, ἐκπώματα,
σοὶ δ' ὧν ἄρχεις πολλὰ μὲν ἐν γῇ, πολλὰ δ' ἐφ'
ὑγρᾷ πιτυλεύσας, [δωσιν.
οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἑψητοῖσι δί-
ΦΙ. μὰ Δί', ἀλλὰ παρ' Εὐχαρίδου καὐτὸς τρεῖς γ' ἄγλι-
θας μετέπεμψα.
ἀλλ' αὐτήν μοι τὴν δουλείαν οὐκ ἀποφαίνων ἀπο-
κναίεις. [τας ἐν ἀρχαῖς
ΒΔ. οὐ γὰρ μεγάλη δουλεία 'στὶν τούτους μὲν ἅπαν-
αὐτούς τ' εἶναι καὶ τοὺς κόλακας τοὺς τούτων
μισθοφοροῦντας; [αὐτὸς ἐλαύνων
σοὶ δ' ἤν τις δῷ τοὺς τρεῖς ὀβολούς, ἀγαπᾷς, οὓς
καὶ πεζομαχῶν καὶ πολιορκῶν ἐκτήσω, πολλὰ πο-
νήσας.
καὶ πρὸς τούτοις ἐπιταττόμενος φοιτᾷς, ὃ μάλιστά
μ' ἀπάγχει, [υἱός,
ὅταν εἰσελθὸν μειράκιόν σοι κατάπυγον, Χαιρέου
ὡδὶ διαβάς, διακινηθεὶς τῷ σώματι καὶ τρυφεραν-
θείς, [ὑμῶν
ἥκειν εἴπῃ πρῴ κἀν ὥρᾳ δικάσονθ', ὡς ὅστις ἂν
ὕστερος ἔλθῃ τοῦ σημείου, τὸ τριώβολον οὐ κο-
μιεῖται·
αὐτὸς δὲ φέρει τὸ συνηγορικόν, δραχμήν, κἂν
ὕστερος ἔλθῃ· [ἑαυτοῦ,
καὶ κοινωνῶν τῶν ἀρχόντων ἑτέρῳ τινὶ τῶν μεθ'
ἤν τίς τι διδῷ τῶν φευγόντων, ξυνθέντε τὸ πρᾶγμα
δύ' ὄντε
ἐσπουδάκατον, κᾆθ' ὡς πρίονθ' ὁ μὲν ἕλκει, ὁ δ'
ἀντενέδωκε·

σὺ δὲ χασκάζεις τὸν κωλαγρέτην· τὸ δὲ πραττό-
μενόν σε λέληθεν.
ΦΙ. ταυτί με ποιοῦσ'; οἴμοι, τί λέγεις; ὥς μου τὸν θῖνα
ταράττεις, [χρῆμά με ποιεῖς.
καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον, κοὐκ οἶδ' ὅ τι
ΒΔ. σκέψαι τοίνυν ὡς ἐξὸν σοι πλουτεῖν καὶ τοῖσιν
ἅπασιν, [κλησαι·
ὑπὸ τῶν ἀεὶ δημιζόντων οὐκ οἶδ' ὅπῃ ἐγκεκύ-
δοτις πόλεων ἄρχων πλείστων, ἀπὸ τοῦ Πόντου
μέχρι Σαρδοῦς,
οὐκ ἀπολαύεις πλὴν τοῦθ' ὃ φέρεις ἀκαρῆ, καὶ
τοῦτ' ἐρίῳ σοι [ἔλαιον·
ἐνστάζουσιν κατὰ μικρὸν ἀεί, τοῦ ζῆν ἕνεχ', ὥσπερ
βούλονται γάρ σε πένητ' εἶναι, καὶ τοῦθ' ὧν οὕνεκ',
ἐρῶ σοι· [γ' ἐπισίξῃ,
ἵνα γιγνώσκῃς τὸν τιθασευτήν· κᾆθ' ὅταν οὗτός
ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιρρύξας, ἀγρίως αὐτοῖς ἐπι-
πηδᾷς.
εἰ γὰρ ἐβούλοντο βίον πορίσαι τῷ δήμῳ ῥᾴδιον ἦν ἄν.
εἰσίν γε πόλεις χίλιαι, αἳ νῦν τὸν φόρον ἡμῖν ἀπά-
γουσιν· [ἑκάστῃ,
τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσέταξεν
δύο μυριάδ' ἂν τῶν δημοτικῶν ἔζων ἐν πᾶσι λα-
γῴοις [ριάτῃ,
καὶ στεφάνοισιν παντοδαποῖσιν καὶ πυῷ καὶ πυ-
ᾶξια τῆς γῆς ἀπολαύοντες καὶ τοῦ Μαραθῶνι τρο-
παίου. [ἔχοντι.
νῦν δ' ὥσπερ ἐλαολόγοι χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν
ΦΙ. οἴμοι, τί πέπονθ'; ὥσπερ νάρκη κατὰ χειρός μου
καταχεῖται, [θακός εἰμι.
καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν, ἀλλ' ἤδη μαλ-
ΒΔ. ἀλλ' ὁπόταν μὲν δείσωσ' αὐτοί, τὴν Εὔβοιαν δι-
δόασιν
ὑμῖν καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα με-
δίμνους [πέντε μεδίμνους,
πορίειν· ἔδοσαν δ' οὐπώποτέ σοι, πλὴν πρώην
καὶ ταῦτα μόλις ξενίας φεύγων ἔλαβες κατὰ χοίνικα
ὧν οὕνεκ' ἐγώ σ' ἀπέκλῃον ἀεί, [κριθῶν.
βόσκειν ἐθέλων καὶ μὴ τούτους
ἐγχάσκειν σοι στομφάζοντας.
καὶ νῦν ἀτεχνῶς ἐθέλω παρέχειν
ὅ τι βούλει σοι,
πλὴν κωλαγρέτου γάλα πίνειν.
ΧΟ. ἦ που σοφὸς ἦν ὅστις ἔφασκεν, πρὶν ἂν ἀμφοῖν
μῦθον ἀκούσῃς, [δεδόκησαι·
οὐκ ἂν δικάσαις. σὺ γὰρ οὖν νῦν μοι νικᾶν πολλῷ
ὥστ' ἤδη τὴν ὀργὴν χαλάσας τοὺς σκίπωνας κατα-
βάλλω.
ἀλλ' ὦ τῆς ἡλικίας ἡμῖν τῆς αὐτῆς ξυνθιασῶτα,
πιθοῦ πιθοῦ λόγοισι, μηδ' ἄφρων γένῃ,
μηδ' ἀτενὴς ἄγαν ἀτεράμων τ' ἀνήρ.

729—736. = 743—749.

---

665. ΦΙ. addidit Bothius. 666. ΒΔ. ἐς—σὺ Bothius] ΦΙ. ἐς — ΒΔ. σὺ 671. δώσετε] οἴσετε Meinekius: quod si legeretur, non pro imperativo, ut Meinekius vult, sed pro indicativo futuri habendum foret. 673. ᾔσθηνται V et Suidas s. h. v. ᾔσθοντο ceteri. 674. λαγαρυζόμενον] λαγαριζόμενον Ald. et meliores Suidae codices. 675. δωροφοροῦσιν V. δωροδοκοῦσιν ceteri. 676. ὕρχας, οἶνον] ὕρχας οἴνου Pollux 6, 14. ex Aristophane et 10, 73. ex Holcadibus affert. 678. σοὶ Florens Christianus] σὺ 680. γ' additum ex RV et Flor. Γ. ἄγλιθας D.] ἀγλῖθας 682. δουλεία 'στὶν Porsonus] δουλεί' ἐστὶν 684. οὓς] οἷς R. 687. κατάπυγον D.] καταπῦγον 691. δραχμὴν] δαρχμὴν Bergkius. 694. πρίονθ' Reisigius] πρίον' R. πρίονες V. Ceteri vel πρίον' vel πρίων, quod πρίωνε, numero duali, esse videri potest, si quid Photii glossae tribuendum, de qua dixi in Annot. Oxon p. 495. ἀντενέδωκε Dobraeus] ἀντανέδωκε

695. κωλαγρέτην R. κωλακρέτην ceteri. 699. ὅπῃ ex Suida s. v. ἀκαρές] ὅποι. ὅπως Suidas s. v. ἐγκεκύκλησαι. 701. ἀκαρῆ] ἀκαρὲς Suidas. 702. ἔλαιον V cum scholiasta et Suida. ἄλευρον ceteri. 703. τοῦθ' ὧν Bentleius] τούτων οὕνεκ' Brunckius] εἵνεκ' 704. ἐπισίξῃ V. ἐπισίζῃ ceteri. 708. προσέταξεν] προσέταττεν Dawesius. 709. μυριάδ' ἂν Dobraeus] μυριάδες 710. πυῷ D.] πύῳ 711. τοῦ Bentleius] τοῦ 'ν 713. πέπονθ' ex Suida s. v. νάρκη] ποθ' κατὰ χειρός μου D.] μου κατὰ τῆς χειρὸς 718. κριθῶν] κριθὰς Dobraeus. 719. οὕνεκ' Brunckius] εἵνεκ' ἀπέκλῃον Meinekius] ἀπέκλειον 724, κωλακρέτου R. (γ superscript) κωλακρέτου ceteri.

εἴθ' ὤφελέν μοι κηδεμὼν ἢ ξυγγενὴς
εἶναί τις ὅστις τοιαῦτ' ἐνουθέτει.
σοὶ δὲ νῦν τις θεῶν παρὼν ἐμφανὴς
ξυλλαμβάνει τοῦ πράγματος, καὶ δῆλός ἐστιν εὖ
σὺ δὲ παρὼν δέχου. [ποιῶν·
ΒΔ. καὶ μὴν θρέψω γ' αὐτὸν παρέχων
ὅσα πρεσβύτῃ ξύμφορα, χόνδρον
λείχειν, χλαῖναν μαλακήν, σισύραν,
πόρνην, ἥτις τὸ πέος τρίψει
καὶ τὴν ὀσφῦν.
ἀλλ' ὅτι σιγᾷ κοὐδὲν γρύζει,
τοῦτ' οὐ δύναταί με προσέσθαι.
ΧΟ. νενουθέτηκεν αὑτὸν ἐς τὰ πράγμαθ' οἷς
τότ' ἐπεμαίνετ'· ἔγνωκε γὰρ ἀρτίως,
λογίζεταί τ' ἐκεῖνα πάνθ' ἁμαρτίας
ἃ σοῦ κελεύοντος οὐκ ἐπείθετο.
νῦν δ' ἴσως τοῖσι σοῖς λόγοις πείθεται, [τρόπον
καὶ σωφρονεῖ μέντοι μεθιστὰς ἐς τὸ λοιπὸν τὸν
πιθόμενός τέ σοι.
ΦΙ. ἰώ μοί μοι.
ΒΔ. οὗτος, τί βοᾷς;
ΦΙ. μή μοι τούτων μηδὲν ὑπισχνοῦ.
κείνων ἔραμαι, κεῖθι γενοίμαν,
ἵν' ὁ κῆρυξ φησί, τίς ἀψήφι-
στος; ἀνιστάσθω.
κἀπισταίην ἐπὶ τοῖς κημοῖς
ψηφιζομένων ὁ τελευταῖος.
σπεῦδ', ὦ ψυχή. ποῦ μοι ψυχή;
πάρες, ὦ σκιερά. μὰ τὸν Ἡρακλέα,
μὴ νῦν ἔτ' ἐγὼ 'ν τοῖσι δικασταῖς
κλέπτοντα Κλέωνα λάβοιμι.
ΒΔ. ἴθ' ὦ πάτερ, πρὸς τῶν θεῶν, ἐμοὶ πιθοῦ.
ΦΙ. τί σοι πίθωμαι; λέγ' ὅ τι βούλει, πλὴν ἑνός.
ΒΔ. ποίου; φέρ' ἴδω. ΦΙ. τοῦ μὴ δικάζειν. τοῦτο δὲ
Ἅιδης διακρινεῖ πρότερον ἢ 'γὼ πείσομαι.
ΒΔ. σὺ δ' οὖν, ἐπειδὴ τοῦτο κεχάρηκας ποιῶν,
ἐκεῖσε μὲν μηκέτι βάδιζ', ἀλλ' ἐνθάδε
αὐτοῦ μένων δίκαζε τοῖσιν οἰκέταις. [ται.
ΦΙ. περὶ τοῦ; τί ληρεῖς; ΒΔ. ταῦθ' ἅπερ ἐκεῖ πράττε-
ὅτι τὴν θύραν ἀνέῳξεν ἡ σηκὶς λάθρα,
ταύτης ἐπιβολὴν ψηφιεῖ μίαν μόνην.
πάντως δὲ κἀκεῖ ταῦτ' ἔδρας ἑκάστοτε.
καὶ ταῦτα μέν νυν εὐλόγως, ἢν ἐξέχῃ
εἵλη κατ' ὄρθρον, ἡλιάσει πρὸς ἥλιον·
ἐὰν δὲ νίφῃ, πρὸς τὸ πῦρ καθήμενος,
ὕοντος εἴσει· κἂν ἔγρῃ μεσημβρινός,
οὐδείς σ' ἀποκλῄσει θεσμοθέτης τῇ κιγκλίδι.
ΦΙ. τουτί μ' ἀρέσκει. ΒΔ. πρὸς δὲ τούτοις γ', ἢν δίκην
λέγῃ μακράν τις, οὐχὶ πεινῶν ἀναμενεῖς,
δάκνων σεαυτὸν καὶ τὸν ἀπολογούμενον.
ΦΙ. πῶς οὖν διαγιγνώσκειν καλῶς δυνήσομαι
ὥσπερ πρότερον τὰ πράγματ' ἔτι μασώμενος;
ΒΔ. πολλῷ γ' ἄμεινον· καὶ λέγεται γὰρ τουτογί,
ὡς οἱ δικασταὶ ψευδομένων τῶν μαρτύρων
μόλις τὸ πρᾶγμ' ἔγνωσαν ἀναμασώμενοι.
ΦΙ. ἀνά τοί με πείθεις. ἀλλ' ἐκεῖν' οὔπω λέγεις,
τὸν μισθὸν ὁπόθεν λήψομαι. ΒΔ. παρ' ἐμοῦ.
ΦΙ. καλῶς,
ὁτιὴ κατ' ἐμαυτὸν κοὐ μεθ' ἑτέρου λήψομαι.
αἴσχιστα γάρ τοί μ' εἰργάσατο Λυσίστρατος
ὁ σκωπτόλης. δραχμὴν μετ' ἐμοῦ πρώην λαβὼν
ἐλθὼν διεκερματίζετ' ἐν τοῖς ἰχθύσιν,
κἄπειτ' ἐνέθηκε τρεῖς λοπίδας μοι κεστρέων·
κἀγὼ 'νέκαψ'· ὀβολοὺς γὰρ ᾠόμην λαβεῖν·
κᾆτα βδελυχθεὶς ὀσφρόμενος ἐξέπτυσα·
κᾆθ' εἷλκον αὐτόν. ΒΔ. ὁ δὲ τί πρὸς ταῦτ' εἶφ'; 
ἀλεκτρυόνος μ' ἔφασκε κοιλίαν ἔχειν· [ΦΙ. ὅ τι;
ταχὺ γοῦν καθέψεις τἀργύριον, ἦ δ' ὃς γελῶν.
ΒΔ. ὁρᾷς ὅσον καὶ τοῦτο δῆτα κερδανεῖς;
ΦΙ. οὐ πάνυ τι μικρόν. ἀλλ' ὅπερ μέλλεις ποίει.
ΒΔ. ἀνάμενέ νυν· ἐγὼ δὲ ταῦθ' ἥξω φέρων.
ΦΙ. ὅρα τὸ χρῆμα, τὰ λόγι' ὡς περαίνεται.
ἠκηκόη γὰρ ὡς Ἀθηναῖοί ποτε
δικάσοιεν ἐπὶ ταῖς οἰκίαισι τὰς δίκας,
κἀν τοῖς προθύροις ἐνοικοδομήσοι πᾶς ἀνὴρ
αὑτῷ δικαστηρίδιον μικρὸν πάνυ,
ὥσπερ Ἑκάτειον, πανταχοῦ πρὸ τῶν θυρῶν.
ΒΔ. ἰδού, τί ἔτ' ἐρεῖς; ὡς ἅπαντ' ἐγὼ φέρω
ὅσαπερ ἔφασκον, κἄτι πολλῷ πλείονα.
ἀμὶς μέν, ἢν οὐρητιάσῃς, αὑτηὶ
παρὰ σοὶ κρεμήσετ' ἐγγὺς ἐπὶ τοῦ παττάλου.
ΦΙ. σοφόν γε τουτὶ καὶ γέροντι πρόσφορον
ἐξηῦρες ἀτεχνῶς φάρμακον στραγγουρίας.
ΒΔ. καὶ πῦρ γε τουτί, καὶ προσέστηκεν φακῆ
ῥοφεῖν, ἐὰν δέῃ τι. ΦΙ. τοῦτ' αὖ δεξιόν·
κἂν γὰρ πυρέττω, τόν γε μισθὸν λήψομαι.
αὐτοῦ μένων γὰρ τὴν φακῆν ῥοφήσομαι.
ἀτὰρ τί τὸν ὄρνιν ὡς ἔμ' ἐξηνέγκατε;
ΒΔ. ἵνα γ', ἢν καθεύδῃς ἀπολογουμένου τινός,
ᾄδων ἄνωθεν ἐξεγείρῃ σ' οὑτοσί.
ΦΙ. ἓν ἔτι ποθῶ, τὰ δ' ἄλλ' ἀρέσκει μοι. ΒΔ. τὸ τί;
ΦΙ. θήρῷον εἴ πως ἐκκομίσαις τὸ τοῦ Λύκου.
ΒΔ. πάρεστι τουτί, καὐτὸς ἄναξ οὑτοσί.
ΦΙ. ὦ δέσποθ' ἥρως, ὡς χαλεπὸς ἄρ' ἦσθ' ἰδεῖν.
ΒΔ. οἷόσπερ ἡμῖν φαίνεται Κλεώνυμος.
ΦΙ. οὔκουν ἔχει γ' οὐδ' αὐτὸς ἥρως ὢν ὅπλα.
ΒΔ. εἰ θᾶττον ἐκαθίζου σύ, θᾶττον ἂν δίκην
ἐκάλουν. ΦΙ. κάλει νυν, ὡς κάθημαι 'γὼ πάλαι.
ΒΔ. φέρε νυν, τίν' αὐτῷ πρῶτον εἰσαγάγω δίκην;
τί τίς κακὸν δέδρακε τῶν ἐν οἰκίᾳ;
ἡ Θρᾷττα προσκαύσασα πρώην τὴν χύτραν
ΦΙ. ἐπίσχες οὗτος· ὡς ὀλίγου μ' ἀπώλεσας.
ἄνευ δρυφάκτου τὴν δίκην μέλλεις καλεῖν,
ὃ πρῶτον ἡμῖν τῶν ἱερῶν ἐφαίνετο;

---

743. πράγμαθ' οἷς D.] πράγματα, | οἷς 749. πιθόμενος Brunckius] πειθόμενος τί V. τί μοι ceteri. 761. πίθωμαι Porsonus] πείθομαι 765. ἐνθάδε] ἐνθαδὶ Meinekius. 767. ἅπερ ἐκεῖ] ἃ κἀκεῖ Dobraeus. 770. δὲ RV. γε alii. Ante hunc versum nonnulla excidisse coniicit Meinekius. 772. εἵλη] ἕλη R. εἴλη ceteri. Scholiasta, ἕλη ἡ τοῦ ἡλίου αὐγὴ δασέως, ληφθέντος δὲ τοῦ ι ψιλῶς. Et, οἱ Ἀττικοὶ διὰ τοῦ ι εἵλην (corrige εἵλην) λέγουσιν. οὕτως Δίδυμος. ὄρθρον] Schol. γρ. καὶ κατ' ὀρθὸν ἐν πολλοῖς. 733. νίφῃ] νείφῃ R. 774. ὕοντος] ὕοντας V. 775. ἀποκλῄσει Meinekius] ἀποκλείσει

788. δραχμὴν] δαρχμὴν R in textu, δραχμὴν in margine. 789. διεκερματίζετ' V et Pollux 9, 89. διεκερμάτιζεν R. διεκερμάτιζέ μ' ceteri. Apud Suidam διεκερμάτισε τὴν δραχμὴν ἐν τοῖς ἰχθύσιν. 790. ἐνέθηκε ex V (qui κἄπειθεν ἔθηκε). ἐπέθηκε ceteri. 795. γοῦν] γὰρ Suidas s. v. ἀλεκτρυόνα. καθέψεις] καταπέψεις Hirschigius. γελῶν Tyrwhittus] λέγων 798. ταῦθ'] πάνθ' Reiskius 800. ἠκηκόη Brunckius] ἠκηκόειν 802. ἐνοικοδομήσοι D.] ἐνοικοδομήσει vel ἀνοικοδομήσει (—οι Dawesius). 804. Ἑκάτειον Brunckius] ἑκάταιον vel ἑκαταῖον vel ἑκατεῖον 806. ὅσαπερ V et Flor. Γ. ὅσαπερ γ' ceteri. 808. ἐπὶ] ἀπὸ Halbertsma. ἐκ Bergkius. 816. ἵνα γ'] ἵν' Cobetus. 822. ΒΔ. addidit Bergkius. 823. ΦΙ. Bergkius] ΟΙ. (i. e. Οἰκέτης). 825. κάθημαι 'γὼ Dawesius] κάθημ' ἐγὼ 826. εἰσαγάγω] εἰσάγω R. 827. οἰκίᾳ D.] τῇ οἰκίᾳ: quod τᾠκίᾳ scribendum foret. ἐν οἰκίᾳ est Ach. 975.

ΒΔ. μὰ τὸν Δί' οὐ πάρεστιν. ΦΙ. ἀλλ' ἐγὼ δραμὼν
αὐτὸς κομιοῦμαι τό γε παραυτίκ' ἔνδοθεν.
ΒΔ. τί ποτε τὸ χρῆμ'; ὡς δεινὸν ἡ φιλοχωρία.
ΞΑ. βάλλ' ἐς κόρακας. τοιουτονὶ τρέφειν κύνα.
ΒΔ. τί δ' ἔστιν ἐτεόν; ΞΑ. οὐ γὰρ ὁ Λάβης ἀρτίως
ὁ κύων παρᾴξας ἐς τὸν ἰπνὸν ὑφαρπάσας
τροφαλῖδα τυροῦ Σικελικὴν κατεδήδοκεν;
ΒΔ. τοῦτ' ἄρα πρῶτον τἀδίκημα τῷ πατρὶ
εἰσακτέον μοι· σὺ δὲ κατηγόρει παρών.
ΞΑ. μὰ Δί' οὐκ ἔγωγ'· ἀλλ' ἅτερός φησιν κύων
κατηγορήσειν, ἤν τις εἰσαγάγῃ γραφήν.
ΒΔ. ἴθι νυν, ἄγ' αὐτὼ δεῦρο. ΞΑ. ταῦτα χρὴ ποιεῖν.
ΒΔ. τουτὶ τί ἔστι; ΦΙ. χοιροκομεῖον Ἑστίας.
ΒΔ. εἶθ' ἱεροσυλήσας φέρεις; ΦΙ. οὐκ, ἀλλ' ἵνα
ἀφ' Ἑστίας ἀρχόμενος ἐπιτρίψω τινά.
ἀλλ' εἴσαγ' ἀνύσας· ὡς ἐγὼ τιμᾶν βλέπω.
ΒΔ. φέρε νυν, ἐνέγκω τὰς σανίδας καὶ τὰς γραφάς.
ΦΙ. οἴμοι, διατρίβεις κἀπολεῖς τριψημερῶν·
ἐγὼ δ' ἀλοκίζειν ἐδεόμην τὸ χωρίον.
ΒΔ. ἰδού. ΦΙ. κάλει νυν. ΒΔ. ταῦτα δή. ΦΙ. τίς οὑτοσὶ
ὁ πρῶτός ἐστιν; ΒΔ. ἐς κόρακας, ὡς ἄχθομαι,
ὁτιὴ 'πελαθόμην τοὺς καδίσκους ἐκφέρειν.
ΦΙ. οὗτος σὺ ποῖ θεῖς; ΒΔ. ἐπὶ καδίσκους. ΦΙ. μηδαμῶς.
ἐγὼ γὰρ εἶχον τούσδε τοὺς ἀρυστίχους.
ΒΔ. κάλλιστα τοίνυν· πάντα γὰρ πάρεστι νῷν
ὅσων δεόμεθα, πλήν γε δὴ τῆς κλεψύδρας.
ΦΙ. ἡδὶ δὲ δὴ τίς ἐστιν; οὐχὶ κλεψύδρα;
ΒΔ. εὖ γ' ἐκπορίζεις αὐτὰ κἀπιχωρίως.
ἀλλ' ὡς τάχιστα πῦρ τις ἐξενεγκάτω
καὶ μυρρίνας καὶ τὸν λιβανωτὸν ἔνδοθεν,
ὅπως ἂν εὐξώμεσθα πρῶτα τοῖς θεοῖς.
ΧΟ. καὶ μὴν ἡμεῖς ἐπὶ ταῖς σπονδαῖς
καὶ ταῖς εὐχαῖς
φήμην ἀγαθὴν λέξομεν ὑμῖν,
ὅτι γενναίως ἐκ τοῦ πολέμου
καὶ τοῦ νείκους ξυνεβήτην.
εὐφημία μὲν πρῶτα νῦν ὑπαρχέτω.
ὦ Φοῖβ' Ἄπολλον Πύθι', ἐπ' ἀγαθῇ τύχῃ
τὸ πρᾶγμ' ὃ μηχανᾶται
ἔμπροσθεν οὗτος τῶν θυρῶν,
ἅπασιν ἡμῖν ἁρμόσαι
παυσαμένοις πλάνων.
Ἰήιε Παιάν. [προπύλαιε,
ΒΔ. ὦ δέσποτ' ἄναξ, γεῖτον ἀγυιεῦ τοὐμοῦ προθύρου
δέξαι τελετὴν καινήν, ὦναξ, ἣν τῷ πατρὶ καινοτομοῦμεν, [νινον ἦθος,
παῦσόν τ' αὐτοῦ τοῦτο τὸ λίαν στρυφνὸν καὶ πρί-
ἀντὶ σιραίου μέλιτος μικρὸν τῷ θυμιδίῳ παραμίξας·
ἤδη δ' εἶναι τοῖς ἀνθρώποις
ἤπιον αὐτόν,

868—874. = 885—890.

832—834. Bdelycleoni tribuebantur. Correxit Beerius. 833. ἔνδοθεν. ΒΔ. τί ποτε τὸ χρῆμ';] ἔνδοθεν ὅ τι ποτὲ χρῆμ'. ΒΔ. Hermannus. τό γε] τό τε RV. 835. ΞΑ. Brunckius hic et in sequentibus pro Οἱ. quod est in ed. Ald. et, ut videtur, in codicibus. 837. ὑφαρπάσας Elmsleius] ἁρπάσας 842. εἰσαγάγῃ Bergkius] εἰσάγῃ 844—846. Personae in libris sic notatae Φι. τουτὶ — Οἱ. χοιροκομεῖον — | Φι. εἶθ' — Οἱ. οὐκ — τινά. Correxit Beerius p. 154. 858. δὴ τίς ἐστιν; οὐχὶ] δή τις ἐστὶν οὐχὶ Meinekius. 867. ξυνεβήτην Elmsleius] ξυνέβητον 868. Bdelycleoni tribuunt libri. Correxit D. 873. πλάνων] πλανῶν R. 875. προθύρου] προυπύλου V. προπύλαιε Scaliger ad Virgilii Culicem p. 8.] προσθ' πύλας R. προπύλου V. πρὸς πύλας ceteri. 877. τοῦτο Elmsleius] τουτὶ

τοὺς φεύγοντάς τ' ἐλεεῖν μᾶλλον
τῶν γραψαμένων
κἀπιδακρύειν ἀντιβολούντων,
καὶ παυσάμενον τῆς δυσκολίας
ἀπὸ τῆς ὀργῆς
τὴν ἀκαλήφην ἀφελέσθαι.
ΧΟ. ξυνευχόμεσθα ταὐτά σοι κἀπᾴδομεν
νέαισιν ἀρχαῖς, ἕνεκα τῶν προλελεγμένων.
εὖνοι γάρ ἐσμεν ἐξ οὗ
τὸν δῆμον ᾐσθόμεσθά σου
φιλοῦντος ὡς οὐδεὶς ἀνὴρ
τῶν γε νεωτέρων.
Ἰήιε Παιάν.
ΒΔ. εἴ τις θύρασιν ἡλιαστής, εἰσίτω·
ὡς ἡνίκ' ἂν λέγωσιν, οὐκ ἐσφρήσομεν.
ΦΙ. τίς ἅρ' ὁ φεύγων οὗτος; ὅσον ἁλώσεται.
ΒΔ. ἀκούετ' ἤδη τῆς γραφῆς· ἐγράψατο
κύων Κυδαθηναιεὺς Λάβητ' Αἰξωνέα
τὸν τυρὸν ἀδικεῖν ὅτι μόνος κατήσθιεν
τὸν Σικελικόν. τίμημα κλῳὸς σύκινος.
ΦΙ. θάνατος μὲν οὖν κύνειος, ἢν ἅπαξ ἁλῷ.
ΒΔ. καὶ μὴν ὁ φεύγων οὑτοσὶ Λάβης πάρα.
ΦΙ. ὦ μιαρὸς οὗτος· ὡς δὲ καὶ κλέπτον βλέπει,
οἷον σεσηρὼς ἐξαπατήσειν μ' οἴεται.
ΒΔ. ποῦ δ' ἔσθ' ὁ διώκων, ὁ Κυδαθηναιεὺς κύων;

ΚΥΩΝ.

αὖ αὖ.
ΒΔ. πάρεστιν οὗτος. ΦΙ. ἕτερος οὗτος αὖ Λάβης,
ἀγαθός γ' ὑλακτεῖν καὶ διαλείχειν τὰς χύτρας.
ΒΔ. σίγα, κάθιζε, σὺ δ' ἀναβὰς κατηγόρει.
ΦΙ. φέρε νυν, ἅμα τήνδ' ἐγχεάμενος κἀγὼ ῥοφῶ.
ΞΑ. τῆς μὲν γραφῆς ἠκούσαθ' ἣν ἐγραψάμην,
ἄνδρες δικασταί, τουτονί. δεινότατα γὰρ
ἔργων δέδρακε κἀμὲ καὶ τὸ ῥυππαπαῖ.
ἀποδρὰς γὰρ ἐς τὴν γωνίαν τυρὸν πολὺν
κατεσικέλιζε κἀνέπλητ' ἐν τῷ σκότῳ,
ΦΙ. νὴ τὸν Δί', ἀλλὰ δῆλός ἐστ'· ἔμοιγέ τοι
τυροῦ κάκιστον ἀρτίως ἐνήρυγεν
ὁ βδελυρὸς οὗτος. ΞΑ. κοὐ μετέδωκ' αἰτοῦντί μοι.

885. ταὐτά (vel ταῦτα) addidit D.: ante ξυνευχόμεσθα addiderat Reisigius. 888. ᾐσθόμεσθα] ᾐσθήμεσθα Cobetus. 890. τῶν γε νεωτέρων] τῶν γενναιοτέρων RV et Flor. Γ. τῶν νῦν γε σοῦ νεωτέρων ceteri. Correctum ex schol. qui utramque scripturam memorat. Post hunc versum Ἰήιε Παιάν addidit Meinekius, ut est in stropha v. 874. 894. ΒΔ. Elmsleius] θε. (i. e. θεράπων): cui Ξανθίας substituit Brunckius. ἐγράψατο Bentleius] ἧς ἐγράψατο 900. κλέπτον] κλεπτὸν R. 901. σεσηρὼς] σεσηνὼς Richterus. 902. ποῦ δ' ἔσθ' ὁ Toupius] ποῦ δ' οὐ vel ποῦ δ' οὑ, quod scholiasta quoque legit, qui absurde annotavit τὸ πλῆρες ποῦ δὲ ὁ διώκων. ποῦ δ' ὁ Kusterus et Brunckius. Diphthongus in libris tradita servari potest, si scribatur ποῦ μοὐ, i. e. ποῦ μοι ὁ, ut Pac. 1295. ποῦ μοι τὸ τοῦ Κλεωνύμου 'στὶ παιδίον. 903. Κύων] βδε. R, qui versum totum αὖ—Λάβης Bdelycleoni tribuit. αὖ αὖ extra versum posuit Hamakerus. Bdelycleoni solum πάρεστιν, proxima autem ἕτερος — χύτρας Philocleoni tribuenda esse vidit Tyrwhittus. πάρεστιν οὗτος. ἕτερος οὗτος αὖ Meinekius] πάρεστιν. ἕτερος οὗτος (οὗτος duplicatum in R) αὖ. Versum 904. Bdelycleoni reliquit Meinekius. 905. Bdelycleoni tribuit Tyrwhittus. In libris praescriptum κη, quod est κῆρυξ, cui Brunckius Σωσίας substituit. σίγα, κάθιζε ad patrem conversus dicit Bdelycleo: tum servum accusatoris partes agere iubet. 907. ΞΑ. Brunckius] θε. (i. e. θεράπων) ἣν] ς super ν scriptum in cod. Paris. B. unde ἧς Brunckius. 909. ῥυππαπαῖ D.] ῥυππαπαί vel ῥυπαπαί 914. ΞΑ. addidit Brunckius. Verba

καίτοι τίς ὑμᾶς εὖ ποιεῖν δυνήσεται,
ἣν μή τι κἀμοί τις προβάλλῃ τῷ κυνί;
ΦΙ. οὐδὲν μετέδωκεν; οὐδὲ τῷ κοινῷ γ' ἐμοί.
θερμὸς γὰρ ἀνὴρ οὐδὲν ἧττον τῆς φακῆς.
ΒΔ. πρὸς τῶν θεῶν, μὴ προκαταγίγνωσκ', ὦ πάτερ,
πρὶν ἂν γ' ἀκούσῃς ἀμφοτέρων. ΦΙ. ἀλλ', ὦγαθέ,
τὸ πρᾶγμα φανερόν ἐστιν· αὐτὸ γὰρ βοᾷ.
ΞΑ. μή νυν ἀφῆτέ γ' αὐτόν, ὡς ὄντ' αὖ πολὺ
κυνῶν ἁπάντων ἄνδρα μονοφαγίστατον,
ὅστις περιπλεύσας τὴν θυείαν ἐν κύκλῳ
ἐκ τῶν πόλεων τὸ σκῖρον ἐξεδήδοκεν.
ΦΙ. ἐμοὶ δέ γ' οὐκ ἔστ' οὐδὲ τὴν ὑδρίαν πλάσαι.
ΞΑ. πρὸς ταῦτα τοῦτον κολάσατ'· οὐ γὰρ ἄν ποτε
τρέφειν δύναιτ' ἂν μία λόχμη κλέπτα δύο·
ἵνα μὴ κεκλάγγω διὰ κενῆς ἄλλως ἐγώ·
ἐὰν δὲ μή, τὸ λοιπὸν οὐ κεκλάγξομαι.
ΦΙ. ἰοὺ ἰού.
ὅσας κατηγόρησε τὰς πανουργίας.
κλέπτον τὸ χρῆμα τἀνδρός· οὐ καὶ σοὶ δοκεῖ,
ὠλεκτρυόν; νὴ τὸν Δί', ἐπιμύει γέ τοι.
ὁ θεσμοθέτης. ποῦ 'σθ' οὗτος; ἀμίδα μοι δότω.
ΒΔ. αὐτὸς καθελοῦ· τοὺς μάρτυρας γὰρ ἐσκαλῶ.
Λάβητι μάρτυρας παρεῖναι τρύβλιον,
δοίδυκα, τυρόκνηστιν, ἐσχάραν, χύτραν,
καὶ τἄλλα τὰ σκεύη τὰ προσκεκλημένα.
ἀλλ' ἔτι σύ γ' οὐρεῖς καὶ καθίζεις οὐδέπω;
ΦΙ. τοῦτον δέ γ' οἶμ' ἐγὼ χεσεῖσθαι τήμερον.
ΒΔ. οὐκ αὖ σὺ παύσει χαλεπὸς ὢν καὶ δύσκολος,
καὶ ταῦτα τοῖς φεύγουσιν, ἀλλ' ὀδὰξ ἔχει;
ἀνάβαιν', ἀπολογοῦ. τί σεσιώπηκας; λέγε.
ΦΙ. ἀλλ' οὐκ ἔχειν οὗτός γ' ἔοικεν ὅ τι λέγῃ.
ΒΔ. οὐκ, ἀλλ' ἐκεῖνό μοι δοκεῖ πεπονθέναι,
ὅπερ ποτὲ φεύγων ἔπαθε καὶ Θουκυδίδης·
ἀπόπληκτος ἐξαίφνης ἐγένετο τὰς γνάθους.
πάρεχ' ἐκποδών. ἐγὼ γὰρ ἀπολογήσομαι.
χαλεπὸν μέν, ὦνδρες, ἐστὶ διαβεβλημένου
ὑπεραποκρίνεσθαι κυνός· λέξω δ' ὅμως.
ἀγαθὸς γάρ ἐστι καὶ διώκει τοὺς λύκους.
ΦΙ. κλέπτης μὲν οὖν οὗτός γε καὶ ξυνωμότης.
ΒΔ. μὰ Δί', ἀλλ' ἄριστός ἐστι τῶν νυνὶ κυνῶν,
οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι.
ΦΙ. τί οὖν ὄφελος, τὸν τυρὸν εἰ κατεσθίει;
ΒΔ. ὅτι σοῦ προμάχεται καὶ φυλάττει τὴν θύραν
καὶ τἄλλ' ἄριστός ἐστιν· εἰ δ' ὑφείλετο,
ξύγγνωθι· κιθαρίζειν γὰρ οὐκ ἐπίσταται.
ΦΙ. ἐγὼ δ' ἐβουλόμην ἂν οὐδὲ γράμματα,
ἵνα μὴ κακουργῶν ἐνέγραφ' ἡμῖν τὸν λόγον.
ΒΔ. ἄκουσον ὦ δαιμόνιέ μου τῶν μαρτύρων.
ἀνάβηθι, τυρόκνηστι, καὶ λέξον μέγα·
σὺ γὰρ ταμιεύουσ' ἔτυχες. ἀπόκριναι σαφῶς,
εἰ μὴ κατέκνησας τοῖς στρατιώταις ἅλαβες.
φησὶ κατακνῆσαι. ΦΙ. νὴ Δί', ἀλλὰ ψεύδεται.
ΒΔ. ὦ δαιμόνι', ἐλέει ταλαιπωρουμένους.
οὗτος γὰρ ὁ Λάβης καὶ τραχήλι' ἐσθίει
καὶ τὰς ἀκάνθας, κοὐδέποτ' ἐν ταὐτῷ μένει.
ὁ δ' ἕτερος οἷός ἐστιν οἰκουρὸς μόνον.
αὐτοῦ μένων γὰρ ἅττ' ἂν εἴσω τις φέρῃ,
τούτων μεταιτεῖ τὸ μέρος· εἰ δὲ μή, δάκνει.
ΦΙ. αἰβοῖ, τί κακόν ποτ' ἔσθ' ὅτῳ μαλάττομαι;
κακόν τι περιβαίνει με κἀναπείθομαι.
ΒΔ. ἴθ', ἀντιβολῶ σ', οἰκτείρατ' αὐτόν, ὦ πάτερ,
καὶ μὴ διαφθείρητε. ποῦ τὰ παιδία;
ἀναβαίνετ', ὦ πονηρά, καὶ κνυζούμενα
αἰτεῖσθε κἀντιβολεῖτε καὶ δακρύετε.
ΦΙ. κατάβα κατάβα κατάβα κατάβα. ΒΔ. καταβήσομαι.
καίτοι τὸ κατάβα τοῦτο πολλοὺς δὴ πάνυ
ἐξηπάτηκεν. ἀτὰρ ὅμως καταβήσομαι.
ΦΙ. ἐς κόρακας. ὡς οὐκ ἀγαθόν ἐστι τὸ ῥοφεῖν.
ἐγὼ γὰρ ἀπεδάκρυσα νῦν γνώμην ἐμὴν
οὐδέν ποτ' ἀλλ' ἢ τῆς φακῆς ἐμπλήμενος.
ΒΔ. οὔκουν ἀποφεύγει δῆτα; ΦΙ. χαλεπὸν εἰδέναι.
ΒΔ. ἴθ', ὦ πατρίδιον, ἐπὶ τὰ βελτίω τρέπου.
τηνδὶ λαβὼν τὴν ψῆφον ἐπὶ τὸν ὕστερον
μύσας παρᾷξον κἀπόλυσον, ὦ πάτερ.
ΦΙ. οὐ δῆτα· κιθαρίζειν γὰρ οὐκ ἐπίσταμαι.
ΒΔ. φέρε νύν σε τηδὶ τὴν ταχίστην περιάγω.
ΦΙ. ὅδ' ἔσθ' ὁ πρότερος; ΒΔ. οὗτος. ΦΙ. αὕτη 'νταῦθ'
ΒΔ. ἐξηπάτηται, κἀπολέλυκεν οὐχ ἑκών. [ἔνι.
φέρ' ἐξεράσω. ΦΙ. πῶς ἄρ' ἠγωνίσμεθα;
ΒΔ. δείξειν ἔοικεν· ἐκπέφευγας, ὦ Λάβης.
πάτερ πάτερ, τί πέπονθας; ΦΙ. οἴμοι, ποῦ 'σθ
ὕδωρ;
ΒΔ. ἔπαιρε σαυτόν. ΦΙ. εἰπέ νυν ἐκεῖνό μοι,
ὄντως ἀπέφυγεν; ΒΔ. νὴ Δί'. ΦΙ. οὐδέν εἰμ' ἄρα.
ΒΔ. μὴ φροντίσῃς, ὦ δαιμόνι', ἀλλ' ἀνίστασο.
ΦΙ. πῶς οὖν ἐμαυτῷ τοῦτ' ἐγὼ ξυνείσομαι,
φεύγοντ' ἀπολύσας ἄνδρα; τί ποτε πείσομαι;
ἀλλ', ὦ πολυτίμητοι θεοί, ξύγγνωτέ μοι·
ἄκων γὰρ αὔτ' ἔδρασα κοὐ τοὐμοῦ τρόπου.
ΒΔ. καὶ μηδὲν ἀγανάκτει γ'. ἐγὼ γάρ σ', ὦ πάτερ,
θρέψω καλῶς, ἄγων μετ' ἐμαυτοῦ πανταχοῖ,

---

ὁ βδελυρὸς οὗτος in aliis codicibus ad Philocleonis orationem referri annotavit scholiasta. Ergo scholiasta in suo libro servo tributa invenit. Quo spectat eius annotatio, τὸ ἑξῆς, κατεσικέλιζεν ὁ βδελυρός.

917. ΦΙ. Bergkius] ὁ κῦ R. θε. ceteri. Scholiasta (ad verba οὐδὲ τῷ κοινῷ γέ μοι) ἔστι δὲ τὰ μὲν πρὸ τούτων τοῦ θεράποντος, τὰ δὲ τοῦ γέροντος. κοινῷ] κυνῶι R. γ' ἐμοί] γέ μοι R. 918. ΦΙ. huic versui praescriptum delevit Bergkius. 922. ΞΑ. Brunckius] οἰκέ. ἀφῆτέ γ'] ἀφῆτ' ἔτ' Cobetus. 925. τὸ σκῖρον] τὸν σκίρρον Suidas s. v. σκίρρον. 927. ΞΑ. Brunckius] κυ. Ald. Nulla personae nota in R. 932. κατηγόρησε V. κατηγόρευσε ceteri. 936. βδε. R. θε. Ald. 938. τυρόκνηστιν] τυροκνῆστιν R. 939. τἄλλα τὰ] τἄλλα δὲ Reiskius. προσκεκλημένα Dobraeus] προσκεκαυμένα 941. οἶμ' ἐγὼ] οἶμαι 'γὼ Bekkerus. 942. οὐκ αὖ R et Flor. Γ. 'οὐκ ἂν ceteri. οὔκουν Reisigius. 944. Philocleoni, 945. Bdelycleoni, 946—948. Philocleoni, 949—952. Bdelycleoni tribuebantur. Correxit Brunckius. 961. ἐνέγραφ'] ἔγραφεν Cobetus.

δ

962. ΒΔ. Brunckius] κυ R. θε. ceteri, ut videtur, et Aldus. 966. φησί] Βδε. praescriptum in Ald. delevit Brunckius. 967. ταλαιπωρουμένους] τοὺς ταλαιπωρουμένους RV et Flor. Γ. quo recepto ἐλέει in ἔλει mutandum foret ut ἀνελήμων interdum pro ἀνελεήμων et ἐλεινός pro ἐλεεινός dixerunt. Sed recte dictum ταλαιπωρουμένους sine articulo, intellecto τοὺς φεύγοντας. Similiter Demosthenes p. 761. οὐδ' ἐκεῖνο ἂν ἔχοις εἰπεῖν ὡς ἐλεήσας δεινὰ πάσχοντας ἀνθρώπους εἵλου διὰ ταῦτα βοηθεῖν αὐτοῖς. 970. Φιλ. praescriptum in R. οἰκουρός] οἰκουρεῖν Brunckius. 973. αἰβοῖ extra versum habet R. τί κακόν] τί τὸ κακόν RV. unde Hamakerus ΦΙ. αἰβοῖ. ΒΔ. τί τὸ κακόν; ΦΙ. ἔσθ' ὅτῳ μαλάττομαι. 974. περιβαίνει] περιμένει R. 977. πονηρὰ D.] πόνηρα κνυζούμενα] κνυζόμενα Ald.: unde κνυζώμενα Stephanus in Thesauro. 978. αἰτεῖσθε Hirschigius] αἰτεῖτε (αἴτει R) 979. ΦΙ.] ὁ γέρων ἢ ὁ αὐτός R. ΒΔ.] ὁ παῖς R. 983. ἀπεδάκρυσα] ἐπεδάκρυσα Hirschigius. 991. 'νταῦθ' ἔνι Dobraeus] ἐντευθενί 993. φέρ' ἐξεράσω. ΦΙ. Bergkius] ΦΙ. φέρ' ἐξεράσω 995. οἴμοι, ποῦ 'σθ' ὕδωρ Bdelycleoni tribuit Scaliger. 997. ἀπέφυγεν] πέφευγε R. 1004. πανταχοῖ Brunckius] πανταχοῦ

ἐς δεῖπνον, ἐς ξυμπόσιον, ἐπὶ θεωρίαν.
κᾆθ' ἡδέως διάξεις τὸν λοιπὸν χρόνον·
κοὐκ ἐγχανεῖταί σ' ἐξαπατῶν Ὑπέρβολος.
ἀλλ' εἰσάγω νυν. ΦΙ. ταὐτά νυν, εἴπερ δοκεῖ.
ΧΟ. ἀλλ' ἴτε χαίροντες ὅποι βούλεσθ'.
ὑμεῖς δὲ τέως, ὦ μυριάδες
ἀναρίθμητοι,
νῦν μὲν τὰ μέλλοντ' εὖ λέγεσθαι μὴ πέσῃ φαύλως
εὐλαβεῖσθε. [χαμᾶζ'
τοῦτο γὰρ σκαιῶν θεατῶν
ἐστὶ πάσχειν, κοὐ πρὸς ὑμῶν.
νῦν αὖτε λεῴ πρόσσχετε τὸν νοῦν, εἴπερ καθαρόν
τι φιλεῖτε.
μέμψασθαι γὰρ τοῖσι θεαταῖς ὁ ποιητὴς νῦν ἐπι-
θυμεῖ. [πεποιηκώς,
ἀδικεῖσθαι γάρ φησιν πρότερος πόλλ' αὐτοὺς εὖ
τὰ μὲν οὐ φανερῶς, ἀλλ' ἐπικουρῶν κρύβδην ἑτέ-
ροισι ποιηταῖς,
μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν,
εἰς ἀλλοτρίας γαστέρας ἐνδὺς κωμῳδικὰ πολλὰ
χέασθαι·
μετὰ τοῦτο δὲ καὶ φανερῶς ἤδη κινδυνεύων καθ'
ἑαυτόν, [ἡνιοχήσας.
οὐκ ἀλλοτρίων, ἀλλ' οἰκείων Μουσῶν στόμαθ'
ἀρθεὶς δὲ μέγας καὶ τιμηθεὶς ὡς οὐδεὶς πώποτ' ἐν
ὑμῖν, [φρόνημα,
οὐκ ἐκτελέσαι φησὶν ἐπαρθεὶς οὐδ' ὀγκῶσαι τὸ
οὐδὲ παλαίστρας περικωμάζειν πειρῶν· οὐδ' εἴ τις
ἐραστὴς
κωμῳδεῖσθαι παιδίχ' ἑαυτοῦ μισῶν ἔσπευδε πρὸς
αὐτόν, [ἐπιεικῆ,
οὐδενὶ πώποτέ φησι πιθέσθαι, γνώμην τιν' ἔχων
ἵνα τὰς Μούσας αἷσιν χρῆται μὴ προαγωγοὺς ἀπο-
φήνῃ· [ἐπιθέσθαι,
οὐδ' ὅτε πρῶτόν γ' ἦρξε διδάσκειν, ἀνθρωπίσκοις
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις
ἐπιχειρεῖν,
θρασέως ξυστὰς εὐθὺς ἀπ' ἀρχῆς αὐτῷ τῷ καρχα-
ρόδοντι, [ἔλαμπον,
οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων
ἐλιχμῶντο [θρον τετοκυίας,
περὶ τὴν κεφαλήν, φωνὴν δ' εἶχεν χαράδρας ὀλε-
φώκης δ' ὀσμήν, Λαμίας ὄρχεις ἀπλύτους, πρωκτὸν
δὲ καμήλου.
τοιοῦτον ἰδὼν τέρας οὔ φησιν δείσας καταδωροδο-
κῆσαι, [αὐτοῦ
ἀλλ' ὑπὲρ ὑμῶν ἔτι καὶ νυνὶ πολεμεῖ· φησίν τε μετ'
τοῖς ἠπιάλοις ἐπιχειρῆσαι πέρυσιν καὶ τοῖς πυρε-
τοῖσιν, [ἀπέπνιγον,
οἳ τοὺς πατέρας τ' ἦγχον νύκτωρ καὶ τοὺς πάππους
κατακλινόμενοί τ' ἐπὶ ταῖς κοίταις ἐπὶ τοῖσιν
ἀπράγμοσιν ὑμῶν
ἀντωμοσίας καὶ προσκλήσεις καὶ μαρτυρίας ξυνε-
κόλλων, [μαρχον.
ὥστ' ἀναπηδᾶν δειμαίνοντας πολλοὺς ὡς τὸν πολέ-
τοιόνδ' εὑρόντες ἀλεξίκακον, τῆς χώρας τῆσδε κα-
θαρτήν, [διανοίαις,
πέρυσιν καταπροὔδοτε καινοτάταις σπείραντ' αὐτὸν
ἃς ὑπὸ τοῦ μὴ γνῶναι καθαρῶς ὑμεῖς ἐποιήσατ'
ἀναλδεῖς·
καίτοι σπένδων πόλλ' ἐπὶ πολλοῖς ὄμνυσιν τὸν
Διόνυσον [ἀκοῦσαι.
μὴ πώποτ' ἀμείνον' ἔπη τούτων κωμῳδικὰ μηδέν'
τοῦτο μὲν οὖν ἔσθ' ὑμῖν αἰσχρὸν τοῖς μὴ γνοῦσιν
παραχρῆμα, [μισται,
ὁ δὲ ποιητὴς οὐδὲν χείρων παρὰ τοῖσι σοφοῖς νενό-
εἰ παρελαύνων τοὺς ἀντιπάλους τὴν ἐπίνοιαν ξυνέ-
ἀλλὰ τὸ λοιπὸν τῶν ποιητῶν, [τριψεν.
ὦ δαιμόνιοι, τοὺς ζητοῦντας
καινόν τι λέγειν κἀξευρίσκειν
στέργετε μᾶλλον καὶ θεραπεύετε,
καὶ τὰ νοήματα σῴζεσθ' αὐτῶν,
ἐσβάλλετέ τ' ἐς τὰς κιβωτοὺς
μετὰ τῶν μήλων.
κἂν ταῦτα ποιῆθ', ὑμῖν δι' ἔτους
τῶν ἱματίων
ὀζήσει δεξιότητος.
ὦ πάλαι ποτ' ὄντες ἡμεῖς ἄλκιμοι μὲν ἐν χοροῖς,
ἄλκιμοι δ' ἐν μάχαις,
καὶ κατ' αὐτὸ δὴ μόνον τοῦτ' ἄνδρες ἀνδρικώτατοι,
πρὶν ποτ' ἦν, πρὶν ταῦτα· νῦν δ'
οἴχεται κύκνου τ' ἔτι πολιώτεραι δὴ
αἵδ' ἐπανθοῦσιν τρίχες.
ἀλλὰ κἀκ τῶν λειψάνων δεῖ τῶνδε ῥώμην
νανικὴν σχεῖν· ὡς ἐγὼ τοὐμὸν νομίζω
γῆρας εἶναι κρεῖττον ἢ πολλῶν κικίννους νανιῶν
καὶ σχῆμα κεὐρυπρωκτίαν.
εἴ τις ὑμῶν, ὦ θεαταί, τὴν ἐμὴν ἰδὼν φύσιν
εἶτα θαυμάζει μ' ὁρῶν μέσον διεσφηκωμένον,
ἥτις ἡμῶν ἐστιν ἡ 'πίνοια τῆς ἐγκεντρίδος,
ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τὸ πρίν.
ἐσμὲν ἡμεῖς, οἷς πρόσεστι τοῦτο τοὐρροπύγιον,
Ἀττικοὶ μόνοι δικαίως ἐγγενεῖς αὐτόχθονες,
ἀνδρικώτατον γένος καὶ πλεῖστα τήνδε τὴν πόλιν
ὠφελῆσαν ἐν μάχαισιν, ἡνίκ' ἦλθ' ὁ βάρβαρος,
τῷ καπνῷ τύφων ἅπασαν τὴν πόλιν καὶ πυρπολῶν,
ἐξελεῖν ἡμῶν μενοινῶν πρὸς βίαν τἀνθρήνια.
εὐθέως γὰρ ἐκδραμόντες ξὺν δόρει ξὺν ἀσπίδι
ἐμαχόμεσθ' αὐτοῖσι, θυμὸν ὀξίνην πεπωκότες,
στὰς ἀνὴρ παρ' ἄνδρ', ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων·
ὑπὸ δὲ τῶν τοξευμάτων οὐκ ἦν ἰδεῖν τὸν οὐρανόν.

1060—1090. = 1091—1121.

1011. νῦν μὲν] μὲν delet G. Burgesius: quo probato verba ἀναρίθμητοι, νῦν τὰ — εὐλαβεῖσθε in duo distribuenda erunt versus trimetros trochaicos, εὐλαβεῖσθε in ἐξευλαβεῖσθε mutato. 1015. πρόσσχετε D.] πρόσχετε codices Florentini duo. προσέχετε ceteri. 1025. πειρῶν Brunckius] περιιὼν vel περιών 1026. ἔσπευδε] ἔσπευσε RV. 1029—1037. Eadem fere verba in Pace 751—759. 1029. γ' addidit Kusterus. ἀνθρωπίσκοις ἐπιθέσθαι Conzius (collato Pac. 751. οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν)] ἀνθρώποις φησ' ἐπιθέσθαι vel ἀνθρώποις φησὶ πιθέσθαι, ortum ex v. 1027. 1030. ἐπιχειρεῖν] ἐπεχείρει est Pac. 752. 1035. Λαμίας R (ut Pac. 758.). Λαμίας δ' ceteri. 1037. αὐτοῦ] αὐτὸν (Cleonem) Bentleius. αὐτὸ D.

1050. εἰ παρελαύνων scholiasta] εἴπερ ἐλαύνων 1062. καὶ — ἀνδρικώτατοι] καὶ κατ' αὐτὸ (δὴ addunt libri deteriores) τοῦτο μόνον ἄνδρες μαχιμώτατοι. Recepi Bentleii coniecturam, etsi incertam. Nam nihil praeter καὶ κατ' αὐτὸ τοῦτο, et fortasse ne hoc quidem, scriptum ab Aristophane, reliqua grammatici lacunam explentis additamentum esse videntur. 1064. οἴχεται V. οἴχεταί γε ceteri. τ' ἔτι Reisigius] τε. Hic quoque versus interpolatoris manum expertus esse videtur, qui δὴ metri explendi caussa addidit. 1065. αἵδ' — τρίχες] οἵδ' — τρίχας V (cum gl. οἱ κρόταφοι) cum scholiasta et Suida s. v. κύκνου. 1066. ῥώμην] γνώμην V et Suidas. 1067. νανικὴν — νανιῶν D.] νεανικὴν — νεανιῶν 1073. ἥτις Bentleius] ἥ τις 1076. ἐγγενεῖς RVΓ. εὐγενεῖς ceteri. 1081. ξὺν δόρει ξὺν ἀσπίδι] ξὺν δορὶ ξὺν ἀσπίδι. σὺν δόρει σὺν ἀσπίδι Etym. M. p. 284, 31. Vid. ad Pac. 358.

ἀλλ' ὅμως ἐωσάμεσθα ξὺν θεοῖς πρὸς ἑσπέραν.
γλαῦξ γὰρ ἡμῶν πρὶν μάχεσθαι τὸν στρατὸν διέπτετο.
εἶτα δ' εἰπόμεσθα θυννάζοντες ἐς τοὺς θυλάκους,
οἱ δ' ἔφευγον τὰς γνάθους καὶ τὰς ὀφρῦς κεντούμενοι·
ὥστε παρὰ τοῖς βαρβάροισι πανταχοῦ καὶ νῦν ἔτι
μηδὲν Ἀττικοῦ καλεῖσθαι σφηκὸς ἀνδρικώτερον.
ἆρα δεινὸς ἦ τόθ' ὥστε πάντα μὴ δεδοικέναι,
καὶ κατεστρεψάμην
τοὺς ἐναντίους, πλέων ἐκεῖσε ταῖς τριήρεσιν.
οὐ γὰρ ἦν ἡμῖν ὅπως
ῥῆσιν εὖ λέξειν ἐμέλλομεν τότ', οὐδὲ
συκοφαντήσειν τινὰ
φροντὶς, ἀλλ' ὅστις ἐρέτης ἔσοιτ' ἄριστος.
τοιγαροῦν πολλὰς πόλεις Μήδων ἑλόντες
αἰτιώτατοι φέρεσθαι τὸν φόρον δεῦρ' ἐσμὲν, ὃν κλέπτουσιν οἱ νεώτεροι.
πολλαχοῦ σκοποῦντες ἡμᾶς εἰς ἅπανθ' εὑρήσετε
τοὺς τρόπους καὶ τὴν δίαιταν σφηξὶν ἐμφερεστάτους.
πρῶτα μὲν γὰρ οὐδὲν ἡμῶν ζῷον ἠρεθισμένον
μᾶλλον ὀξύθυμόν ἐστιν οὐδὲ δυσκολώτερον·
εἶτα τἄλλ' ὅμοια πάντα σφηξὶ μηχανώμεθα.
ξυλλεγέντες γὰρ καθ' ἑσμοὺς, ὡσπερεὶ τἀνθρήνια,
οἱ μὲν ἡμῶν οὗπερ ἄρχων, οἱ δὲ παρὰ τοὺς ἕνδεκα,
οἱ δ' ἐν ᾠδείῳ δικάζουσ', οἱ δὲ πρὸς τοῖς τειχίοις
ξυμβεβυσμένοι, πυκνὸν νεύοντες ἐς τὴν γῆν, μόλις
ὥσπερ οἱ σκώληκες ἐν τοῖς κυττάροις κινούμενοι.
ἔς τε τὴν ἄλλην δίαιταν ἐσμὲν εὐπορώτατοι.
πάντα γὰρ κεντοῦμεν ἄνδρα κἀκπορίζομεν βίον.
ἀλλὰ γὰρ κηφῆνες ἡμῖν εἰσιν ἐγκαθήμενοι,
οὐκ ἔχοντες κέντρον· οἳ μένοντες ἡμῶν τοῦ φόρου
τὸν γόνον κατεσθίουσιν, οὐ ταλαιπωρούμενοι.
τοῦτο δ' ἔστ' ἄλγιστον ἡμῖν, ἤν τις ἀστράτευτος ὢν
ἐκροφῇ τὸν μισθὸν ἡμῶν, τῆσδε τῆς χώρας ὕπερ
μήτε κώπην μήτε λόγχην μήτε φλύκταιναν λαβών.
ἀλλ' ἐμοὶ δοκεῖ τὸ λοιπὸν τῶν πολιτῶν ἐμβραχὺ
ὅστις ἂν μὴ 'χῃ τὸ κέντρον, μὴ φέρειν τριώβολον.
ΦΙ. οὔ τοι ποτὲ ζῶν τοῦτον ἀποδυθήσομαι,
ἐπεὶ μόνος μ' ἔσωσε παρατεταγμένον,
ὅθ' ὁ βορέας ὁ μέγας ἐπεστρατεύσατο.
ΒΔ. ἀγαθὸν ἔοικας οὐδὲν ἐπιθυμεῖν παθεῖν.
ΦΙ. μὰ τὸν Δί', οὐ γὰρ οὐδαμῶς μοι ξύμφορον.
καὶ γὰρ πρότερον ἐπανθρακίδων ἐμπλήμενος
ἀπέδωκ' ὀφείλων τῷ κναφεῖ τριώβολον.
ΒΔ. ἀλλ' οὖν πεπειράσθω γ', ἐπειδήπερ γ' ἅπαξ
ἐμοὶ σεαυτὸν παραδέδωκας εὖ ποιεῖν.
ΦΙ. τί οὖν κελεύεις δρᾶν με; ΒΔ. τὸν τρίβων' ἄφες,
τηνδὶ δὲ χλαῖναν ἀναβαλοῦ τριβωνικῶς.
ΦΙ. ἔπειτα παῖδας χρὴ φυτεύειν κἀκτρέφειν,
ὅθ' οὑτοσί με νῦν ἀποπνῖξαι βούλεται;
ΒΔ. ἔχ', ἀναβαλοῦ τηνδὶ λαβὼν, καὶ μὴ λάλει.
ΦΙ. τουτὶ τὸ κακὸν τί ἐστι πρὸς πάντων θεῶν;
ΒΔ. οἱ μὲν καλοῦσι Περσίδ', οἱ δὲ καυνάκην.
ΦΙ. ἐγὼ δὲ σισύραν ᾠόμην Θυμαιτίδα.
ΒΔ. κοὐ θαῦμά γ'· ἐς Σάρδεις γὰρ οὐκ ἐλήλυθας.
ἔγνως γὰρ ἄν· νῦν δ' οὐχὶ γιγνώσκεις. ΦΙ. ἐγώ;
μὰ τὸν Δί' οὐ τοίνυν· ἀτὰρ δοκεῖ γέ μοι
ἐοικέναι μάλιστα Μορύχου σάγματι.
ΒΔ. οὔκ, ἀλλ' ἐν Ἐκβατάνοισι ταῦθ' ὑφαίνεται.
ΦΙ. ἐν Ἐκβατάνοισι γίγνεται κρόκης χόλιξ;
ΒΔ. πόθεν, ὦγάθ'; ἀλλὰ τοῦτο τοῖσι βαρβάροις
ὑφαίνεται πολλαῖς δαπάναις. αὕτη γέ τοι
ἐρίων τάλαντον καταπέπωκε ῥᾳδίως.
ΦΙ. οὔκουν ἐριώλην δῆτ' ἐχρῆν αὐτὴν καλεῖν
δικαιότερον ἢ καυνάκην; ΒΔ. ἔχ', ὦγαθέ,
καὶ στῆθί γ' ἀμπισχόμενος. ΦΙ. οἴμοι δείλαιος·
ὡς θερμὸν ἡ μιαρά τί μου κατήρυγεν.
ΒΔ. οὐκ ἀναβαλεῖ; ΦΙ. μὰ Δί' οὐκ ἔγωγ'. ἀλλ', ὦγαθέ,
εἴπερ γ' ἀνάγκη, κρίβανόν μ' ἀμπίσχετε.
ΒΔ. φέρ', ἀλλ' ἐγώ σε περιβαλῶ· σὺ δ' οὖν ἴθι.
ΦΙ. παράθου γε μέντοι καὶ κρεάγραν. ΒΔ. τιὴ τί δή;
ΦΙ. ἵν' ἐξέλῃς με πρὶν διερρυηκέναι.
ΒΔ. ἄγε νυν, ὑπολύου τὰς καταράτους ἐμβάδας,
τασδὶ δ' ἀνύσας ὑποδοῦ τι τὰς Λακωνικάς.
ΦΙ. ἐγὼ γὰρ ἂν τλαίην ὑποδήσασθαί ποτε
ἐχθρῶν παρ' ἀνδρῶν δυσμενῆ καττύματα;
ΒΔ. ἔνθες πόδ', ὦ τᾶν, κἀπόβαιν' ἐρρωμένως
ἐς τὴν Λακωνικὴν ἀνύσας. ΦΙ. ἀδικεῖς γέ με
ἐς τὴν πολεμίαν ἀποβιβάζων τὸν πόδα.
ΒΔ. φέρε καὶ τὸν ἕτερον. ΦΙ. μηδαμῶς τοῦτόν γ', ἐπεὶ
πάνυ μισολάκων αὐτοῦ 'στιν εἷς τῶν δακτύλων.
ΒΔ. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα. ΦΙ. κακοδαίμων ἐγώ,
ὅστις ἐπὶ γήρως χίμετλον οὐδὲν λήψομαι.
ΒΔ. ἄνυσόν ποθ' ὑποδησάμενος· εἶτα πλουσίως
ὡδὶ προβὰς τρυφερόν τι διασαικώνισον.
ΦΙ. ἰδού. θεῶ τὸ σχῆμα, καὶ σκέψαι μ' ὅτῳ
μάλιστ' ἔοικα τὴν βάδισιν τῶν πλουσίων.
ΒΔ. ὅτῳ; δοθιῆνι σκόροδον ἠμφιεσμένῳ.
ΦΙ. καὶ μὴν προθυμοῦμαί γε σαυλοπρωκτιᾶν.
ΒΔ. ἄγε νυν, ἐπιστήσει λόγους σεμνοὺς λέγειν
ἀνδρῶν παρόντων πολυμαθῶν καὶ δεξιῶν;
ΦΙ. ἔγωγε. ΒΔ. τίνα δῆτ' ἂν λέγοις; ΦΙ. πολλοὺς πάνυ.
πρῶτον μὲν ὡς ἡ Λάμι' ἁλοῦσ' ἐπέρδετο,
ἔπειτα δ' ὡς ὁ Καρδοπίων τὴν μητέρα.
ΒΔ. μή μοί γε μύθους, ἀλλὰ τῶν ἀνθρωπικῶν,
οἵους λέγομεν μάλιστα τοὺς κατ' οἰκίαν.
ΦΙ. ἐγᾦδα τοίνυν τῶν γε πάνυ κατ' οἰκίαν
ἐκεῖνον, ὡς οὕτω ποτ' ἦν μῦς καὶ γαλῆ.

1085. ἐωσάμεσθα grammaticus in Crameri Anecd. Oxon. vol. 4. p. 446, 3.] ἐσωζόμεσθα V. ἐπαυσάμεσθα R. ἀπεωσάμεσθα ceteri, quod ἀπωσάμεσθα scribendum foret. ἑσπέραν V. ἑσπέρας R. ἑσπέρᾳ ceteri.

1087. 1088. Transponit Hamakerus. 1087. εἰπόμεσθα R. ἑπόμεσθα V. ἑσπόμεσθα ceteri. 1091. ἦ] ἦν RV. 1097. ὅστις D.] ὅστις ἂν RV et Flor. Γ. ὃς ἂν ceteri. 1107. ξυλλεγέντες Bentleius] ξυλλέγοντες vel συλλέγοντες 1108. ἄρχων D.] ἄρχων 1114. ἡμῖν Brunckius] ἡμῶν 1116. γόνον] πόνον Dobraeus. Schol. explicat per τὸν κάματον. 1118. ἐκροφῇ Reiskius] ἐκφορῇ 1120. ἐμβραχύ R. ἔμβραχυ ceteri. 1127. ἐπανθρακίδων Scaliger] ἐπ' ἀνθρακίδων 1128. κναφεῖ D.] γναφεῖ 1133. κἀκτρέφειν Hirschigius] καὶ τρέφειν

1142. ἐοικέναι] προσεικέναι Cobetus. 1150. στῆθί γ' ἀμπισχόμενος] στῆθ' ἀναμπισχόμενος R. στῆθ' ἀμπισχόμενος V. 1157. ὑπολύου Hirschigius] ὑποδύου RV et Flor. Γ. ἀποδύου ceteri. 1158. ὑποδοῦ τι τὰς D. in Praefat. ad Luciani ed. Lips. a. 1858. vol. 1. p. XIX.] ὑπόδυθι τάς. (ὑποδοῦ λαβὼν Λακωνικάς coniecerat Hirschigius.) 1159. ὑποδήσασθαι Scaliger] ὑποδύσασθαι 1161. πόδ' Brunckius] ποτ' 1167. ἐπὶ γήρως Hirschigius] ἐπιγήρω V. ἐπὶ γήρᾳ ceteri. 1168. ὑποδησάμενος Scaliger] ὑποδυσάμενος

1169. διασαικώνισον ex Hesychio et Photio D. (vid. Annot. Oxon. p. 518.)] διασαλακώνισον 1176. τίνα] τίνας libri deteriores. 1177. Λάμι' D.] Λαμί'. Rectus accentus Λάμια est apud Hesychium pariterque apud Photium in codice et apud Dobraeum: nam Naberus vitiosum accentum Λαμία tacite intulit. 1179. ἀνθρωπικῶν Meinekius (Com. vol. 2. p. 241. ex Phrynicho in Bekk. Anecd. p. 21, 14. ἀνθρωπικὸς μῦθος: ὁ περὶ ἀνθρωπείων πραγμάτων)] ἀνθρωπίνων

ΒΔ. ὦ σκαιὲ κἀπαίδευτε. Θεογένης ἔφη
τῷ κοπρολόγῳ, καὶ ταῦτα λοιδορούμενος,
μῦς καὶ γαλᾶς μέλλεις λέγειν ἐν ἀνδράσιν;
ΦΙ. ποίους τινὰς δὲ χρὴ λέγειν; ΒΔ. μεγαλοπρεπεῖς,
ὡς ξυνεθεώρεις Ἀνδροκλεῖ καὶ Κλεισθένει.
ΦΙ. ἐγὼ δὲ τεθεώρηκα πώποτ' οὐδαμοῖ
πλὴν ἐς Πάρον, καὶ ταῦτα δύ' ὀβολὼ φέρων.
ΒΔ. ἀλλ' οὖν λέγειν χρή σ' ὡς ἄρ' ἐμάχετ' αὐτίκα
Ἐφουδίων παγκράτιον Ἀσκώνδᾳ καλῶς,
ἤδη γέρων ὢν καὶ πολιός, ἔχων δέ τοι
πλευρὰν βαθυτάτην καὶ χέρας καὶ λαγόνα καὶ
θώρακ' ἄριστον. ΦΙ. παῦε παῦ', οὐδὲν λέγεις.
πῶς ἂν μαχέσαιτο παγκράτιον θώρακ' ἔχων;
ΒΔ. οὕτω διηγεῖσθαι νομίζουσ' οἱ σοφοί.
ἀλλ' ἕτερον εἰπέ μοι· παρ' ἀνδράσι ξένοις
πίνων σεαυτοῦ ποῖον ἂν λέξαι δοκεῖς
ἐπὶ νεότητος ἔργον ἀνδρικώτατον;
ΦΙ. ἐκεῖν' ἐκεῖν' ἀνδρειότατόν γε τῶν ἐμῶν,
ὅτ' Ἐργασίωνος τὰς χάρακας ὑφειλόμην.
ΒΔ. ἀπολεῖς με. ποίας χάρακας; ἀλλ' ὡς ἢ κάπρον
ἐδιώκαθές ποτ', ἢ λαγών, ἢ λαμπάδα
ἔδραμες, ἀνευρὼν ὅ τι νεανικώτατον.
ΦΙ. ἐγῷδα τοίνυν τό γε νεανικώτατον·
ὅτε τὸν δρομέα Φάϋλλον, ὢν βούπαις ἔτι,
εἷλον διώκων λοιδορίας ψήφοιν δυοῖν.
ΒΔ. παῦ'· ἀλλὰ δευρὶ κατακλινεὶς προμάνθανε
ξυμποτικὸς εἶναι καὶ ξυνουσιαστικός. [μόνως.
ΦΙ. πῶς οὖν κατακλινῶ; φράζ' ἀνύσας. ΒΔ. εὐσχη-
ΦΙ. ὡδὶ κελεύεις κατακλινῆναι; ΒΔ. μηδαμῶς.
ΦΙ. πῶς δαί; ΒΔ. τὰ γόνατ' ἔκτεινε, καὶ γυμναστικῶς
ὑγρὸν χύτλασον σεαυτὸν ἐν τοῖς στρώμασιν.
ἔπειτ' ἐπαίνεσόν τι τῶν χαλκωμάτων,
ὀροφὴν θέασαι, κρεκάδι' αὐλῆς θαύμασον·
ὕδωρ κατὰ χειρός· τὰς τραπέζας ἐσφέρειν·
δειπνοῦμεν· ἀπονενίμμεθ'· ἤδη σπένδομεν.
ΦΙ. πρὸς τῶν θεῶν, ἐνύπνιον ἑστιώμεθα;
ΒΔ. αὐλητρὶς ἐνεφύσησεν. οἱ δὲ ξυμπόται
εἰσὶν Θέωρος, Αἰσχίνης, Φανός, Κλέων,
ξένος τις ἕτερος πρὸς κεφαλῆς Ἀκέστορος.
τούτοις ξυνὼν τὰ σκόλι' ὅπως δέξει καλῶς.
ΦΙ. ἄληθες; ὡς οὐδείς γε Διακρίων ⏑ –.
ΒΔ. τάχ' εἴσομαι· καὶ δὴ γάρ εἰμ' ἐγὼ Κλέων,
ᾄδω δὲ πρῶτος Ἁρμοδίου· δέξαι δὲ σύ.
οὐδεὶς πώποτ' ἀνὴρ ἔγεντ' Ἀθήναις
ΦΙ. οὐχ οὕτω γε πανοῦργος οὐδὲ κλέπτης
ΒΔ. τουτὶ σὺ δράσεις; παραπολεῖ βοώμενος·
φήσει γὰρ ἐξολεῖν σε καὶ διαφθερεῖν
καὶ τῆσδε τῆς γῆς ἐξελᾶν. ΦΙ. ἐγὼ δέ γε,
ἐὰν ἀπειλῇ, νὴ Δί' ἕτερον ᾄσομαι.
ὤνθρωφ', οὗτος ὁ μαιόμενος τὸ μέγα κράτος,
ἀντρέψεις ἔτι τὰν πόλιν· ἁ δ' ἔχεται ῥοπᾶς.
ΒΔ. τί δ', ὅταν Θέωρος πρὸς ποδῶν κατακείμενος
ᾄδῃ Κλέωνος λαβόμενος τῆς δεξιᾶς,
Ἀδμήτου λόγον, ὦταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει,
τούτῳ τί λέξεις σκόλιον; ΦΙ. ᾠδικῶς ἐγώ,
οὐκ ἔστιν ἀλωπεκίζειν,
οὐδ' ἀμφοτέροισι γίγνεσθαι φίλον.
ΒΔ. μετὰ τοῦτον Αἰσχίνης ὁ Σέλλου δέξεται,
ἀνὴρ σοφὸς καὶ μουσικός· κᾆτ' ᾄσεται·
χρήματα καὶ βίον Κλειταγόρᾳ τε κἀμοὶ μετὰ Θετ-
ΦΙ. πολλὰ δὴ διεκόμπασας σὺ κἀγώ. [ταλῶν
ΒΔ. τουτὶ μὲν ἐπιεικῶς σύ γ' ἐξεπίστασαι·
ὅπως δ' ἐπὶ δεῖπνον ἐς Φιλοκτήμονος ἴμεν.
παῖ παῖ, τὸ δεῖπνον, Χρυσέ, συσκεύαζε νῷν,
ἵνα καὶ μεθυσθῶμεν διὰ χρόνου. ΦΙ μηδαμῶς.
κακὸν τὸ πίνειν· ἀπὸ γὰρ οἴνου γίγνεται
καὶ θυροκοπῆσαι καὶ πατάξαι καὶ βαλεῖν,
κἄπειτ' ἀποτίνειν ἀργύριον ἐκ κραιπάλης.
ΒΔ. οὔκ, ἢν ξυνῇς γ' ἀνδράσι καλοῖς τε κἀγαθοῖς.
ἢ γὰρ παρῃτήσαντο τὸν πεπονθότα,
ἢ λόγον ἔλεξας αὐτὸς ἀστεῖόν τινα,
Αἰσωπικὸν γέλοιον ἢ Συβαριτικόν,
ὧν ἔμαθες ἐν τῷ ξυμποσίῳ· κᾆτ' ἐς γέλων
τὸ πρᾶγμ' ἔτρεψας, ὥστ' ἀφείς σ' ἀποίχεται.
ΦΙ. μαθητέον τἄρ' ἐστὶ πολλοὺς τῶν λόγων,
εἴπερ γ' ἀποτίσω μηδέν, ἤν τι δρῶ κακόν.
ΒΔ. ἄγε νυν ἴωμεν· μηδὲν ἡμᾶς ἰσχέτω.
ΧΟ. πολλάκις δὴ 'δοξ' ἐμαυτῷ δεξιὸς πεφυκέναι,
καὶ σκαιὸς οὐδεπώποτε·
ἀλλ' Ἀμυνίας ὁ Σέλλου μᾶλλον οὐκ τῶν Κρωβύλου,
οὗτος ὅν γ' ἐγώ ποτ' εἶδον ἀντὶ μήλου καὶ ῥοᾶς
δειπνοῦντα μετὰ Λεωγόρου.
πεινῇ γὰρ ἧπερ Ἀντιφῶν.
ἀλλὰ πρεσβεύων γὰρ ἐς Φάρσαλον ᾤχετ', εἶτ' ἐκεῖ
μόνος μόνοις ⏑ ⏑́ ⏑ –
τοῖς πενέσταισι ξυνῆν τοῖς
Θετταλῶν, αὐτὸς πενέστης ὢν ἐλάττων οὐδενός.
ὦ μακάρι' Αὐτόμενες, ὥς σε μακαρίζομεν,

1265—1274. = (excidit antistropha)

1275—1283. = 1284—1291. (excidit antistrophae versus primus.)

1185. γαλᾶς] γαλῆ R (ex v. 1182.) μέλλεις λέγειν] λέγεις V. 1188. οὐδαμοῖ Bekkerus] οὐδαμοῦ 1190. ὡς ἄρ' ἐμάχετ' Cobetus] ὡς ἐμάχετό γ'. ὡς ἐμαχέσατ' Dobraeus. 1192. ὢν καὶ πολιός] ὢν πολιὸς ἰὼν V. καὶ πολιὸς ὢν Bergkius. 1193. βαθυτάτην Bekkerus] καθυτάτην V. βαρυτάτην ceteri. καὶ λαγόνα V. καὶ λαγόνας R. λαγόνας τε ceteri ab correctore quem numerus singularis (de quo v. L. Dindorfius in Thes. vol. 5. p. 27.) offenderat. Qui facilius καὶ λαγόνε corrigere poterat. 1195. πῶς V. πῶς δ' ἂν ceteri. 1196. οὕτω] οὕτως libri. 1208. προμάνθανε Dobraeus] προσμάνθανε 1210. κατακλινῶ codex Paris. B. κατακλίνω ceteri. 1211. κατακλινῆναι Flor. Γ. κατακλίναι V. κατακλιθῆναι ceteri. 1212. δαί] δέ V. 1219. αὐλητρὶς Meinekius] αὐλητρὶς 1221. Ἀκέστορος Bentleius] Ἀκέστερος, ut in annot. scholiastae quoque Ἀκέστερον legebatur, ubi nunc Ἀκέστορα ex V. 1223. Διακρίων ⏑ –] Διακρίων (διακριῶν V) δεδέξεται libri. δεδέξεται ex glossemate illatum esse intellexit Dobraeus. Excidit fortasse ποτέ. 1224. τάχ' εἴσομαι G. Burgesius] ἐγὼ εἴσομαι 1225. δέξαι V. δέξει ceteri. 1226. ἔγεντ' Bentleius] ἐγένετ' Ἀθήναις Elmsleius] Ἀθηναῖος 1227. οὐδὲ addidit Bergkius.

1228. τουτὶ] τοῦτ' εἰ Porsonus, sublata interrogatione. 1231. ἕτερον Brunckius] ἑτέραν. ἕτερ' ἀντᾴσομαι Dobraeus. 1235. ἀντρέψεις Bentleius] ἀνατρέψεις 1240. delet Hamakerus. ᾠδικῶς] Libri alii sic, alii ᾠδικός. Fortasse ὡδί πως. 1244. κᾆτ' ᾄσεται] κἀντᾴσεται Dobraeus. 1245. βίον Tyrwhittus] βίαν 1248. διεκόμπασας G. Burgesius (quod legisse videtur scholiasta, qui annotavit ἐπειδὴ κομπαστὴς ἦν)] διεκόμισας 1249. τουτὶ] ταυτὶ V. 1252. μεθυσθῶμεν — μηδαμῶς] μεθύωμεν — μή, μηδαμῶς Cobetus. 1254. πατάξαι] κατάξαι RV (ut κατάξαι pro πατάξαι in omnibus Acharn. 1166.) καταράξαι codex Vat. quod schol. memorat. 1262. τἄρ' Hermannus] γ' ἄρα R. ἄρα V. γ' ἄρ' ceteri. 1263. γ' additum ex R. 1264. ΒΔ. addidit Bergkius. 1267. Κρωβύλου] κρωβύλων V et Suidas s. v. Ἀμυνίας. 1268. ῥοᾶς Brunckius] ῥοὰς V. ῥοιᾶς ceteri. 1270. ἧπερ Kusterus] ἥπερ R. ἤπερ ceteri. εἴπερ Suidas. 1272. Lacunam indicavit D. μόνοις RVΓ et Suidas. μόνοισι ceteri. 1274. Θετταλῶν] Θετταλοῖς Suidas. ἐλάττων] ἔλαττον Bentleius.

παῖδας ἐφύτευσας ὅτι χειροτεχνικωτάτους,
πρῶτα μὲν ἅπασι φίλον ἄνδρα τε σοφώτατον,
τὸν κιθαραοιδότατον, ᾧ χάρις ἐφέσπετο·
τὸν δ' ὑποκριτὴν ἕτερον, ἀργαλέον ὡς σοφόν·
εἶτ' Ἀριφράδη, πολύ τι θυμοσοφικώτατον,
ὅντινά ποτ' ὤμοσε μαθόντα παρὰ μηδενός,
ἀλλ' ἀπὸ σοφῆς φύσεος αὐτόματον ἐκμαθεῖν
γλωττοποιεῖν ἐς τὰ πορνεῖ' εἰσιόνθ' ἑκάστοτε.
[λείπουσι στίχοι ἕνδεκα.]
εἰσί τινες οἵ μ' ἔλεγον ὡς καταδιηλλάγην,
ἡνίκα Κλέων μ' ὑπετάραττεν ἐπικείμενος
καί με κακίαις ἔκνισε· κᾆθ' ὅτ' ἀπεδειρόμην,
οὑκτὸς ἐγέλων μέγα κεκραγότα θεώμενοι,
οὐδὲν ἄρ' ἐμοῦ μέλον, ὅσον δὲ μόνον εἰδέναι
σκωμμάτιον εἴποτέ τι θλιβόμενος ἐκβαλῶ.
ταῦτα κατιδὼν ὑπό τι μικρὸν ἐπιθήκισα·
εἶτα νῦν ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.
ΞΑ. ἰὼ χελῶναι μακάριαι τοῦ δέρματος,
καὶ τρισμακάριαι τοῦ 'πὶ ταῖς πλευραῖς τέγους.
ὡς εὖ κατηρέψασθε καὶ νουβυστικῶς
κεράμῳ τὸ νῶτον ὥστε τὰς πληγὰς στέγειν.
ἐγὼ δ' ἀπόλωλα στιζόμενος βακτηρίᾳ.
ΧΟ. τί δ' ἔστιν, ὦ παῖ; παῖδα γάρ, κἂν ᾖ γέρων,
καλεῖν δίκαιον ὅστις ἂν πληγὰς λάβῃ.
ΞΑ. οὐ γὰρ ὁ γέρων ἀτηρότατον ἄρ' ἦν κακὸν
καὶ τῶν ξυνόντων πολὺ παροινικώτατος;
καίτοι παρῆν Ἵππυλλος, Ἀντιφῶν, Λύκων,
Λυσίστρατος, Θούφραστος, οἱ περὶ Φρύνιχον.
τούτων ἁπάντων ἦν ὑβριστότατος μακρῷ.
εὐθὺς γὰρ ὡς ἐνέπλητο πολλῶν κἀγαθῶν,
ἐνήλλετ', ἐσκίρτα, 'πεπόρδει, κατεγέλα,
ὥσπερ καχρύων ὀνίδιον ηὐωχημένον·
κἄτυπτεν ἐμὲ νεανικῶς, παῖ παῖ καλῶν.
εἶτ' αὐτὸν ὡς εἶδ', ᾔκασεν Λυσίστρατος
"ἔοικας, ὦ πρεσβῦτα, νεοπλούτῳ τρυγὶ
κλητῆρί τ' εἰς ἀχυρμὸν ἀποδεδρακότι."
ὁ δ' ἀνακραγὼν ἀντῄκασ' αὐτὸν πάρνοπι
τὰ θρῖα τοῦ τρίβωνος ἀποβεβληκότι,
Σθενέλῳ τε τὰ σκευάρια διακεκαρμένῳ.
οἱ δ' ἀνεκρότησαν, πλήν γε Θουφράστου μόνου·
οὗτος δὲ διεμύλλαινεν ὡς δὴ δεξιός.
ὁ γέρων δὲ τὸν Θούφραστον ἤρετ', εἰπέ μοι,
ἐπὶ τῷ κομᾷς καὶ κομψὸς εἶναι προσποιεῖ,
κωμῳδολοιχῶν περὶ τὸν εὖ πράττοντ' ἀεί;
τοιαῦτα περιύβριζεν αὐτοὺς ἐν μέρει,
σκώπτων ἀγροίκως καὶ προσέτι λόγους λέγων
ἀμαθέστατ', οὐδὲν εἰκότας τῷ πράγματι.
ἔπειτ' ἐπειδὴ 'μέθυεν, οἴκαδ' ἔρχεται
τύπτων ἅπαντας, ἤν τις αὐτῷ ξυντύχῃ.
ὁδὶ δὲ καὶ δὴ σφαλλόμενος προσέρχεται.
ἀλλ' ἐκποδὼν ἄπειμι πρὶν πληγὰς λαβεῖν.
ΦΙ. ἄνεχε, πάρεχε·
κλαύσεταί τις τῶν ὄπισθεν
ἐπακολουθούντων ἐμοί·
οἷον, εἰ μὴ 'ρρήσεθ', ὑμᾶς,
ὦ πονηροί, ταυτηὶ τῇ
δᾳδὶ φρυκτοὺς σκευάσω.
ΞΥΜΠΟΤΗΣ ΤΙΣ.
ἦ μὴν σὺ δώσεις αὔριον τούτων δίκην
ἡμῖν ἅπασι, κεἰ σφόδρ' εἶ νεανίας.
ἄθροι γὰρ ἥξομέν σε προσκαλούμενοι.
ΦΙ. ἰὴ ἰή, καλούμενοι.
ἀρχαῖά γ' ὑμῶν· ἆρά γ' ἴσθ'
ὡς οὐδ' ἀκούων ἀνέχομαι
δικῶν; ἰαὶ ἰαιβοῖ.
τάδε μ' ἀρέσκει· βάλλε κημούς.
οὐκ ἄπει σύ; ποῦ 'στι ποῦ 'στιν
ἡλιαστής; ἐκποδών.
ἀνάβαινε δεῦρο χρυσομηλολόνθιον,
τῇ χειρὶ τουδὶ λαβομένη τοῦ σχοινίου.
ἔχου· φυλάττου δ', ὡς σαπρὸν τὸ σχοινίον·
ὅμως γε μέντοι τριβόμενον οὐκ ἄχθεται.
ὁρᾷς ἐγώ σ' ὡς δεξιῶς ὑφειλόμην
μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας·
ὧν οὕνεκ' ἀπόδος τῷ πέει τῳδὶ χάριν.
ἀλλ' οὐκ ἀποδώσεις οὐδὲ φιαλεῖς, οἶδ' ὅτι,
ἀλλ' ἐξαπατήσεις κἀγχανεῖ τούτῳ μέγα·
πολλοῖς γὰρ ἤδη χἀτέροις αὔτ' εἰργάσω.
ἐὰν γένῃ δὲ μὴ κακὴ νυνὶ γυνή,
ἐγώ σ', ἐπειδὰν οὑμὸς υἱὸς ἀποθάνῃ,
λυσάμενος ἕξω παλλακήν, ὦ χοιρίον.
νῦν δ' οὐ κρατῶ πω τῶν ἐμαυτοῦ χρημάτων.
νέος γάρ εἰμι καὶ φυλάττομαι σφόδρα.
τὸ γὰρ ὑίδιον τηρεῖ με, κἄστι δύσκολον
κἄλλως κυμινοπριστοκαρδαμογλύφον.
ταῦτ' οὖν περί μου δέδοικε μὴ διαφθαρῶ.
πατὴρ γὰρ οὐδείς ἐστιν αὐτῷ πλὴν ἐμοῦ.
ὁδὶ δὲ καὐτός· ἐπὶ σὲ κἄμ' ἔοικε θεῖν.
ἀλλ' ὡς τάχιστα στῆθι τάσδε τὰς δετὰς

1278. ἐφέσπετο] ἐφέπετο R. 1280. Ἀριφράδη D.] Ἀριφράδην 1282. φύσεος Bentleius] φύσεως 1283. Undecim versuum lacunam notavit Heliodorus: de quo videnda scholiastae annotatio. 1286. κακίαις Florens Christianus] κακίσταις (κάκιστ' V). 1287. οὑκτὸς D.] οἱ 'κτὸς θεώμενοι] μ' οἱ θεώμενοι RVΓ.

1293. τέγους Bentleius] ἐμαῖς, quod om. V, Paris. C et Suidas s. v. στέγει. In R est στέγειν, omissis proximis versibus duobus, qui ab recenti manu in margine sunt adscripti: unde manifestus fit veteris error librarii cuius oculi ab τέγους (v. 1293.) aberraverant ad στέγειν (v. 1295.). 1295. τὰς πληγὰς Paris. B et Flor. Δ. τὰς πλευρὰς RVCΓ, Aldus et Suidas. 1300. παροινικώτατος] Aut hic παροινιώτατος aut in Acharn. 979., ubi παροίνιος legitur, παροινικὸς scribendum esse monet Elmsleius. Probabilius παροινικός. 1301. Ἵππυλλος Bentleius] Ἵππυλος: quo servato Blomfieldus ad Aesch. Prom. 214. παρῆν in παρῆσαν mutabat. Ἱππόλυτος Suidas s. v. παροινικώτατος.

1303. ὑβριστότατος] ὑβρίστατος Cobetus. 1305. 1306. transponit Meinekius. 1305. ἐνήλλετ' Kusterus] ἐνήλατ' RVΓ et Suidas. ἐνήλλατ' alii. 'πεπόρδει Brunckius] πεπόρδει. Vid. ad Acharn. 10. κατεγέλα] Fort. κἀγέλα. 1306. ηὐωχημένον D.] εὐωχημένον 1307. κἄτυπτεν ἐμὲ Elmsleius] κατέτυπτέ με V. κἄτυπτε δή με alii. 1310. ἀχυρμὸν D. (vid. Annot. Oxon. p. 526.)] ἄχυρον RV et, ut videtur, scholiasta, qui ἄχυρον ex Eupolide et Platone memorat. ἀχυρῶνας ceteri.

1324. καὶ δὴ Dobraeus] δὴ (δὴ om. V) καὶ 1329. μὴ 'ρρήσεθ' Bentleius] μὴ 'ρρήσεσθ' 1330. ταυτηὶ Bentleius] ταύτῃ 1322. ΞΥΜΠΟΤΗΣ ΤΙΣ praescripsi praeeunte Dobraeo, qui recte vidit versus hos nemini convenire nisi uni τῶν ἐπακολουθούντων, quos Philocleo dixerat v. 1328. In libris Bdelycleoni tribuuntur, quem nondum in scenam rediisse apparet ex v. 1360. Nec choro conveniunt, cui tribuit Beerius p. 155. 1334. ἄθροι Hirschigius] ἀθρόοι 1335. ἰὴ ἰὴ vel ἰὼ ἰὼ D.] ἰὴ (ἰὴ Brunckius) ἰεῦ 1338. ἰαὶ ἰαιβοῖ D.] ἰαιβοῖ αἰβοῖ (ἰαιβοῖ om. V) 1340. ἄπει σὺ D.] ἄπεισι RVΓ. ἄπεισι γὰρ ceteri. ποῦ 'στι addidit D.

1347. οὕνεκ' Brunckius] εἵνεκ' 1350. πολλοῖς — χἀτέροις] πολλοὺς — χἀτέρους Lentingius. αὔτ'] ταῦτ' Cobetus. 1354. πω Elmsleius] 'γὼ 1356. ὑίδιον Elmsleius] υἵδιον RV. υἱίδιον alii. 1357. — καρδαμογλύφον D.] — καρδαμόγλυφον

λαβοῦσ', ἵν' αὐτὸν τωθάσω νεανικῶς,
οἵοις ποθ' οὗτος ἐμὲ πρὸ τῶν μυστηρίων.
ΒΔ. ὦ οὗτος οὗτος, τυφεδανὲ καὶ χοιρόθλιψ,
ποθεῖς ἐρᾶν τ' ἔοικας ὡραίας σοροῦ.
οὔ τοι καταπροίξει μὰ τὸν Ἀπόλλω τοῦτο δρῶν.
ΦΙ. ὡς ἡδέως φάγοις ἂν ἐξ ὄξους δίκην.
ΒΔ. οὐ δεινὰ τωθάζειν σε, τὴν αὐλητρίδα
τῶν ξυμποτῶν κλέψαντα; ΦΙ. ποίαν αὐλητρίδα;
τί ταῦτα ληρεῖς, ὥσπερ ἀπὸ τύμβου πεσών;
ΒΔ. νὴ τὸν Δί', αὕτη πού 'στί σοί γ' ἡ Δαρδανίς.
ΦΙ. οὔκ, ἀλλ' ἐν ἀγορᾷ τοῖς θεοῖς δᾲς κάεται.
ΒΔ. δᾲς ἥδε; ΦΙ. δᾲς δῆτ'. οὐχ ὁρᾷς ἐστιγμένην;
ΒΔ. τί δὲ τὸ μέλαν τοῦτ' ἐστὶν αὐτῆς τοὐν μέσῳ;
ΦΙ. ἡ πίττα δήπου καομένης ἐξέρχεται.
ΒΔ. ὁ δ' ὄπισθεν οὐχὶ πρωκτός ἐστιν οὑτοσί;
ΦΙ. ὄζος μὲν οὖν τῆς δᾳδὸς οὗτος ἐξέχει.
ΒΔ. τί λέγεις σύ; ποῖος ὄζος; οὐκ εἶ δεῦρο σύ;
ΦΙ. ἆ ἆ, τί μέλλεις δρᾶν; ΒΔ. ἄγειν ταύτην λαβὼν
ἀφελόμενός σε καὶ νομίσας σ' εἶναι σαπρὸν
κοὐδὲν δύνασθαι δρᾶν. ΦΙ. ἄκουσόν νυν ἐμοῦ.
Ὀλυμπίασιν ἡνίκ' ἐθεώρουν ἐγώ,
Ἐφουδίων ἐμαχέσατ' Ἀσκώνδᾳ καλῶς,
ἤδη γέρων ὤν· εἶτα τῇ πυγμῇ θενὼν
ὁ πρεσβύτερος κατέβαλε τὸν νεώτερον.
πρὸς ταῦτα τηροῦ μὴ λάβῃς ὑπώπια.
ΒΔ. νὴ τὸν Δί' ἐξέμαθές γε τὴν Ὀλυμπίαν.

ΑΡΤΟΠΩΛΙΣ.

ἴθι μοι παράστηθ', ἀντιβολῶ πρὸς τῶν θεῶν.
ὁδὶ γὰρ ἀνήρ ἐστιν ὅς μ' ἀπώλεσεν
τῇ δᾳδὶ παίων, κἀξέβαλεν ἐντευθενὶ
ἄρτους δέκ' ὀβολῶν κἀπιθήκην τέτταρας.
ΒΔ. ὁρᾷς ἃ δέδρακας; πράγματ' αὖ δεῖ καὶ δίκας
ἔχειν διὰ τὸν σὸν οἶνον. ΦΙ. οὐδαμῶς γ', ἐπεὶ
λόγοι διαλλάξουσιν αὐτὰ δεξιοί·
ὥστ' οἶδ' ὁτιὴ ταύτῃ διαλλαχθήσομαι.
ΑΡ. οὔ τοι μὰ τὼ θεὼ καταπροίξει Μυρτίας
τῆς Ἀγκυλίωνος θυγατέρος καὶ Σωστράτης,
οὕτω διαφθείρας ἐμοῦ τὰ φορτία.
ΦΙ. ἄκουσον, ὦ γύναι· λόγον σοι βούλομαι
λέξαι χαρίεντα. ΑΡ. μὰ Δία μή μοί γ', ὦ μέλε.
ΦΙ. Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας
θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.
κἄπειτ' ἐκεῖνος εἶπεν "ὦ κύον κύον,
εἰ νὴ Δί' ἀντὶ τῆς κακῆς γλώττης ποθὲν
πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκεῖς."
ΑΡ. καὶ καταγελᾷς μου; προσκαλοῦμαί σ' ὅστις εἶ,
πρὸς τοὺς ἀγορανόμους βλάβης τῶν φορτίων,
κλητῆρ' ἔχουσα Χαιρεφῶντα τουτονί.
ΦΙ. μὰ Δί', ἀλλ' ἄκουσον, ἤν τί σοι δόξω λέγειν.
Λᾶσός ποτ' ἀντεδίδασκε καὶ Σιμωνίδης·
ἔπειθ' ὁ Λᾶσος εἶπεν, ὀλίγον μοι μέλει.
ΑΡ. ἄληθες, οὗτος; ΦΙ. καὶ σὺ δή μοι, Χαιρεφῶν,
γυναικὶ κλητεύων ἔοικας θαψίνῃ,
Ἰνοῖ κρεμαμένῃ πρὸς ποδῶν Εὐριπίδου.
ΒΔ. ὁδί τις ἕτερος, ὡς ἔοικεν, ἔρχεται
καλούμενός σε· τόν γέ τοι κλητῆρ' ἔχει.

ΚΑΤΗΓΟΡΟΣ.

οἴμοι κακοδαίμων. προσκαλοῦμαί σ', ὦ γέρον,
ὕβρεως. ΒΔ. ὕβρεως; μή, μὴ καλέσῃ πρὸς τῶν θεῶν.
ἐγὼ γὰρ ὑπὲρ αὐτοῦ δίκην δίδωμί σοι,
ἣν ἂν σὺ τάξῃς, καὶ χάριν πρὸς εἴσομαι.
ΦΙ. ἐγὼ μὲν οὖν αὐτῷ διαλλαχθήσομαι
ἑκών· ὁμολογῶ γὰρ πατάξαι καὶ βαλεῖν.
ἀλλ' ἐλθὲ δευρί· πότερον ἐπιτρέπεις ἐμοί,
ὅ τι χρή μ' ἀποτίσαντ' ἀργύριον τοῦ πράγματος,
εἶναι φίλον τὸ λοιπόν, ἢ σύ μοι φράσεις;
ΚΑ. σὺ λέγε. δικῶν γὰρ οὐ δέομ' οὐδὲ πραγμάτων.
ΦΙ. ἀνὴρ Συβαρίτης ἐξέπεσεν ἐξ ἅρματος,
καί πως κατεάγη τῆς κεφαλῆς μέγα σφόδρα·
ἐτύγχανεν γὰρ οὐ τρίβων ὢν ἱππικῆς.
κἄπειτ' ἐπιστὰς εἶπ' ἀνὴρ αὐτῷ φίλος·
ἔρδοι τις ἣν ἕκαστος εἰδείη τέχνην.
ΒΔ. ὅμοιά σου καὶ ταῦτα τοῖς ἄλλοις τρόποις.
ΚΑ. ἀλλ' οὖν σὺ μέμνησ' αὐτὸς ἀπεκρίνατο.
ΦΙ. ἄκουε, μὴ φεῦγ'. ἐν Συβάρει γυνή ποτε
κατέαξ' ἐχῖνον. ΚΑ. ταῦτ' ἐγὼ μαρτύρομαι.
ΦΙ. οὑχῖνος οὖν ἔχων τιν' ἐπεμαρτύρατο·
εἶθ' ἡ Συβαρῖτις εἶπεν "εἰ ναὶ τὰν κόραν
τὴν μαρτυρίαν ταύτην ἐάσας ἐν τάχει
ἐπίδεσμον ἐπρίω, νοῦν ἂν εἶχες πλείονα."
οὕτω δὲ καὶ σὺ παράτρεχ' ἐς τὰ Πιττάλου.
ΚΑ. ὕβριζ', ἕως ἂν τὴν δίκην ἄρχων καλῇ.
ΒΔ. οὔ τοι μὰ τὴν Δήμητρ' ἔτ' ἐνταυθὶ μενεῖς,
ἀλλ' ἀράμενος ἐγὼ ΦΙ. τί ποιεῖς; ΒΔ. ὅ τι ποιῶ;
εἴσω φέρω σ' ἐντεῦθεν· εἰ δὲ μή, τάχα
κλητῆρες ἐπιλείψουσι τοὺς καλουμένους.
ΦΙ. Αἴσωπον οἱ Δελφοί ποτ' ΒΔ. ὀλίγον μοι μέλει.
ΦΙ. φιάλην ἐπῃτιῶντο κλέψαι τοῦ θεοῦ·
ὁ δ' ἔλεξεν αὐτοῖς ὡς ὁ κάνθαρός ποτε.
ΒΔ. οἴμ' ὡς ἀπολῶ σ' αὐτοῖσι τοῖσι κανθάροις.
ΧΟ. ζηλῶ γε τῆς εὐτυχίας
τὸν πρέσβυν, οἷ μετέστη
ξηρῶν τρόπων καὶ βιοτῆς·
ἕτερα δὲ νῦν ἀντιμαθὼν
ἦ μέγα πείσεταί τι
ἐπὶ τὸ τρυφῶν καὶ μαλακόν.

1450—1461. = 1462—1473.

---

1363. οἵοις RV. οἵως ceteri. 1365. ποθεῖς VΓ et Suidas s. v. σοφός. ποθεῖν ceteri. Fort. ληρεῖς. 1369. ποίαν] πῶς Florens Christianus. πόθεν D. 1371. σοί] τοι RVΓ et Suidas s. v. ταῦτα. αὕτη τοὔστι σοί γ' Meinekius. 1372. τοῖς θεοῖς] τοῖν θεοῖν Richterus. 1373. ἐστιγμένην] ἐσχισμένην Meinekius. Per διεστιγμένην et διερρηγμένην explicat scholiasta. 1374. αὐτῆς τοὐν] ἐν V, omisso αὐτῆς. 1380. σ' addidit Hirschigius. 1384. θενὼν D.] θένων 1386. ὑπώπια] ὑπώπιον V. 1405. δοκεῖς RV. δοκοῖς alii et Suidas s. v. Αἴσωπον: δοκῇς unus et Suidas s. v. μεθύση. 1412. ΑΡ. Brunckius] βδε ἡ θερά. R. βδε. alii. ΦΙ. addidit Reiskius. 1413. κλητεύων Dobraeus] κλητεύειν. ἔοικας Reiskius] ἐοικὼς

α
1415. ΒΔ. Brunckius] θερ R. θε ceteri et Aldus. 1417. ΚΑΤΗΓΟΡΟΣ Brunckius] Lineola mutatae personae index in R. ἀνήρ τις in Paris. C. Εὐ. (i. e. Εὐριπίδης) alii et Ald. οἴμοι] ὤμοι R. 1418. καλέσῃ Reiskius] καλέσῃς 1420. πρὸς εἴσομαι D.] προσείσομαι vel προείσομαι 1423. δευρί· πότερον Bentleius] δευρὶ πρότερον 1426. ΚΑ.] Lineola in R.
τ'
1432. ΒΔ ] βδε. πρὸς τὸν κλη R. σου] σοι R. 1433. αὐτὸς] οὗτος Meinekius. ἀπεκρίνατο D.] ἀπεκρίνατο 1440. In libris legitur post 1431. Transposuit Hermannus. 1441. ἄρχων D.] ἄρχων 1442. ἐνταυθὶ Elmsleius] ἐνταυθοῖ 1443. ἐγὼ D.] οἴσω σε RV. ἔγωγε alii. 1449. ἀπολῶ σ' Reiskius] ἀπολεῖς τοῖσι] τοῖς RV. τοῖς σοῖς Meinekius. 1450. γε] σε V et lemma scholii: om. Suidas s. v. οἷ. 1452. ξηρῶν] σκληρῶν Hirschigius. 1454. μέγα πείσεταί τι D.] μέγα τι μέγα πείσεται R. μέγα τι μεταπείσεται V, et μεταπείσεται in scholio. μέγα τι πείσεται Paris. B. μεταπείσεται Flor. Δ. μεταπείσετ' Aldus. ἤθη μεταπεσεῖται Dobraeus, praeeunte Bentleio, qui μεταπεσεῖτ' pro Aldino μεταπείσετ' coniecerat. 1455. ἐπὶ τὸ τρυφῶν D.] ἐπιτρυφὸν (hoc accentu) R. ἐπὶ τὸ ῥυφᾶν V. ἐπὶ τὸ τρυφερὸν ceteri.

τάχα δ' ἂν ἴσως οὐκ ἐθέλοι.
τὸ γὰρ ἀποστῆναι χαλεπὸν
φύσεος, ἣν ἔχοι τις ἀεί.
καίτοι πολλοὶ ταῦτ' ἔπαθον·
ξυνόντες γνώμαις ἑτέρων
μετεβάλοντο τοὺς τρόπους.
πολλοῦ δ' ἐπαίνου παρ' ἐμοὶ
καὶ τοῖσιν εὖ φρονοῦσιν
τυχὼν ἄπεισιν διὰ τὴν
φιλοπατρίαν καὶ σοφίαν
ὁ παῖς ὁ Φιλοκλέωνος.
οὐδενὶ γὰρ οὕτως ἀγανῷ
ξυνεγενόμην οὐδὲ τρόποις
ἐπεμάνην, οὐδ' ἐξεχύθην.
τί γὰρ ἐκεῖνος ἀντιλέγων
οὐ κρείττων ἦν, βουλόμενος
τὸν φύσαντα σεμνοτέροις
κατακομῆσαι πράγμασι;
ΞΑ. νὴ τὸν Διόνυσον, ἄπορά γ' ἡμῖν πράγματα
δαίμων τις ἐσκεκύκληκεν ἐς τὴν οἰκίαν.
ὁ γὰρ γέρων ὡς ἔπιε διὰ πολλοῦ χρόνου
ἤκουσέ τ' αὐλοῦ, περιχαρὴς τῷ πράγματι
ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται
τἀρχαῖ' ἐκεῖν' οἷς Θέσπις ἠγωνίζετο·
καὶ τοὺς τραγῳδούς φησιν ἀποδείξειν κρόνους
τοὺς νῦν διορχησάμενος ὀλίγον ὕστερον.
ΦΙ. τίς ἐπ' αὐλείοισι θύραις θάσσει;
ΞΑ. τουτὶ καὶ δὴ χωρεῖ τὸ κακόν.
ΦΙ. κλῇθρα χαλάσθω τάδε. καὶ δὴ γὰρ
σχήματος ἀρχὴ
ΞΑ. μᾶλλον δέ γ' ἴσως μανίας ἀρχή.
ΦΙ. πλευρὰν λυγίσαντος ὑπὸ ῥύμης·
οἷον μυκτὴρ μυκᾶται καὶ
σφόνδυλος ἀχεῖ. ΞΑ. πῖθ' ἐλλέβορον.
ΦΙ. πτήσσει Φρύνιχος ὥς τις ἀλέκτωρ,
ΞΑ. τάχα βαλλήσεις.
ΦΙ. σκέλος οὐράνιόν γ' ἐκλακτίζων.
πρωκτὸς χάσκει. ΞΑ. κατὰ σαυτὸν ὅρα.
ΦΙ. νῦν γὰρ ἐν ἄρθροις τοῖς ἡμετέροις
στρέφεται χαλαρὰ κοτυληδών.
ΞΑ. οὐκ εὖ μὰ Δί' οὐ δῆτ', ἀλλὰ μανικὰ πράγματα.
ΦΙ. φέρε νυν ἀνείπω κἀνταγωνιστὰς καλῶ.
εἴ τις τραγῳδός φησιν ὀρχεῖσθαι καλῶς,
ἐμοὶ διορχησόμενος ἐνθάδ' εἰσίτω.
φησίν τις, ἢ οὐδείς; ΞΑ. εἷς γ' ἐκεινοσί μόνος.
ΦΙ. τίς ὁ κακοδαίμων ἐστίν; ΞΑ. υἱὸς Καρκίνου
ὁ μέσατος. ΦΙ. ἀλλ' οὗτός γε καταποθήσεται·
ἀπολῶ γὰρ αὐτὸν ἐμμελείᾳ κονδύλου.
ἐν τῷ ῥυθμῷ γὰρ οὐδέν ἐστ'. ΞΑ. ἀλλ', ὠζυρέ,
ἕτερος τραγῳδὸς Καρκινίτης ἔρχεται,
ἀδελφὸς αὐτοῦ. ΦΙ. νὴ Δί' ὠψώνηκ' ἄρα.
ΒΔ. μὰ τὸν Δί' οὐδὲν ἄλλο πλήν γε καρκίνους.
προσέρχεται γὰρ ἕτερος αὖ τῶν Καρκίνου.
ΦΙ. τουτὶ τί ἦν τὸ προσέρπον; ὀξὶς, ἢ φάλαγξ;
ΞΑ. ὁ πινοτήρης οὗτός ἐστι τοῦ γένους,
ὁ σμικρότατος, ὃς τὴν τραγῳδίαν ποιεῖ.
ΦΙ. ὦ Καρκίν', ὦ μακάριε τῆς εὐπαιδίας·
ὅσον τὸ πλῆθος κατέπεσεν τῶν ὀρχίλων.
ἀτὰρ καταβατέον γ' ἐπ' αὐτούς μοι· σὺ δὲ
ἅλμην κύκα τούτοισιν, ἢν ἐγὼ κρατῶ.
ΧΟ. φέρε νυν ἡμεῖς αὐτοῖς ὀλίγον ξυγχωρήσωμεν ἅπαντες,
ἵν' ἐφ' ἡσυχίας ἡμῶν πρόσθεν βεμβικίζωσιν ἑαυτούς.
ἄγ', ὦ μεγαλώνυμα τέκνα
τοῦ θαλασσίοιο,
πηδᾶτε παρὰ ψάμαθον
καὶ θῖν' ἁλὸς ἀτρυγέτου,
καρίδων ἀδελφοί·
ταχὺν πόδα κυκλοσοβεῖτε,
καὶ τὸ Φρυνίχειον
ἐκλακτισάτω τις, ὅπως
ἰδόντες ἄνω σκέλος ὠ-
ζωσιν οἱ θεαταί.
στρόβει, παράβαινε κύκλῳ καὶ γάστρισον σεαυτόν,
ῥίπτε σκέλος οὐράνιον· βέμβικες ἐγγενέσθων.
καὐτὸς γὰρ ὁ ποντομέδων ἄναξ πατὴρ προσέρπει
ἡσθεὶς ἐπὶ τοῖσιν ἑαυτοῦ παισὶ τοῖς τριόρχοις.
ἀλλ' ἐξάγετ', εἴ τι φιλεῖτ' ὀρχούμενοι, θύραζε
ἡμᾶς ταχύ· τοῦτο γὰρ οὐδείς πω πάρος δέδρακεν,
ὀρχούμενον ὅστις ἀπήλλαξεν χορὸν τρυγῳδῶν.

1518—1522. = 1523—1527.

---

Scholiasta, οἷον ἐπὶ τὸ τρυφᾶν μαλακῶς, et corrupte in cod. Ven. μεταπείσεται τὸ τρυφᾶν καὶ μαλακὸν καὶ ἐπιμάλακον. Incerta huius loci emendatio est, quum non satis constet de metro versus antistrophici 1466. qui iambicus erit si cum libris optimis scribatur ὁ παῖς ὁ Φιλοκλέωνος, ithyphallicus si cum aliis παῖς ὁ Φιλοκλέωνος. In versu strophico si recte legitur ἢ, etiam μέγα servandum erit: quae saepe coniuncta reperiuntur. Incertum vero est nec satis aptum πείσεται, ad quae accedit quod choriambo (ἢ μέγα πεί-) in versu antistrophico dipodia iambica respondet, quod raro factum est.

1458. φύσεος] φύσεως RVBC. et Suidas s. v. ἀπόστηθι. ἔχοι R. ἔχει ceteri. 1459. ταῦτ'] Praestat τοῦτ'. 1461. μετεβάλοντο BCΔ. μετεβάλλοντο ceteri. μετέβαλλον Suidas. 1466. ὁ παῖς RVC. ὁ om. ceteri. 1473. κατακομῆσαι Meinekius] κατακοσμῆσαι (γρ. κατακηλῆσαι V). 1474. ΞΑ. hic et infra Brunckius] ΟΙ. (i. e. οἰκέτης) πράγματα] τὰ πράγματα RV. 1481. τοὺς νῦν Bentleius] τὸν νοῦν, cum Suida s. v. κρονικώτερα. διορχησάμενος RVΔ. διορχησόμενος ceteri et Suidas. 1482. αὐλείοισι] αὐλείαισι V. 1484. καὶ δὴ γὰρ RV. καὶ γὰρ δὴ ceteri. 1487. ῥύμης Lobeckius ad Phryn. p. 404.] ῥώμης 1490. πτήσσει] πτήσει V. πλήσσει Bentleius. πτήσσει etiam apud Aelian. V. H. 13, 17. 1491. βαλλήσεις] βαλλήσῃ R. 1492. γ' om. RV. Ad hunc versum et 1530. fortasse referenda Hesychii glossa οὐρανίαν. cuius tamen ex verbis παρὰ τοῦτο ἔπαιξεν Ἀριστοφάνης non magis quum ex scholio ad v. 1530. colligi potest Aristophanem οὐρανίαν scripsisse, quum aptius sit οὐράνιον cum σκέλος coniunctum.

1496—1510. In hoc colloquio libri Bdelycleoni tribuunt quae Xanthiae tribuenda esse ostendit Beerius p. 144. 1496. ΒΔ. οὐκ εὖ μὰ] οὐκ εὖ; ΒΔ. μὰ Dobraeus. 1502. μέσατος] μεσαίτατος R. 1507. οὐδὲν Brunckius] οὐδέν γ' 1510. πινοτήρης RV. πιννοτήρης ceteri: quod apud Sophoclem quoque corrigendum fragm. 116. 1514. μοι· σὺ δὲ Hermannus] μ' ὠζυρὲ 1518—1527. ἡμιχορίῳ tribuunt libri. 1519. 1521. θαλασσίοιο — ἀτρυγέτου D.] θαλασσίου — ἀτρυγέτοιο. θαλασσίου θεοῦ (θεοῦ monosyllabo) Bergkius. 1523. πόδα κυκλοσοβεῖτε D.] πόδ' ἐν κύκλῳ σοβεῖτε (στροβεῖτε, γρ. σοβεῖτε V) 1526. ὤζωσιν] ὤιζωσιν R. 1528—1537. ἡμιχορίῳ tribuunt libri. Lineola est in R. 1533. τοῖς codex Havniensis. τοῖσι ceteri. τριόρχοις RVΓ. τριόρχαις ceteri. 1536. ἐξάγετ' — ἡμᾶς] ἐξάγετε ἑαυτοὺς ἔξω explicat scholiasta: unde ὑμᾶς Bentleius. 1537. ὀρχούμενον ὅστις] ὀρχούμενος ὅστις Γ. ὀρχούμενός τις R. τρυγῳδῶν RV. τραγῳδῶν ceteri.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΙΡΗΝΗ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΟΙΚΕΤΑΙ ΔΥΟ Τρυγαίου.
ΤΡΥΓΑΙΟΣ.
ΚΟΡΑΙ, θυγατέρες Τρυγαίου.
ΕΡΜΗΣ.
ΠΟΛΕΜΟΣ.
ΚΥΔΟΙΜΟΣ.

ΧΟΡΟΣ ΓΕΩΡΓΩΝ.
ΙΕΡΟΚΛΗΣ, μάντις.
ΔΡΕΠΑΝΟΥΡΓΟΣ.
ΛΟΦΟΠΟΙΟΣ.
ΘΩΡΑΚΟΠΩΛΗΣ.
ΣΑΛΠΙΓΓΟΠΟΙΟΣ.
ΚΡΑΝΟΠΟΙΟΣ.

ΔΟΡΥΞΟΣ.
ΠΑΙΣ ΛΑΜΑΧΟΥ.
ΠΑΙΣ ΚΛΕΩΝΥΜΟΥ.
ΕΙΡΗΝΗ, ΟΠΩΡΑ, ΘΕΩΡΙΑ } κωφὰ πρόσωπα.

## ΥΠΟΘΕΣΙΣ.

I. Ἤδη τῷ Πελοποννησιακῷ πολέμῳ κεκμηῶτας τοὺς Ἀθηναίους καὶ τοὺς σύμπαντας Ἕλληνας Ἀριστοφάνης ἰδὼν (ἱκανὸς γὰρ διιππεύκει πολεμούντων αὐτῶν χρόνος) τὸ δρᾶμα συνέγραψε τοῦτο, προτρέπων τὰς πόλεις καταθέσθαι μὲν τὴν πρὸς αὑτὰς φιλονεικίαν, ὁμόνοιαν δὲ καὶ εἰρήνην ἀντὶ τῆς πρότερον ἔχθρας ἑλέσθαι. παρεισάγει τοίνυν γεωργὸν, Τρυγαῖον τοὔνομα, μάλιστα τῆς εἰρήνης ἀντιποιούμενον. ὃς ἀσχάλλων ἐπὶ τῷ πολέμῳ εἰς οὐρανὸν ἀνελθεῖν ἐβουλεύσατο πρὸς τὸν Δία, πευσόμενος παρ' αὐτοῦ δι' ἣν αἰτίαν οὕτως ἐκτρύχει τὰ τῶν Ἑλλήνων πράγματα, τοσοῦτον ποιήσας πόλεμον αὐτοῖς. ὃν δὴ διαποροῦντα τίνα τρόπον τὴν εἰς οὐρανὸν πορείαν ποιήσει, παρεισάγει τρέφοντα κάνθαρον ὡς ἀναπτησόμενον εἰς οὐρανὸν δι' αὐτοῦ, Βελλεροφόντου δίκην. προλογίζουσι δὲ οἱ δύο θεράποντες αὐτοῦ, οἷς καὶ ἐκτρέφειν προσετέτακτο τὸν κάνθαρον, δυσφοροῦντες ἐπὶ τοῖς αὐτοῦ σιτίοις. ἡ δὲ σκηνὴ τοῦ δράματος ἐκ μέρους μὲν ἐπὶ τῆς γῆς, ἐκ μέρους δὲ ἐπὶ τοῦ οὐρανοῦ. ὁ δὲ χορὸς συνέστηκεν ἔκ τινων ἀνδρῶν Ἀττικῶν γεωργῶν.

II. Φέρεται[a] ἐν ταῖς Διδασκαλίαις δὶς[b] δεδιδαχὼς[c] Εἰρήνην ὁμωνύμως ὁ Ἀριστοφά-

[a] Φέρεται] φαίνεται V. Φέρειν de didascaliis dictum ap. schol. Arist. Rav. 67. οὕτω γὰρ καὶ αἱ Διδασκαλίαι φέρουσι, τελευτήσαντος Εὐριπίδου τὸν υἱὸν αὐτοῦ δεδιδαχέναι ὁμωνύμως (ὁμώνυμον substituit corrector in cod. Ven. 475. qui ex codice 474 descriptus est, in quo ὁμωνύμως) ἐν ἄστει Ἰφιγένειαν, Ἀλκμαίωνα, Βάκχας.

[b] δὶς addidi

[c] δεδιδαχὼς RV. ὅτι καὶ ἑτέραν δεδίδαχεν ed. Aldina, quae fortasse Musuri interpolatio est, cuius absurditatem, quae ex verbis inferioribus ἢ ἑτέραν καθῆκεν manifesta fit, quum ego sensissem, in editione scholiorum Oxoniensi vol. 3. p. 5, 20. non solum codicum RV scripturam restitui, sed etiam ὁμοίως, quod post Εἰρήνην in libris legitur, in ὁμωνύμως mutavi. Eodem redit quod Rogersius in editione huius fabulae Londinensi (a. 1866.) p. XXXIV. coniecit, ἐν ταῖς Διδασκαλίαις δεδιδαχὼς Εἰρήνην δὶς ὁ Ἀριστοφάνης, erroris originem minus probabiliter ab compendio μ̄ς repetens, quo ὁμοίως interdum exprimatur (ut apud Gaisfordum

νης.[d] ἄδηλον οὖν, φησὶν Ἐρατοσθένης, πότερον τὴν αὐτὴν ἀνεδίδαξεν, ἢ ἑτέραν καθῆκεν, ἥτις οὐ σώζεται. Κράτης μέντοι δύο οἶδε δράματα γράφων οὕτως "ἀλλ' οὖν γε ἐν τοῖς Ἀχαρνεῦσιν, ἢ Βαβυλωνίοις, ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ." καὶ σποράδην δέ τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔστιν.

III. Τρυγαῖος[e] ἄγροικος πρεσβύτης Ἀθήνησιν ὀχούμενος ἐπὶ κανθάρου ὑπὲρ τῆς Ἑλλάδος εἰς τὸν οὐρανὸν ἀναφέρεται. γενόμενος δὲ κατὰ τὴν τοῦ Διὸς οἰκίαν ἐντυγχάνει τῷ Ἑρμῇ καὶ ἀκούει ὅτι, μετοικισαμένων τῶν θεῶν εἰς τὰ τοῦ οὐρανοῦ ἀνωτάτω[f] διὰ τὴν τῶν Ἑλλήνων ἀλληλοκτονίαν, ἐνοικισάμενος ὁ Πόλεμος εἰς ἄντρον τὴν Εἰρήνην εἴρξας λίθους ἐπιφορήσειε, καὶ νῦν μέλλει τὰς πόλεις ἐμβαλὼν ἐν θυείᾳ τρίβειν. καὶ μέχρι μέν τινος ἐναγώνιος γίνεται· ἐπεὶ δὲ μεταπεμπομένου τοῦ Πολέμου παρὰ Ἀθηναίων δοίδυκα Κλέωνα καὶ παρὰ Λακεδαιμονίων Βρασίδαν ἑκάτεροι χρήσαντες ἀπολωλεκέναι εἰς Θρᾴκην ἔφασαν, ἀναθαρρεῖ· καὶ ἐν ᾧ περὶ κατασκευὴν δοίδυκος ὁ Πόλεμος γίνεται, κηρύττει τοὺς δημιουργούς, ἔτι δὲ καὶ ἐμπόρους ἅμα μοχλοὺς καὶ σχοινία λαβόντας παραγενέσθαι. συνδραμόντων δὲ πολλῶν ἐν χοροῦ σχήματι προθύμως ἀφέλκει τε τοὺς λίθους ἀπὸ τοῦ ἄντρου καὶ καθικετεύσας τὸν Ἑρμῆν συλλαβέσθαι ἐξάγει πρὸς τὸ φῶς τὴν Εἰρήνην, ἀσμένως[g] δὲ τῆς θεᾶς πᾶσιν ὀφθείσης, καὶ παρ' αὐτὴν εὐθέως Ὀπώρας τε καὶ Θεωρίας ἀναφανεισῶν, συμπαρὼν ὁ Ἑρμῆς ἀνιστορούσης τι τῆς Εἰρήνης καὶ πυνθανομένης τὰ περὶ τὸν Τρυγαῖον διασαφεῖ τὰ δέοντα· πάλιν ἀποφαινομένης πρὸς τοῦτο μηνύει, προδιελθόντος αὐτοῦ καὶ περὶ τῆς ἀρχῆς τοῦ πολέμου καὶ δι' ἃς αἰτίας συνέστη, Φειδίου τε καὶ Περικλέους μνησθέντος. τὰ λοιπὰ τοῦ δράματος ἐπὶ τῆς γῆς ἤδη περαίνεται, καὶ ὁ μὲν χορὸς περὶ τῆς τοῦ ποιητοῦ τέχνης χἀτέρων τινῶν πρὸς τοὺς θεατὰς διαλέγεται, ὁ δὲ Τρυγαῖος, καθὰ συνέταξεν ὁ Ἑρμῆς, τὴν μὲν Θεωρίαν τῇ βουλῇ συνέστησεν, αὐτὸς δὲ τὴν Ὀπώραν γαμεῖν διαγνοὺς τὴν Εἰρήνην ἱδρύεται, καὶ θύσας[h] ἐν τῷ προφανεῖ πρὸς εὐωχίαν τρέπεται. ἐντεῦθεν οἵ τε τῶν εἰρηνικῶν ὅπλων δημιουργοὶ χαίροντες καὶ οἱ τῶν πολεμικῶν τοὔμπαλιν κλαίοντες. εἰσάγεται δὲ καὶ ἐπὶ τέλει τοῦ λόγου παιδία τινὰ τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον λέγοντα ῥήσεις γελωτοποιούς. τὸ δὲ δρᾶμα τῶν ἄγαν ἐπιτετηδευμένων.[i] τὸ δὲ κεφάλαιον τῆς κωμῳδίας ἐστὶ τοῦτο· συμβουλεύει Ἀθηναίοις σπείσασθαι πρὸς Λακεδαιμονίους καὶ τοὺς ἄλλους Ἕλληνας. οὐ τοῦτο δὲ μόνον ὑπὲρ εἰρήνης Ἀριστοφάνης τὸ δρᾶμα τέθεικεν[k], ἀλλὰ καὶ τοὺς Ἀχαρνέας καὶ τοὺς Ἱππέας καὶ Ὁλκάδας, καὶ πανταχοῦ τοῦτο ἐσπούδακεν, τὸν δὲ Κλέωνα κωμῳδῶν τὸν ἀντιλέγοντα καὶ Λάμαχον τὸν φιλοπόλεμον ἀεὶ διαβάλλων. διὸ καὶ νῦν διὰ τούτου τοῦ δράματος εἰρήνης αὐτοὺς ἐπιθυμεῖν ποιεῖ, δεικνὺς ὁπόσα μὲν ὁ πόλεμος κακὰ ἐργάζεται, ὅσα δὲ ἀγαθὰ ἡ εἰρήνη ποιεῖ. οὐ μόνος δὲ περὶ εἰρήνης συνεβούλευσεν, ἀλλὰ καὶ ἄλλοι πολλοὶ ποιηταί. οὐδὲν γὰρ συμβούλων διέφερον· ὅθεν αὐτοὺς καὶ διδασκάλους ὠνόμασαν, ὅτι πάντα τὰ πρόσφορα διὰ δραμάτων αὐτοὺς ἐδίδασκον. ἐνίκησε δὲ τῷ δράματι ὁ ποιητὴς ἐπὶ ἄρχοντος Ἀλκαίου ἐν ἄστει· πρῶτος[l] Εὔπολις Κόλαξι, δεύτερος Ἀριστοφάνης Εἰρήνῃ, τρίτος Λεύκων Φράτερσι. τὸ δὲ δρᾶμα ὑπεκρίνατο Ἀπολλόδωρος, ἡνίκα ἑρμῆν λοιοκρότης.[m]

---

videre licet in annot. ad Etym. M. s. v. κῶλα, ναῦς, σύμβολα). Ὁμωνύμως autem significat in utroque Διδασκαλιῶν loco fabulam simpliciter Εἰρήνη fuisse appellatam, nulla addita nota qua altera Εἰρήνη a priore distingueretur.

[d] ὁ Ἀριστοφάνης RV. ὁ om. Aldus.

[e] III. Τρυγαῖος —] Hoc argumentum, quo caret R, legitur in V et ed. Aldina, cuius de interpolationibus dixi in annot. ad scholia vol. 3. p. 3.

[f] ἀνωτάτω] Videtur ἀνώτατα scripsisse: nam adverbio si usus esset, τὰ ἀνωτάτω τοῦ οὐρανοῦ potius dicendum fuisset.

[g] ἀσμένως] ἀσμένοις Meinekius, ut est in hac fabula v. 582.

[h] θύσας Meinekius] οὖσα

[i] ἐπιτετηδευμένων D.] ἐπιτετευγμένων

[k] τέθεικεν] Fort. καθῆκεν.

[l] πρῶτος — δεύτερος D.] πρῶτον — δεύτερον

[m] ἑρμῆν λοιοκρότης] Fortasse ἔτ' ἦν ὑποκριτής.

ΟΙΚΕΤΗΣ Α.
Αἶρ' αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ.
ΟΙΚΕΤΗΣ Β.
ἰδού. δὸς αὐτῷ τῷ κάκιστ' ἀπολουμένῳ,
καὶ μήποτ' αὐτῆς μᾶζαν ἡδίω φάγοι.
ΟΙ. Α. δὸς μᾶζαν ἑτέραν ἐξ ὀνίδων πεπλασμένην.
ΟΙ. Β. ἰδοὺ μάλ' αὖθις. ποῦ γὰρ ἣν νῦν δὴ 'φερον;
ἢ κατέφαγεν; ΟΙ. Α. μὰ τὸν Δί', ἀλλ' ἐξαρπάσας
ὅλην ἐνέκαψε περικυλίσας τοῖν ποδοῖν.
ἀλλ' ὡς τάχιστα τρῖβε πολλὰς καὶ πυκνάς.
ΟΙ. Β. ἄνδρες κοπρολόγοι, προσλάβεσθε πρὸς θεῶν,
εἰ μή με βούλεσθ' ἀποπνιγέντα περιιδεῖν.
ΟΙ. Α. ἑτέραν ἑτέραν δὸς παιδὸς ἡταιρηκότος·
τετριμμένης γάρ φησιν ἐπιθυμεῖν. ΟΙ. Β. ἰδού.
ἑνὸς μέν, ὦνδρες, ἀπολελύσθαι μοι δοκῶ·
οὐδεὶς γὰρ ἂν φαίη με μάττοντ' ἐσθίειν.
ΟΙ. Α. αἰβοῖ, φέρ' ἄλλην χἀτέραν μοι χἀτέραν,
καὶ τρῖβ' ἔθ' ἑτέρας. ΟΙ. Β. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ·
οὐ γὰρ ἔθ' οἷός τ' εἴμ' ὑπερέχειν τῆς ἀντλίας.
ΟΙ. Α. αὐτὴν ἄρ' οἴσω ξυλλαβὼν τὴν ἀντλίαν.
ΟΙ. Β. νὴ τὸν Δί' ἐς κόρακάς γε, καὶ σαυτόν γε πρός.
ὑμῶν δέ γ' εἴ τις οἶδ' ἐμοὶ κατειπάτω
πόθεν ἂν πριαίμην ῥῖνα μὴ τετρημένην.
οὐδὲν γὰρ ἔργον ἦν ἄρ' ἀθλιώτερον
ἢ κανθάρῳ μάττοντα παρέχειν ἐσθίειν.
ὗς μὲν γάρ, ὥσπερ ἂν χέσῃ τις, ἢ κύων,
φαύλως ἐρείδει· τοῦτο δ' ὑπὸ φρονήματος
βρενθύεταί τε καὶ φαγεῖν οὐκ ἀξιοῖ,
ἢν μὴ παραθῶ τρίψας δι' ἡμέρας ὅλης
ὥσπερ γυναικὶ γογγύλην μεμαγμένην.
ἀλλ' εἰ πέπαυται τῆς ἐδωδῆς σκέψομαι
τηδὶ παροίξας τῆς θύρας, ἵνα μή μ' ἴδῃ.
ἔρειδε, μὴ παύσαιο μηδέποτ' ἐσθίων
τέως ἕως σαυτὸν λάθοις διαρραγείς.
οἷον δὲ κύψας ὁ κατάρατος ἐσθίει,
ὥσπερ παλαιστής, παραβαλὼν τοὺς γομφίους,
καὶ ταῦτα τὴν κεφαλήν τε καὶ τὼ χεῖρέ πως
ὡδὶ περιάγων, ὥσπερ οἱ τὰ σχοινία
τὰ παχέα συμβάλλοντες ἐς τὰς ὁλκάδας.
ΟΙ. Α. μιαρὸν τὸ χρῆμα καὶ κάκοσμον καὶ βορόν,
χὤτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολὴ
οὐκ οἶδ'. Ἀφροδίτης μὲν γὰρ οὔ μοι φαίνεται,
οὐ μὴν Χαρίτων γε. ΟΙ. Β. τοῦ γάρ ἐστ'; ΟΙ. Α. οὐκ ἔσθ' ὅπως
τοῦτ' ἔστι τὸ τέρας οὐ Διὸς σκαταιβάτου.
ΟΙ. Β. οὐκοῦν ἂν ἤδη τῶν θεατῶν τις λέγοι
νεανίας δοκησίσοφος "τὸ δὲ πρᾶγμα τί;
ὁ κάνθαρος δὲ πρὸς τί;" κᾆτ' αὐτῷ γ' ἀνὴρ
Ἰωνικός τίς φησι παρακαθήμενος
"δοκέω μέν, ἐς Κλέωνα τοῦτ' αἰνίσσεται,
ὡς κεῖνος ἀναιδέως σπατίλην ἐσθίει."
ἀλλ' εἰσιὼν τῷ κανθάρῳ δώσω πιεῖν.
ΟΙ. Α. ἐγὼ δὲ τὸν λόγον γε τοῖσι παιδίοις
καὶ τοῖσιν ἀνδρίοισι καὶ τοῖς ἀνδράσιν
καὶ τοῖς ὑπερτάτοισιν ἀνδράσιν φράσω
καὶ τοῖς ὑπερηνορέουσιν ἔτι τούτοις μάλα.
ὁ δεσπότης μου μαίνεται καινὸν τρόπον,
οὐχ ὅνπερ ὑμεῖς, ἀλλ' ἕτερον καινὸν πάνυ.
δι' ἡμέρας γὰρ ἐς τὸν οὐρανὸν βλέπων
ὡδὶ κεχηνὼς λοιδορεῖται τῷ Διί,
καί φησιν "ὦ Ζεῦ, τί ποτε βουλεύει ποιεῖν;
κατάθου τὸ κόρημα· μὴ 'κκόρει τὴν Ἑλλάδα."
ΤΡΥΓΑΙΟΣ.
ἔα ἔα.
ΟΙ. Α. σιγήσαθ', ὡς φωνῆς ἀκούειν μοι δοκῶ.
ΤΡ. ὦ Ζεῦ, τί δρασείεις ποθ' ἡμῶν τὸν λεών;
λήσεις σεαυτὸν τὰς πόλεις ἐκκοκκίσας.
ΟΙ. Α. τοῦτ' ἔστι τουτὶ τὸ κακὸν αὔθ' οὑγὼ 'λεγον.
τὸ γὰρ παράδειγμα τῶν μανιῶν ἀκούετε·
ἃ δ' εἶπε πρῶτον ἡνίκ' ἤρχεθ' ἡ χολή,
πεύσεσθ'. ἔφασκε γὰρ πρὸς αὐτὸν ἐνθαδὶ
"πῶς ἂν ποτ' ἀφικοίμην ἂν εὐθὺ τοῦ Διός;"
ἔπειτα λεπτὰ κλιμάκια ποιούμενος,
πρὸς ταῦτ' ἀνηρριχᾶτ' ἂν ἐς τὸν οὐρανόν,
ἕως ξυνετρίβη τῆς κεφαλῆς καταρρυείς.
ἐχθὲς δὲ μετὰ ταῦτ' ἐκφθαρεὶς οὐκ οἶδ' ὅποι
εἰσήγαγ' Αἰτναῖον μέγιστον κάνθαρον,
κἄπειτα τοῦτον ἱπποκομεῖν μ' ἠνάγκασεν,
καὐτὸς καταψῶν αὐτὸν ὥσπερ πωλίον,
"ὦ Πηγάσειον, φησί, γενναῖον πτερόν,
ὅπως πετήσει μ' εὐθὺ τοῦ Διὸς λαβών."
ἀλλ' ὅ τι ποιεῖ τηδὶ διακύψας ὄψομαι.
οἴμοι τάλας· ἴτε δεῦρο δεῦρ', ὦ γείτονες·
ὁ δεσπότης γάρ μου μετέωρος αἴρεται
ἱππηδὸν ἐς τὸν ἀέρ' ἐπὶ τοῦ κανθάρου.
ΤΡ. ἥσυχος ἥσυχος, ἠρέμα, κάνθων·
μή μοι σοβαρῶς χώρει λίαν
εὐθὺς ἀπ' ἀρχῆς ῥώμῃ πίσυνος,
πρὶν ἂν ἰδίῃς καὶ διαλύσῃς
ἄρθρων ἶνας πτερύγων ῥύμῃ.
καὶ μὴ πνεῖ μοι κακόν, ἀντιβολῶ σ'·
εἰ δὲ ποιήσεις τοῦτο, κατ' οἴκους
αὐτοῦ μεῖνον τοὺς ἡμετέρους.
ΟΙ. Α. ὦ δέσποτ' ἄναξ, ὡς παραπαίεις.
ΤΡ. σίγα σίγα.
ΟΙ. Α. ποῖ δῆτ' ἄλλως μετεωροκοπεῖς;
ΤΡ. ὑπὲρ Ἑλλήνων πάντων πέτομαι,
τόλμημα νέον παλαμησάμενος.
ΟΙ. Α. τί πέτει; τί μάτην οὐχ ὑγιαίνεις;
ΤΡ. εὐφημεῖν χρὴ καὶ μὴ φλαῦρον
μηδὲν γρύζειν, ἀλλ' ὀλολύζειν·
τοῖς τ' ἀνθρώποισι φράσον σιγᾶν,

---

1—81. ΟΙΚΕΤΗΣ Α. — ΟΙΚΕΤΗΣ Β.] Sic Brunckius. In ed. Ald. et codicibus prior servus sigla Οἰ., alter ἕτ. (i. e. ἕτερος) significatur, versibus sic inter eos distributis: 1. Οἰ. αἶρ'—. 2. ἕτ. ἰδού. οἰ. δὸς — ἀπολουμένῳ. 3. ἕτ. καὶ μήποτ' —. 4. οἰ. δὸς —. 5. ἕτ. ἰδοὺ μάλ' αὖθις. οἰ. ποῦ — κατέφαγεν. 6. ἕτ. μὰ τὸν — ποδοῖν. 8. οἰ. ἀλλ' —. 9. ἕτ. ἄνδρες —. 11. οἰ. ἑτέραν — ἐπιθυμεῖν. 12. ἕτ. ἰδού —. 15. οἰ. αἰβοῖ —. 16. ἕτ. μὰ τὸν — ἀντλίαν. 19. οἰ. νὴ τὸν —. 20—39. ἕτ. ὑμῶν —. 40—42. οἰ. οὐκ —. 43—49. ἕτ. οὐκοῦν —. 50—61. οἰ. ἐγὼ —. (62. 63. τρυ. i. e. Τρυγαῖος.) 64—81. οἰ. In quibus quae perversa sunt partim Dobraeus, partim Beerius, quem v. p. 156., partim Meinekius correxerunt. 5. 'φερον Meinekius] 'φερες 6. ἢ D.] οὐ 7. περικυλίσας Bentleius] περικυκλίσας 16. ἔθ' addidit D. ἑτέρας RV. ἑτέρας γε ceteri. 18. ξυλλαβὼν RV et Suidas s. v. ἀντλία. προσλαβὼν ceteri et schol. 32. λάθοις Reisigius] λάθῃς 42. σκαταιβάτου Meinekius] καταιβάτου. Scholiasta, παίζει καταιβάτην (recte Meinekius σκαταιβάτην) αὐτὸν καλῶν, ἐπεὶ σκάτοις τρέφεται ὁ κάνθαρος.

47. αἰνίσσεται Dobraeus] αἰνίττεται 48. ἀναιδέως RV. ἀναιδῶς ceteri. σπατίλην Elmsleius] τὴν σπατίλην 52. ὑπερτάτοισιν Paris. B. ὑπὲρ τούτοισιν ceteri. 60. ἔα ἔα servo continuatum in libris Trygaeo tribuit Brunckius. 70. ἀνηρριχᾶτ' D.] ἀνερριχᾶτ'. ἀναρριχᾶτ' Etym. M. p. 99, 29. qui ib. lin. 8. imperfectum ponit ἀνηρριχώμην: de quo dixit L. Dindorfius in Thesauro s. hoc v. p. 545. 76. Πηγάσειον D. in Thesauro vol. 6. p. 1032. πηγάσιον RV. πηγάσιόν μοι ceteri. 90. Οἰ. Α.] Α hic et in sequentibus om. libri. Male Brunckius omnia Οἰκέτῃ B. tribuit. 98. ἀνθρώποισι] ἀνθρώποις R. ἀνθρώποις φράζω Dobraeus.

τούς τε κοπρῶνας καὶ τὰς λαύρας
καιναῖς πλίνθοισιν ἀποικοδομεῖν,
καὶ τοὺς πρωκτοὺς ἐπικλῄειν.
ΟΙ. Α. οὐκ ἔσθ' ὅπως σιγήσομ', ἥν μή μοι φράσῃς
ὅποι πέτεσθαι διανοεῖ. ΤΡ. τί δ' ἄλλο γ' ἢ
ὡς τὸν Δί' ἐς τὸν οὐρανόν; ΟΙ. Α. τίνα νοῦν ἔχων;
ΤΡ. ἐρησόμενος ἐκεῖνον Ἑλλήνων πέρι
ἁπαξαπάντων ὅ τι ποιεῖν βουλεύεται.
ΟΙ. Α. ἐὰν δὲ μή σοι καταγορεύσῃ; ΤΡ. γράψομαι
Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.
ΟΙ. Α. μὰ τὸν Διόνυσον οὐδέποτε ζῶντός γ' ἐμοῦ.
ΤΡ. οὐκ ἔστι παρὰ ταῦτ' ἄλλ'. ΟΙ. Α. ἰοὺ ἰοὺ ἰού·
ὦ παιδί', ὁ πατὴρ ἀπολιπὼν ἀπέρχεται
ὑμᾶς ἐρήμους ἐς τὸν οὐρανὸν λάθρα.
ἀλλ' ἀντιβολεῖτε τὸν πατέρ', ὦ κακοδαίμονα.

ΚΟΡΗ.

ὦ πάτερ ὦ πάτερ, ἆρ' ἔτυμός γε
δώμασιν ἡμετέροις φάτις ἥκει
ὡς σὺ μετ' ὀρνίθων προλιπὼν ἐμὲ
ἐς κόρακας βαδιεῖ μεταμώνιος;
ἔστι τι τῶνδ' ἐτύμως; εἴπ', ὦ πάτερ, εἴ τι φι-
λεῖς με. [ὑμῖν,
ΤΡ. δοξάσαι ἔστι, κόραι· τὸ δ' ἐτήτυμον, ἄχθομαι
ἡνίκ' ἂν αἰτίζητ' ἄρτον πάππαν με καλοῦσαι,
ἔνδον δ' ἀργυρίου μηδὲ ψακὰς ᾖ πάνυ πάμπαν.
ἢν δ' ἐγὼ εὖ πράξας ἔλθω πάλιν, ἕξετ' ἐν ὥρᾳ
κολλύραν μεγάλην καὶ κόνδυλον ὄψον ἐπ' αὐτῇ.
ΚΟ. καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται;
ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν.
ΤΡ. πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώσομαι.
ΚΟ. τίς δ' ἡ 'πίνοιά σοὔστιν ὥστε κάνθαρον
ζεύξαντ' ἐλαύνειν ἐς θεούς, ὦ παππία;
ΤΡ. ἐν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη
μόνος πετηνῶν ἐς θεοὺς ἀφιγμένος.
ΚΟ. ἄπιστον εἶπας μῦθον, ὦ πάτερ πάτερ,
ὅπως κάκοσμον ζῷον ἦλθεν ἐς θεούς.
ΤΡ. ἦλθεν κατ' ἔχθραν αἰετοῦ πάλαι ποτέ,
ᾠ' ἐκκυλίνδων κἀντιτιμωρούμενος.
ΚΟ. οὐκοῦν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερόν,
ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.
ΤΡ. ἀλλ' ὦ μέλ' ἄν μοι σιτίων διπλῶν ἔδει·
νῦν δ' ἅττ' ἂν αὐτὸς καταφάγω τὰ σιτία,
τούτοισι τοῖς αὐτοῖσι τοῦτον χορτάσω.
ΚΟ. τί δ', ἢν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος;
πῶς ἐξολισθεῖν πτηνὸς ὢν δυνήσεται;
ΤΡ. ἐπίτηδες εἶχον πηδάλιον, ᾧ χρήσομαι·
τὸ δὲ πλοῖον ἔσται Ναξιουργὴς κάνθαρος.
ΚΟ. λιμὴν δὲ τίς σε δέξεται φορούμενον;
ΤΡ. ἐν Πειραεῖ δήπου 'στὶ Κανθάρου λιμήν.
ΚΟ. ἐκεῖνο τήρει, μὴ σφαλεὶς καταρρυῇς
ἐντεῦθεν, εἶτα χωλὸς ὢν Εὐριπίδῃ
λόγον παράσχῃς καὶ τραγῳδία γένῃ.
ΤΡ. ἐμοὶ μελήσει ταῦτά γ'. ἀλλὰ χαίρετε.
ὑμεῖς δέ γ', ὑπὲρ ὧν τοὺς πόνους ἐγὼ πονῶ,
μὴ βδεῖτε μηδὲ χέζεθ' ἡμερῶν τριῶν·
ὡς εἰ μετέωρος οὗτος ὢν ὀσφρήσεται,
κάτω κάρα ῥίψας με βουκολήσεται.
ἀλλ' ἄγε, Πήγασε, χώρει χαίρων,
χρυσοχαλίνων πάταγον ψαλίων
διακινήσας φαιδροῖς ὠσίν.
τί ποιεῖς τί ποιεῖς; ποῖ παρακλίνεις
τοὺς μυκτῆρας πρὸς τὰς λαύρας;
ἵει σαυτὸν θαρρῶν ἀπὸ γῆς,
κᾆτα δρομαίαν πτέρυγ' ἐκτείνων
ὀρθὸς χώρει Διὸς εἰς αὐλάς,
ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων,
ἀπὸ δ' ἡμερινῶν σίτων πάντων.
ἄνθρωπε, τί δρᾷς, οὗτος ὁ χέζων
ἐν Πειραιεῖ παρὰ ταῖς πόρναις;
ἀπολεῖς μ' ἀπολεῖς. οὐ κατορύξεις,
κἀπιφορήσεις τῆς γῆς πολλήν,
κἀπιφυτεύσεις ἕρπυλλον ἄνω,
καὶ μύρον ἐπιχεῖς; ὡς ἤν τι πεσὼν
ἐνθένδε πάθω, τοὐμοῦ θανάτου
πέντε τάλανθ' ἡ πόλις ἡ Χίων
διὰ τὸν σὸν πρωκτὸν ὀφλήσει.
οἴμ' ὡς δέδοικα κοὐκέτι σκώπτων λέγω.
ὦ μηχανοποιέ, πρόσεχε τὸν νοῦν ὡς ἐμέ·
ἤδη στρέφει τι πνεῦμα περὶ τὸν ὀμφαλόν,
κεἰ μὴ φυλάξει, χορτάσω τὸν κάνθαρον.
ἀτὰρ ἐγγὺς εἶναι τῶν θεῶν ἐμοὶ δοκῶ,
καὶ δὴ καθορῶ τὴν οἰκίαν τὴν τοῦ Διός.
τίς ἐν Διὸς θύραισιν; οὐκ ἀνοίξετε;

ΕΡΜΗΣ.

πόθεν βροτοῦ με προσέβαλ'; ὦναξ Ἡράκλεις,
τουτὶ τί ἐστι τὸ κακόν; ΤΡ. ἱπποκάνθαρος.
ΕΡ. ὦ βδελυρὲ καὶ τολμηρὲ κἀναίσχυντε σὺ
καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε,
πῶς δεῦρ' ἀνῆλθες, ὦ μιαρῶν μιαρώτατε;
τί σοί ποτ' ἔστ' ὄνομ'; οὐκ ἐρεῖς; ΤΡ. μιαρώτα-
τος. [τατος.
ΕΡ. ποδαπὸς τὸ γένος δ' εἶ; φράζε μοι. ΤΡ. μιαρώ-
ΕΡ. πατὴρ δέ σοι τίς ἔστ'; ΤΡ. ἐμοί; μιαρώτατος.
ΕΡ. οὔ τοι μὰ τὴν Γῆν ἔσθ' ὅπως οὐκ ἀποθανεῖ,
εἰ μὴ κατερεῖς μοι τοὔνομ' ὅ τι ποτ' ἔστι σοι.
ΤΡ. Τρυγαῖος Ἀθμονεύς, ἀμπελουργὸς δεξιός,
οὐ συκοφάντης οὐδ' ἐραστὴς πραγμάτων.
ΕΡ. ἥκεις δὲ κατὰ τί; ΤΡ. τὰ κρέα ταυτί σοι φέρων.
ΕΡ. ὦ δειλακρίων, πῶς ἦλθες; ΤΡ. ὦ γλίσχρων, ὁρᾷς
ὡς οὐκέτ' εἶναί σοι δοκῶ μιαρώτατος;
ἴθι νυν, κάλεσόν μοι τὸν Δί'. ΕΡ. ἰὴ ἰὴ ἰή,
ὅτ' οὐδὲ μέλλεις ἐγγὺς εἶναι τῶν θεῶν·
φροῦδοι γὰρ ἐχθὲς εἰσιν ἐξῳκισμένοι. [πάνυ,
ΤΡ. ποῖ γῆς; ΕΡ. ἰδοὺ γῆς. ΤΡ. ἀλλὰ ποῖ; ΕΡ. πόρρω
ὑπ' αὐτὸν ἀτεχνῶς τοὐρανοῦ τὸν κύτταρον.
ΤΡ. πῶς οὖν σὺ δῆτ' ἐνταῦθα κατελείφθης μόνος;

---

100. ἀποικοδομεῖν Florens Christianus] ἀνοικοδομεῖν 101. ἐπικλῄειν Meinekius] ἐπικλείειν 110. ἰοὺ ter posuit Kusterus, bis est in R et ceteris, ut opinor, codicibus, quater in ed. Ald. Quum ἰοὺ duplicari, non triplicari, soleat, coniici potest, ΤΡ. οὐκ — ἄλλα. ΟΙ. Α. κακοδαίμων ἐγώ. (ut est in Vesp. v.1166.), interiectione ἰοὺ ἰού extra versum addita. 114. ΚΟΡΗ Brunckius. In Ald. et, ut opinor, in codicibus Παῖ. (i. e. παῖδες) Manifestum autem est plures hic in scenam productas esse puellas, etsi una tantum loquitur. ἆρ'] ἦ ῥ' scholiasta. 130. πετηνῶν R] πετεινῶν ceteri.

152. κάτω κάρα D.] κατωκάρα 155. χρυσοχαλίνων Bergkius] χρυσοχάλινον (χρυσοχαλινῶν, hoc accentu, codex Suidae s.v. ψαλίοις ap. Porsonum): quod ipsum quoque dici potuit, ut κροτάλων χειροτυπὴς πάταγος dixit Meleager Anth. Pal. 5, 175. 161. ὀρθὸς V. ὀρθῶς ceteri. 163. ἀπὸ δ' V. ἀπὸ θ' ceteri. σίτων Porsonus] σιτίων 175. στρέφει D.] στροφεῖ 176. φυλάξει Reiskius] φυλάξεις 180. προσέβαλ'] προσέβαλέν RV. 182. βδελυρὲ ex Suida s. v. μιαροί] μιαρὲ libri, ut Suidas s. v. τολμῆσαι. 185. ἔστ' ὄνομ' V et Par. B. cum Suida s. v. μιαροί. ἐστὶν ὄνομ' R. ἐστὶ τοὔνομ' Ald. 187. ἔστ' Bentleius] ἐστιν 190. Τρυγαῖος] Hunc accentum probasse Herodianum, alios Τρύγαιος scripsisse annotavit scholiasta ad v.62. 195. Triplex ἰή non minus suspectum quam triplex ἰού v. 110. Fortasse scribendum ἴθι νυν, κάλεσόν μοι τὸν Δία δεῦρ'. ΕΡ. ἰὴ ἰή.

ΕΡ. τὰ λοιπὰ τηρῶ σκευάρια τὰ τῶν θεῶν,
χυτρίδια καὶ σανίδια κἀμφορείδια.
ΤΡ. ἐξῳκίσαντο δ' οἱ θεοὶ τίνος οὕνεκα;
ΕΡ. Ἕλλησιν ὀργισθέντες. εἶτ' ἐνταῦθα μέν,
ἵν' ἦσαν αὐτοί, τὸν Πόλεμον κατῴκισαν,
ὑμᾶς παραδόντες δρᾶν ἀτεχνῶς ὅ τι βούλεται·
αὐτοὶ δ' ἀνῳκίσανθ' ὅπως ἀνωτάτω,
ἵνα μὴ βλέποιεν μαχομένους ὑμᾶς ἔτι
μηδ' ἀντιβολούντων μηδὲν αἰσθανοίατο.
ΤΡ. τοῦ δ' οὕνεχ' ἡμᾶς ταῦτ' ἔδρασαν; εἰπέ μοι.
ΕΡ. ὁτιὴ πολεμεῖν ᾑρεῖσθ' ἐκείνων πολλάκις
σπονδὰς ποιούντων· κεἰ μὲν οἱ Λακωνικοὶ
ὑπερβάλοιντο μικρόν, ἔλεγον ἂν ταδί
"ναὶ τὼ σιώ, νῦν ὡττικίων δωσεῖ δίκαν."
εἰ δ' αὖ τι πράξαιτ' ἀγαθὸν ἀττικωνικοὶ
κἄλθοιεν οἱ Λάκωνες εἰρήνης πέρι,
ἐλέγετ' ἂν ὑμεῖς εὐθὺς "ἐξαπατώμεθα
νὴ τὴν Ἀθηνᾶν, νὴ Δί', οὐχὶ πειστέον·
ἥξουσι καὖθις, ἢν ἔχωμεν τὴν Πύλον."
ΤΡ. ὁ γοῦν χαρακτὴρ ἡμεδαπὸς τῶν ῥημάτων.
ΕΡ. ὧν οὕνεκ' οὐκ οἶδ' εἴ ποτ' Εἰρήνην ἔτι
τὸ λοιπὸν ὄψεσθ'. ΤΡ. ἀλλὰ ποῖ γὰρ οἴχεται;
ΕΡ. ὁ Πόλεμος αὐτὴν ἐνέβαλ' εἰς ἄντρον βαθύ.
ΤΡ. ἐς ποῖον; ΕΡ. ἐς τουτὶ τὸ κάτω. κἄπειθ' ὁρᾷς
ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων,
ἵνα μὴ λάβητε μηδέποτ' αὐτήν. ΤΡ. εἰπέ μοι,
ἡμᾶς δὲ δὴ τί δρᾶν παρασκευάζεται;
ΕΡ. οὐκ οἶδα πλὴν ἕν, ὅτι θυείαν ἑσπέρας
ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο.
ΤΡ. τί δῆτα ταύτῃ τῇ θυείᾳ χρήσεται;
ΕΡ. τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.
ἀλλ' εἶμι· καὶ γὰρ ἐξιέναι, γνώμην ἐμήν,
μέλλει· θορυβεῖ γοῦν ἔνδοθεν. ΤΡ. οἴμοι δείλαιος.
φέρ' αὐτὸν ἀποδρῶ· καὶ γὰρ ὥσπερ ᾐσθόμην
καὐτὸς θυείας φθέγμα πολεμιστηρίας.

ΠΟΛΕΜΟΣ.

ἰὼ βροτοὶ βροτοὶ βροτοὶ πολυτλήμονες,
ὡς αὐτίκα μάλα τὰς γνάθους ἀλγήσετε.
ΤΡ. ὦναξ Ἄπολλον, τῆς θυείας τοῦ πλάτους.
ὅσον κακὸν καὶ τοῦ Πολέμου τοῦ βλέμματος.
ἆρ' οὗτός ἐστ' ἐκεῖνος ὃν καὶ φεύγομεν,
ὁ δεινός, ὁ ταλαύρινος, ὁ κατὰ τοῖν σκελοῖν;
ΠΟ. ἰὼ Πρασιαὶ τρὶς ἄθλιαι καὶ πεντάκις
καὶ πολλοδεκάκις, ὡς ἀπολεῖσθε τήμερον.
ΤΡ. τουτὶ μέν, ἄνδρες, οὐδὲν ἡμῖν πρᾶγμά πω·
τὸ γὰρ κακὸν τοῦτ' ἐστὶ τῆς Λακωνικῆς.
ΠΟ. ὦ Μέγαρα Μέγαρ', ὡς ἐπιτετρίψεσθ' αὐτίκα
ἁπαξάπαντα καταμεμυττωτευμένα.
ΤΡ. βαβαὶ βαβαιάξ, ὡς μεγάλα καὶ δριμέα
τοῖσιν Μεγαρεῦσιν ἐνέβαλεν τὰ κλαύματα.
ΠΡ. ἰὼ Σικελία, καὶ σὺ δ' ὡς ἀπόλλυσαι.
ΤΡ. οἷα πόλις τάλαινα διακναισθήσεται.

202. κἀμφορείδια Dawesius] κἀμφορίδια 210. οὕνεχ' Brunckius] εἵνεχ' 211. ὁτιὴ Bentleius] ὅτι 214. 215. ὡττικίων —ἀττικωνικοὶ Cobetus] ἀττικίων— ἀττικωνικοὶ 214. δωσεῖ δίκαν Cobetus] δώσει δίκην 215. πράξαιτ' Bekkerus] πράξαιντ' 218. Ἀθηνᾶν, νὴ Δί', οὐχὶ] Ἀηναίαν· μὰ Δί' οὐχὶ Meinekius. 219. Πύλον] πόλιν RV. Utrumque memorat scholiasta. 220. ΤΡ. addidit Brunckius. 223. Post hunc versum in libris quibusdam additum esse τί φησί (Trygaeo tribuendum), quod τί φῄς scribendum esse monet Bambergius, annotavit scholiasta ad v. 173. 232. γνώμην] γνώμην γ' Herwerdenus. 242. τρὶς ἄθλιαι Dobraeus] τρισάθλιαι 246. ἐπιτετρίψεσθ' Elmsleius] ἐπιτρίψεσθ' 251. ΤΡ. addidit Dobraeus. οἷα] Sic etiam apud Harpocrat. s. v. Κεῖοι. οἵ' ἡ Blomfieldus ad Aeschyli Agam. p. 158.

ΠΟ. φέρ' ἐπιχέω καὶ τὸ μέλι τουτὶ τἀττικόν.
ΤΡ. οὗτος, παραινῶ σοι μέλιτι χρῆσθἀτέρῳ.
τετρωβόλου τοῦτ' ἔστι· φείδου τἀττικοῦ.
ΠΟ. παῖ παῖ Κυδοιμέ.

ΚΥΔΟΙΜΟΣ.

τί με καλεῖς; ΠΟ. κλαύσει μα-
ἕστηκας ἀργός; οὑτοσί σοι κόνδυλος. [κρά.
ΤΡ. ὡς δριμύς. ΚΥ. οἴμοιμοῖ τάλας, ὦ δέσποτα.
ΤΡ. μῶν τῶν σκορόδων ἐνέβαλεν ἐς τὸν κόνδυλον;
ΠΟ. οἴσεις ἀλετρίβανον τρέχων; ΚΥ. ἀλλ', ὦ μέλε,
οὐκ ἔστιν ἡμῖν· ἐχθὲς εἰσῳκίσμεθα.
ΠΟ. οὔκουν παρ' Ἀθηναίων γε μεταθρέξει ταχύ;
ΚΥ. ἔγωγε νὴ Δί'· εἰ δὲ μή, 'γὼ κλαύσομαι.
ΤΡ. ἄγε δή, τί δρῶμεν, ὦ πονήρ' ἀνθρώπια;
ὁρᾶτε τὸν κίνδυνον ἡμῖν ὡς μέγας·
εἴπερ γὰρ ἥξει τὸν ἀλετρίβανον φέρων,
τούτῳ ταράξει τὰς πόλεις καθήμενος.
ἀλλ', ὦ Διόνυσ', ἀπόλοιτο καὶ μὴ 'λθοι φέρων.
ΠΟ. οὗτος. ΚΥ. τί ἔστιν; ΠΟ. οὐ φέρεις; ΚΥ. τὸ
ἀπόλωλ' Ἀθηναίοισιν ἀλετρίβανος, [δεῖνα γάρ,
ὁ βυρσοπώλης, ὃς ἐκύκα τὴν Ἑλλάδα.
ΤΡ. εὖ γ', ὦ πότνια δέσποιν' Ἀθηναία, ποιῶν
ἀπόλωλ' ἐκεῖνος κἀν δέοντι τῇ πόλει.
ΠΟ. οὔκουν ἕτερόν γέ τιν' ἐκ Λακεδαίμονος μέτει
ἀνύσας τι; ΚΥ. ταῦτ', ὦ δέσποθ'. ΠΟ. ἧκέ νυν
ΤΡ. ὦνδρες, τί πεισόμεσθα; νῦν ἀγὼν μέγας. [ταχύ.
ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ τυγχάνει
μεμυημένος, νῦν ἐστιν εὔξασθαι καλὸν
ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε.
ΚΥ. οἴμοι τάλας, οἴμοι γε, κἄτ' οἴμοι μάλα.
ΠΟ. τί ἔστι; μῶν οὐκ αὖ φέρεις; ΚΥ. ἀπόλωλε γὰρ
καὶ τοῖς Λακεδαιμονίοισιν ἀλετρίβανος.
ΠΟ. πῶς, ὦ πανοῦργ'; ΚΥ. ἐς τἀπὶ Θρᾴκης χωρία
χρήσαντες ἑτέροις αὐτὸν εἶτ' ἀπώλεσαν.
ΤΡ. εὖ γ' εὖ γε ποιήσαντες, ὦ Διοσκόρω.
ἴσως ἂν εὖ γένοιτο· θαρρεῖτ', ὦ βροτοί.
ΠΟ. ἀπόφερε τὰ σκεύη λαβὼν ταυτὶ πάλιν·
ἐγὼ δὲ δοίδυκ' εἰσιὼν ποιήσομαι.
ΤΡ. νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος,
ὃ δεφόμενός ποτ' ᾖδε τῆς μεσημβρίας,
ὡς ἥδομαι καὶ χαίρομαι κεὐφραίνομαι.
νῦν ἐστιν ἡμῖν, ὦνδρες Ἕλληνες, καλὸν
ἀπαλλαγεῖσι πραγμάτων τε καὶ μαχῶν
ἐξελκύσαι τὴν πᾶσιν Εἰρήνην φίλην,
πρὶν ἕτερον αὖ δοίδυκα κωλῦσαί τινα.
ἀλλ', ὦ γεωργοὶ κἄμποροι καὶ τέκτονες
καὶ δημιουργοὶ καὶ μέτοικοι καὶ ξένοι

273. ἢ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι.

253. σοι addunt codices, om. Ald. χρῆσθαι 'τέρῳ (debebat χρῆσθἀτέρῳ) Brunckius] χρῆσθαι θἀτέρῳ 254. τετρωβόλου Kusterus] τετρώβολον 257. 258. Κυδοιμῷ tribuit V. 257. ΤΡ. addidit Hermannus. οἴμοιμοῖ D.] οἴμοι RV. οἴμοι μοι ceteri. 258. ΤΡ. addidit Hermannus. ἐνέβαλεν Hermannus] ἐνέβαλες 260. ἐχθὲς] χθὲς γὰρ Halbertsma. 261. γε addidit D. Post 261. in libris quibusdam addi ἰὴ ἰή (Trygaeo tribuendum) annotavit scholiasta ad v. 173. 262. εἰ δὲ μή, 'γὼ κλαύσομαι Meinekius] εἰ δὲ μή γε, κλαύσομαι 269. Ἀθηναίοισιν ἀλετρίβανος Porsonus] Ἀθηναίοις ἀλετρίβανος 271. πότνια δέσποιν' Paris. unus. δέσποινα πότνι' ceteri. 273. Versum spurium eiecit D. εἰ πρίν legisse videtur scholiasta, qui explicat εἴπερ πρὸ τοῦ ἀπολέσαι τὰ πράγματα ἡμῶν ἀπώλετο. 274. γέ τιν' D.] γέ τι R. δῆτ' ceteri. 280. κἄτ' Dobraeus] κᾆτ' μάλα] μάλ' αὖ Dobraeus. 282. Λακεδαιμονίοισιν ἀλετρίβανος Porsonus] Λακεδαιμονίοις ἀλετρίβανος

καὶ νησιῶται, δεῦρ' ἴτ', ὦ πάντες λεῴ,
ὡς τάχιστ' ἅμας λαβόντες καὶ μοχλοὺς καὶ σχοινία·
νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν ἀγαθοῦ δαίμονος.

ΧΟΡΟΣ.

δεῦρο πᾶς χώρει προθύμως εὐθὺ τῆς σωτηρίας.
ὦ Πανέλληνες, βοηθήσωμεν, εἴπερ πώποτε,
τάξεων ἀπαλλαγέντες καὶ κακῶν φοινικικῶν·
ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος.
πρὸς τάδ' ἡμῖν, εἴ τι χρὴ δρᾶν, φράζε κἀρχι-
τεκτόνει·
οὐ γὰρ ἔσθ' ὅπως ἀπειπεῖν ἂν δοκῶ μοι τήμερον,
πρὶν μοχλοῖς καὶ μηχαναῖσιν ἐς τὸ φῶς ἀνελκύσαι
τὴν θεῶν πασῶν μεγίστην καὶ φιλαμπελωτάτην.
ΤΡ. οὐ σιωπήσεσθ', ὅπως μὴ περιχαρεῖς τῷ πράγματι
τὸν Πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες;
ΧΟ. ἀλλ' ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος.
οὐ γὰρ ἦν ἔχοντας ἥκειν σιτί' ἡμερῶν τριῶν.
ΤΡ. εὐλαβεῖσθέ νυν ἐκεῖνον τὸν κάτωθεν Κέρβερον,
μὴ παφλάζων καὶ κεκραγώς, ὥσπερ ἡνίκ' ἐν-
θάδ' ἦν, [σαι.
ἐμποδὼν ἡμῖν γένηται τὴν θεὸν μὴ 'ξελκύ-
ΧΟ. οὔτι καὶ νῦν ἔστιν αὐτὴν ὅστις ἐξαιρήσεται,
ἢν ἅπαξ ἐς χεῖρας ἔλθῃ τὰς ἐμάς. ἰοῦ ἰοῦ.
ΤΡ. ἐξολεῖτέ μ', ὤνδρες, εἰ μὴ τῆς βοῆς ἀνήσετε·
ἐκδραμὼν γὰρ πάντα ταυτὶ ξυνταράξει τοῖν πο-
δοῖν.
ΧΟ. ὡς κυκάτω καὶ πατείτω πάντα καὶ ταραττέτω·
οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυσαίμεθ' ἄν.
ΤΡ. τί τὸ κακόν; τί πάσχετ', ὤνδρες; μηδαμῶς, πρὸς
τῶν θεῶν,
πρᾶγμα κάλλιστον διαφθείρητε διὰ τὰ σχήματα.
ΧΟ. ἀλλ' ἔγωγ' οὐ σχηματίζειν βούλομ', ἀλλ' ὑφ'
ἡδονῆς
οὐκ ἐμοῦ κινοῦντος αὐτὼ τὼ σκέλη χορεύετον.
ΤΡ. μή τι καὶ νυνί γ' ἔτ', ἀλλὰ παῦε παῦ' ὀρχούμενος.
ΧΟ. ἢν ἰδού, καὶ δὴ πέπαυμαι. ΤΡ. φῄς γε, παύει δ'
οὐδέπω.
ΧΟ. ἓν μὲν οὖν τουτί μ' ἔασον ἑλκύσαι, καὶ μηκέτι.
ΤΡ. τοῦτό νυν, καὶ μηκέτ' ἄλλο μηδὲν ὀρχήσησθ' ἔτι.
ΧΟ. οὐκ ἂν ὀρχησαίμεθ', εἴπερ ὠφελήσαιμέν τί σε.
ΤΡ. ἀλλ' ὁρᾶτ', οὔπω πέπαυσθε. ΧΟ. τουτογὶ νὴ τὸν
τὸ σκέλος ῥίψαντες ἤδη λήγομεν τὸ δεξιόν. [Δία
ΤΡ. ἐπιδίδωμι τοῦτό γ' ὑμῖν, ὥστε μὴ λυπεῖν ἔτι.
ΧΟ. ἀλλὰ καὶ τἀριστερόν τοί μοὔστ' ἀναγκαίως ἔχον.
ἥδομαι γὰρ καὶ γέγηθα καὶ πέπορδα καὶ γελῶ
μᾶλλον ἢ τὸ γῆρας ἐκδὺς ἐκφυγὼν τὴν ἀσπίδα.
ΤΡ. μή τι καὶ νυνί γε χαίρετ'· οὐ γὰρ ἴστε πω σαφῶς·
ἀλλ' ὅταν λάβωμεν αὐτήν, τηνικαῦτα χαίρετε
καὶ βοᾶτε καὶ γελᾶτ'· ἤ-
δη γὰρ ἐξέσται τόθ' ὑμῖν
πλεῖν, μένειν, βινεῖν, καθεύδειν,
ἐς πανηγύρεις θεωρεῖν,
ἑστιᾶσθαι, κοτταβίζειν,
συβριάζειν,
ἰοῦ ἰοῦ κεκραγέναι.

346—360. = 385—399. = 582—600.
(ut in Ranis 1370—1377. = 1482—1490. = 1491—1499.)

ΧΟ. εἰ γὰρ ἐκγένοιτ' ἰδεῖν ταύτην μέ ποτε τὴν ἡμέραν.
πολλὰ γὰρ ἀνεσχόμην πράγματά τε καὶ στιβά-
δας, ἃς ἔλαχε Φορμίων·
κοὐκέτ' ἄν μ' εὕροις δικαστὴν δριμὺν οὐδὲ δύσ-
κολον, [πρὸ τοῦ,
οὐδὲ τοὺς τρόπους γε δήπου σκληρόν, ὥσπερ καὶ
ἀλλ' ἁπαλόν ἄν μ' ἴδοις καὶ πολὺ νεώτερον ἀπαλ-
λαγέντα πραγμάτων.
καὶ γὰρ ἱκανὸν χρόνον ἀπολλύμεθα καὶ κατατε-
τρίμμεθα πλανώμενοι
ἐς Λύκειον κἀκ Λυκείου ξὺν δόρει ξὺν ἀσπίδι.
ἀλλ' ὅ τι μάλιστα χαριούμεθα ποιοῦντες, ἄγε
φράζε· σὲ γὰρ αὐτοκράτορ' εἵλετ' ἀγαθή τις ἡμῖν
τύχη.
ΤΡ. φέρε δὴ κατίδω, πῇ τοὺς λίθους ἀφέλξομεν.
ΕΡ. ὦ μιαρὲ καὶ τολμηρέ, τί ποιεῖν διανοεῖ;
ΤΡ. οὐδὲν πονηρόν, ἀλλ' ὅπερ καὶ Κιλλικῶν.
ΕΡ. ἀπόλωλας, ὦ κακόδαιμον. ΤΡ. οὐκοῦν, ἢν λάχω.
Ἑρμῆς γὰρ ὢν κλήρῳ ποιήσεις οἶδ' ὅτι.
ΕΡ. ἀπόλωλας, ἐξόλωλας. ΤΡ. ἐς τίν' ἡμέραν;
ΕΡ. εἰς αὐτίκα μάλ'. ΤΡ. ἀλλ' οὐδὲν ἠμπόληκά πω,
οὔτ' ἄλφιτ' οὔτε τυρόν, ὡς ἀπολούμενος.
ΕΡ. καὶ μὴν ἐπιτέτριψαί γε. ΤΡ. κᾆτα τῷ τρόπῳ
οὐκ ᾐσθόμην ἀγαθὸν τοσουτονὶ λαβών;
ΕΡ. ἆρ' οἶσθα θάνατον ὅτι προεῖφ' ὁ Ζεὺς ὃς ἂν
ταύτην ἀνορύττων εὑρεθῇ; ΤΡ. νῦν ἆρά με
ἅπασ' ἀνάγκη 'στ' ἀποθανεῖν; ΕΡ. εὖ ἴσθ' ὅτι.
ΤΡ. ἐς χοιρίδιόν μοί νυν δάνεισον τρεῖς δραχμάς·
δεῖ γὰρ μυηθῆναί με πρὶν τεθνηκέναι.
ΕΡ. ὦ Ζεῦ κεραυνοβρόντα. ΤΡ. μὴ πρὸς τῶν θεῶν
ἡμῶν κατείπῃς, ἀντιβολῶ σε, δέσποτα.
ΕΡ. οὐκ ἂν σιωπήσαιμι. ΤΡ. ναί, πρὸς τῶν κρεῶν
ἁγὼ προθύμως σοι φέρων ἀφικόμην.
ΕΡ. ἀλλ', ὦ μέλ', ὑπὸ τοῦ Διὸς ἀμαλδυνθήσομαι,
εἰ μὴ τετορήσω ταῦτα καὶ λακήσομαι.
ΤΡ. μή νυν λακήσῃς, λίσσομαί σ', ὡρμήδιον. [μένοι.
εἰπέ μοι, τί πάσχετ', ὤνδρες; ἕστατ' ἐκπεπληγ-
ὦ πονηροί, μὴ σιωπᾶτ'· εἰ δὲ μή, λακήσεται.
ΧΟ. μηδαμῶς, ὦ δέσποθ' Ἑρμῆ, μηδαμῶς, μή, μη-
δαμῶς,
εἴ τι κεχαρισμένον χοιρίδιον οἶσθα παρ' ἐμοῦ γε
κατεδηδοκώς,
τοῦτο μὴ φαῦλον νόμιζ' ἐν τουτῳὶ τῷ πράγματι.
ΤΡ. οὐκ ἀκούεις οἷα θωπεύουσί σ', ὦναξ δέσποτα;
ΧΟ. ⏑́ ⏑ ⏑ ⏑ ⏑́ ⏑ ⏑ ⏑ ὥστε τήνδε μὴ λαβεῖν·
ἀλλὰ χάρισ', ὦ φιλανθρωπότατε καὶ μεγαλοδω-
ρότατε δαιμόνων, ·

---

329. ὀρχήσησθ' Bekkerus] ὀρχήσεσθ' 334. τοί μοὔστ' D.] τοί μ' ἔστ' RV Paris. C. τι μ' ἔστ' ceteri. τι μοί 'στ' Brunckius. 341. βινεῖν D.] κινεῖν 344. συβριάζειν Meinekius Anal. Alex. p. 119. (cui fortasse praestat συρβιάζειν ab L. Dindorfio propositum in Thesauro vol. 7. p. 931.)] συβαρίζειν. Scriptura corrupta fraudem fecit Callistrato et Artemidoro, quorum interpretationes memorat scholiasta. 345. ἰοῦ ἰοῦ Hermannus] ἰοὺ ἰού. Recto accentu 317. ubi vid. schol.

346. εἰ γὰρ ἐκγένοιτ' ἰδεῖν ταύτην μέ ποτε τὴν ἡμέραν D.] εἰ γὰρ ἐκγένοιτ' (γένοιτο V) ἰδεῖν ταύτην με τὴν ἡμέραν ποτέ RV. εἰ γάρ μοι γένοιτ' ἰδεῖν ταύτην τὴν ἡμέραν ποτέ alii. ʽεἰ γὰρ ἐκγένοιτ' ἰδεῖν τὴν ἡμέραν ταύτην ποτέ Porsonus. 347. ἀνεσχόμην Brunckius] ἠνεσχόμην 354. ἀπολλύμεθα Kusterus] ἀπωλλύμεθα 357. ξὺν δόρει ξὺν ἀσπίδι Meinekius] σὺν δορὶ σὺν ἀσπίδι. σὺν δόρει σὺν ἀσπίδι Choeroboscus p. 376, 19. qui hoc ex Sophoclis Μώμῳ sumtum esse annotavit. ξὺν δορὶ ξὺν ἀσπίδι libri in Vesp. 1681. Vid. Annot Oxon. p. 549. 361. πῇ Boissonadius] ποῖ 364. οὐκοῦν, ἢν λάχω] οὐκ, ἢν μὴ λάχω Dobraeus. 382. ὡρμήδιον (fortasse praestat Ἑρμήδιον) L. Dindorfius in Thesauro vol. 3. p. 2043.)] ὡρμίδιον. Cont v. 924. 385. μηδαμῶς, μή] μὴ μηδαμῶς R. μή om. V. 388. νόμιζ' Bentleius] νομίζων τουτῳὶ Brunckius (ut τουτῳὶ τῷ πράγματι est in Lys. 615.)] τῷδε 390. Octo syllabarum defectum indicavit D. eiecto interpolatoris supplemento μὴ γένῃ παλίγκοτος ἀντιβολοῦσιν ἡμῖν, quod Suidas quoque legit s. v. παλίγκοτος.

εἴ τι Πεισάνδρου βδελύττει τοὺς λόφους καὶ τὰς ὀφρῦς.
καί σε θυσίαισιν ἱεραῖσι προσόδοις τε μεγάλαισι διὰ παντός, ὦ δέσποτ', ἀγαλοῦμεν ἡμεῖς ἀεί.
ΤΡ. ἴθ', ἀντιβολῶ σ', ἐλέησον αὐτῶν τὴν ὄπα,
ἐπεί σε καὶ τιμῶσι μᾶλλον ἢ πρὸ τοῦ.
ΕΡ. κλέπται γάρ εἰσι νῦν γε μᾶλλον ἢ πρὸ τοῦ.
ΤΡ. καί σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα,
ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται.
ΕΡ. ἴθι δή, κάτειπ'· ἴσως γὰρ ἂν πείσαις ἐμέ.
ΤΡ. ἡ γὰρ Σελήνη χὡ πανοῦργος Ἥλιος,
ὑμῖν ἐπιβουλεύοντε πολὺν ἤδη χρόνον,
τοῖς βαρβάροισι προδίδοτον τὴν Ἑλλάδα.
ΕΡ. ἵνα τί δὲ τοῦτο δρᾶτον; ΤΡ. ὁτιὴ νὴ Δία
ἡμεῖς μὲν ὑμῖν θύομεν, τούτοισι δὲ
οἱ βάρβαροι θύουσι. διὰ τοῦτ' εἰκότως
βούλοιντ' ἂν ἡμᾶς πάντας ἐξολωλέναι,
ἵνα τὰς τελετὰς λάβοιεν αὐτοὶ τῶν θεῶν.
ΕΡ. ταῦτ' ἄρα πάλαι τῶν ἡμερῶν παρεκλεπτέτην,
καὶ τοῦ κύκλου παρέτρωγον ὑφ' ἁμαρτωλίας.
ΤΡ. ναὶ μὰ Δία. πρὸς ταῦτ', ὦ φίλ' Ἑρμῆ, ξύλλαβε
ἡμῖν προθύμως τήνδε καὶ ξυνέλκυσον.
καί σοι τὰ μεγάλ' ἡμεῖς Παναθήναι' ἄξομεν
πάσας τε τὰς ἄλλας τελετὰς τὰς τῶν θεῶν,
μυστήρι' Ἑρμῇ, Διπόλει', Ἀδώνια·
ἄλλαι τέ σοι πόλεις πεπαυμέναι κακῶν
ἀλεξικάκῳ θύσουσιν Ἑρμῇ πανταχοῦ,
χἄτερ' ἔτι πόλλ' ἕξεις ἀγαθά. πρῶτον δέ σοι
δῶρον δίδωμι τήνδ', ἵνα σπένδειν ἔχῃς.
ΕΡ. οἴμ' ὡς ἐλεήμων εἴμ' ἀεὶ τῶν χρυσίδων.
ὑμέτερον ἐντεῦθεν ἔργον, ὦνδρες. ἀλλὰ ταῖς ἄμαις
εἰσιόντες ὡς τάχιστα τοὺς λίθους ἀφέλκετε.
ΧΟ. ταῦτα δράσομεν· σὺ δ' ἡμῖν, ὦ θεῶν σοφώτατε,
ἅττα χρὴ ποιεῖν ἐφεστὼς φράζε δημιουργικῶς·
τἄλλα δ' εὑρήσεις ὑπουργεῖν ὄντας ἡμᾶς οὐ κακούς.
ΤΡ. ἄγε δή, σὺ ταχέως ὕπεχε τὴν φιάλην, ὅπως
ἔργῳ φιαλοῦμεν, εὐξάμενοι τοῖσιν θεοῖς.
σπονδὴ σπονδή·
εὐφημεῖτε εὐφημεῖτε.

σπένδοντες εὐχόμεσθα τὴν νῦν ἡμέραν
Ἕλλησιν ἄρξαι πᾶσι πολλῶν κἀγαθῶν,
χὤστις προθύμως ξυλλάβοι τῶν σχοινίων,
τοῦτον τὸν ἄνδρα μὴ λαβεῖν ποτ' ἀσπίδα.
ΧΟ. μὰ Δί', ἀλλ' ἐν εἰρήνῃ διάξειν τὸν βίον,
ἔχονθ' ἑταίραν καὶ σκαλεύοντ' ἄνθρακας.
ΤΡ. ὅστις δὲ πόλεμον μᾶλλον εἶναι βούλεται,
μηδέποτε παύσασθ' αὐτόν, ὦ Διόνυσ' ἄναξ,
ἐκ τῶν ὀλεκράνων ἀκίδας ἐξαιρούμενον.
ΧΟ. κεἴ τις ἐπιθυμῶν ταξιαρχεῖν σοὶ φθονεῖ
ἐς φῶς ἀνελθεῖν, ὦ πότνι', ἐν ταῖσιν μάχαις
πάσχοι γε τοιαῦθ' οἷάπερ Κλεώνυμος.
ΤΡ. κεἴ τις δορυξὸς ἢ κάπηλος ἀσπίδων,
ἵν' ἐμπολᾷ βέλτιον, ἐπιθυμεῖ μαχῶν,
ληφθεὶς ὑπὸ λῃστῶν ἐσθίοι κριθὰς μόνας.
ΧΟ. κεἴ τις στρατηγεῖν βουλόμενος μὴ ξυλλάβοι
ἢ δοῦλος αὐτομολεῖν παρεσκευασμένος,
ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαστιγούμενος·
ἡμῖν δ' ἀγαθὰ γένοιτ'. ἰὴ παιών, ἰή.
ΤΡ. ἄφελε τὸ παίειν, ἀλλ' ἰὴ μόνον λέγε.
ΧΟ. ἰὴ ἰὴ τοίνυν, ἰὴ μόνον λέγω.
ΤΡ. Ἑρμῇ, Χάρισιν, Ὥραισιν, Ἀφροδίτῃ, Πόθῳ.
ΧΟ. Ἄρει δὲ μή; ΤΡ. μή. ΧΟ. μηδ' Ἐνυαλίῳ γε; ΤΡ. μή.
ΧΟ. ὑπότεινε δὴ πᾶς καὶ κάταγε τοῖσιν κάλῳς.
ΕΡ. ὢ εἶα.
ΧΟ. εἶα μάλα.
ΕΡ. ὢ εἶα.
ΧΟ. ἔτι μάλα.
ΕΡ. ὢ εἶα, ὢ εἶα.
ΤΡ. ἀλλ' οὐχ ἕλκουσ' ἄνδρες ὁμοίως.
οὐ ξυλλήψεσθ'; οἷ' ὀγκύλλεσθ'·
οἰμώξεσθ' οἱ Βοιωτοί.
ΕΡ. εἶα νῦν.
ΤΡ. εἶα ὤ.
ΧΟ. ἀλλ' ἄγεθ' ἕλκετον, ὦ 'γαθέ, καὶ σφώ.
ΤΡ. οὔκουν ἕλκω κἀξαρτῶμαι
κἀπεμπίπτω καὶ σπουδάζω;
ΧΟ. πῶς οὖν οὐ χωρεῖ τοὔργον;
ΤΡ. ὦ Λάμαχ', ἀδικεῖς ἐμποδὼν καθήμενος.
οὐδὲν δεόμεθ', ὤνθρωπε, τῆς σῆς μορμόνος.
ΕΡ. οὐδ' οἵδε γ' εἷλκον οὐδὲν ἀργεῖοι πάλαι
ἀλλ' ἢ κατεγέλων τῶν ταλαιπωρουμένων,
καὶ ταῦτα διχόθεν μισθοφοροῦντες ἄλφιτα.
ΤΡ. ἀλλ' οἱ Λάκωνες, ὦγάθ', ἕλκουσ' ἀνδρικῶς.
ΧΟ. ἆρ' οἶσθ'; ὅσοι γ' αὐτῶν ἔχονται τοῦ ξύλου,
μόνοι προθυμοῦντ'· ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ.
ΕΡ. οὐδ' οἱ Μεγαρῆς δρῶσ' οὐδέν· ἕλκουσιν δ' ὅμως
γλισχρότατα σαρκάζοντες ὥσπερ κυνίδια,

459—472. = 486—499.

---

402. κλέπται γάρ εἰσι νῦν γε μᾶλλον] κλέπται τε γὰρ νῦν μᾶλλόν εἰσιν V, in αι τε correctus. κλέπται τὰ νῦν γάρ εἰσι μᾶλλον Meinekius. Totum versum omittit R. 409. ἵνα τί δὲ] ἵνα τί δὴ R aliique nonnulli. ἵνα δὴ τί Bentleius. 412. ἡμᾶς RV et schol. ὑμᾶς alii. 414. παρεκλεπτέτην Brunckius] παρεκλέπτετον 415. ἁμαρτωλίας Bentleius] ἁρματωλίας: de quo schol. οὕτως ἡ γραφή. μέμνηται Ἡρωδιανὸς ἐν τῇ ια' καὶ Φρύνιχος ἐν τῇ σοφιστικῇ παρασκευῇ οὕτω τίθησι τὴν λέξιν. δέον δὲ εἰπεῖν ἁμαρτίας ἀντὶ τοῦ ἁμαρτάνοντες, εἶπεν ὑφ' ἁρματωλίας ἀντὶ τοῦ φειδόμενοι (sed ἁρματωλία non est τοῦ φειδομένου, sed potius τοῦ οὐ φειδομένου) τῶν ἁρμάτων αὐτῶν. Ἄλλως. τῆς τῶν ἁρμάτων ἡνιοχείας. Bentleii coniecturam confirmat Antiatticista in Bekkeri Anecd. p. 79, 10. ἁμαρτωλία: Ἀριστοφάνης Εἰρήνῃ, Εὔπολις Μαρικᾷ. Contra ἁρματωλίας probavit Boeckhius (über die Geschichte der Mondcyclen p. 23.) qui licet sensum verborum τοῦ κύκλου παρέτρωγον optime explicuerit, tamen quomodo ἁρματωλία dici potuerit non ostendit. Nam ἁρματωλία non de eo dici potest qui male aurigat, sed de eo qui currum perdit. 417. τήνδε] τῶνδε Meinekius. ξυνέλκυσον] ξυνανέλκυσον Dobraeus. 420. Διπόλει' Porsonus] Διιπόλει' 422. ἄλλαι] ἅλλαι Meinekius. 430. τἄλλα] πάντα Meinekius. 432. φιαλοῦμεν] 'φιαλοῦμεν Eustath. p. 1430. 433. Trygaeo continuavit D.] ΕΡ

435. εὐχόμεσθα Hamakerus] εὐχώμεσθα 439. διάξειν D.] διάγειν RVΓ. διάγειν ceteri. διαγαγεῖν Cobetus. Incerta emendatio est, quum διάγειν ex glossemate illatum esse possit pro διατρίβειν, ut Hesychius διατρίβει per διάγει explicat. 445. πάσχοι γε τοιαῦθ'] πάσχοιτο τοιαῦταθ' V, quod ex τοιαῦτα superscriptoque θ' ortum esse probabilius est quam ex τοιαῦτ' ἅτθ', quod ego olim conieci. 447. κεἴ] εἴ RV. 450. ξυλλάβοι Meinekius] ξυλλάβῃ 453. Trygaeo, 454. choro, 455. 456. Trygaeo tribuit Beerius p. 157. 456. Ὥραισιν] ὥραις RVΓ. 457. μή; ΤΡ. νή Bentleius] ΤΡ. μὴ μή. 458. κάλῳς] κάλοις RV aliique. 462. ἔτι μάλα RVΓ. εἶα ἔτι μάλα ceteri. 464. ἄνδρες D.] ἄνδρας RV. ἄνδρες ceteri. 469. ἀλλ' ἄγεθ' ἕλκετον, ὦ 'γαθέ, καὶ σφώ D.] ἄγετον ξυνέλκετον καὶ σφώ 472. ΧΟ. D.] ΕΡ. libri et scholiasta. 476. ἀργεῖοι D.] Ἀργεῖοι

ὑπὸ τοῦ γε λιμοῦ νὴ Δί' ἐξολωλότες.
ΤΡ. οὐδὲν ποιοῦμεν, ὦνδρες, ἀλλ' ὁμοθυμαδὸν
ἅπασιν ἡμῖν αὖθις ἀντιληπτέον.
ΕΡ. ὢ εἶα.
ΤΡ. εἶα μάλα.
ΕΡ. ὢ εἶα.
ΤΡ. εἶα νὴ Δία.
ΕΡ. μικρόν γε κινοῦμεν.
ΤΡ. οὔκουν δεινὸν δῆτα τόδ' ἐστίν,
τοὺς μὲν τείνειν, τοὺς δ' ἀντισπᾶν;
πληγὰς λήψεσθ', ὠργεῖοι.
ΕΡ. εἶα νῦν.
ΤΡ. εἶα ὤ.
ΧΟ. ὡς κακόνοι τινές εἰσιν ἐν ἡμῖν.
ΤΡ. ἀλλ' οὖν ὑμεῖς γ' οἱ κιττῶντες
τῆς εἰρήνης σπᾶτ' ἀνδρείως.
ΧΟ. ἀλλ' εἴσ' οἳ κωλύουσιν.
ΕΡ. ἄνδρες Μεγαρῆς, οὐκ ἐς κόρακας ἐρρήσετε;
μισεῖ γὰρ ὑμᾶς ἡ θεὸς μεμνημένη·
πρῶτοι γὰρ αὐτὴν τοῖς σκορόδοις ἠλείψατε.
καὶ τοῖς Ἀθηναίοισι παύσασθαι λέγω
ἐντεῦθεν ἐχομένοις ὅθεν νῦν ἕλκετε·
οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν δικάζετε.
ἀλλ' εἴπερ ἐπιθυμεῖτε τήνδ' ἐξελκύσαι,
πρὸς τὴν θάλατταν ὀλίγον ὑποχωρήσατε.
ΧΟ. ἄγ', ὦνδρες, αὐτοὶ δὴ μόνοι λαβώμεθ' οἱ γεωργοί.
ΕΡ. χωρεῖ γέ τοι τὸ πρᾶγμα πολλῷ μᾶλλον, ὦνδρες,
ὑμῖν. [θυμοῦ.
ΧΟ. χωρεῖν τὸ πρᾶγμά φησιν· ἀλλὰ πᾶς ἀνὴρ προ-
ΤΡ. οἵ τοι γεωργοὶ τοὔργον ἐξέλκουσι, κἄλλος οὐδείς.
ΧΟ. ἄγε νυν ἄγε πᾶς·
καὶ μὴν ὁμοῦ 'στιν ἤδη.
μὴ νυν ἀνῶμεν, ἀλλ' ἐπεντείνωμεν ἀνδρικώτε-
ἤδη 'στὶ τοῦτ' ἐκεῖνο. [ρον.
ὢ εἶα νῦν, ὢ εἶα πᾶς.
ὢ εἶα εἶα εἶα εἶα εἶα εἶα.
ὢ εἶα εἶα εἶα εἶα εἶα πᾶς.
ΤΡ. ὦ πότνια βοτρυόδωρε, τί προσείπω σ' ἔπος;
πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον
ὅτῳ προσείπω σ'; οὐ γὰρ εἶχον οἴκοθεν.
ὦ χαῖρ' Ὀπώρα, καὶ σὺ δ', ὦ Θεωρία.
οἷον δ' ἔχεις τὸ πρόσωπον, ὦ Θεωρία·
οἷον δὲ πνεῖς, ὡς ἡδὺ κατὰ τῆς καρδίας,
γλυκύτατον, ὥσπερ ἀστρατείας καὶ μύρου.
ΕΡ. μῶν οὖν ὅμοιον καὶ γυλιοῦ στρατιωτικοῦ;
ΤΡ. ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος.
τοῦ μὲν γὰρ ὄζει κρομμυοξυρεγμίας,
ταύτης δ' ὀπώρας, ὑποδοχῆς, Διονυσίων,
αὐλῶν, τρυγῳδῶν, Σοφοκλέους μελῶν, κιχλῶν,
ἐπυλλίων Εὐριπίδου, ΕΡ. κλαύσἄρα σὺ
ταύτης καταψευδόμενος· οὐ γὰρ ἥδεται
αὕτη ποιητῇ ῥηματίων δικανικῶν.
ΤΡ. κιττοῦ, τρυγοίπου, προβατίων βληχωμένων,
κόλπου γυναικῶν διατρεχουσῶν εἰς ἀγρόν,
δούλης μεθυούσης, ἀνατετραμμένου χοός,
ἄλλων τε πολλῶν κἀγαθῶν. ΕΡ. ἴθι νυν ἄθρει
οἷον πρὸς ἀλλήλας λαλοῦσιν αἱ πόλεις
διαλλαγεῖσαι καὶ γελῶσιν ἄσμεναι,
καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
ἀπαξάπασαι καὶ κυάθοις προσκείμεναι.
ΤΡ. καὶ τῶνδε τοίνυν τῶν θεωμένων σκόπει
τὰ πρόσωφ', ἵνα γνῷς τὰς τέχνας. ΕΡ. αἰβοῖ τάλας,
εκεινονὶ γοῦν τὸν λοφοποιὸν οὐχ ὁρᾷς
τίλλονθ' ἑαυτόν; ὁ δέ γε τὰς σμινύας ποιῶν
κατέπαρδεν ἄρτι τοῦ ξιφουργοῦ 'κεινουί.
ΤΡ. ὁ δὲ δρεπανουργὸς οὐχ ὁρᾷς ὡς ἥδεται
καὶ τὸν δορυξὸν οἷον ἐσκιμάλισεν;
ΕΡ. ἴθι νυν ἄνειπε τοὺς γεωργοὺς ἀπιέναι.
ΤΡ. ἀκούετε λεῴ· τοὺς γεωργοὺς ἀπιέναι
τὰ γεωργικὰ σκεύη λαβόντας εἰς ἀγρὸν
ὡς τάχιστ' ἄνευ δορατίου καὶ ξίφους κἀκοντίου·
ὡς ἅπαντ' ἤδη 'στὶ μεστὰ τἀνθάδ' εἰρήνης σαπρᾶς.
ἀλλὰ πᾶς χώρει πρὸς ἔργον εἰς ἀγρὸν παιωνίσας.
ΧΟ. ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
ἄσμενός σ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμ-
πέλους·
τάς τε συκᾶς, ἃς ἐγὼ 'φύτευον ὢν νεώτερος,
ἀσπάσασθαι θυμὸς ἡμῖν ἐστι πολλοστῷ χρόνῳ.
ΤΡ. νῦν μὲν οὖν, ὦνδρες, προσευξώμεσθα πρῶτον
τῇ θεῷ, [γόνας·
ἥπερ ἡμῶν τοὺς λόφους ἀφεῖλε καὶ τὰς Γορ-
εἶθ' ὅπως λιταργιοῦμεν οἴκαδ' ἐς τὰ χωρία,
ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.
ΕΡ. ὦ Πόσειδον, ὡς καλὸν τὸ στῖφος αὐτῶν φαίνεται
καὶ πυκνὸν καὶ γοργὸν ὥσπερ μᾶζα καὶ πανδαισία.
ΤΡ. νὴ Δί', ἡ γὰρ σφῦρα λαμπρὸν ἦν ἄρ' ἐξωπλι-
σμένη,
αἵ τε θρίνακες διαστίλβουσι πρὸς τὸν ἥλιον.
ἦ καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον.
ὥστ' ἔγωγ' ἤδη 'πιθυμῶ καὐτὸς ἐλθεῖν εἰς ἀγρὸν
καὶ τριαινοῦν τῇ δικέλλῃ διὰ χρόνου τὸ γῄδιον.
ἀλλ' ἀναμνησθέντες, ὦνδρες,
τῆς διαίτης τῆς παλαιᾶς,
ἣν παρεῖχ' αὕτη ποθ' ἡμῖν,
τῶν τε παλασίων ἐκείνων,
τῶν τε σύκων, τῶν τε μύρτων,
τῆς τρυγός τε τῆς γλυκείας,
τῆς ἰωνιᾶς τε τῆς πρὸς
τῷ φρέατι, τῶν τ' ἐλαῶν,
ὧν ποθοῦμεν,
ἀντὶ τούτων τήνδε νυνὶ

---

489. νὴ Δία D.] εἶα νὴ Δία. εἶα servari poterit si in stropha, ubi libri optimi ἔτι μάλα, deteriorum probetur scriptura εἶα ἔτι μάλα. Ceterum νὴ Δία fortasse ex ἔτι μάλα corruptum; quae Meinekii coniectura est Porro post νὴ Δία quod in ed. Ald. et codicibus deterioribus additum est ΕΡ. ὢ εἶα ὢ εἶα, recte om. RVΓ.
491. δῆτα τόδ' ἐστὶν addidit D., collatis locis similibus Equit. 810. 820. 875. 878. Av. 27. 493. ὠργεῖοι] Quum in stropha v. 465. legatur οἱ Βοιωτοί, probabile est hic ἀργεῖοι scribendum esse cum Meinekio.
496. ἡμῖν ex Suida s. v. κακόνοι] ὑμῖν 497. ἀλλ' οὖν ὑμεῖς γ' οἱ D.] ὑμεῖς μὲν οὖν οἱ μὲν ab correctore additum videtur versus defecti (οὖν ὑμεῖς οἱ) explendi caussa. Quod ego restitui comparandum cum Aeschyli Prom. v. 1058. ἀλλ' οὖν ὑμεῖς γ' αἱ πημοσύναις ξυγκάμνουσαι — μετά ποι χωρεῖτ' ἐκ τῶνδε τόπων, ὑμεῖς μέν γ' οὖν οἱ Bentleius. ὑμεῖς μὲν νῦν οἱ Lentingius.
511. ἐξέλκουσι] Aptius ἐκπράττουσι. 515. ἀνδρικώτερον] ἀνδρικωτέρως Dobraeus. 518. 519. Haec in duo dimetros, ὢ εἶα εἶα εἶα νῦν, | ὢ εἶα εἶα εἶα πᾶς probabiliter redigit Richterus. 524. ὦ Θεωρία] Εἰρήνη φίλη Meinekius. 527. ΕΡ. R. Trygaeo continuant ceteri. γυλιοῦ D. in Thesauro vol. 2. p. 805.] γυλίου

528. ΤΡ. Beerius p. 158.] ΕΡ. 531. τρυγῳδῶν Brunckius] τραγῳδῶν 532. ΕΡ. Beerius] ΤΡ. κλαύσἄρα D.] κλαῦσ' ἄρα R. κλαῦσ' ἆρα ceteri. 535. ΤΡ. addidit Beerius. 536. κόλπου γυναικῶν] κώμου, γυναικῶν Hamakerus. εἰς ἀγρὸν RV et Par. B. ἐς ἰπνὸν Ald. εἰς ἀγρὸν legit scholiasta, qui annotavit γρ. εἰς ἰπνόν. 537. χοὸς D.] χοῶς. χοὼς Elmsleius ad Acharn. 1000. 542. κυάθοις] κυάθους duo codices Suidae s. v. ὑπωπιασμέναι. κυάθοις apud Athen. 10. p. 424 b. 566. νὴ Δί'] νὴ τὸν δί RVΓ. σφῦρα Bentleius] σφύρα 570. γῄδιον D.] γήδιον

τὴν θεὸν προσείπατε.
ΧΟ. χαῖρε χαῖρ', ὡς ἦλθες ἡμῖν ἀσμένοις, ὦ φιλτάτη.
σῷ γὰρ ἐδάμην πόθῳ, δαιμόνια βουλόμενος εἰς
ἀγρὸν ἀνερπύσαι.
ἦσθα γὰρ μέγιστον ἡμῖν κέρδος, ὦ ποθουμένη,
⏓ ⏑ – ⏑ ⏓ ⏑ – μόνη γὰρ ἡμᾶς ὠφέλεις
⏓ ⏑ ⏑ ⏑ ⏓ ⏑ – πᾶσιν ὁπόσοι βίον ἐτρίβομεν γεωργικόν.
πολλὰ γὰρ ἐπάσχομεν πρίν ποτ' ἐπὶ σοῦ γλυκέα
κἀδάπανα καὶ φίλα.
τοῖς ἀγροίκοισιν γὰρ ἦσθα χῖδρα καὶ σωτηρία.
ὥστε σὲ τά τ' ἀμπέλια καὶ τὰ νέα συκίδια
τἄλλα θ' ὁπόσ' ἐστὶ φυτὰ προσγελάσεται λαβόντ' ἄσμενα.
ἀλλὰ ποῦ ποτ' ἦν ἀφ' ἡμῶν τὸν πολὺν τοῦτον χρόνον
ἥδε, τοῦθ' ἡμᾶς δίδαξον, ὦ θεῶν εὐνούστατε.
ΕΡ. ω σοφώτατοι γεωργοί, τἀμὰ δὴ ξυνίετε
ῥήματ', εἰ βούλεσθ' ἀκοῦσαι τήνδ' ὅπως ἀπώλετο.
πρῶτα μὲν γὰρ ἦρξεν ἄτης Φειδίας πράξας κακῶς·
εἶτα Περικλέης φοβηθεὶς μὴ ετάσχοι τῆς τύχης,
τὰς φύσεις ὑμῶν δεδοικὼς καὶ τὸν αὐτοδὰξ τρόπον,
πρὶν παθεῖν τι δεινὸν αὐτός, ἐξέφλεξε τὴν πόλιν,
ἐμβαλὼν σπινθῆρα μικρὸν Μεγαρικοῦ ψηφίσματος,
κἀξεφύσησεν τοσοῦτον πόλεμον ὥστε τῷ καπνῷ
πάντας Ἕλληνας δακρῦσαι, τούς τ' ἐκεῖ τούς τ' ἐνθάδε.
ὡς δ' ἅπαξ τὸ πρῶτον ἄκουσ' ἐψόφησεν ἄμπελος
καὶ πίθος πληγεὶς ὑπ' ὀργῆς ἀντελάκτισεν πίθῳ,
οὐκέτ' ἦν οὐδεὶς ὁ παύσων, ἥδε δ' ἠφανίζετο.
ΤΡ. ταῦτα τοίνυν μὰ τὸν Ἀπόλλω 'γὼ 'πεπύσμην οὐδενός,
οὐδ' ὅπως αὐτῇ προσήκοι Φειδίας ἠκηκόη.
ΧΟ. οὐδ' ἔγωγε, πλήν γε νυνί. ταῦτ' ἄρ' εὐπρόσωπος ἦν,
οὖσα συγγενὴς ἐκείνου. πολλά γ' ἡμᾶς λανθάνει.
ΕΡ. κᾆτ' ἐπειδὴ 'γνωσαν ὑμᾶς αἱ πόλεις ὧν ἤρχετε
ἠγριωμένους ἐπ' ἀλλήλοισι καὶ σεσηρότας,
πάντ' ἐμηχανῶντ' ἐφ' ὑμῖν, τοὺς φόρους φοβούμεναι,
κἀνέπειθον τῶν Λακώνων τοὺς μεγίστους χρή- [μασιν.
οἱ δ' ἅτ' ὄντες αἰσχροκερδεῖς καὶ διειρωνόξενοι
τήνδ' ἀπορρίψαντες αἰσχρῶς τὸν πόλεμον ἀνήρπασαν·
κᾆτα τἀκείνων γε κέρδη τοῖς γεωργοῖς ἦν κακά·
αἱ γὰρ ἐνθένδ' αὖ τριήρεις ἀντιτιμωρούμεναι
οὐδὲν αἰτίων ἂν ἀνδρῶν τὰς κράδας κατήσθιον.
ΤΡ. ἐν δίκῃ μὲν οὖν, ἐπεί τοι καὶ κορώνεών γέ μου
ἐξέκοψαν, ἣν ἐγὼ 'φύτευσα κἀξεθρεψάμην.
ΧΟ. νὴ Δί', ὦ μέλ', ἐνδίκως γε δῆτ', ἐπεὶ κἀμοῦ λίθον
ἐμβαλόντες ἐκμέδιμνον κυψέλην ἀπώλεσαν.
ΕΡ. κᾆτα δ' ὡς ἐκ τῶν ἀγρῶν ξυνῆλθεν οὑργάτης λεώς,
τὸν τρόπον πωλούμενος τὸν αὐτὸν οὐκ ἐμάνθανεν,
ἀλλ' ἅτ' ὢν ἄνευ γιγάρτων καὶ φιλῶν τὰς [ἰσχάδας
ἔβλεπεν πρὸς τοὺς λέγοντας· οἱ δὲ γιγνώσκοντες εὖ
τοὺς πένητας ἀσθενοῦντας κἀποροῦντας ἀλφί- [των,
τήνδε μὲν δικροῖς ἐώθουν τὴν θεὸν κεκράγμασιν,
πολλάκις φανεῖσαν αὐτὴν τῆσδε τῆς χώρας πόθῳ,
τῶν δὲ συμμάχων ἔσειον τοὺς παχεῖς καὶ πλουσίους,
αἰτίας ἂν προστιθέντες ὡς φρονεῖ τὰ Βρασίδου.
εἶτ' ἂν ὑμεῖς τοῦτον ὥσπερ κυνίδι' ἐσπαράττετε·
ἡ πόλις γὰρ ὠχριῶσα κἀν φόβῳ καθημένη
ἅττα διαβάλοι τις αὐτῇ, ταῦτ' ἂν ἥδιστ' ἤσθιεν.
οἱ δὲ τὰς πληγὰς ὁρῶντες ἃς ἐτύπτεθ' οἱ ξένοι
χρυσίῳ τῶν ταῦτα ποιούντων ἐβύνουν τὸ στομα,
ὥστ' ἐκείνους μὲν ποιῆσαι πλουσίους, ἡ δ' Ἑλλὰς ἂν
ἐξερημωθεῖσ' ἂν ὑμᾶς ἔλαθε. ταῦτα δ' ἦν ὁ δρῶν
βυρσοπώλης. ΤΡ. παῦε παῦ', ὦ δέσποθ' Ἑρμῆ, μὴ λέγε,
ἀλλ' ἔα τὸν ἄνδρ' ἐκεῖνον οὗπερ ἔστ' εἶναι κάτω·
οὐ γὰρ ἡμέτερος ἔτ' ἔστ' ἐκεῖνος ἀνήρ, ἀλλὰ σός.
ἅττ' ἂν οὖν λέγῃς ἐκεῖνον,
κεἰ πανοῦργος ἦν, ὅτ' ἔζη,
καὶ λάλος καὶ συκοφάντης
καὶ κύκηθρον καὶ τάρακτρον,
ταῦθ' ἁπαξάπαντα νυνὶ
τοὺς σεαυτοῦ λοιδορεῖς.
ἀλλ' ὅ τι σιωπᾷς, ὦ πότνια, κάτειπέ μοι.
ΕΡ. ἀλλ' οὐκ ἂν εἴποι πρός γε τοὺς θεωμένους·
ὀργὴν γὰρ αὐτοῖς ὧν ἔπαθε πολλὴν ἔχει.
ΤΡ. ἡ δ' ἀλλὰ πρὸς σὲ μικρὸν εἰπάτω μόνον.
ΕΡ. εἴφ' ὅ τι νοεῖς αὐτοῖς πρὸς ἔμεγ', ὦ φιλτάτη.
ἴθ' ὦ γυναικῶν μισοπορπακιστάτη.
εἶεν, ἀκούω. ταῦτ' ἐπικαλεῖς; μανθάνω.
ἀκούσαθ' ὑμεῖς ὧν ἕνεκα μομφὴν ἔχει.
ἐλθοῦσά φησιν αὐτομάτη μετὰ τὰν Πύλῳ,
σπονδῶν φέρουσα τῇ πόλει κίστην πλέαν,
ἀποχειροτονηθῆναι τρὶς ἐν τἠκκλησίᾳ.
ΤΡ. ἡμάρτομεν ταῦτ'· ἀλλὰ συγγνώμην ἔχε·
ὁ νοῦς γὰρ ἡμῶν ἦν τότ' ἐν τοῖς σκύτεσιν.
ΕΡ. ἴθι νυν, ἄκουσον οἷον ἄρτι μ' ἤρετο·
ὅστις κακόνους αὐτῇ μάλιστ' ἦν ἐνθάδε,
χὤστις φίλος κἄσπευδεν εἶναι μὴ μάχας.
ΤΡ. εὐνούστατος μὲν ἦν μακρῷ Κλεώνυμος.
ΕΡ. ποῖός τις οὖν εἶναι δοκεῖ τὰ πολεμικά

582. ὡς ἦλθες ἡμῖν ἀσμένοις, ὦ φιλτάτη D.] ὦ φίλταθ' ὡς ἀσμένοισιν ἡμῖν ἦλθες 584. ἐδάμην — βουλόμενος D.] ἐδάμημεν — βουλόμενοι 585. δαιμόνια R. δαίμονα ceteri. 588. μόνη — γεωργικόν] Legebatur πᾶσιν ὁπόσοι γεωργι- | κὸν βίον ἐτρίβομεν. μόνη γὰρ ἡμᾶς ὠφέλεις. Quae postrema verba μόνη γὰρ ἡμᾶς ὠφέλεις si scripta sunt ab Aristophane, in eum quo transposui locum esse transferenda liquet, indicatis et ante et post ea lacunis. Verborum quae post ὠφέλεις exciderunt sensus fuisse videtur πάντα παρέχουσ' ἀγαθά. 595. χῖδρα D.] χίδρα 599. ὁπόσ' Bentleius] ὅσ' (ὅσσ' V) 603. σοφώτατοι] λιπερνῆτες Diodorus Sic. 12, 40. cui obversabatur Archilochi versus ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε, quo Cratinum in Pytina usum esse annotavit scholiasta. δὴ ξυνίετε] τις ξυνιέτω Diodorus. 605. ἦρξεν ἄτης Seidlerus] αὐτῆς ἦρξεν libri et Diodorus. 610. κἀξεφύσησεν Bentleius] ἐξεφύσησεν 611. ἐνθάδε] ἐνθαδί hic et 671. Vesp. 765. Av. 1076. Meinekius. 615. 'πεπύσμην Paris. B. πεπύσμην ceteri. 616. ἠκηκόη Brunckius ex schol. (οὕτω διὰ τοῦ η̄ Φρύνιχος ἀναγινώσκει)] ἠκηκόειν 618. πολλά γ'] πόλλ' ἄρ' Cobetus. 622. κἀνέπειθον] κᾆτ' ἔπειθον Cobetus.

628. καὶ Porsonus] τὴν 629. 'φύτευσα κἀξεθρεψάμην Bentleius] φυτεύσας ἐξεθρεψάμην 630. ἐνδίκως] ἐν δίκῃ Meinekius. γε δῆτ' Bentleius] γε om. RV aliique. δῆτά γ' Ald. 631. ἐκμέδιμνον Porsonus] ἑξμέδιμνον 632. κᾆτα δ'] κᾆτά γ' Meinekius. 640. αἰτίας] αἰτίαν Hamakerus. φρονεῖ] φρονοῖ RVΓ. Βρασίδου] Βρασίδα Suidas s. v. Βρασίδας. 643. ἅττα Florens Christianus] ἅττ' ἂν 644. ἐτύπτεθ' Hirschigius] ἐτύπτονθ' 648. βυρσοπώλης] ὁ βυρσοπώλης RV. 661. αὐτοῖς RVΓ. αὐτοῖσι ceteri. ἔμεγ' D.] ἐμ'

ὁ Κλεώνυμος; ΤΡ. ψυχὴν ἄριστος, πλήν γ' ὅτι
οὐκ ἦν ἄρ' οὗπέρ φησιν εἶναι τοῦ πατρός.
εἰ γάρ ποτ' ἐξέλθοι στρατιώτης, εὐθέως
ἀποβολιμαῖος τῶν ὅπλων ἐγίγνετο.
ΕΡ. ἔτι νῦν ἄκουσον οἷόν ἄρτι μ' ἤρετο·
ὅστις κρατεῖ νῦν τοῦ λίθου τοῦ 'ν τῇ πυκνί.
ΤΡ. Ὑπέρβολος νῦν τοῦτ' ἔχει τὸ χωρίον.
αὕτη, τί ποιεῖς; τὴν κεφαλὴν ποῖ περιάγεις;
ΕΡ. ἀποστρέφεται τὸν δῆμον ἀχθεσθεῖσ' ὅτι
αὑτῷ πονηρὸν προστάτην ἐπεγράψατο.
ΤΡ. ἀλλ' οὐκέτ' αὐτῷ χρησόμεθ' οὐδὲν, ἀλλὰ νῦν
ἀπορῶν ὁ δῆμος ἐπιτρόπου καὶ γυμνὸς ὢν
τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο.
ΕΡ. πῶς οὖν ξυνοίσει ταῦτ', ἐρωτᾷ, τῇ πόλει;
ΤΡ. εὐβουλότεροι γενησόμεσθα. ΕΡ. τίνι τρόπῳ;
ΤΡ. ὅτι τυγχάνει λυχνοποιὸς ὤν. πρὸ τοῦ μὲν οὖν
ἐψηλαφῶμεν ἐν σκότῳ τὰ πράγματα,
νυνὶ δ' ἅπαντα πρὸς λύχνον βουλεύσομεν.
ΕΡ. ὢ ὤ,
οἷά μ' ἐκέλευσεν ἀναπυθέσθαι σου. ΤΡ. τὸ τί;
ΕΡ. πάμπολλα καὶ τἀρχαῖ' ἃ κατέλιπεν τότε.
πρῶτον δ' ὅ τι πράττει Σοφοκλέης ἀνήρετο.
ΤΡ. εὐδαιμονεῖ· πάσχει δὲ θαυμαστόν. ΕΡ. τὸ τί;
ΤΡ. ἐκ τοῦ Σοφοκλέους γίγνεται Σιμωνίδης.
ΕΡ. Σιμωνίδης; πῶς; ΤΡ. ὅτι γέρων ὢν καὶ σαπρὸς
κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι.
ΕΡ. τί δαί; Κρατῖνος ὁ σοφὸς ἔστιν; ΤΡ. ἀπέθανεν,
ὅθ' οἱ Λάκωνες ἐνέβαλον. ΕΡ. τί παθών; ΤΡ. ὅ τι;
ὡρακιάσας· οὐ γὰρ ἐξηνέσχετο
ἰδὼν πίθον καταγνύμενον οἴνου πλέων.
χἄτερα πόσ' ἄττ' οἴει γεγενῆσθ' ἐν τῇ πόλει;
ὥστ' οὐδέποτ', ὦ δέσποιν', ἀφησόμεσθά σου.
ΕΡ. ἴθι νυν, ἐπὶ τούτοις τὴν Ὀπώραν λάμβανε
γυναῖκα σαυτῷ τήνδε· κᾆτ' ἐν τοῖς ἀγροῖς
ταύτῃ ξυνοικῶν ἐκποιοῦ σαυτῷ βότρυς.
ΤΡ. ὦ φιλτάτη, δεῦρ' ἐλθὲ καὶ δός μοι κύσαι.
ἆρ' ἂν βλαβῆναι διὰ χρόνου τί σοι δοκῶ,
ὦ δέσποθ' Ἑρμῆ, τῆς Ὀπώρας κατελάσας;
ΕΡ. οὔκ, εἴ γε κυκεῶν' ἐπιπίοις βληχωνίαν.
ἀλλ' ὡς τάχιστα τήνδε τὴν Θεωρίαν
ἀπάγαγε τῇ βουλῇ λαβών, ἧσπέρ ποτ' ἦν.
ΤΡ. ὦ μακαρία βουλὴ σὺ τῆς Θεωρίας,
ὅσον ῥοφήσει ζωμὸν ἡμερῶν τριῶν,
ὅσας δὲ κατέδει χόλικας ἑφθὰς καὶ κρέα.
ἀλλ', ὦ φίλ' Ἑρμῆ, χαῖρε πολλά. ΕΡ. καὶ σύ γε,
ὤνθρωπε, χαίρων ἄπιθι καὶ μέμνησό μου.
ΤΡ. ὦ κάνθαρ', οἴκαδ' οἴκαδ' ἀποπετώμεθα.
ΕΡ. οὐκ ἐνθάδ', ὦ τᾶν, ἔστι. ΤΡ. ποῖ γὰρ οἴχεται;
ΕΡ. ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ.
ΤΡ. πόθεν οὖν ὁ τλήμων ἐνθάδ' ἕξει σιτία;
ΕΡ. τὴν τοῦ Γανυμήδους ἀμβροσίαν σιτήσεται.
ΤΡ. πῶς δῆτ' ἐγὼ καταβήσομαι; ΕΡ. θάρρει, καλῶς·
τηδὶ παρ' αὐτὴν τὴν θεόν. ΤΡ. δεῦρ', ὦ κόρα,
ἕπεσθον ἅμ' ἐμοὶ θᾶττον, ὡς πολλοὶ πάνυ
ποθοῦντες ὑμᾶς ἀναμένουσ' ἐστυκότες.
ΧΟ. ἀλλ' ἴθι χαίρων· ἡμεῖς δὲ τέως τάδε τὰ σκεύη
παραδόντες [λιστα
τοῖς ἀκολούθοις δῶμεν σῴζειν, ὡς εἰώθασι μά-
περὶ τὰς σκηνὰς πλεῖστοι κλέπται κυπτάζειν καὶ
κακοποιεῖν. [θεαταῖς,
ἀλλὰ φυλάττετε ταῦτ' ἀνδρείως· ἡμεῖς δ' αὖ τοῖσι
ἣν ἔχομεν ὁδὸν λόγων εἴπωμεν ὅσα τε νοῦς ἔχει.
Χρῆν μὲν τύπτειν τοὺς ῥαβδούχους, εἴ τις κω-
μῳδοποιητὴς [ἀναπαίστοις.
αὑτὸν ἐπῄνει πρὸς τὸ θέατρον παραβὰς ἐν τοῖς
εἰ δ' οὖν εἰκός τινα τιμῆσαι, θύγατερ Διός, ὅστις
ἄριστος [γεγένηται,
κωμῳδοδιδάσκαλος ἀνθρώπων καὶ κλεινότατος
ἄξιος εἶναί φησ' εὐλογίας μεγάλης ὁ διδάσκαλος
ἡμῶν. [πων κατέπαυσεν
πρῶτον μὲν γὰρ τοὺς ἀντιπάλους μόνος ἀνθρώ-
ἐς τὰ ῥάκια σκώπτοντας ἀεὶ καὶ τοῖς φθειρσὶν
πολεμοῦντας·
τούς θ' Ἡρακλέας τοὺς μάττοντας καὶ τοὺς πει-
νῶντας ἐκείνους [παρέλυσεν
ἐξήλασ' ἀτιμώσας πρῶτος, καὶ τοὺς δούλους
τοὺς φεύγοντας κἀξαπατῶντας καὶ τυπτομένους
ἐπίτηδες, [τουδί,
οὓς ἐξῆγον κλάοντας ἀεί, καὶ τούτους οὕνεκα
ἵν' ὁ σύνδουλος σκώψας αὐτοῦ τὰς πληγὰς εἶτ'
ἀνέροιτο
"ὦ κακόδαιμον, τί τὸ δέρμ' ἔπαθες; μῶν ὑστρι-
χὶς εἰσέβαλέν σοι [τὸ νῶτον;"
ἐς τὰς πλευρὰς πολλῇ στρατιᾷ κἀδενδροτόμησε
τοιαῦτ' ἀφελὼν κακὰ καὶ φόρτον καὶ βωμολοχεύ-
ματ' ἀγεννῆ [δομήσας
ἐποίησε τέχνην μεγάλην ἡμῖν κἀπύργωσ' οἰκο-
ἔπεσιν μεγάλοις καὶ διανοίαις καὶ σκώμμασιν
οὐκ ἀγοραίοις,
οὐκ ἰδιώτας ἀνθρωπίσκους κωμῳδῶν οὐδὲ γυ-
ναῖκας, [ἐπεχείρει,
ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις
διαβὰς βυρσῶν ὀσμὰς δεινὰς κἀπειλὰς βορβορο-
θύμους. [χαρόδοντι,
καὶ πρῶτον μὲν μάχομαι πάντων αὐτῷ τῷ καρ-
οὗ δεινόταται μὲν ἀπ' ὀφθαλμῶν Κύννης ἀκτῖνες
ἔλαμπον,
ἑκατὸν δὲ κύκλῳ κεφαλαὶ κολάκων οἰμωξομένων
ἐλιχμῶντο [θρον τετοκυίας,
περὶ τὴν κεφαλήν, φωνὴν δ' εἶχεν χαράδρας ὀλε-
φώκης δ' ὀσμήν, Λαμίας ὄρχεις ἀπλύτους, πρω-
κτὸν δὲ καμήλου.

---

675. ψυχήν γ' R Ald. γ' om. V et Par. A. τ' ΒΓ. 676. οὗπερ Bentleius] ὅπερ 685. αὐτῷ] οὕτω Cobetus. 689. γενησόμεσθα. ΕΡ. τίνι τρόπῳ; D.] γενησόμεσθα (γενησόμεθα RVA) τρόπῳ τινί (τρόπῳ τινί Mercurio tribuit V) 693. τὸ τί Reiskius] τὰ τί 694. κατέλιπεν] κατέλειπεν V. 715. βουλὴ σὺ scholiasta. σὺ βουλὴ libri. 716. ῥοφήσει Elmsleius] ῥοφήσεις 725. θάρρει Brunckius] θάρσει 726. κόρα Meinekius] κόραι

733. Videtur alius cuiuspiam poetae versum non optimum ridere: qua sola ratione, quamvis incerta, explicari posse videtur cur tetrametrum trochaicum anapaestis admiscuerit. 740. τοῖς] τοὺς R. 742. 743. inverso ordine leguntur in libris. Transposuit Bergkius. 745. εἶτ' ἀνέροιτο Bentleius] ἐπανέροιτο 747. κἀδενδροτόμησε] κἀδενδροκόπησε Cobetus. τὸ νῶτον Suidas s. v. ὑστριχίς] τὸν νῶτον RVΓ. τὰ νῶτα ceteri. 753. βορβοροθύμους] βαρβαροθύμους legit scholiasta, τὸ βαρβαρῶδες δὲ τοῦ Κλέωνος δηλοῖ διὰ τοῦ βαρβαροθύμους. Id vero βαρβαρομύθους potius dicendum fuisset, quod coniecit Meinekius. Βορβοροτάραξις Cleon vocatur Equit. v. 309. 754. καὶ πρῶτον μὲν μάχομαι πάντων] Haec substituit verbis quibus in Vesp. 1031. usus erat θρασέως ξυστὰς εὐθὺς ἀπ' ἀρχῆς. μάχομαι] μαχόμην D. ut γένετο pro ἐγένετο dictum in parabasi Av. 701. ubi RVΓ ἐγένετ'. 755. Κύννης] Pravam Eratosthenis coniecturam κυνὸς ὡς memorat schol. 756. κεφαλαὶ] γλῶτται Bentleius hic et Vesp. 1033. ἐλιχμῶντο RV et Suidas s. v. Κύννα, ut est in Vesp. 1033. ἐλιχνῶντο. Idem legit Hesychius, ἐλιχνῶντο (codex ἐλίχνων): τοῦτο πεποίηται (πέπαικται Nauck. de Aristoph. Byz. p. 48.) ἐπὶ τοῦ λιχνεύειν παρὰ Ἀριστοφάνει ἐν Εἰρήνῃ.

τοιοῦτον ἰδὼν τέρας οὐ κατέδεισ', ἀλλ' ὑπὲρ ὑμῶν
πολεμίζων [νυνὶ
ἀντεῖχον ἀεὶ καὶ τῶν ἄλλων νήσων. ὧν οὕνεκα
ἀποδοῦναί μοι τὴν χάριν ὑμᾶς εἰκὸς καὶ μνήμο-
νας εἶναι. [λαίστρας περινοστῶν
καὶ γὰρ πρότερον πράξας κατὰ νοῦν οὐχὶ πα-
παῖδας ἐπείρων, ἀλλ' ἀράμενος τὴν σκευὴν εὐθὺς
ἐχώρουν, [σχὼν τὰ δέοντα.
παῦρ' ἀνιάσας, πόλλ' εὐφράνας, πάντα παρα-
πρὸς ταῦτα χρεὼν εἶναι μετ' ἐμοῦ
καὶ τοὺς ἄνδρας καὶ τοὺς παῖδας·
καὶ τοῖς φαλακροῖσι παραινοῦμεν
ξυσπουδάζειν περὶ τῆς νίκης.
πᾶς γάρ τις ἐρεῖ νικῶντος ἐμοῦ
κἀπὶ τραπέζῃ καὶ ξυμποσίοις,
φέρε τῷ φαλακρῷ, δὸς τῷ φαλακρῷ
τῶν τρωγαλίων, καὶ μὴ ἀφαίρει
γενναιοτάτου τῶν ποιητῶν
λαμπρὸν τὸ μέτωπον ἔχοντος.
Μοῦσα, σὺ μὲν πολέμους ἀπωσαμένη μετ' ἐμοῦ
τοῦ φίλου χόρευσον,
κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας
καὶ θαλίας μακάρων· σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς
μέλει.
ἢν δέ σε Καρκίνος ἐλθὼν
ἀντιβολῇ μετὰ τῶν παίδων χορεῦσαι,
μήθ' ὑπάκουε μήτ' ἔλθῃς ξυνέριθος αὐτοῖς, ἀλλὰ
νόμιζε πάντας
ὄρτυγας οἰκογενεῖς, γυλιαύχενας ὀρχηστὰς
νανοφυεῖς, σφυράδων ἀποκνίσματα, μηχανοδί-
φας.
καὶ γὰρ ἔφασχ' ὁ πατὴρ ὃ παρ' ἐλπίδας
εἶχε τὸ δρᾶμα γαλῆν τῆς ἑσπέρας ἀπάγξαι.
τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων
τὸν σοφὸν ποιητὴν
ὑμνεῖν, ὅταν ἠρινὰ μὲν φωνῇ χελιδὼν
ἑζομένη κελαδῇ, χορὸν δὲ μὴ 'χῃ Μόρσιμος
μηδὲ Μελάνθιος, οὗ δὴ
πικροτάτην ὄπα γηρύσαντος ἤκουσ',
ἡνίκα τῶν τραγῳδῶν τὸν χορὸν εἶχον ἀδελφός
τε καὶ αὐτός, ἄμφω
Γοργόνες ὀψοφάγοι, βατιδοσκόποι, ἅρπυιαι,
γραοσόβαι, μιαροί, τραγομάσχαλοι, ἰχθυολῦμαι·
ὧν καταχρεμψαμένη μέγα καὶ πλατύ,
Μοῦσα θεά, μετ' ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν.
ΤΡ. ὡς χαλεπὸν ἐλθεῖν ἦν ἄρ' εὐθὺ τῶν θεῶν.
ἔγωγέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη.
μικροὶ δ' ὁρᾶν ἄνωθεν ἦστ'. ἔμοιγέ τοι
ἀπὸ τοὐρανοῦ 'φαίνεσθε κακοήθεις πάνυ,
ἐντευθενὶ δὲ πολύ τι κακοηθέστεροι.
ΟΙ. ὦ δέσποθ', ἥκεις; ΤΡ. ὥς γ' ἐγὼ 'πυθόμην τινός.
ΟΙ. τί δ' ἔπαθες; ΤΡ. ἤλγουν τὼ σκέλη μακρὰν
ὁδὸν

775—796. = 797—818.

διεληλυθώς. ΟΙ. ἴθι νυν, κάτειπέ μοι, ΤΡ. τὸ τί;
ΟΙ. ἄλλον τιν' εἶδες ἄνδρα κατὰ τὸν ἀέρα
πλανώμενον πλὴν σαυτόν; ΤΡ. οὔκ, εἰ μή γέ που
ψυχὰς δύ' ἢ τρεῖς διθυραμβοδιδασκάλων.
ΟΙ. τί δ' ἔδρων; ΤΡ. ξυνελέγοντ' ἀναβολὰς ποτώ-
τὰς ἐνδιαεραυρινηχέτους τινάς. [μεναι,
ΟΙ. οὐκ ἦν ἄρ' οὐδ' ἃ λέγουσι κατὰ τὸν ἀέρα,
ὡς ἀστέρες γιγνόμεθ', ὅταν τις ἀποθάνῃ;
ΤΡ. μάλιστα. ΟΙ. καὶ τίς ἐστιν ἀστὴρ νῦν ἐκεῖ;
ΤΡ. Ἴων ὁ Χῖος, ὅσπερ ἐποίησεν πάλαι
ἐνθάδε τὸν Ἀοῖόν ποθ'· ὡς δ' ἦλθ', εὐθέως
Ἀοῖον αὐτὸν πάντες ἐκάλουν ἀστέρα.
ΟΙ. τίνες γάρ εἰσ' οἱ διατρέχοντες ἀστέρες,
οἳ καόμενοι θέουσιν; ΤΡ. ἀπὸ δείπνου τινὲς
τῶν πλουσίων οὗτοι βαδίζουσ' ἀστέρων,
ἰπνοὺς ἔχοντες, ἐν δὲ τοῖς ἰπνοῖσι πῦρ.
ἀλλ' εἴσαγ' ὡς τάχιστα ταυτηνὶ λαβών,
καὶ τὴν πύελον κατάκλυζε, καὶ θέρμαιν' ὕδωρ·
στόρνυ τ' ἐμοὶ καὶ τῇδε κουρίδιον λέχος.
καὶ ταῦτα δράσας ἧκε δεῦρ' αὖθις πάλιν·
ἐγὼ δ' ἀποδώσω τήνδε τῇ βουλῇ τέως.
ΟΙ. πόθεν δ' ἔλαβες ταύτας σύ; ΤΡ. πόθεν; ἐκ τοὐ-
ΟΙ. οὐκ ἂν ἔτι δοίην τῶν θεῶν τριώβολον, [ρανοῦ.
εἰ πορνοβοσκοῦσ' ὥσπερ ἡμεῖς οἱ βροτοί.
ΤΡ. οὔκ, ἀλλὰ κἀκεῖ ζῶσιν ἀπὸ τούτου τινές.
ἄγε νυν ἴωμεν. ΟΙ. εἰπέ μοι, δῶ καταφαγεῖν
ταύτῃ τι; ΤΡ. μηδέν· οὐ γὰρ ἐθελήσει φαγεῖν
οὔτ' ἄρτον οὔτε μᾶζαν, εἰωθυῖ' ἀεὶ
παρὰ τοῖς θεοῖσιν ἀμβροσίαν λείχειν ἄνω.
ΟΙ. λείχειν ἄρ' αὐτῇ κἀνθάδε σκευαστέον.
ΧΟ. εὐδαιμονικῶς γ' ὁ πρεσ-
βύτης, ὅσα γ' ὧδ' ἰδεῖν,
τὰ νῦν τάδε πράττει.
ΤΡ. τί δῆτ', ἐπειδὰν νυμφίον μ' ὁρᾶτε λαμπρὸν ὄντα;
ΧΟ. ζηλωτὸς ἔσει γέρων
αὖθις νέος ὢν πάλιν,
μύρῳ κατάλειπτος.
ΤΡ. οἶμαι. τί δῆθ', ὅταν ξυνὼν τῶν τιτθίων ἔχωμαι;
ΧΟ. εὐδαιμονέστερος φανεῖ τῶν Καρκίνου στροβίλων.
ΤΡ. οὔκουν δικαίως; ὅστις εἰς
ὄχημα κανθάρου 'πιβὰς
ἔσωσα τοὺς Ἕλληνας, ὥστ'
ἐν τοῖς ἀγροῖς
ἅπαντας ὄντας ἀσφαλῶς
βινεῖν τε καὶ καθεύδειν.
ΟΙ. ἡ παῖς λέλουται καὶ τὰ τῆς πυγῆς καλά·

856—867. = 910—921.

760. οὕνεκα Brunckius] εἵνεκα 770. καὶ] κἂν Meinekius. 774. λαμπρὸν] ἀνδρὸς libri. λαμπρὸν legit scholiasta, λαμπρὸν διὰ τὴν φαλακρότητα, ἢ εὐπαρρησίαστον. φαιδρὸς λάμποντι μετώπῳ dicitur Equit. 550. 785. ὑπάκουε Bentleius] ὑπακούσῃς 790. νανοφυεῖς H. Stephanus in Thesauro] ναννοφυεῖς

802. ἑζομένη] ἡδομένη Bergkius. Sic ἡδομένᾳ φωνᾷ Av. 236. 808. ὡδελφός (debebat ἁδελφός) Bentleius] ἀδελφός 822. 'φαίνεσθε D.] φαίνεσθε (φαίνεσθαι RΓ) 824. ΟΙ. (i. e. οἰκέτης) hic et infra Brunckius. θε. (i. e. θεράπων) libri. ὥς γ' ἐγὼ 'πυθόμην D.] ὡς ἔγωγ' RVΓ. ὡς ἐγὼ 'πυθόμην Aldus.

831. ἐνδιαεραυρινηχέτους D.] ἐνδιαεριαυερινηχέτους RV, ex quo corruptum quod in ceteris pro αυερι legitur ανερι et apud Suidam (s. v. διθυραμβοδιδάσκαλοι) αιερι. Neque aliter Didymus, de quo scholiasta, Δίδυμος δὲ πεπλάνηται λέγων αὐερινηχέτους· οὐ γὰρ λέγουσιν οὗτοι αὐέρα. Quod ego restitui non cum αὐήρ est compositum, sed cum αὖρι, quod idem esse ac ταχέως grammatici docent Aeschyli exemplo usi, qui αὐριβάτας dixerat: vid. fragm. 278. ἐνδιαεριαυρινηχύτους Meinekius. τινάς] Vocabulo comice composito additum ut in Vesp. 135. ἔχων τρόπους φρυαγμοσεμνάκους τινάς, in libris corruptum in —κουστίνους. 836. ὡς δ' ἦλθ' RVΓ. ὥστε γ' ceteri. 844. τ' ἐμοὶ Brunckius] τέ μοι 847. ταύτας RV. ταῦτα ceteri. ταύτα Brunckius. πόθεν] ὁπόθεν Hirschigius, deleto σύ. Sed v. ad Av. 608. 850. τούτου D.] τούτων

861. ἄγε νυν ἴωμεν] Haec verba servo in libris adscripta Trygaeo tribuit Boissonadius. 860. γέρων Bergkius] γέρον 864. ΧΟ. addidit Bentleius. εὐδαιμονέστερος] εὐδαιμονίστερος R. φανεῖ Bentleius] φανεῖς 867. βινεῖν Florens Christianus] κινεῖν

ὁ πλακοῦς πέπεπται, σησαμῆ ξυμπλάττεται,
καὶ τἄλλ᾽ ἀπαξάπαντα· τοῦ πέους δὲ δεῖ.
ΤΡ. ἴθι νυν ἀποδῶμεν τήνδε τὴν Θεωρίαν
ἀνύσαντε τῇ βουλῇ τι ταυτῃί. ΟΙ. τί φῄς;
αὕτη Θεωρία ᾽στίν, ἣν ἡμεῖς ποτε
ἐπαίομεν Βραυρῶνάδ᾽ ὑποπεπωκότες;
ΤΡ. σάφ᾽ ἴσθι, κἀλήφθη γε μόλις. ΟΙ. ὦ δέσποτα,
ὅσην ἔχει τὴν πρωκτοπεντετηρίδα.
ΤΡ. εἶεν, τίς ἐσθ᾽ ὑμῶν δίκαιος, τίς ποτε,
τίς διαφυλάξει τήνδε τῇ βουλῇ λαβών;
οὗτος, τί περιγράφεις; ΟΙ. τὸ δεῖν᾽, εἰς Ἴσθμια
σκηνὴν ἐμαυτοῦ τῷ πέει καταλαμβάνω.
ΤΡ. οὔπω λέγεθ᾽ ὑμεῖς τίς ὁ φυλάξων. δεῦρο σύ·
καταθήσομαι γὰρ αὐτὸς ἐς μέσους ἄγων.
ΟΙ. ἐκεινοσὶ νεύει. ΤΡ. τίς; ΟΙ. ὅστις; Ἀριφράδης,
ἄγειν παρ᾽ αὑτὸν ἀντιβολῶν. ΤΡ. ἀλλ᾽, ὦ μέλε,
τὸν ζωμὸν αὐτῆς προσπεσὼν ἐκλάψεται.
ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί.
βουλή, πρυτάνεις, ὁρᾶτε τὴν Θεωρίαν.
σκέψασθ᾽ ὅσ᾽ ὑμῖν ἀγαθὰ παραδώσω φέρων,
ὥστ᾽ εὐθέως ἄραντας ὑμᾶς τὼ σκέλη
ταύτης μετέωρα καταγαγεῖν ἀνάρρυσιν.
τουτὶ δ᾽ ὅρα τοὐπτάνιον ἡμῖν ὡς καλόν.
ΟΙ. διὰ ταῦτα καὶ κεκάπνικ᾽ ἄρ᾽· ἐντεῦθεν γὰρ ἦν
πρὸ τοῦ πολέμου τὰ λάσανα τῇ βουλῇ ποτέ.
ΤΡ. ἔπειτ᾽ ἀγῶνά γ᾽ εὐθὺς ἐξέσται ποιεῖν
ταύτην ἔχουσιν αὔριον καλὸν πάνυ,
ἐπὶ γῆς παλαίειν, τετραποδηδὸν ἑστάναι,
πλαγίαν καταβάλλειν, ἐς γόνατα κύβδ᾽ ἑστάναι,
καὶ παγκράτιόν γ᾽ ὑπαλειψαμένοις νεανικῶς
παίειν, ὀρύττειν, πὺξ ὁμοῦ καὶ τῷ πέει·
τρίτῃ δὲ μετὰ ταῦθ᾽ ἱπποδρομίαν ἄξετε,
ἵνα δὴ κέλης κέλητα παρακελητιεῖ,
ἅρματα δ᾽ ἐπ᾽ ἀλλήλοισιν ἀνατετραμμένα
φυσῶντα καὶ πνέοντα προσκινήσεται,
ἕτεροι δὲ κείσονταί γ᾽ ἀπεψωλημένοι
περὶ ταῖσι καμπαῖς ἡνίοχοι πεπτωκότες.
ἀλλ᾽, ὦ πρυτάνεις, δέχεσθε τὴν Θεωρίαν.
θᾶσ᾽ ὡς προθύμως ὁ πρύτανις παρεδέξατο.
ἀλλ᾽ οὐκ ἄν, εἴ τι προῖκα προσαγαγεῖν σ᾽ ἔδει·
ἀλλ᾽ ηὗρον ἂν σ᾽ ὑπέχοντα τὴν ἐκεχειρίαν.
ΧΟ. ἦ χρηστὸς ἀνὴρ πολί-
ταις ἐστὶν ἅπασαν ὅσ-
τις γ᾽ ἐστὶ τοιοῦτος.
ΤΡ. ὅταν τρυγᾶτ᾽, εἴσεσθε πολλῷ μᾶλλον οἷός εἰμι.
ΧΟ. καὶ νῦν σύ γε δῆλος εἶ·
σωτὴρ γὰρ ἅπασιν ἀν-
θρώποις γεγένησαι.
ΤΡ. φήσεις γ᾽, ἐπειδὰν ἐκπίῃς οἴνου νέου λεπαστήν.
ΧΟ. καὶ πλήν γε τῶν θεῶν ἀεί σ᾽ἡγησόμεσθα πρῶτον.
ΤΡ. πολλῶν γὰρ ὑμῖν ἄξιος
Τρυγαῖος ἀθμονεὺς ἐγώ,
δεινῶν ἀπαλλάξας πόνων
τὸν δημότην
καὶ τὸν γεωργικὸν λεών,
Ὑπέρβολόν τε παύσας.
ΟΙ. ἄγε δή, τί νῷν ἐντευθενὶ ποιητέον;
ΤΡ. τί δ᾽ ἄλλο γ᾽ ἢ ταύτην χύτραις ἱδρυτέον;
ΧΟ. χύτραισιν, ὥσπερ μεμφόμενον Ἑρμήδιον;
ΤΡ. τί δαὶ δοκεῖ; βούλεσθε λαρινῷ βοΐ;
ΧΟ. βοΐ; μηδαμῶς, ἵνα μὴ βοηθεῖν ποι δέῃ.
ΤΡ. ἀλλ᾽ ὑῒ παχείᾳ καὶ μεγαλῃ; ΧΟ. μὴ μή. ΤΡ. τιή;
ΧΟ. ἵνα μὴ γένηται Θεογένους ὑηνία.
ΤΡ. τῷ δὴ δοκεῖ σοι δῆτα τῶν λοιπῶν; ΧΟ. ὀΐ.
ΤΡ. ὀΐ; ΧΟ. ναὶ μὰ Δί᾽. ΤΡ. ἀλλὰ τοῦτό γ᾽ ἔστ᾽
Ἰωνικὸν
τὸ ῥῆμ᾽. ΧΟ. ἐπίτηδές γ᾽, ἵν᾽ ὅταν ἐν τἠκκλησίᾳ
ὡς χρὴ πολεμεῖν λέγῃ τις οἱ καθήμενοι
ὑπὸ τοῦ δέους λέγωσ᾽ Ἰωνικῶς ὀΐ,
ΤΡ. εὖ τοι λέγεις. ΧΟ. καὶ τἄλλα γ᾽ ὦσιν ἤπιοι.
ὥστ᾽ ἐσόμεθ᾽ ἀλλήλοισιν ἀμνοὶ τοὺς τρόπους
καὶ τοῖσι συμμάχοισι πραότεροι πολύ.
ΤΡ. ἴθι νυν, ἄγ᾽ ὡς τάχιστα τὸ πρόβατον λαβών·
ἐγὼ δὲποριῶ βωμὸν ἐφ᾽ ὅτου θύσομεν.
ΧΟ. ὡς πάνθ᾽ ὅσ᾽ ἂν θεὸς θέλῃ χἠ τύχη κατορθοῖ,
χωρεῖ κατὰ νοῦν, ἕτερον δ᾽ ἑτέρῳ
τούτων κατὰ καιρὸν ἀπαντᾷ.
ΤΡ. ὡς ταῦτα δῆλά γ᾽ ἔσθ᾽· ὁ γὰρ βωμὸς θύρασι καὶ δή.
ΧΟ. ἐπείγετε νῦν ἐν ὅσῳ
σοβαρὰ θεόθεν κατέχει
πολέμου μετάτροπος αὔρα.
νῦν γὰρ δαίμων φανερῶς
εἰς ἀγαθὰ μεταβιβάζει.
ΤΡ. τὸ κανοῦν πάρεστ᾽ ὀλὰς ἔχον καὶ στέμμα καὶ
μάχαιραν, [βατον ἡμᾶς.
καὶ πῦρ γε τουτί, κοὐδὲν ἴσχει πλὴν τὸ πρό-
ΧΟ. οὔκουν ἁμιλλήσεσθον; ὡς
ἢν Χαῖρις ὑμᾶς ἴδῃ,
πρόσεισιν ἄκλητος αὐ-
λῶν, κᾆτα σάφ᾽ οἶδ᾽ ὅτι
φυσῶντι καὶ πονουμένῳ
προσδώσετε δήπου.
ΤΡ. ἄγε δή, τὸ κανοῦν λαβὼν σὺ καὶ τὴν χέρνιβα
περίιθι τὸν βωμὸν ταχέως ἐπιδέξια.
ΟΙ. ἰδού· λέγοις ἂν ἄλλο· περιελήλυθα.
ΤΡ. φέρε δή, τὸ δαλίον τόδ᾽ ἐμβάψω λαβών.
σείου σὺ ταχέως· σὺ δὲ πρότεινε τῶν ὀλῶν,
καὐτός τε χερνίπτου, παραδοὺς ταύτην ἐμοί,
καὶ τοῖς θεαταῖς ῥῖπτε τῶν κριθῶν. ΟΙ. ἰδού.
ΤΡ. ἔδωκας ἤδη; ΟΙ. νὴ τὸν Ἑρμῆν, ὥστε γε
τούτων ὅσοιπέρ εἰσι τῶν θεωμένων
οὐκ ἔστιν οὐδεὶς ὅστις οὐ κριθὴν ἔχει.
ΤΡ. οὐχ αἱ γυναῖκές γ᾽ ἔλαβον. ΟΙ. ἀλλ᾽ εἰς ἑσπέραν

939—955. = 1023—1038.

---

872. τι om. R. ταυτῃί] ταυτηνί V. 873. 874. Trygaeo tribuit V. 882. αὐτὸς ἐς μέσους Seidlerus] αὐτοὺς ἐς μέσους RV. ἐς μέσους αὐτοὺς ceteri. 891. ὅρα D.] ὁρᾶτε 892. 893. in libris Trygaeo continuatos servo tribuit Beerius p. 158. 892. ἐντεῦθεν γὰρ ἦν — ποτέ D.] ἐνταῦθα γὰρ — ποτ᾽ ἦν 894. γ᾽] θ᾽ R. Fort. δ᾽. 897. ex R accessit. κύβδ᾽] κῦβδ᾽ Meinekius hic et Equit. 365. Thesm. 489. 906. θᾶσ᾽ D.] θέασ᾽ 908. ἐκεχειρίαν] δεκεχειρίαν Hamakerus. 909. πολίταις Hermannus] πολίτης 916. γ᾽ addidit D. (vid. Annot. Oxon. p. 586.) 918. πολλῶν] πολλοῦ Hirschigius. 919. ἀθμονεὺς Brunckius] ἀθμονεὺς 921. δημότην D.] δημότην ὅμιλον

922. ΟΙ.] θε. R. Χο. ceteri. Et servi hunc versum esse docet numerus dualis νῷν, qui manifeste de Trygaeo et servo est intelligendus. Ex quo tamen non sequitur, quod volebat Dobraeus, etiam in sequentibus usque ad v. 934. servo esse tribuenda quae libri et scholiasta choro tribuunt, etsi infra v. 956. et sequentibus Trygaeus de sacrificio perficiendo non cum choro, sed cum servo colloquitur. 924. Ἑρμήδιον L. Dindorfius] ἑρμίδιον. Vid. ad v. 382. 926. δέῃ D.] δέοι 928. Θεογένους D.] Θεαγένους 929. δή] δαὶ Meinekius. 931. ὅταν addidit Meinekius. 932. λέγῃ Meinekius] λέγει 943. ἐπείγετε] ἄγ᾽ ἐπείγετε Hermannus. 948. ΤΡ.] θε. R. 951. ὑμᾶς] ἡμᾶς Suidas s. v. Χαιριδεῖς 952. ἄκλητος αὐλῶν Bergkius] αὐλήσων (αὐλῶν D. in ed. a. 1820.) ἄκλητος 953. σάφ᾽ D.] τοῦτ᾽ εὖ 959. δαλίον Didymus apud schol.] δᾳδίον, quod reprobat schol. 962. τοῖς D.] τοῖσιν vel τοῖσι

δώσουσιν αὐτοῖς ἄνδρες. ΤΡ. ἀλλ' εὐχώμεθα.
τίς τῇδε; ποῦ ποτ' εἰσὶ πολλοὶ κἀγαθοί;
ΟΙ. τοισδὶ φέρε δῶ· πολλοὶ γάρ εἰσι κἀγαθοί.
ΤΡ. τούτους ἀγαθοὺς ἐνόμισας; ΟΙ. οὐ γάρ, οἵτινες
ἡμῶν καταχεόντων ὕδωρ τοσουτονὶ
ἐς ταὐτὸ τοῦθ' ἑστᾶσ' ἰόντες χωρίον;
ΤΡ. ἀλλ' ὡς τάχιστ' εὐχώμεθ' εὐχώμεσθα δή.
ὦ σεμνοτάτη βασίλεια θεά,
πότνι' Εἰρήνη,
δέσποινα χορῶν, δέσποινα γάμων,
δέξαι θυσίαν τὴν ἡμετέραν.
ΟΙ. δέξαι δῆτ', ὦ πολυτιμήτη,
νὴ Δία, καὶ μὴ ποίει γ' ἅπερ αἱ
μοιχευόμεναι δρῶσι γυναῖκες.
καὶ γὰρ ἐκεῖναι παρακλίνασαι
τῆς αὐλείας παρακύπτουσιν·
κἄν τις προσέχῃ τὸν νοῦν αὐταῖς,
ἀναχωροῦσιν,
κᾆτ' ἢν ἀπίῃ, παρακύπτουσιν.
τούτων σὺ ποίει μηδὲν ἔθ' ἡμᾶς.
ΤΡ. μὰ Δί', ἀλλ' ἀπόφηνον ὅλην σαυτὴν
γενναιοπρεπῶς τοῖσιν ἐρασταῖς
ἡμῖν, οἵ σου τρυχόμεθ' ἤδη
τρία καὶ δέκ' ἔτη.
λῦσον δὲ μάχας καὶ κορκορυγάς,
ἵνα Λυσιμάχην σε καλῶμεν.
παῦσον δ' ἡμῶν τὰς ὑπονοίας
τὰς περικόμψους.
αἷς στωμυλλόμεθ' εἰς ἀλλήλους·
μῖξον δ' ἡμᾶς τοὺς Ἕλληνας
πάλιν ἐξ ἀρχῆς
φιλίας χυλῷ, καὶ ξυγγνώμῃ
τινὶ πραοτέρᾳ κέρασον τὸν νοῦν·
καὶ τὴν ἀγορὰν ἡμῖν ἀγαθῶν
ἐμπλησθῆναι 'κ Μεγάρων σκορόδων,
σικύων πρῴων, μήλων, ῥοιῶν,
δούλοισι χλανισκιδίων μικρῶν·
κἀκ Βοιωτῶν γε φέροντας ἰδεῖν
χῆνας, νήττας, φάττας, τροχίλους·
καὶ Κωπᾴδων ἐλθεῖν σπυρίδας,
καὶ περὶ ταύτας ἡμᾶς ἀθρόους
ὀψωνοῦντας τυρβάζεσθαι
Μορύχῳ, Τελέᾳ, Γλαυκέτῃ, ἄλλοις
τένθαις πολλοῖς· κᾆτα Μελάνθιον
ἥκειν ὕστερον ἐς τὴν ἀγοράν,
τὰς δὲ πεπρᾶσθαι, τὸν δ' ὀτοτύζειν,
εἶτα μονῳδεῖν ἐκ Μηδείας,
ὀλόμαν ὀλόμαν, ἀποχηρωθεὶς
τᾶς ἐν τεύτλοισι λοχευομένας·
τοὺς δ' ἀνθρώπους ἐπιχαίρειν.
ταῦτ', ὦ πολυτίμητ', εὐχομένοις ἡμῖν δίδου.
ΟΙ. λαβὲ τὴν μάχαιραν· εἶθ' ὅπως μαγειρικῶς
σφάξεις τὸν οἶν. ΤΡ. ἀλλ' οὐ θέμις. ΟΙ. τιὴ τί δή;
ΤΡ. οὐχ ἥδεται δήπουθεν Εἰρήνη σφαγαῖς,
οὐδ' αἱματοῦται βωμός. ἀλλ' εἴσω φέρων
θύσας τὰ μηρί' ἐξελὼν δεῦρ' ἔκφερε,
χοὔτω τὸ πρόβατον τῷ χορηγῷ σώζεται.
ΧΟ. σέ τοι θύρασι χρὴ ⏑ ⏑́ – μένοντα τοίνυν
σχίζας δευρὶ τιθέναι ταχέως
τά τε πρόσφορα πάντ' ἐπὶ τούτοις.
ΤΡ. οὔκουν δοκῶ σοι μαντικῶς τὸ φρύγανον τίθεσθαι;
ΧΟ. πῶς δ' οὐχί; τί γάρ σε πέφευγ'
ὅσα χρὴ σοφὸν ἄνδρα; τί δ' οὐ
σὺ φρονεῖς ὁπόσα χρεὼν τὸν
σοφῇ – – δόκιμον
φρενὶ πορίμῳ τε τόλμῃ;
ΤΡ. ἡ σχίζα γοῦν ἐνημμένη τὸν Στιλβίδην πιέζει,
καὶ τὴν τράπεζαν οἴσομαι, καὶ παιδὸς οὐ δεήσει.
ΧΟ. τίς οὖν ἂν οὐκ ἐπαινέσει-
εν ἄνδρα τοιοῦτον, ὅσ-
τις πόλλ' ἀνατλὰς ἔσω-
σεν τὴν ἱερὰν πόλιν;
ὥστ' οὐχὶ μὴ παύσει ποτ' ὢν
ζηλωτὸς ἅπασιν.
ΟΙ. ταυτὶ δέδραται. τίθεσο τὼ μηρὼ λαβών.
ἐγὼ δ' ἐπὶ σπλάγχν' εἶμι καὶ θυλήματα.
ΤΡ. ἐμοὶ μελήσει ταῦτά γ'· ἀλλ' ἥκειν ἐχρῆν.
ΟΙ. ἰδού, πάρειμι. μῶν ἐπισχεῖν σοι δοκῶ;
ΤΡ. ὄπτα καλῶς νυν αὐτά· καὶ γὰρ οὑτοσὶ
προσέρχεται δάφνῃ τις ἐστεφανωμένος.
τίς ἄρα ποτ' ἐστίν; ΟΙ. ὡς ἀλαζὼν φαίνεται·
μάντις τίς ἐστιν. ΤΡ. οὐ μὰ Δί', ἀλλ' Ἱεροκλέης
οὗτός γέ πού 'σθ' ὁ χρησμολόγος οὐξ Ὠρεοῦ.
ΟΙ. τί ποτ' ἄρα λέξει; ΤΡ. δῆλός ἐσθ' οὗτός γ' ὅτι
ἐναντιώσεταί τι ταῖς διαλλαγαῖς.
ΟΙ. οὔκ, ἀλλὰ κατὰ τὴν κνῖσαν εἰσελήλυθεν.
ΤΡ. μή νυν ὁρᾶν δοκῶμεν αὐτόν. ΟΙ. εὖ λέγεις.

ΙΕΡΟΚΛΗΣ.

τίς ἡ θυσία ποθ' αὑτηὶ καὶ τῷ θεῶν;
ΤΡ. ὄπτα σὺ σιγῇ, κἄπαγ' ἀπὸ τῆς ὀσφύος.
ΙΕ. ὅτῳ δὲ θύετ' οὐ φράσεθ'; ΟΙ. ἡ κέρκος ποιεῖ
καλῶς; ΤΡ. καλῶς δῆτ', ὦ πότνι' Εἰρήνη φίλη.
ΙΕ. ἄγε νυν ἀπάρχου, κᾆτα δὸς τἀπάργματα.
ΤΡ. ὀπτᾶν ἄμεινον πρῶτον. ΙΕ. ἀλλὰ ταυταγὶ
ἤδη 'στὶν ὀπτά. ΤΡ. πολλὰ πράττεις, ὅστις εἶ.
κατάτεμνε. ποῦ τράπεζα; τὴν σπονδὴν φέρε.
ΙΕ. ἡ γλῶττα χωρὶς τέμνεται. ΤΡ. μεμνήμεθα.
ἀλλ' οἶσθ' ὃ δρᾶσον; ΙΕ. ἢν φράσῃς. ΤΡ. μὴ
νῷν μηδέν· Εἰρήνῃ γὰρ ἱερὰ θύομεν. [διαλέγου
ΙΕ. ὦ μέλεοι θνητοὶ καὶ νήπιοι, ΤΡ. ἐς κεφαλὴν σοί.
ΙΕ. οἵτινες ἀφραδίῃσι θεῶν νόον οὐκ ἀΐοντες
ξυνθήκας πεποίησθ' ἄνδρες χαροποῖσι πιθήκοις.
ΤΡ. αἰβοιβοῖ. ΙΕ. τί γελᾷς; ΤΡ. ἥσθην χαροποῖσι
πιθήκοις.
ΙΕ. καὶ κέπφοι τρήρωνες ἀλωπεκιδεῦσι πέπεισθε,
ὧν δόλιαι ψυχαί, δόλιαι φρένες. ΤΡ. εἴθε σου εἶναι
ὤφελεν, ὦλαζών, οὑτωσὶ θερμὸς ὁ πλεύμων.
ΙΕ. εἰ γὰρ μὴ Νύμφαι γε θεαὶ Βάκιν ἐξαπάτασκον,
μηδὲ Βάκις θνητούς, μηδ' αὖ Νύμφαι Βάκιν αὐτόν,
ΤΡ. ἐξώλης ἀπόλοι', εἰ μὴ παύσαιο βακίζων.
ΙΕ. οὔπω θέσφατον ἦν Εἰρήνης δέσμ' ἀναλῦσαι,
ἀλλὰ τόδε πρότερον ΤΡ. τοῖς ἁλσί γε παστέα
ταυτί.

---

1000. 'κ Μεγάρων Hamakerus] μεγάλων. Μεγάρων legit scholiasta. ἀγαθῶν ab interpolatore illatum videtur postquam Μεγάρων in μεγάλων corruptum erat. Fort. καὶ τὴν ἀγορὰν ἐμπλησθῆναι | πάλιν ἐκ Μεγάρων ἡμῖν σκορόδων —. 985. παρακύπτουσιν] παρακύπτουσ' αὖ Hirschigius. 1023. θύρασι Elmsleius] θύραισι Post χρὴ indicavi lacunam, nisi praestat quod in Annot. Oxon. p. 571. proposui σέ τοι θύρασι χρὴ μένοντ' ⏑́ ⏑ – ⏑ – –

1029. χρεὼν libri aliquot Suidae s. v. τί γάρ] χρεών ἐστι RVCΓ. ἐστὶ χρεὼν ceteri. 1030. Exciderunt syllabae duae. 1033. οὖν ἂν D.] ἂν οὖν 1043. αὐτά RV. ταῦτα ceteri. 1046. ΤΡ. οὐ — Ὠρεοῦ. ΟΙ. τί ποτ' ἄρα λέξει; Meinekius] Τρ. οὐ — Ἱεροκλέης. θε. οὗτος — λέξει; 1047. γέ πού 'σθ'] γέ τοὔσθ' Bergkius. 1054. 1055. ΟΙ. — ΤΡ. Beerius] τρ. — θε. 1056. ΙΕ.] Servo tribuit Dobraeus. 1061. ἀλλ' οἶσθ' ὃ δρᾶσον; ΙΕ. ἢν Bentleius] Ἱε. ἀλλ' οἶσθ' ὃ δρᾶσον; θε. ἢν 1063. κεφαλὴν σοί D.] κεφαλὴν σοι 1066. ΤΡ. — ΙΕ. — ΤΡ. D.] θε. — τρ. — θε. αἰβοιβοῖ D.] αἰβοῖ βοῖ 1074. τόδε D.] τόγε RV. τότε ceteri. Conf. 1107. τοῖς] τοῖς δ' R.

ΙΕ. οὐ γάρ πω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν,
φυλόπιδος λῆξαι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ.
ΤΡ. καὶ πῶς, ὦ κατάρατε, λύκος ποτ' ἂν οἶν ὑμεναιοῖ;
ΙΕ. ὡς ἡ σφονδύλη φεύγουσα πονηρότατον βδεῖ,
χἠ κώδων ἀκαλανθὶς ἐπειγομένη τυφλὰ τίκτει,
τουτάκις οὔπω χρῆν τὴν εἰρήνην πεποιῆσθαι.
ΤΡ. ἀλλὰ τί χρῆν ἡμᾶς; οὐ παύσασθαι πολεμοῦντας,
ἢ διακαυνιάσαι πότεροι κλαυσούμεθα μεῖζον,
ἐξὸν σπεισαμένοις κοινῇ τῆς Ἑλλάδος ἄρχειν;
ΙΕ. οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν.
ΤΡ. οὔποτε δειπνήσεις ἔτι τοῦ λοιποῦ 'ν πρυτανείῳ,
οὐδ' ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν.
ΙΕ. οὐδέποτ' ἂν θείης λεῖον τὸν τρηχὺν ἐχῖνον.
ΤΡ. ἆρα φενακίζων ποτ' Ἀθηναίους ἔτι παύσει;
ΙΕ. ποῖον γὰρ κατὰ χρησμὸν ἐκαύσατε μῆρα θεοῖσιν;
ΤΡ. ὅνπερ κάλλιστον δήπου πεποίηκεν Ὅμηρος·
ὣς οἱ μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο
Εἰρήνην εἵλοντο καὶ ἱδρύσανθ' ἱερείῳ.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχν' ἐπάσαντο,
ἔσπενδον δεπάεσσιν· ἐγὼ δ' ὁδὸν ἡγεμόνευον·
χρησμολόγῳ δ' οὐδεὶς ἐδίδου κώθωνα φαεινόν.
ΙΕ. οὐ μετέχω τούτων· οὐ γὰρ ταῦτ' εἶπε Σίβυλλα.
ΤΡ. ἀλλ' ὁ σοφός τοι νὴ Δί' Ὅμηρος δεξιὸν εἶπεν·
ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
ΙΕ. φράζεο δὴ μή πώς σε δόλῳ φρένας ἐξαπατήσας
ἰκτῖνος μάρψῃ. ΤΡ. τουτὶ μέντοι σὺ φυλάσσου,
ὡς οὗτος φοβερὸς τοῖς σπλάγχνοις ἐστὶν ὁ χρησμός.
ἔγχει δὴ σπονδὴν καὶ τῶν σπλάγχνων φέρε δευρί.
ΙΕ. ἀλλ' εἰ ταῦτα δοκεῖ, κἀγὼ 'μαυτῷ βαλανεύσω.
ΤΡ. σπονδὴ σπονδή.
ΙΕ. ἔγχει δὴ κἀμοὶ καὶ σπλάγχνων μοῖραν ὄρεξον.
ΤΡ. ἀλλ' οὔπω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν·
ἀλλὰ τόδε πρότερον, σπένδειν ἡμᾶς, σὲ δ' ἀπελθεῖν.
ὦ πότνι' Εἰρήνη, παράμεινον τὸν βίον ἡμῖν.
ΙΕ. πρόσφερε τὴν γλῶσσαν. ΤΡ. σὺ δὲ τὴν σαυτοῦ γ' ἀπένεγκον. [λαβὲ θᾶσσον.
ΙΕ. σπονδή. ΤΡ. καὶ ταυτὶ μετὰ τῆς σπονδῆς
ΙΕ. οὐδεὶς προσδώσει μοι σπλάγχνων; ΤΡ. οὐ γὰρ οἷόν τε
ἡμῖν προσδιδόναι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ.
ΙΕ. ναὶ πρὸς τῶν γονάτων. ΤΡ. ἄλλως, ὦ τᾶν, ἱκετεύεις·
οὐ γὰρ ποιήσεις λεῖον τὸν τρηχὺν ἐχῖνον.
ἄγε δή, θεαταί, δεῦρο συσπλαγχνεύετε
μετὰ νῷν. ΙΕ. τί δ' ἐγώ; ΤΡ. σὺ τὴν Σίβυλλαν ἔσθιε.
ΙΕ. οὔ τοι μὰ τὴν Γῆν ταῦτα κατέδεσθον μόνω,
ἀλλ' ἁρπάσομαι σφῷν αὐτά· κεῖται δ' ἐν μέσῳ.
ΤΡ. ὦ παῖε παῖε τὸν Βάκιν. ΙΕ. μαρτύρομαι.
ΤΡ. κἄγωγ', ὅτι τένθης εἶ σὺ κἀλαζὼν ἀνήρ.
παῖ' αὐτὸν ἐπέχων τῷ ξύλῳ τὸν ἀλαζόνα.
ΟΙ. σὺ μὲν οὖν· ἐγὼ δὲ τουτονὶ τῶν κῳδίων,
ἁλάμβαν' αὐτὸς ἐξαπατῶν, ἐκβολβιῶ.
οὐ καταβαλεῖς τὰ κῴδι', ὦ θυηπόλε;
ἤκουσας; ὁ κόραξ οἷος ἦλθ' ἐξ Ὠρεοῦ.
οὐκ ἀποπετήσει θᾶττον εἰς Ἐλύμνιον;
ΧΟ. ἥδομαί γ' ἥδομαι
κράνους ἀπηλλαγμένος
τυροῦ τε καὶ κρομμύων.
οὐ γὰρ φιληδῶ μάχαις,
ἀλλὰ πρὸς πῦρ διέλκων μετ' ἀνδρῶν ἑταίρων φίλων,
ἐκκέας τῶν ξύλων ἅττ' ἂν ᾖ δανότατα τοῦ θέρους ἐκπεπρεμνισμένα,
κἀνθρακίζων τοὐρεβίνθου,
τήν τε φηγὸν ἐμπυρεύων,
χἄμα τὴν Θρᾷτταν κυνῶν,
τῆς γυναικὸς λουμένης.
οὐ γὰρ ἔσθ' ἥδιον ἢ τυχεῖν μὲν ἤδη 'σπαρμένα,
τὸν θεὸν δ' ἐπιψακάζειν, καί τιν' εἰπεῖν γείτονα,
εἰπέ μοι, τί τηνικαῦτα δρῶμεν, ὦ Κωμαρχίδη;
ἐμπιεῖν ἔμοιγ' ἀρέσκει, τοῦ θεοῦ δρῶντος καλῶς.
ἀλλ' ἄφευε τῶν φασήλων, ὦ γύναι, τρεῖς χοίνικας,
τῶν τε πυρῶν μῖξον αὐτοῖς, τῶν τε σύκων ἔξελε,
τόν τε Μανῆν ἡ Σύρα βωστρησάτω 'κ τοῦ χωρίου.
οὐ γὰρ οἷόν τ' ἐστὶ πάντως οἰναρίζειν τήμερον
οὐδὲ τυντλάζειν, ἐπειδὴ παρδακὸν τὸ χωρίον·
κἀξ ἐμοῦ δ' ἐνεγκάτω τις τὴν κίχλην καὶ τὼ σπίνω·
ἦν δὲ καὶ πυός τις ἔνδον καὶ λαγῷα τέτταρα,
εἴ τι μὴ 'ξήνεγκεν αὐτῶν ἡ γαλῆ τῆς ἑσπέρας·
ἐψόφει γοῦν ἔνδον οὐκ οἶδ' ἅττα κἀκυδοιδόπα·
ὧν ἔνεγκ', ὦ παῖ, τρί' ἡμῖν, ἓν δὲ δοῦναι τῷ πατρί·
μυρρίνας τ' αἴτησον ἐξ Αἰσχινάδου τῶν καρπίμων·
χἄμα τῆς αὐτῆς ὁδοῦ Χαρινάδην τις βωσάτω,
ὡς ἂν ἐμπίῃ μεθ' ἡμῶν,
εὖ ποιοῦντος κὠφελοῦντος
τοῦ θεοῦ τἀρώματα.
ἡνίκ' ἂν δ' ἀχέτας
ᾄδῃ τὸν ἡδὺν νόμον,
διασκοπῶν ἥδομαι
τὰς Λημνίας ἀμπέλους,
εἰ πεπαίνουσιν ἤδη· τὸ γὰρ φῖτυ πρῷον φύει·
τόν τε φήληχ' ὁρῶν οἰδάνοντ'· εἶθ' ὁπόταν ᾖ πέπων, ἐσθίω κἀπέχω,
χἄμα φήμ', Ὧραι φίλαι· καὶ
τοῦ θύμου τρίβων κυκῶμαι
κᾆτα γίγνομαι παχὺς
τηνικαῦτα τοῦ θέρους
μᾶλλον ἢ θεοῖσιν ἐχθρὸν ταξίαρχον προσβλέπων,
τρεῖς λόφους ἔχοντα καὶ φοινικίδ' ὀξεῖαν πάνυ,
ἣν ἐκεῖνός φησιν εἶναι βάμμα Σαρδιανικόν·

1127—1158. = 1159—1190.

1076 b. Hunc versum soli habent RV. 1086. τρηχὺν R. τραχὺν ceteri. Conf. 1114. 1090—1093. Versus non Homerici, sed e locutionibus Homericis compositi: Homerici vero sunt 1097. 1098. ex Il. 2, 63. 64. 1099. δὴ] δὴ νῦν R. 1100. ἰκτῖνος D.] ἴκτινος 1103. 'μαυτῷ] ἐμαυτὸν Antiatt. in Bekk. Anecd. p. 84, 16. et Suidas s. v. βαλανεύειν: sed ἐμαυτῷ idem s. v. ἐμαυτῷ βαλανεύσω. 1109. 1110. γλῶσσαν — θᾶσσον Richterus] γλῶτταν — θᾶττον, et φυλάττου 1100. 1109. ἀπένεγκον R] ἀπένεγκε ceteri. 1111. προσδώσει V. προδώσει RΓ. δώσει ceteri. σπλάγχνων D.] τῶν σπλάγχνων 1112. προσδιδόναι V. προδιδόναι RΓ. πρὶν διδόναι ceteri. 1114. τρηχὺν Cobetus] τραχύν. Conf. 1086. 1116. τί δ' ἐγώ RV. τί δ' ἔγωγε ceteri. σὺ addidit Meinekius.

1125. ὁ — Ἐλύμνιον Trygaeo tribuit Dobraeus. 1135. ἐκπεπρεμνισμένα Bothius. ἐκπεπρισμένα RV. ἐκπεπιεσμένα ceteri, utrumque vititiose: nam requiruntur duo cretici. 1142. τηνικαῦτα Bentleius] τηνικάδε 1154. Αἰσχινάδου] Suspecta syllaba secunda producta. Ἀρχινάδου Meinekius, quod aliunde non magis cognitum quam Αἰσχινάδου nomen vel, de quo Meinekius Com. vol. 4. p. 542. cogitabat, Αἰσχυνάδου, vel, quod ipsum quoque coniici potest, Ἐχινάδου. 1159. ἡνίκ' ἂν δ' Hermannus] ἡνίκα δ' ἂν 1164. φύει] φύσει RV. 1166. οἰδάνοντ' Bentleius] οἰδαίνοντ'

ἣν δέ που δέῃ μάχεσθ' ἔχοντα τὴν φοινικίδα,
τηνικαῦτ' αὐτὸς βέβαπται βάμμα Κυζικηνικόν·
κᾆτα φεύγει πρῶτος, ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν
τοὺς λόφους σείων· ἐγὼ δ' ἕστηκα λινοπτώμενος.
ἡνίκ' ἂν δ' οἴκοι γένωνται, δρῶσιν οὐκ ἀνασχετά,
τοὺς μὲν ἐγγράφοντες ἡμῶν, τοὺς δ' ἄνω τε καὶ κάτω
ἐξαλείφοντες δὶς ἢ τρίς. αὔριον δ' ἔσθ' ἡ 'ξοδος·
τῷ δὲ σιτί' οὐκ ἐώνητ'· οὐ γὰρ ᾔδειν ἐξιών·
εἶτα προσστὰς πρὸς τὸν ἀνδριάντα τὸν Πανδίονος
εἶδεν αὑτόν, κἀπορῶν θεῖ τῷ κακῷ βλέπων ὀπόν.
ταῦτα δ' ἡμᾶς τοὺς ἀγροίκους δρῶσι, τοὺς δ' ἐξ ἄστεως
ἧττον, οἱ θεοῖσιν οὗτοι κἀνδράσιν ῥιψάσπιδες.
ὧν ἔτ' εὐθύνας ἐμοὶ δώσουσιν, ἢν θεὸς θέλῃ.
πολλὰ γὰρ δή μ' ἠδίκησαν,
ὄντες οἴκοι μὲν λέοντες,
ἐν μάχῃ δ' ἀλώπεκες.

ΤΡ. ἰοὺ ἰού.
ὅσον τὸ χρῆμ' ἐπὶ δεῖπνον ἦλθ' ἐς τοὺς γάμους.
ἔχ', ἀποκάθαιρε τὰς τραπέζας ταυτηί·
πάντως γὰρ οὐδὲν ὄφελός ἐστ' αὐτῆς ἔτι
ἔπειτ' ἐπιφόρει τοὺς ἀμύλους καὶ τὰς κίχλας
καὶ τῶν λαγῴων πολλὰ καὶ τοὺς κολλάβους.

ΔΡΕΠΑΝΟΥΡΓΟΣ.

ποῦ ποῦ Τρυγαῖός ἐστιν; ΤΡ. ἀναβράττω κίχλας.

ΔΡ. ὦ φίλτατ', ὦ Τρυγαῖ', ὅσ' ἡμᾶς τἀγαθὰ
δέδρακας εἰρήνην ποιήσας· ὡς πρὸ τοῦ
οὐδεὶς ἐπρίατ' ἂν δρέπανον οὐδὲ κολλύβου,
νυνὶ δ' ἐγὼ μὲν πεντέδραχμα ταῦτ' ἐμπολῶ,
ὁδὶ δὲ τριδράχμους τοὺς κάδους ἐς τοὺς ἀγρούς.
ἀλλ', ὦ Τρυγαῖε, τῶν δρεπάνων τε λάμβανε
καὶ τῶνδ' ὅ τι βούλει προῖκα· καὶ ταυτὶ δέχου·
ἀφ' ὧν γὰρ ἀπεδόμεσθα κἀκερδάναμεν
τὰ δῶρα ταυτί σοι φέρομεν ἐς τοὺς γάμους.

ΤΡ. ἴθι νυν, καταθέμενοι παρ' ἐμοὶ ταῦτ' εἴσιτε
ἐπὶ δεῖπνον ὡς τάχιστα· καὶ γὰρ οὑτοσὶ
ὅπλων κάπηλος ἀχθόμενος προσέρχεται.

ΛΟΦΟΠΟΙΟΣ.

οἴμ' ὡς προθέλυμνόν μ', ὦ Τρυγαῖ', ἀπώλεσας.

ΤΡ. τί δ' ἔστιν, ὦ κακόδαιμον; οὔ τί που λοφᾷς;

ΛΟ. ἀπώλεσάς μου τὴν τέχνην καὶ τὸν βίον,
καὶ τουτουὶ καὶ τοῦ δορυξοῦ 'κεινουί.

ΤΡ. τί δῆτα τουτοινὶ καταθῶ σοι τοῖν λόφοιν;

ΛΟ. αὐτὸς σὺ τί δίδως; ΤΡ. ὅ τι δίδωμ'; αἰσχύνομαι.
ὅμως δ' ὅτι τὸ σφήκωμ' ἔχει πόνον πολύν,
δοίην ἂν αὐτοῖν ἰσχάδων τρεῖς χοίνικας,
ἵν' ἀποκαθαίρω τὴν τράπεζαν τουτῳί.

ΛΟ. ἔνεγκε τοίνυν εἰσιὼν τὰς ἰσχάδας·
κρεῖττον γάρ, ὦ τᾶν, ἐστὶν ἢ μηδὲν λαβεῖν.

ΤΡ. ἀπόφερ' ἀπόφερ' ἐς κόρακας ἀπὸ τῆς οἰκίας.
τριχορρυεῖτον, οὐδέν ἐστον τὼ λόφω.
οὐκ ἂν πριαίμην οὐδ' ἂν ἰσχάδος μιᾶς.

ΘΩΡΑΚΟΠΩΛΗΣ.

τί δαὶ δεκάμνῳ τῷδε θώρακος κύτει
ἐνημμένῳ κάλλιστα χρήσομαι τάλας;

ΤΡ. οὗτος μὲν οὐ μή σοι ποιήσει ζημίαν.
ἀλλ' αἶρέ μοι τοῦτόν γε τῆς ἰσωνίας·
ἐναποπατεῖν γὰρ ἔστ' ἐπιτήδειος πάνυ.

ΘΩ. παῦσαί μ' ὑβρίζων τοῖς ἐμοῖσι χρήμασιν.

ΤΡ. ὡδί, παραθέντι τρεῖς λίθους. οὐ δεξιῶς;

ΘΩ. ποίᾳ δ' ἀποψήσει ποτ', ὦμαθέστατε;

ΤΡ. τηδί, διεὶς τὴν χεῖρα διὰ τῆς θαλαμιᾶς [Δία,
καὶ τῇδ'. ΘΩ. ἅμ' ἀμφοῖν δῆτ'; ΤΡ. ἔγωγε νὴ
ἵνα μή γ' ἁλῶ τρύπημα κλέπτων τῆς νεώς.

ΘΩ. ἔπειτ' ἐπὶ δεκάμνῳ χεσεῖ καθήμενος;

ΤΡ. ἔγωγε νὴ Δί', ὦπίτριπτ'. οἴει γὰρ ἂν
τὸν πρωκτὸν ἀποδόσθαι με χιλιῶν δραχμῶν;

ΘΩ. ἴθι δή, 'ξένεγκε τἀργύριον. ΤΡ. ἀλλ', ὦγαθέ,
θλίβει τὸν ὄρρον. ἀπόφερ', οὐκ ὠνήσομαι.

ΣΑΛΠΙΓΓΟΠΟΙΟΣ.

τί δ' ἆρα τῇ σάλπιγγι τῇδε χρήσομαι,
ἣν ἐπριάμην δραχμῶν ποθ' ἑξήκοντ' ἐγώ;

ΤΡ. μόλυβδον ἐς τουτὶ τὸ κοῖλον ἐγχέας,
ἔπειτ' ἄνωθεν ῥάβδον ἐνθεὶς ὑπόμακρον,
γενήσεταί σοι τῶν κατακτῶν κοττάβων.

ΣΑ. οἴμοι καταγελᾷς. ΤΡ. ἀλλ' ἕτερον παραινέσω.
τὸν μὲν μόλυβδον, ὥσπερ εἶπον, ἔγχεον,
ἐντευθενὶ δὲ σπαρτίοις ἠρτημένην
πλάστιγγα πρόσθες, καὐτό σοι γενήσεται
τὰ σῦκ' ἐν ἀγρῷ τοῖς οἰκέταισιν ἱστάναι.

ΚΡΑΝΟΠΟΙΟΣ.

ὦ δυσκάθαρτε δαῖμον, ὥς μ' ἀπώλεσας,
ὅτ' ἀντέδωκά γ' ἀντὶ τῶνδε μνᾶν ποτέ·
καὶ νῦν τί δράσω; τίς γὰρ αὔτ' ὠνήσεται;

ΤΡ. πώλει βαδίζων αὐτὰ τοῖς Αἰγυπτίοις·
ἔστιν γὰρ ἐπιτήδεια συρμαίαν μετρεῖν.

ΔΟΡΥΞΟΣ.

οἴμ', ὦ κρανοποί', ὡς ἀθλίως πεπράγαμεν.

ΤΡ. οὗτος μὲν οὐ πέπονθεν οὐδέν. ΔΟ. ἀλλὰ τί
ἔτ' ἐστὶ τοῖσι κράνεσιν ὅ τι τις χρήσεται;

ΤΡ. ἐὰν τοιαυτασὶ μάθῃ λαβὰς ποιεῖν,
ἄμεινον ἢ νῦν αὔτ' ἀποδώσεται πολύ.

ΚΡ. ἀπίωμεν, ὦ δορυξέ. ΤΡ. μηδαμῶς γ', ἐπεὶ
τούτῳ γ' ἐγὼ τὰ δόρατα ταῦτ' ὠνήσομαι.

ΔΟ. πόσον δίδως δῆτ'; ΤΡ. εἰ διαπρισθείη δίχα,

---

1178. λινοπτώμενος] Mirum est syllabam primam, quam brevem esse oportebat, produci: unde ληνοπτώμενος, *torcularium prelum observans,* coniecit Meinekius Vindic. p. 48. coniectura parum probabile. Vulgatum explicat scholiasta, λινόπτας γάρ φησιν Ἀριστοτέλης τοὺς τὰ θηρευτικὰ λίνα φυλάττοντας, ὡς καὶ οἰνόπτας τοὺς οἰνοφύλακας. Alia verbi forma λινοπτάζει ab Hesychio est annotata. 1183. προσστὰς Lentingius] προστὰς 1195. ἐπιφόρει Dobraeus] ἐπισφόρει R. ἐπεισφόρει Γ. ἐπείσφερε ceteri. 1201. νυνὶ δ' ἐγὼ μὲν πεντέδραχμα ταῦτ' ἐμπολῶ Elmsleius] νυνὶ δὲ πεντήκοντα δραχμῶν ἐμπολῶ 1210—1249. Quae in his versibus λοφοποιῷ, θωρακοπώλῃ et σαλπιγγοποιῷ tribuuntur, uni omnia ὅπλων καπήλῳ, quem Trygaeus v. 1209. dicit, tribui voluit Beerius p. 42. ne parachoregemate opus esset pluribus quam tribus histrionibus simul prodeuntibus. Quae opinio nec per se probabilis est nec verbis τί δαί et τί δ' ἆρα defendi potest, quibus θωρακοπώλης v. 1224. et σαλπιγγοποιός v. 1240. recte uti poterant quum uterque praecedentia Trygaei verba audivisset. Λοφοποιόν, ξιφουργόν, δρεπανουργὸν et δορυξόν distinguunt Mercurius et Trygaeus 545—549.

1216. ἔχει πόνον πολὺν] πολὺν ἔχει πόνον Brunckius. 1217. αὐτοῖν Paris. B. αὐτῶν (αὐτὸν C) ceteri. 1224. θώρακος] θώρηκος R. 1225. ἐνημμένῳ] ἐνημμένως R. συνημμένῳ Meinekius. Per συντεθειμένῳ, ἐρραμμένῳ explicat scholiasta. 1229. μ' ὑβρίζων] 'νυβρίζων Elmsleius. 'φυβρίζων Meinekius. 1237. χιλιῶν R. χιλίων ceteri. 1244. κοττάβων] κότταβος Dobraeus. 1248. καὐτό Bentleius] καὐτός 1251. ἀντέδωκά γ' ἀντὶ] ἀντέδωκ' ἀντὶ RV. ἀντέδωκ' ἐγὼ 'ντὶ Meinekius. 1255—1264. ΔΟΡΥΞΟΣ] Hic quoque ὅπλων κάπηλον substituit Beerius p. 42., quem ab κρανοποιῷ v. 1260. δορυξοῦ nomine significari opinatur: de quo non cogitandum. 1255. ΔΟ-
ΥΥ
ΡΥΞΟΣ] σαλπι R. 1256. ΔΟ. Brunckius] ΚΡ. 1262. διαπρισθείη Meinekius] διαπρισθεῖεν

λάβοιμ' ἂν αὔτ' ἐς χάρακας, ἑκατὸν τῆς δραχμῆς.
ΔΟ. ὑβριζόμεθα. χωρῶμεν, ὦ τᾶν, ἐκποδών.
ΤΡ. νὴ τὸν Δί', ὡς τὰ παιδί' ἤδη 'ξέρχεται
οὐρησόμενα τὰ τῶν ἐπικλήτων δεῦρ', ἵνα
ἅττ' ᾄσεται προαναβάληταί μοι δοκεῖν.
ἀλλ' ὅ τι περ ᾄδειν ἐπινοεῖς, ὦ παιδίον,
αὐτοῦ παρ' ἐμὲ στὰν πρότερον ἀναβαλοῦ 'νθαδί.

ΠΑΙΣ ΛΑΜΑΧΟΥ.

Νῦν αὖθ' ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα ΤΡ. παῦσαι
ὁπλοτέρους ᾄδον, καὶ ταῦτ', ὦ τρισκακόδαιμον,
εἰρήνης οὔσης· ἀμαθές γ' εἶ καὶ κατάρατον.
ΠΑ.Λ. Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
σύν ῥ' ἔβαλον ῥινούς τε καὶ ἀσπίδας ὀμφαλοέσσας.
ΤΡ. ἀσπίδας; οὐ παύσει μεμνημένον ἀσπίδος ἡμῖν;
ΠΑ.Λ. Ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.
ΤΡ. ἀνδρῶν οἰμωγή; κλαύσει, νὴ τὸν Διόνυσον,
οἰμωγὰς ᾄδον, καὶ ταύτας ὀμφαλοέσσας.
ΠΑ.Λ. ἀλλὰ τί δῆτ' ᾄδω; σὺ γὰρ εἰπέ μοι οἷστισι χαίρεις.
ΤΡ. Ὣς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὶ τὰ τοιαυτί·
Ἄριστον προτίθεντο καὶ ἅττ' ἥδιστα πάσασθαι.
ΠΑ.Λ. Ὣς οἱ μὲν δαίνυντο βοῶν κρέα, καὐχένας ἵππων
ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμου ἐκόρεσθεν.
ΤΡ. εἶεν· ἐκόρεσθεν τοῦ πολέμου κᾆτ' ἤσθιον.
ταῦτ' ᾆδε, ταῦθ', ὡς ἤσθιον κεκορημένοι.
ΠΑ.Λ. Θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι, ΤΡ. ἄσμενοι, οἶμαι.
ΠΑ.Λ. πύργων δ' ἐξεχέοντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
ΤΡ. κάκιστ' ἀπόλοιο, παιδάριον, αὐταῖς μάχαις·
οὐδὲν γὰρ ᾄδεις πλὴν πολέμους. τοῦ καί ποτ' εἶ;
ΠΑ.Λ. ἐγώ; ΤΡ. σὺ μέντοι νὴ Δί'. ΠΑ.Λ. υἱὸς Λαμάχου.
ΤΡ. αἰβοῖ·
ἦ γὰρ ἐγὼ θαύμαζον ἀκούων, εἰ σὺ μὴ εἴης
ἀνδρὸς βουλομάχου καὶ κλαυσιμάχου τινὸς υἱός.
ἄπερρε καὶ τοῖς λογχοφόροισιν ᾆδ' ἰών.
ποῦ μοι τὸ τοῦ Κλεωνύμου 'στὶ παιδίον;
ᾆσον πρὶν εἰσιέναι τι· σὺ γὰρ εὖ οἶδ' ὅτι
οὐ πράγματ' ᾄσει· σώφρονος γὰρ εἶ πατρός.

ΠΑΙΣ ΚΛΕΩΝΥΜΟΥ.

Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.
ΤΡ. εἰπέ μοι, ὦ πόσθων, ἐς τὸν σαυτοῦ πατέρ' ᾄδεις;
ΠΑ.Κ. Ψυχὴν δ' ἐξεσάωσα, ΤΡ. κατῄσχυνας δὲ τοκῆας.
ἀλλ' εἰσίωμεν. εὖ γὰρ οἶδ' ἐγὼ σαφῶς
ὅτι ταῦθ' ὅσ' ᾖσας ἄρτι περὶ τῆς ἀσπίδος
οὐ μὴ 'πιλάθῃ ποτ', ὢν ἐκείνου τοῦ πατρός.
ὑμῶν τὸ λοιπὸν ἔργον ἤδη 'νταῦθα τῶν μενόντων
φλᾶν ταῦτα πάντα καὶ σποδεῖν καὶ μὴ κενὰς παρέλκειν.
ἀλλ' ἀνδρικῶς ἐμβάλλετον
καὶ σμώχετ' ἀμφοῖν τοῖν γνάθοιν· οὐδὲν γάρ, ὦ πονηροί,
λευκῶν ὀδόντων ἔργον ἔστ', ἢν μή τι καὶ μασῶνται.
ΧΟ. ἡμῖν μελήσει ταῦτά γ'· εὖ ποιεῖς δὲ καὶ σὺ φράζων.
ἀλλ', ὦ πρὸ τοῦ πεινῶντες, ἐμβάλλεσθε τῶν λαγῴων·
ὡς οὐχὶ πᾶσαν ἡμέραν
πλακοῦσιν ἔστιν ἐντυχεῖν πλανωμένοις ἐρήμοις.
πρὸς ταῦτα βρύκετ', ἢ τάχ' ὑμῖν φημι μεταμελήσειν.
εὐφημεῖν χρὴ καὶ τὴν νύμφην ἔξω τινὰ δεῦρο κομίζειν,
δᾷδάς τε φέρειν, καὶ πάντα λεὼν ξυγχαίρειν κἀπιχορεύειν.
καὶ τὰ σκεύη πάλιν ἐς τὸν ἀγρὸν νυνὶ χρὴ πάντα κομίζειν
ὀρχησαμένους καὶ σπείσαντας καὶ Ὑπέρβολον ἐξελάσαντας,
κἀπευξαμένους τοῖσι θεοῖσιν
διδόναι πλοῦτον τοῖς Ἕλλησιν,
κριθάς τε ποιεῖν ἡμᾶς πολλὰς
πάντας ὁμοίως οἶνόν τε πολύν,
σῦκά τε τρώγειν,
τάς τε γυναῖκας τίκτειν ἡμῖν,
καὶ τἀγαθὰ πάνθ' ὅσ' ἀπωλέσαμεν
ξυλλέξασθαι πάλιν ἐξ ἀρχῆς,
λῆξαί τ' αἴθωνα σίδηρον.
ΤΡ. δεῦρ', ὦ γύναι, εἰς ἀγρόν,
χὤπως μετ' ἐμοῦ καλὴ
καλῶς κατακείσει.
Ὑμὴν Ὑμέναι' ὤ,
Ὑμὴν Ὑμέναι' ὤ.
ΧΟ. ὦ τρισμάκαρ, ὡς δικαίως τἀγαθὰ νῦν ἔχεις
— ⏑́ ⏑ ⏑ — ⏒
Ὑμὴν Ὑμέναι' ὤ,
Ὑμὴν Ὑμέναι' ὤ.
[ΤΡ. τί δράσομεν αὐτήν;
ΧΟ. τί δράσομεν αὐτήν;

1305—1310. = 1311—1315.

1266. οὐρησόμενα] ὀρχησόμενα Meinekius. 1267. δοκεῖν Bergkius] δοκεῖ 1270. In ed. Ald. hic et in sequentibns versibus praescriptum ΠΑΙ., in R. παῖδες. Παῖς Λαμάχου et Παῖς Κλεωνύμου Brunckius. 1271. 1278. ᾄδον] ᾄδων RV. 1275. μεμνημένον D.] μεμνημένος 1297. ᾄσει Dawesius] ᾄσεις 1307. ἐμβάλλετον] ἐμβάλλετ' ὦ Bergkius.

1316. ΧΟ. Bentleius] ἡμιχ. R. Τρ. alii. In ed. Ald. post Τρ. ante κατῄσχυνας v. 1301. positum nullae usque ad finem fabulae reperiuntur personarum notae. In cod. Flor. Γ et Parisino A finitur haec fabula versu 1300. De personarum descriptione quae est in codicibus Veneto, Parisino B et Flor. Δ tacent qui eos contulerunt. In B post v. 1347. spatium semipaginae. id est sex vel septem versuum, vacuum esse annotavit Brunckius. 1317. κἀπιχορεύειν V. κἀπικελεύειν ceteri. 1318. νυνὶ Kusterus] νῦν, quod om. V. 1329—1367. De huius carminis compositione videnda H. Schraderi commentatio in Ritschelii Museo Rhen. a. 1866. vol. 21, p. 93—108. Constat ex septem quinorum versuum strophis, interpositis post stropham secundam versibus 1339—1342. quos in libris quibusdam non lectos fuisse annotavit scholiasta p. 141, 16. ἔν τισιν οὐ φέρεται τὰ δ' μέτρα. De iisdem in alio scholio, ἐν τούτοις φέρονται κατά τινας παραγραφαί, ἵνα ὁ χορὸς ἀνὰ μέρος αὐτὰ λέγῃ. Non est tamen verisimile duas chorum cecinisse strophas, nulla interposita stropha Trygaei: quamobrem vereor ne post versum 1338. quinque exciderint versus Trygaei, quorum loco nunc quattuor illi leguntur 1339—1342. quos ab libris quibusdam abesse annotavit scholiasta. 1332. Huic versui in R praescriptum ἡμιχ. 1333. Hunc versum addidit Schraderus. Legerat haud dubie Heliodorus, qui de strophis πεντακώλοις loquitur in verbis ab scholiasta excerptis. 1334. ΧΟ.] ἀλλ° R. 1336. Versus catalectici defectum indicavit Schraderus.

ΤΡ. τρυγήσομεν αὐτήν.
ΧΟ. τρυγήσομεν αὐτήν.]
ΧΟ. ἀλλ' ἀράμενοι φέρω-
μεν οἱ προτεταγμένοι
τὸν νυμφίον, ὦνδρες.
Ὑμὴν Ὑμέναι' ὦ,
Ὑμὴν Ὑμέναι' ὦ.
ΤΡ. οἰκήσετε γοῦν καλῶς
οὐ πράγματ' ἔχοντες, ἀλ-
λὰ συκολογοῦντες.
Ὑμὴν Ὑμέναι' ὦ,
Ὑμὴν Ὑμέναι' ὦ.
ΧΟ. τοῦ μὲν μέγα καὶ παχὺ,
_ ⏑́ ⏑ ⏑ _ ⏑ ⏑́
τῆς δ' ἡδὺ τὸ σῦκον.
Ὑμὴν Ὑμέναι' ὦ,
Ὑμὴν Ὑμέναι' ὦ.
ΤΡ. φήσεις γ', ὅταν ἐσθίῃς
οἶνόν τε πίῃς πολύν.
_ ⏑́ ⏑ ⏑ _ _
Ὑμὴν Ὑμέναι' ὦ,
Ὑμὴν Ὑμέναι' ὦ.
ΧΟ. ὦ χαίρετε χαίρετ', ἄν-
δρες, κἂν ξυνέπησθέ μοι,
πλακοῦντας ἔδεσθε.
Ὑμὴν Ὑμέναι' ὦ
Ὑμὴν Ὑμέναι' ὦ.

---

1344. προτεταγμένοι Bentleius] προστεταγμένοι 1354. Versus unius defectum indicavit Dawesius, qui hoc carmen tractavit Misc. Crit. p. 292. (513. ed. Kidd.) 1356. 1357. addidit Schraderus. 1360. Indicavi versus unius defectum. 1363. 1364. habent RV, omittunt ceteri. 1363. ΧΟ. D. in Annot. Oxon. p. 582.] Τρυγ. RV, addito in V πρὸς τοὺς θεατάς.
1366. 1367. Haec epiphonemata addidit Schraderus videturque legisse Heliodorus, de quo scholiasta p.141, 25. ed. Oxon. ὑφ' ἃ κορωνὶς τοῦ δράματος. Ὑμὴν Ὑμέναι' ὦ. οὕτως Ἡλιόδωρος. Ceterum cum hoc carmine comparandum carmen nuptiale in fine Avium, ex duabus compositum strophis chori quinorum versuum, quorum quattuor sunt acatalecti

_, ⏑́ ⏑ ⏑ _, ⏑ ⏑́

quintus eiusdem metri catalecticus, addito utrobique epiphonemate Ὑμὴν ὦ Ὑμέναι' ὦ, (ut in Pace quoque v. 1332. in codice Veneto scriptum est ὑμὴν ὦ ὑμέναι' ὦ) eoque simplici, non, ut in Pace, duplicato, quod Dawesio sic potius scribendum videbatur, Ὑμὴν Ὑμέναι' Ὑμὴν | Ὑμὴν Ὑμέναιε. Apud Catullum in carmine nuptiali, quod eodem quo Aristophanea metro glyconeo scriptum est (61.)

⏑́ ⏑ o Hymenaee Hymen
o Hymen Hymenaee.

et

o Hymen Hymenaee io,
o Hymen Hymenaee.

et in carmine 62. ex versibus dactylicis hexametris composito versus est epiphthegmaticus

Hymen o Hymenaee, Hymen ades o Hymenaee.

Catullus autem quum haud dubie Graeca secutus sit exempla et epiphonemata illa post strophas ex quattuor versibus acatalectis compositos posuerit, verisimile est Aristophanem quoque strophis versuum trium, quornm tertius catalecticus est, non duos adiunxisse alios versus catalecticos Ὑμὴν Ὑμέναι' ὦ | Ὑμὴν Ὑμέναι' ὦ, sed potius unum acatalectum unumque catalecticum

Ὑμὴν ὦ Ὑμέναι', ἰὼ
Ὑμὴν ὦ Ὑμέναιε.

vel, quod minus probabile, nomine illo quinquies intra duos versiculos posito,

Ὑμὴν ὦ Ὑμέναι', Ὑμὴν,
Ὑμὴν ὦ Ὑμέναιε.

Et commendatur haec coniectura eo quod non solum in hoc carmine v. 1332. codex Venetus ὦ post primum Ὑμὴν praebet, Ὑμὴν ὦ Ὑμέναι' ὦ, sed etiam in Avibus legitur Ὑμὴν ὦ Ὑμέναι ὦ | Ὑμὴν ὦ Ὑμέναι' ὦ, ut modo dicebam, ubi pariter scribendum videtur,

Ὑμὴν ὦ Ὑμέναι', ἰὼ
Ὑμὴν ὦ Ὑμέναιε.

Apud Catullum quoque librarii in exprimendo illo epiphonemate quum aliis modis peccarunt tum **io**, quod in fine versuum posuerat poeta, aliquoties etiam in initio posito, ubi o requiritur.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΟΡΝΙΘΕΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΕΥΕΛΠΙΔΗΣ.
ΠΕΙΘΕΤΑΙΡΟΣ.[a]
ΤΡΟΧΙΛΟΣ, θεράπων Ἔποπος.
ΕΠΟΨ.
ΧΟΡΟΣ ΟΡΝΙΘΩΝ.
ΚΗΡΥΞ.
ΙΕΡΕΥΣ.
ΠΟΙΗΤΗΣ.
ΧΡΗΣΜΟΛΟΓΟΣ.
ΜΕΤΩΝ γεωμέτρης.
ΕΠΙΣΚΟΠΟΣ.
ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ.
ΑΓΓΕΛΟΙ.
ΙΡΙΣ.
ΠΑΤΡΑΛΟΙΑΣ.
ΚΙΝΗΣΙΑΣ διθυραμβοποιός.
ΣΥΚΟΦΑΝΤΗΣ.
ΠΡΟΜΗΘΕΥΣ.
ΠΟΣΕΙΔΩΝ.
ΤΡΙΒΑΛΛΟΣ.
ΗΡΑΚΛΗΣ.
ΟΙΚΕΤΗΣ Πειθεταίρου.

## ΥΠΟΘΕΣΙΣ.

I. Δύο εἰσὶν Ἀθήνηθεν ἐκκεχωρηκότες πρεσβῦται διὰ τὰς δίκας. πορεύονται δὲ πρὸς τὸν Τηρέα ἔποπα γενόμενον, πευσόμενοι παρ' αὐτοῦ ποία ἐστὶ πόλις εἰς κατοικισμὸν βελτίστη. χρῶνται δὲ τῆς ὁδοῦ καθηγεμόσιν ὀρνέοις, ὁ μὲν κορώνῃ, ὁ δὲ κολοιῷ. ὀνομάζονται δὲ ὁ μὲν Πειθέταιρος, ὁ δὲ Εὐελπίδης, ὃς καὶ πρότερος ἄρχεται. ἡ σκηνὴ ἐν Ἀθήναις. τὸ δρᾶμα τοῦτο τῶν ἄγαν δυνατῶς πεποιημένων.

Ἐδιδάχθη ἐπὶ Χαβρίου διὰ Καλλιστράτου ἐν ἄστει, ὃς ἦν δεύτερος τοῖς Ὄρνισι, πρῶτος Ἀμειψίας Κωμασταῖς, τρίτος Φρύνιχος Μονοτρόπῳ.[b] φοβερὰ δὲ τότε τοῖς Ἀθηναίοις τὰ πράγματα. τὸ γὰρ ναυτικὸν ἀπώλετο περὶ Σικελίαν, Λάμαχος οὐκέτι ἦν, Νικίας ἐτεθνήκει, Δεκέλειαν ἦσαν τειχίσαντες Λακεδαιμόνιοι, Ἆγις ὁ Λακεδαιμονίων στρατηγὸς περιεκάθητο τὴν Ἀττικήν, Ἀλκιβιάδης τὰ Λακεδαιμονίων ἐφρόνει καὶ ἐκκλησιάζων συνεβούλευε τὰ χρηστὰ Λακεδαιμονίοις. ταῦτα αἱ Ἀθηναίων συμφοραί, διὰ ταῦτα αἱ Ἀθηναίων φυγαί. καὶ ὅμως οὐκ ἀπείχοντο τοῦ κακοπραγμονεῖν καὶ συκοφαντεῖν.

II. Τῆς τῶν Ἀθηναίων πολιτείας τὸ μέγιστον ἦν κλέος αὐτόχθοσι γενέσθαι, καὶ αὕτη φιλοτιμία πρώτη τὸ μηδέπω μηδεμιᾶς πόλεως φανείσης αὐτὴν πρῶτον ἀναβλαστῆσαι. ἀλλὰ τῷ χρόνῳ ὑπὸ προεστώτων πονηρῶν καὶ πολιτῶν δυσχερῶν ἀνετέτραπτο, καὶ διωρθοῦτο πάλιν. ἐπὶ οὖν τοῦ Δεκελεικοῦ πολέμου, πονηρῶν τινῶν τὰ πράγματα ἐγχειρισθέντων, ἐπισφαλὴς γέγονεν ἡ παρ' αὐτῶν κατάστασις. καὶ ἐν μὲν ἄλλοις δράμασι διὰ τῆς κωμῳδικῆς ἀδείας ἤλεγχεν Ἀριστοφάνης τοὺς κακῶς πολιτευομένους, φανερῶς μὲν οὐδαμῶς, οὐ γὰρ ἐπὶ τούτου ἦν παρρησία[c], λεληθότως δέ, ὅσον ἀνῆκεν ἀπὸ κωμῳδίας προσκρούειν. ἐν δὲ

[a] ΠΕΙΘΕΤΑΙΡΟΣ hic et in ὑποθέσει fabulae et in fabula ipsa v. 644. 1046. 1123. 1271. 1495. scripsi pro Πεισθέταιρος. Minus probabiliter Dobraeus Πεισέταιρος: vid. Annot. Oxon. p. 583.
[b] Μονοτρόπῳ] Addit Ald. ἔστι δὲ λέ. quod non legitur in RV.
[c] παρρησία scripsi pro ἐκκλησία, quod habent RV, om. Par. A.

τοῖς Ὄρνισι καὶ μέγα τι διανενόηται. ὡς γὰρ ἀδιόρθωτον ἤδη νόσον τῆς πολιτείας νοσούσης καὶ διεφθαρμένης ὑπὸ τῶν προεστώτων, ἄλλην τινὰ πολιτείαν αἰνίττεται, ὡσανεὶ συγκεχυμένων τῶν καθεστώτων· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ σχῆμα ὅλον καὶ τὴν φύσιν, εἰ δέοι, συμβουλεύει μετατίθεσθαι πρὸς τὸ ἠρεμαίως βιοῦν. καὶ ἡ μὲν ἀπότασις αὕτη. τὰ δὲ κατὰ θεῶν βλάσφημα ἐπιτηδείως ᾠκονόμηται. καινῶν γάρ φησι τὴν πόλιν προσδεῖσθαι θεῶν, ἀφροντιστούντων τῆς κατοικίας Ἀθηνῶν τῶν ὄντων καὶ παντελῶς ἠλλοτριωκότων αὐτοὺς τῆς χώρας. ἀλλ' ὁ μὲν καθόλου στόχος τοιοῦτος· ἕκαστον δὲ τῶν κατὰ μέρος οὐκ εἰκῇ, ἀλλ' ἄντικρυς Ἀθηναίων καὶ τῶν παρ' αὐτοῖς ἐγχειριζομένων τὰ κοινὰ ἐλέγχει τὴν φαύλην διάθεσιν, ἐπιθυμίαν ἐγκατασπείρων τοῖς ἀκούουσιν ἀπαλλαγῆναι τῆς ἐνεστώσης μοχθηρᾶς πολιτείας. ὑποτίθεται γὰρ περὶ τὸν ἀέρα πόλιν, τῆς γῆς ἀπαλλάσσων, ἀλλὰ καὶ βουλὰς καὶ συνόδους ὀρνίθων, ταῖς Ἀθηναίων δυσχεραίνων. ἀλλὰ καὶ ὅσα παίζει, ἐπίσκοπον, ἢ ψηφισματογράφον, ἢ τοὺς λοιποὺς εἰσάγων, οὐχ ἁπλῶς, ἀλλὰ γυμνοῖ τὰς πάντων προαιρέσεις, ὡς αἰσχροκερδείας ἕνεκεν χρηματίζονται. εἶθ' ὕστερον καὶ τὸ θεῖον εἰς ἀπρονοησίαν κωμῳδεῖ. τὰ δὲ ὀνόματα τῶν γερόντων πεποίηται, ὡς εἰ πεποιθοίη ἕτερος τῷ ἑτέρῳ καὶ ἐλπίζοι ἔσεσθαι ἐν βελτίοσι. τινὲς δέ φασι τὸν ποιητὴν τὰς ἐν ταῖς τραγῳδίαις τερατολογίας ἐν μὲν ἄλλοις διελέγχειν, ἐν δὲ τοῖς νῦν τὴν τῆς Γιγαντομαχίας συμπλοκὴν ἕωλον ἀποφαίνων ὄρνισιν ἔδωκε διαφέρεσθαι πρὸς θεοὺς περὶ τῆς ἀρχῆς.

Ἐπὶ Χαβρίου τὸ δρᾶμα καθῆκεν εἰς ἄστυ διὰ Καλλιστράτου· εἰς δὲ Λήναια τὸν Ἀμφιάραον ἐδίδαξε διὰ Φιλωνίδου. λάβοι δ' ἄν τις τοὺς χρόνους ἐκ τῶν πέρυσι γενομένων ἐπὶ Ἀριστομνήστου τοῦ πρὸ Χαβρίου. Ἀθηναῖοι γὰρ πέμπουσι τὴν Σαλαμινίαν, τὸν Ἀλκιβιάδην μεταστελλόμενοι ἐπὶ κρίσει τῆς τῶν μυστηρίων ἐκμιμήσεως. ὁ δὲ ἄχρι μὲν Θουρίου εἵπετο τοῖς μεθήκουσιν, ἐκεῖθεν δὲ δρασμὸν ποιησάμενος εἰς Πελοπόννησον ἐπεραιώθη. τῆς δὲ μετακλήσεως μέμνηται καὶ Ἀριστοφάνης, ἀποκρύπτων μὲν τὸ ὄνομα, τὸ δὲ πρᾶγμα δηλῶν ἐν οἷς γέ φησι (145.) "μηδαμῶς | ἡμῖν παρὰ θάλατταν, ἵν' ἀνακύψεται, | κλητήρ' ἄγουσ' ἕωθεν ἡ Σαλαμινία."

---

ΕΥΕΛΠΙΔΗΣ.
Ὀρθὴν κελεύεις, ᾗ τὸ δένδρον φαίνεται;
ΠΕΙΘΕΤΑΙΡΟΣ.
διαρραγείης· ἥδε δ' αὖ κρώζει πάλιν.
ΕΥ. τί, ὦ πονήρ', ἄνω κάτω πλανύττομεν;
ἀπολούμεθ' ἄλλως τὴν ὁδὸν προφορουμένω.
ΠΕ. τὸ δ' ἐμὲ κορώνῃ πιθόμενον τὸν ἄθλιον
ὁδοῦ περιελθεῖν στάδια πλεῖν ἢ χίλια.
ΕΥ. τὸ δ' ἐμὲ κολοιῷ πιθόμενον τὸν δύσμορον
ἀποσποδῆσαι τοὺς ὄνυχας τῶν δακτύλων.
ΠΕ. ἀλλ' οὐδ' ὅπου γῆς ἐσμὲν οἶδ' ἔγωγ' ἔτι.
ΕΥ. ἐντευθενὶ τὴν πατρίδ' ἂν ἐξεύροις σύ που;
ΠΕ. οὐδ' ἂν μὰ Δί' ἔτ' ἐντεῦθεν Ἐξηκεστίδης.
ΕΥ. οἴμοι. ΠΕ. σὺ μέν, ὦ τᾶν, τὴν ὁδὸν ταύτην ἴθι.
ΕΥ. ἦ δεινὰ νὼ δέδρακεν οὐκ τῶν ὀρνέων,
ὁ πινακοπώλης Φιλοκράτης μελαγχολῶν,
ὃς τώδ' ἔφασκε νῷν φράσειν τὸν Τηρέα,
τὸν ἔποφ', ὃς ὄρνις ἐγένετ' ἐκ τῶν ὀρνέων·
κἀπέδοτο τὸν μὲν Θαρρελείδου τουτονὶ
κολοιὸν ὀβολοῦ, τηνδεδὶ τριωβόλου.
τὼ δ' οὐκ ἄρ' ἤστην οὐδὲν ἄλλο πλὴν δάκνειν.
καὶ νῦν τί κέχηνας; ἔσθ' ὅποι κατὰ τῶν πετρῶν
ἡμᾶς ἔτ' ἄξεις; οὐ γάρ ἐστ' ἐνταῦθά τις
ὁδός. ΠΕ. οὐδὲ μὰ Δί' ἐνταῦθά γ' ἀτραπὸς οὐδαμοῦ.
ΕΥ. ἡ δ' ἡ κορώνη τῆς ὁδοῦ τι λέγει πέρι;
ΠΕ. οὐ ταὐτὰ κρώζει μὰ Δία νῦν τε καὶ τότε.
ΕΥ. τί δὴ λέγει περὶ τῆς ὁδοῦ; ΠΕ. τί δ' ἄλλο γ' ἢ
βρύκουσ' ἀπέδεσθαί φησί μου τοὺς δακτύλους;
ΕΥ. οὐ δεινὸν οὖν δῆτ' ἐστὶν ἡμᾶς δεομένους
ἐς κόρακας ἐλθεῖν καὶ παρεσκευασμένους,
ἔπειτα μὴ 'ξευρεῖν δύνασθαι τὴν ὁδόν;
ἡμεῖς γάρ, ὦνδρες οἱ παρόντες ἐν λόγῳ,
νόσον νοσοῦμεν τὴν ἐναντίαν Σάκᾳ·

---

2. ἥδε δ' αὖ] ἡδεδὶ Cobetus. 5. 7. πιθόμενον Bentleius] πειθόμενον 9. οὐδ' ὅπου Dawesius] οὐδὲ ποῖ RV. οὐδὲ πῇ vel οὐδὲ ποῦ alii. 11. Δί' ἔτ' D.] Δία γ'. Recte additum ἔτι, quum plena sententia sit Execestidem in aliis quidem regionibus quibusvis viam esse inventurum, ἐντεῦθεν δὲ οὐκέτι. Minus probabiliter Δί' ἐντεῦθέν γ' ἂν Porsonus. Infelicius alii Δί' ἐνγετεῦθεν. Nam particularum γε, δὲ et μέν sic interpositarum exempla nulla reperiuntur nisi in formis vocabulorum in ἰῶτα δεικτικὸν exeuntibus, velut τουτογί τουτοδί ἡδεδί τηνδεδί τουτουμενί et reliquis. Ceterum similiter Δήμητρ' ἔτ' in Δήμητρά γ' corruptum est Equit. v. 698.

16. Suspectum ἐκ τῶν ὀρνέων, quod praeter exspectationem pro ἐκ τῶν ἀνθρώπων dictum esse credidit scholiasta, commento tam inepto ut multo credibilius videatur verba illa supplementum esse versus defecti. ἄνθρωπός ποτ' ὤν Koechly ex v. 75. 19. ἤστην] ἤστιν R. qui ἴστην voluisse videtur, quod memorat scholiasta. ᾔστην (i. e. ᾐδείτην) ex hoc loco Etym. M. p. 438. extr. 23. ἡδ' R. ἡδ' (γρ. καὶ οὐδ') Γ. οὐδ' ceteri. ἤδη κορώνη legisse videtur scholiasta, qui annotavit, ὡς ἤδη φθεγξαμένης αὐτῆς. δύναται καὶ ἐρωτηματικῶς καὶ ἀποφαντικῶς. τινὲς γράφουσιν (τινὲς δὲ R) οὐδὲ ἡ κορώνη. τί δ' ἡ κορώνη τῆς ὁδοῦ λέγει πέρι; D. in ed. prima. τί δ' ἡ κορώνη; τῆς ὁδοῦ τι λέγει πέρι; Meinekius. 26. μου] μοι Cobetus.

ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς ἐσβιάζεται,
ἡμεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι,
ἀστοὶ μετ' ἀστῶν, οὐ σοβοῦντος οὐδενὸς
ἀνεπτόμεθ' ἐκ τῆς πατρίδος ἀμφοῖν τοῖν ποδοῖν,
αὐτὴν μὲν οὐ μισοῦντ' ἐκείνην τὴν πόλιν
τὸ μὴ οὐ μεγάλην εἶναι φύσει κεὐδαίμονα
καὶ πᾶσι κοινὴν ἐναποτῖσαι χρήματα.
οἱ μὲν γὰρ οὖν τέττιγες ἕνα μῆν' ἢ δύο
ἐπὶ τῶν κραδῶν ᾄδουσ', Ἀθηναῖοι δ' ἀεὶ
ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον.
διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν,
κανοῦν δ' ἔχοντε καὶ χύτραν καὶ μυρρίνας
πλανώμεθα ζητοῦντε τόπον ἀπράγμονα,
ὅπου καθιδρυθέντε διαγενοίμεθ' ἄν.
ὁ δὲ στόλος νῷν ἐστι παρὰ τὸν Τηρέα
τὸν ἔποπα, παρ' ἐκείνου πυθέσθαι δεομένοιν
εἴ που τοιαύτην εἶδε πόλιν ᾗ 'πέπτετο.
ΠΕ. οὗτος. ΕΤ. τί ἔστιν; ΠΕ. ἡ κορώνη μοι πάλαι
ἄνω τι φράζει. ΕΤ. χὠ κολοιὸς οὑτοσὶ
ἄνω κέχηνεν ὥσπερεὶ δεικνύς τί μοι,
κοὐκ ἔσθ' ὅπως οὐκ ἔστιν ἐνταῦθ' ὄρνεα.
εἰσόμεθα δ' αὐτίκ', ἢν ποιήσωμεν ψόφον.
ΠΕ. ἀλλ' οἶσθ' ὃ δρᾶσον; τῷ σκέλει θένε τὴν πέτραν.
ΕΤ. σὺ δὲ τῇ κεφαλῇ γ', ἵν' ᾖ διπλάσιος ὁ ψόφος.
ΠΕ. σὺ δ' οὖν λίθῳ κόψον λαβών. ΕΤ. πάνυ γ', εἰ δοκεῖ.
παῖ παῖ. ΠΕ. τί λέγεις, οὗτος; τὸν ἔποπα παῖ
καλεῖς;
οὐκ ἀντὶ τοῦ παιδός σ' ἐχρῆν ἐποποῖ καλεῖν;
ΕΤ. ἐποποῖ. ποιήσεις τοί με κόπτειν αὖθις αὖ.
ἐποποῖ.

ΤΡΟΧΙΛΟΣ.

τίνες οὗτοι; τίς ὁ βοῶν τὸν δεσπότην;
ΕΤ. Ἄπολλον ἀποτρόπαιε, τοῦ χασμήματος.
ΤΡ. οἴμοι τάλας, ὀρνιθοθήρα τουτωί.
ΕΤ. οὕτως τι δεινὸν οὐδὲ κάλλιον λέγειν; [τί δαί;
ΤΡ. ἀπολεῖσθον. ΕΤ. ἀλλ' οὐκ ἐσμὲν ἀνθρώπω. ΤΡ.
ΕΤ. Ὑποδεδιὼς ἔγωγε, Λιβυκὸν ὄρνεον.
ΤΡ. οὐδὲν λέγεις. ΕΤ. καὶ μὴν ἐροῦ τὰ πρὸς ποδῶν.
ΤΡ. ὁδὶ δὲ δὴ τίς ἐστιν ὄρνις; οὐκ ἐρεῖς;
ΠΕ. Ἐπικεχοδὼς ἔγωγε Φασιανικός.
ΕΤ. ἀτὰρ σὺ τί θηρίον ποτ' εἶ πρὸς τῶν θεῶν;
ΤΡ. ὄρνις ἔγωγε δοῦλος. ΕΤ. ἡττήθης τινὸς
ἀλεκτρυόνος; ΤΡ. οὔκ, ἀλλ' ὅτε περ ὁ δεσπότης
ἔποψ ἐγένετο, τότε γενέσθαι μ' ηὔξατο
ὄρνιν, ἵν' ἀκόλουθον διάκονόν τ' ἔχῃ.
ΕΤ. δεῖται γὰρ ὄρνις καὶ διακόνου τινός;
ΤΡ. οὗτός γ', ἅτ', οἶμαι, πρότερον ἄνθρωπός ποτ' ὤν,
τοτὲ μὲν ἐρᾷ φαγεῖν ἀφύας Φαληρικάς,
τρέχω 'π' ἀφύας ἐγὼ λαβὼν τὸ τρύβλιον.
ἔτνους δ' ἐπιθυμεῖ, δεῖ τορύνης καὶ χύτρας,
τρέχω 'πὶ τορύνην. ΕΤ. τροχίλος ὄρνις οὑτοσί.
οἶσθ' οὖν ὃ δρᾶσον, ὦ τροχίλε; τὸν δεσπότην
ἡμῖν κάλεσον. ΤΡ. ἀλλ' ἀρτίως νὴ τὸν Δία
εὕδει καταφαγὼν μύρτα καὶ σέρφους τινάς.
ΕΤ. ὅμως ἐπέγειρον αὐτόν. ΤΡ. οἶδα μὲν σαφῶς
ὅτι ἀχθέσεται, σφῷν δ' αὐτὸν οὕνεκ' ἐπεγερῶ.
ΠΕ. κακῶς σύ γ' ἀπόλοι', ὥς μ' ἀπέκτεινας δέει.
ΕΤ. οἴμοι κακοδαίμων, χὠ κολοιός μ' οἴχεται
ὑπὸ τοῦ δέους. ΠΕ. ὦ δειλότατον σὺ θηρίον,
δείσας ἀφῆκας τὸν κολοιόν; εἰπέ μοι,
σὺ δὲ τὴν κορώνην οὐκ ἀφῆκας καταπεσών;
ΠΕ. μὰ Δί' οὐκ ἔγωγε. ΕΤ. ποῦ γὰρ ἔστ'; ΠΕ. ἀπέ-
πτετο.
ΕΤ. οὐκ ἆρ' ἀφῆκας; ὠγάθ', ὡς ἀνδρεῖος εἶ.

ΕΠΟΨ.

ἄνοιγε τὴν ὕλην, ἵν' ἐξέλθω ποτέ.
ΕΤ. ὦ Ἡράκλεις, τουτὶ τί ποτ' ἐστὶ θηρίον;
τίς ἡ πτέρωσις; τίς ὁ τρόπος τῆς τριλοφίας;
ΕΠ. τίνες εἰσί μ' οἱ ζητοῦντες; ΕΤ. οἱ δώδεκα θεοὶ
εἴξασιν ἐπιτρῖψαί σε. ΕΠ. μῶν με σκώπτετον
ὁρῶντε τὴν πτέρωσιν; ἦ γάρ, ὦ ξένω, [τοῦ;
ἄνθρωπος. ΕΤ. οὐ σοῦ καταγελῶμεν. ΕΠ. ἀλλὰ
ΠΕ. τὸ ῥάμφος ἡμῖν σου γέλοιον φαίνεται.
ΕΠ. τοιαῦτα μέντοι Σοφοκλέης λυμαίνεται
ἐν ταῖς τραγῳδίαισιν ἐμὲ τὸν Τηρέα.
ΕΤ. Τηρεὺς γὰρ εἶ σύ; πότερον ὄρνις ἢ ταὼς;
ΕΠ. ὄρνις ἔγωγε. ΕΤ. κᾆτά σοι ποῦ τὰ πτερά;
ΕΠ. ἐξερρύηκε. ΕΤ. πότερον ὑπὸ νόσου τινός;
ΕΠ. οὔκ, ἀλλὰ τὸν χειμῶνα πάντα τὤρνεα
πτερορρυεῖ τε καὖθις ἕτερα φύομεν.
ἀλλ' εἴπατόν μοι, σφὼ τίν' ἐστόν; ΕΤ. νώ; βροτώ.
ΕΠ. ποδαπὼ τὸ γένος δ'; ΕΤ. ὅθεν αἱ τριήρεις αἱ καλαί.
ΕΠ. μῶν ἠλιαστά; ΕΤ. μάλλὰ θατέρου τρόπου,
ἀπηλιαστά. ΕΠ. σπείρεται γὰρ τοῦτ' ἐκεῖ
τὸ σπέρμ'; ΕΤ. ὀλίγον ζητῶν ἂν ἐξ ἀγροῦ λάβοις.
ΕΠ. πράγους δὲ δὴ τοῦ δεομένω δεῦρ' ἠλθέτην;
ΕΤ. σοὶ ξυγγενέσθαι βουλομένω. ΕΠ. τίνος πέρι;
ΕΤ. ὅτι πρῶτα μὲν ἦσθ' ἄνθρωπος, ὥσπερ νώ, ποτέ,
κἀργύριον ὠφείλησας, ὥσπερ νώ, ποτέ,
κοὐκ ἀποδιδοὺς ἔχαιρες, ὥσπερ νώ, ποτέ·
εἶτ' αὖθις ὀρνίθων μεταλλάξας φύσιν
καὶ γῆν ἐπέπτου καὶ θάλατταν ἐν κύκλῳ,
καὶ πάνθ' ὅσαπερ ἄνθρωπος ὅσα τ' ὄρνις φρονεῖς·
ταῦτ' οὖν ἱκέτα νὼ πρὸς σὲ δεῦρ' ἀφίγμεθα,
εἴ τινα πόλιν φράσειας ἡμῖν εὔερον,
ὥσπερ σισύραν ἐγκατακλινῆναι μαλθακήν.
ΕΠ. ἔπειτα μείζω τῶν Κραναῶν ζητεῖς πόλιν;
ΕΤ. μείζω μὲν οὐδέν, προσφορωτέραν δὲ νῷν.
ΕΠ. ἀριστοκρατεῖσθαι δῆλος εἶ ζητῶν. ΕΤ. ἐγώ;
ἥκιστα· καὶ τὸν Σκελλίου βδελύττομαι.

---

34. ἀνεπτόμεθ'—ἀμφοῖν τοῖν ποδοῖν scholiasta ad v. 45.] ἀνεπτόμεσθ' — ἀμφοῖν ποδοῖν, ut Suidas s. v. ἀμφοῖν (ubi ἀνιπτάμεσθ') et νομάδες. 40. ᾄδουσ' D.] ᾄδουσιν Ἀθηναῖοι — βίον omisit in textu R, sed annotato in margine versus 19. στίχος "ἀθηναῖοι δ' ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον". Nam sic praescripto στίχος versus in textu omissi suppleri in margine codicum solent. 45. ὅπου lemma scholii] ὅποι (ὅπῃ ΒΔ) 47. δεομένοιν Scaliger. δεομένων codex Vat. Kusteri. δεομένω RV aliique. 48. 'πέπτετο Dawesius] 'πέπτατο 49. πάλαι] πάλιν D. Nam fecerat hoc iam antea, ut ex v. 20. colligi potest, 53. ἢν D.] ἂν 58. σ' addidit Beckius. In libris deterioribus est γ'. 59. τοι V et Par. A. τι C. ἔτι ΒΔ. Totum versum om. R. 60. ΤΡΟΧΙΛΟΣ Brunckius] θεράπων (ἔποπος hic addunt RV) codices et Ald. 63. οὕτως τι VA et scholiasta. οὔτ' ωστι R. οὕτω 'στὶ alii. οὕτω nusquam apud poetas Atticos ita legitur ut ab metro postuletur. 69. ἀτὰρ R. ἀλλὰ ceteri. θηρίον ποτ' εἶ] ποτ' εἶ θηρίον Meinekius. 76. τοτὲ] ὅτε Meinekius.

77. ἐγὼ λαβὼν] λαβὼν ἐγὼ R. 78. τορύνης] τε τορύνης ΑΒΔ. 84. οὕνεκ' Brunckius] εἵνεκ' 86. μ' fortasse delendum. 90. ἔστ' Meinekius] ἔστιν ἀπέπτετο Brunckius] ἀπέπτατο 97. ἦ Choeroboscus p. 602, 28. ed. Gaisf.] ἢν ξένω Meinekius] ξένοι 102. ταῶς] Athenienses ταῶς pronunciasse Athenaeus 9. p. 397 e. docet allato hoc loco et v. 269. 103. σοι ποῦ] ποῦ σοι Cobetus. 105. τὤρνεα A. τὰ ὄρνεα ceteri. 106. πτερορρυεῖ τε καὖθις] πτερορρυεῖ κᾆτ' αὖθις Dobraeus. πτερορρυοῦμεν καὖθις Cobetus. 108. δ' addidit D. 112. ἠλθέτην Elmsleius] ἤλθετον 118. ἐπέπτου καὶ θάλατταν Beckius] ἐπέτου καὶ τὴν θάλατταν (θάλασσαν R) 120. ἱκέτα Elmsleius] ἱκέται ἀφίγμεθα] Fort. ἀφίγμεθον. 122. ἐγκατακλινῆναι R et scholiasta. ἐγκατακλιθῆναι ceteri.

ΕΠ. ποίαν τιν' οὖν ἥδιστ' ἂν οἰκοίης πόλιν;
ΕΥ. ὅπου τὰ μέγιστα πράγματ' εἴη τοιαδί·
ἐπὶ τὴν θύραν μου πρῴ τις ἐλθὼν τῶν φίλων
λέγοι ταδί "πρὸς τοῦ Διὸς τοὐλυμπίου,
ὅπως παρέσει μοι καὶ σὺ καὶ τὰ παιδία
λουσάμενα πρῴ· μέλλω γὰρ ἑστιᾶν γάμους·
καὶ μηδαμῶς ἄλλως ποιήσῃς· εἰ δὲ μή,
μή μοι τότ' ἔλθῃς, ὅταν ἐγὼ πράττω κακῶς."
ΕΠ. νὴ Δία ταλαιπώρων γε πραγμάτων ἐρᾷς.
τί δαὶ σύ; ΠΕ. τοιούτων ἐρῶ κἀγώ. ΕΠ. τίνων;
ΠΕ. ὅπου ξυναντῶν μοι ταδί τις μέμψεται
ὥσπερ ἀδικηθεὶς παιδὸς ὡραίου πατήρ·
"καλῶς γέ μου τὸν υἱόν, ὦ Στιλβωνίδη,
εὑρὼν ἀπιόντ' ἀπὸ γυμνασίου λελουμένον
οὐκ ἔκυσας, οὐ προσεῖπας, οὐ προσηγάγου,
οὐκ ὠρχιπέδισας, ὢν ἐμοὶ πατρικὸς φίλος."
ΕΠ. ὦ δειλακρίων σὺ τῶν κακῶν οἵων ἐρᾷς.
ἀτὰρ ἔστι γ' ὁποίαν λέγετον εὐδαίμων πόλις
παρὰ τὴν ἐρυθρὰν θάλατταν. ΕΥ. οἴμοι, μηδαμῶς
ἡμῖν γε παρὰ θάλατταν, ἵν' ἀνακύψεται
κλητῆρ' ἄγουσ' ἕωθεν ἡ Σαλαμινία.
Ἑλληνικὴν δὲ πόλιν ἔχεις ἡμῖν φράσαι;
ΕΠ. τί οὐ τὸν Ἠλεῖον Λέπρεον οἰκίζετον
ἐλθόνθ'; ΕΥ. ὁτιὴ νὴ τοὺς θεούς, ὃς οὐκ ἰδὼν
βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου.
ΕΠ. ἀλλ' εἰσὶν ἕτεροι τῆς Λοκρίδος Ὀπούντιοι
ἵνα χρὴ κατοικεῖν. ΕΥ. ἀλλ' ἔγωγ' Ὀπούντιος
οὐκ ἂν γενοίμην ἐπὶ ταλάντῳ χρυσίου.
οὗτος δὲ δὴ τίς ἔσθ' ὁ μετ' ὀρνίθων βίος;
σὺ γὰρ οἶσθ' ἀκριβῶς. ΕΠ. οὐκ ἄχαρις ἐς τὴν τρι-
οῦ πρῶτα μὲν δεῖ ζῆν ἄνευ βαλλαντίου. [βήν·
ΕΥ. πολλήν γ' ἀφεῖλες τοῦ βίου κιβδηλίαν.
ΕΠ. νεμόμεθα δ' ἐν κήποις τὰ λευκὰ σήσαμα
καὶ μύρτα καὶ μήκωνα καὶ σισύμβρια.
ΕΥ. ὑμεῖς μὲν ἄρα ζῆτε νυμφίων βίον.
ΠΕ. φεῦ φεῦ·
ἦ μέγ' ἐνορῶ βούλευμ' ἐν ὀρνίθων γένει,
καὶ δύναμιν ἣ γένοιτ' ἄν, εἰ πίθοισθέ μοι.
ΕΠ. τί σοι πιθώμεθ'; ΠΕ. ὅ τι πίθησθε; πρῶτα μὲν
μὴ περιπέτεσθε πανταχῇ κεχηνότες·
ὡς τοῦτ' ἄτιμον τοὔργον ἐστίν. αὐτίκα
ἐκεῖ παρ' ἡμῖν τοὺς πετομένους ἢν ἔρῃ,
τίς ὄρνις οὗτος; ὁ Τελέας ἐρεῖ ταδί
"ἄνθρωπος ὄρνις ἀστάθμητος πετόμενος,
ἀτέκμαρτος, οὐδὲν οὐδέποτ' ἐν ταὐτῷ μένων."
ΕΠ. νὴ τὸν Διόνυσον, εὖ γε μωμᾷ ταυταγί.
τί ἂν οὖν ποιοῖμεν; ΠΕ. οἰκίσατε μίαν πόλιν.
ΕΠ. ποίαν δ' ἂν οἰκίσαιμεν ὄρνιθες πόλιν;
ΠΕ. ἄληθες; ὦ σκαιότατον εἰρηκὼς ἔπος, [ἄνω.
βλέψον κάτω. ΕΠ. καὶ δὴ βλέπω. ΠΕ. βλέπε νῦν
ΕΠ. βλέπω. ΠΕ. περίαγε τὸν τράχηλον. ΕΠ. νὴ Δία,
ἀπολαύσομαί τι δ', εἰ διαστραφήσομαι.
ΠΕ. εἶδές τι; ΕΠ. τὰς νεφέλας γε καὶ τὸν οὐρανόν.
ΠΕ. οὐχ οὗτος οὖν δήπου 'στὶν ὀρνίθων πόλος;
ΕΠ. πόλος; τίνα τρόπον; ΠΕ. ὥσπερ εἴποι τις τόπος.
ὁτιὴ δὲ πολεῖται τοῦτο καὶ διέρχεται
ἅπαντα διὰ τούτου, καλεῖται νῦν πόλος·
ἢν δ' οἰκίσητε τοῦτο καὶ φάρξηθ' ἅπαξ,
ἐκ τοῦ πόλου τούτου κεκλήσεται πόλις.
ὥστ' ἄρξετ' ἀνθρώπων μὲν ὥσπερ παρνόπων,
τοὺς δ' αὖ θεοὺς ἀπολεῖτε λιμῷ Μηλίῳ.
ΕΠ. πῶς; ΠΕ. ἐν μέσῳ δήπουθεν ἀήρ ἐστι γῆς.
εἶθ' ὥσπερ ἡμεῖς, ἢν ἰέναι βουλώμεθα
Πυθώδε, Βοιωτοὺς δίοδον αἰτούμεθα,
οὕτως, ὅταν θύσωσιν ἄνθρωποι θεοῖς,
ἢν μὴ φόρον φέρωσιν ὑμῖν οἱ θεοί,
διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τοῦ χάους
τῶν μηρίων τὴν κνῖσαν οὐ διαφρήσετε.
ΕΠ. ἰοῦ ἰοῦ·
μὰ γῆν, μὰ παγίδας, μὰ νεφέλας, μὰ δίκτυα,
μὴ 'γὼ νόημα κομψότερον ἤκουσά πω·
ὥστ' ἂν κατοικίζοιμι μετὰ σοῦ τὴν πόλιν,
εἰ ξυνδοκοίη τοῖσιν ἄλλοις ὀρνέοις.
ΠΕ. τίς ἂν οὖν τὸ πρᾶγμ' αὐτοῖς διηγήσαιτο; ΕΠ. σύ.
ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας πρὸ τοῦ
ἐδίδαξα τὴν φωνήν, ξυνὼν πολὺν χρόνον.
ΠΕ. πῶς δῆτ' ἂν αὐτοὺς ξυγκαλέσειας; ΕΠ. ῥᾳδίως.
δευρὶ γὰρ ἐμβὰς αὐτίκα μάλ' ἐς τὴν λόχμην,
ἔπειτ' ἀνεγείρας τὴν ἐμὴν ἀηδόνα,
καλοῦμεν αὐτούς· οἱ δὲ νῷν τοῦ φθέγματος
ἐάνπερ ἐπακούσωσι, θεύσονται δρόμῳ.
ΠΕ. ὦ φίλτατ' ὀρνίθων σύ, μή νυν ἕσταθι·
ἀλλ' ἀντιβολῶ σ', ἄγ' ὡς τάχιστ' ἐς τὴν λόχμην
ἔσβαινε κἀνέγειρε τὴν ἀηδόνα.
ΕΠ. ἄγε σύννομέ μοι, παῦσαι μὲν ὕπνου,
λῦσον δὲ νόμους ἱερῶν ὕμνων,
οὓς διὰ θείου στόματος θρηνεῖς,
τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτυν
ἐλελιζομένη διεροῖς μέλεσιν
γένυος ξουθῆς·
καθαρὰ χωρεῖ διὰ φυλλοκόμου
μίλακος ἠχὼ πρὸς Διὸς ἕδρας,
ἵν' ὁ χρυσοκόμας Φοῖβος ἀκούων.
τοῖς σοῖς ἐλέγοις ἀντιψάλλων

---

127. οἰκοίης D.] οἰκοῖτ' ἄν: quod in οἰκοῖτον mutabat Porsonus. Probabilius οἰκοίης, quum Epops in versibus praecedentibus et sequentibus solum alloquatur Euelpidem et v. 136. demum Pithetaeri quoque rationem habeat. 128. τοιαδί RBΔ. τοιάδε ceteri. μοι ταδί Cobetus. 134. τότ' editor Basileensis a. 1547.] τότε γ'. ποτ' apud Suidam s. v. μή μοι. ὅταν] ὅτ' Suidas. 139. μου RVΔ. μοι ceteri. 142. ὠρχιπέδισας L. Dindorfius in Thesauro vol. 5. p. 2263.] ὠρχιπέδησας 146. γε additum ex R solo. θάλατταν] τὴν θάλατταν libri. τὴν om. scriptor ὑποθέσεως II. supra p. 84. 149. τί οὐ] τί δ' οὐ ap. Pausan. 5, 5, 3. schol. Acharn. 724. et Suidam s. v. ἀγορανομίας. 150. ἐλθόνθ'] ἐλθόντε RΓ. ὁτιὴ] ὅτι RVΓΔ. ὅτι vel ὁτιὴ ab interprete illatum videtur pro ἐγώ, ἐλθόντ' in ἐλθόνθ' mutato. Minus probabiliter ὃς in ὅσ' mutabat Bothius. Verba νὴ τοὺς θεοὺς (τὸν θεὸν s. v. Λέπρεον) ὃς — Μελανθίου affert Suidas s. v. βδελύσσω et Λέπρεον, verba ὃς οὐκ — Μελανθίου scholiasta ad Pac. v. 803. vol. 3. p. 100. ubi ed. Ald. ὡς, sed ὃς RV. Restituto autem ἐγώ sententia est ironica. 155. ἐσθ'] ἐστὶν RΓ. 157. βαλλαντίου R. βαλαντίου ceteri. 159. νεμόμεθα Meinekius] νεμόμεσθα 164. πιθώμεθ' Meinekius] πιθώμεσθ' πίθησθε Dawesius] πίθοισθε 168. ὄρνις οὗτος RVΓ. οὗτος ὄρνις ceteri.

172. τί ἂν οὖν ποιοῖμεν] τί οὖν ποιῶμεν Cobetus. ποιῶμεν etiam Ald. 177. τι om. RVA. δ' R. γ' ceteri. 180. εἴποι τις] εἴποις ἂν D. εἰ λέγοις Cobetus, ut est infra v. 282. 181. ὁτιὴ D.] ὅτι 182. τούτου Bergkius] τοῦτο RVΓ. τοῦτό γε ceteri. 183. φάρξηθ' D.] φράξηθ' 189. Πυθώδε D.] πυθῶδε: de quo dixi in Thesauro vol. 6. p. 2218. 190. θύσωσιν] θύωσιν Meinekius, ἄνθρωποι] ἄνθρωποι libri. οἱ ἄνθρωποι Suidas s. v. ὡς Πυθῶδε. 192. Idem versus 1218. unde hoc loco deleri voluit Beckius, et recte fortasse, licet repetiti eadem in fabula versus etiam alibi apud Aristophanem reperiantur. 194. ἰοῦ ἰοῦ Meinekius] ἰοὺ ἰού 200. ξυνὼν πολὺν] πολὺν ξυνὼν Δ. 203. καλοῦμεν (i.e. καλέσομεν)] γρ. καὶ καλοῖμι ἂν R. γρ. καλοῖμί γ' ἂν Γ. καλοῖμ' ἂν cod. Vat. 216. μίλακος] σμίλακος RV.

ἐλεφαντόδετον φόρμιγγα, θεῶν
ἵστησι χορούς·
διὰ δ' ἀθανάτων στομάτων χωρεῖ
ξύμφωνος ὁμοῦ
θεία μακάρων ὀλολυγή.
(αὐλεῖ.)
ΠΕ. ὦ Ζεῦ βασιλεῦ, τοῦ φθέγματος τοὐρνιθίου·
οἷον κατεμελίτωσε τὴν λόχμην ὅλην.
ΕΥ. οὗτος. ΠΕ. τί ἔστιν; οὐ σιωπήσει; ΕΥ. τί δαί;
ΠΕ. οὔποψ μελῳδεῖν αὖ παρασκευάζεται.
ΕΠ. ἐποποποποποποποποποποῖ,
ἰὼ ἰώ, ἰτὼ ἰτὼ ἰτὼ ἰτώ,
ἴτω τις ὧδε τῶν ἐμῶν ὁμοπτέρων·
ὅσοι τ' εὐσπόρους ἀγροίκων γύας
νέμεσθε, φῦλα μυρία κριθοτράγων
σπερμολόγων τε γένη
ταχὺ πετόμενα, μαλθακὴν ἱέντα γῆρυν·
ὅσα τ' ἐν ἄλοκι θαμὰ
βῶλον ἀμφιτιττυβίζεθ' ὧδε λεπτὸν
ἡδομένᾳ φωνᾷ·
τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιό.
ὅσα θ' ὑμῶν κατὰ κήπους ἐπὶ κισσοῦ
κλάδεσι νομὸν ἔχει, [φάγα
τά τε κατ' ὄρεα, τά τε κοτινοτράγα, τά τε κομαρο-
ἀνύσατε πετόμενα πρὸς ἐμὰν ἀοιδάν·
τριοτὸ τριοτὸ τοτοβρίξ·
οἵ θ' ἑλείας παρ' αὐλῶνας ὀξυστόμους
ἐμπίδας κάπτεθ', ὅσα τ' εὐδρόσους γῆς τόπους
ἔχετε λειμῶνά τ' ἐρόεντα Μαραθῶνος,
ὄρνις τε πτεροποίκιλος
ἀτταγᾶς ἀτταγᾶς.
ὧν τ' ἐπὶ πόντιον οἶδμα θαλάσσης
φῦλα μετ' ἀλκυόνεσσι ποτῆται,
δεῦρ' ἴτε πευσόμενοι τὰ νεώτερα,
πάντα γὰρ ἐνθάδε φῦλ' ἀθροΐζομεν
οἰωνῶν ταναοδείρων.
ἥκει γάρ τις δριμὺς πρέσβυς,
καινὸς γνώμην,
καινῶν ἔργων τ' ἐγχειρητής.
ἀλλ' ἴτ' ἐς λόγους ἅπαντα,
δεῦρο δεῦρο δεῦρο δεῦρο.
τοροτοροτοροτοροτίξ.
κικκαβαῦ κικκαβαῦ.
τοροτοροτοροτορολιλιλίξ.
ΠΕ. ὁρᾷς τιν' ὄρνιν; ΕΥ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
καίτοι κέχηνά γ' ἐς τὸν οὐρανὸν βλέπων.
ΠΕ. ἄλλως ἄρ' οὔποψ, ὡς ἔοικ', ἐς τὴν λόχμην
ἐμβὰς ἐπῴζε, χαραδριὸν μιμούμενος.
ΟΡΝΙΣ ΤΙΣ. τοροτὶξ τοροτίξ.
ΠΕ. ὠγάθ', ἀλλ' οὖν οὑτοσὶ καὶ δή τις ὄρνις ἔρχεται.
ΕΥ. νὴ Δί' ὄρνις δῆτα. τίς ποτ' ἐστίν; οὐ δήπου ταὧς;
ΠΕ. οὗτος αὐτὸς νῷν φράσει· τίς ἐστιν ὄρνις οὑτοσί;
ΕΠ. οὗτος οὐ τῶν ἠθάδων τῶνδ' ὧν ὁρᾶθ' ὑμεῖς ἀεί,
ἀλλὰ λιμναῖος. ΠΕ. βαβαί, καλός γε καὶ φοινι-
κιοῦς. ρος.
ΕΥ. εἰκότως γε· καὶ γὰρ ὄνομ' αὐτῷ 'στὶ φοινικόπτε-
ΕΥ. οὗτος, ὦ σέ τοι. ΠΕ. τί βωστρεῖς; ΕΥ. ἕτερος
ὄρνις οὑτοσί.
ΠΕ. νὴ Δί' ἕτερος δῆτα χοὗτος ἔξεδρον χώραν ἔχων.
τίς ποτ' ἔσθ' ὁ μουσόμαντις ἄτοπος ὄρνις ὀριβάτης;
ΕΠ. ὄνομα τούτῳ Μῆδός ἐστι. ΠΕ. Μῆδος; ὦναξ Ἡρά-
κλεις·
εἶτα πῶς ἄνευ καμήλου Μῆδος ὢν εἰσέπτετο;
ΕΥ. ἕτερος αὖ λόφον κατειληφώς τις ὄρνις οὑτοσί.
ΠΕ. τί τὸ τέρας τουτί ποτ' ἐστίν; οὐ σὺ μόνος ἄρ ἦσθ'
ἔποψ, [λοκλέους
ἀλλὰ χοὗτος ἕτερος; ΕΠ. ἀλλ' οὗτος μέν ἐστι Φι-
λέξ ἔποπος, ἐγὼ δὲ τούτου πάππος, ὥσπερ εἰ λέγοις
Ἱππόνικος Καλλίου κάξ Ἱππονίκου Καλλίας.
ΠΕ. Καλλίας ἄρ' οὗτος οὔρνις ἐστίν· ὡς πτερορρυεῖ.
ΕΠ. ἅτε γὰρ ὢν γενναῖος ὑπὸ τῶν συκοφαντῶν τίλλε-
ται,
αἵ τε θήλειαι προσεκτίλλουσιν αὐτοῦ τὰ πτερά.
ΠΕ. ὦ Πόσειδον, ἕτερος αὖ τις βαπτὸς ὄρνις οὑτοσί.
τίς ὀνομάζεταί ποθ' οὗτος; ΕΠ. οὑτοσὶ κατωφαγᾶς.
ΠΕ. ἔστι γὰρ κατωφαγᾶς τις ἄλλος ἢ Κλεώνυμος;
ΕΥ. πῶς ἂν οὖν Κλεώνυμός γ' ὢν οὐκ ἀπέβαλε τὸν
λόφον;
ΠΕ. ἀλλὰ μέντοι τίς ποθ' ἡ λόφωσις ἡ τῶν ὀρνέων;
ἢ 'πὶ τὸν δίαυλον ἦλθον; ΕΠ. ὥσπερ οἱ Κᾶρες
μὲν οὖν
ἐπὶ λόφων οἰκοῦσιν, ὠγάθ', ἀσφαλείας οὕνεκα.
ΠΕ. ὦ Πόσειδον, οὐχ ὁρᾷς ὅσον ξυνείλεκται κακὸν
ὀρνέων; ΕΥ. ὦναξ Ἄπολλον, τοῦ νέφους. ἰοὺ ἰού·
οὐδ' ἰδεῖν ἔτ' ἔσθ' ὑπ' αὐτῶν πετομένων τὴν εἴσ-
οδον.
ΕΠ. οὑτοσὶ πέρδιξ, ἐκεινοσὶ δὲ νὴ Δί' ἀτταγᾶς,
οὑτοσὶ δὲ πηνέλοψ, ἐκεινηὶ δέ γ' ἀλκυών.
ΠΕ. τίς γάρ ἐσθ' οὔπισθεν αὐτῆς; ΕΠ. ὅστις ἐστί; κει-
ρύλος. [γίλος;
ΠΕ. κειρύλος γάρ ἐστιν ὄρνις; ΕΠ. οὐ γάρ ἐστι Σπορ-
ΕΠ. χαὐτηί γε γλαῦξ. ΕΥ. τί φῄς; τίς γλαῦκ' Ἀθήναζ'
ἤγαγεν; [στερά,
ΕΠ. κίττα, τρυγών, κορυδός, ἐλεᾶς, ὑποθυμίς, περι-

---

227. ἐποποιποί ποποποποιποποί R. ἐπό. ποί. πό. πό. πό. πο. ποι V. nec multo aliter codices ceteri. Incerta est huius versus scriptura, de qua dixi in Annot. Oxon. p. 592. Neque enim liquet utrum iambicum dimetrum, an trimetrum, quales sunt versus duo proximi, an dochmiacum esse voluerit poeta. Si dochmiacus fuit, quod non improbabile, bis scribendum erit ἐποποποποποποῖ. Non minus incertus syllabarum numerus est in aliis huius fabulae locis ubi avium voces exprimuntur. 236. ἡδομένᾳ] ἀδομένᾳ Bergkius.
247. ἔχετε — Μαραθῶνος] Versus creticus tetrameter catalecticus in disyllabum. Eiusdem generis dimetris usus est in Lys. 783. 787. 789. 790. 791. 248. ὄρνις τε] τε om. RVΓ. 251. Versus Alcmanis leviter mutatus, ut annotavit scholiasta, qui addit διὸ καὶ Δωρικῶς εἴρηται. Ex quo apparet scholiastam non ποτᾶται legisse, ut nunc est in libris, sed ποτῆται, ut est apud Antig. Car. c. 27. Hoc igitur restitui cum Cobeto Mnemos. vol. 8. p. 65. 253. ἀθροΐζομεν D.] ἀθροίζομεν

267. Ὄρνις τις ex schol. (οἱ μὲν καὶ τοῦτο τοῦ Ἔποπος λέγουσιν εἶναι, οἱ δὲ ὄρνιθός τινος περιιπταμένου)]
θ θ
ὀρνι ηλ R. In Ald. Ἔπο. 268. οὖν addidit D. in ed. a. 1822., nisi ἀλλὰ χοὐτοσί praeferendum sit. 269. ταὧς] Vid. ad v. 97. 270. αὐτὸς] αὐτοὺς Dobraeus. Praestat αὐτόν. 273. γε addidit Koechly. αὐτῷ 'στι RVΓΔ. αὐτῷ γ' ἐστὶ ceteri. 276. ὀριβάτης Brunckius] ὀρειβάτης. ἁβροβάτης Meinekius. 278. εἰσέπτατο RVΓ et Suidas s. v. κάμηλος. ἐπέπτατο ceteri (ἐπέπτετο Brunckius).
285. τῶν om. RV. 287. ἕτερος Bentleius] ὡς ἕτερος 291. ἡ τῶν ΒΔ. ἐστ' ἠπὶ τῶν R. ἐσθ' ἡ 'πὶ τῶν V. ἡ 'πὶ Ald. 292. ἢ Brunckius] ἡ 297. δὲ Elmsleius] γε 298. ἐκεινηὶ δέ γ' Leutschius] ἐνεινοσὶ δὲ νὴ δί' R. ἐκεινοσὶ δέ γ' ceteri. 299. 300. κειρύλος cod. Vat. κηρύλος, superscripto v. 299. ει, Γ. κηρύλος ceteri, nisi quod κιρύλος A. Et κιρύλος hoc nomen scriptum apud Hesychium, κειρύλος apud Photium: de quo dixi in Annot. Oxon. p. 597.

νέρτος, ἱέραξ, φάττα, κόκκυξ, ἐρυθρόπους, κεβλή-
πυρις,
πορφυρίς, κερχνῄς, κολυμβίς, ἀμπελίς, φήνη, δρύοψ.
ΕΥ. ἰοὺ ἰοὺ τῶν ὀρνέων, ἰοὺ ἰοὺ τῶν κοψίχων·
οἷα πιππίζουσι καὶ τρέχουσι διακεκραγότες.
ἆρ' ἀπειλοῦσίν γε νῷν; οἴμοι, κεχήνασίν γέ τοι
καὶ βλέπουσιν ἐς σὲ κἀμέ. ΠΕ. τοῦτο μὲν κἀμοὶ
δοκεῖ.

ΧΟΡΟΣ.

ποποποποποποποῦ μ' ὃς ἐκάλεσε; τίνα τόπον
ἄρα νέμεται;
ΕΠ. οὑτοσὶ πάλαι πάρειμι κοὐκ ἀποστατῶ φίλων.
ΧΟ. τιτιτιτιτιτιτιτίνα λόγον ἄρα ποτε πρὸς ἐμὲ φί-
λον ἔχων;
ΕΠ. κοινόν, ἀσφαλῆ, δίκαιον, ἡδύν, ὠφελήσιμον.
ἄνδρε γὰρ λεπτὼ λογιστὰ δεῦρ' ἀφῖχθον ὡς ἐμέ.
ΧΟ. ποῦ; πᾶ; πῶς φῄς;
ΕΠ. φήμ' ἀπ' ἀνθρώπων ἀφῖχθαι δεῦρο πρεσβύτα δύο·
ἥκετον δ' ἔχοντε πρέμνον πράγματος πελωρίου.
ΧΟ. ὦ μέγιστον ἐξαμαρτὼν ἐξ ὅτου 'τράφην ἐγώ,
πῶς λέγεις; ΕΠ. μήπω φοβηθῇς τὸν λόγον. ΧΟ.
τί μ' εἰργάσω;
ΕΠ. ἄνδρ' ἐδεξάμην ἐραστὰ τῆσδε τῆς ξυνουσίας.
ΧΟ. καὶ δέδρακας τοῦτο τοὔργον; ΕΠ. καὶ δεδρακώς
γ' ἥδομαι.
ΧΟ. κἄστὸν ἤδη που παρ' ἡμῖν; ΕΠ. εἰ παρ' ὑμῖν εἴμ'
ΧΟ. ἔα ἔα, [ἐγώ.
προδεδόμεθ' ἀνόσιά τ' ἐπάθομεν·
ὃς γὰρ φίλος ἦν, ὁμότροφά θ' ἡμῖν
ἐνέμετο πεδία παρ' ἡμῖν
παρέβη μὲν θεσμοὺς ἀρχαίους,
παρέβη δ' ὅρκους ὀρνίθων·
ἐς δὲ δόλον ἐκάλεσε, παρέβαλέ τ' ἐμὲ παρὰ
γένος ἀνόσιον, ὅπερ ἐξότ' ἐγένετ' ἐπ' ἐμοὶ
πολέμιον ἐτράφη.
ἀλλὰ πρὸς τοῦτον μὲν ἡμῖν ἐστιν ὕστερος λόγος·
τὼ δὲ πρεσβύτα δοκεῖ μοι τώδε δοῦναι τὴν δίκην
διαφορηθῆναί θ' ὑφ' ἡμῶν. ΠΕ. ὡς ἀπωλόμεσθ' ἄρα.
ΕΥ. αἴτιος μέντοι σὺ νῷν εἶ τῶν κακῶν τούτων μόνος.
ἐπὶ τί γάρ μ' ἐκεῖθεν ἦγες; ΠΕ. ἵν' ἀκολουθοίης
ἐμοί.
ΕΥ. ἵνα μὲν οὖν κλάοιμι μεγάλα. ΠΕ. τοῦτο μὲν λη-
ρεῖς ἔχων ['κκοπῆς;
κάρτα· πῶς κλαύσει γάρ, ἢν ἅπαξ γε τὠφθαλμὼ
ΧΟ. ἰὼ ἰώ,
ἔπαγ', ἔπιθ', ἐπίφερε πολέμιον
ὁρμὰν φονίαν, πτέρυγά τε παντᾶ
περίβαλε περί τε κύκλωσαι·
ὡς δεῖ τώδ' οἰμώζειν ἄμφω
καὶ δοῦναι ῥύγχει φορβάν.
οὔτε γὰρ ὄρος σκιερὸν οὔτε νέφος αἰθέριον
οὔτε πολιὸν πέλαγος ἔστιν ὅ τι δέξεται
τώδ' ἀποφυγόντε με.
ἀλλὰ μὴ μέλλωμεν ἤδη τώδε τίλλειν καὶ δάκνειν.
ποῦ 'σθ' ὁ ταξίαρχος; ἐπαγέτω τὸ δεξιὸν κέρας.
ΕΥ. τοῦτ' ἐκεῖνο· ποῖ φύγω δύστηνος; ΠΕ. οὗτος, οὐ
μενεῖς; ·[τους δοκεῖς
ΕΥ. ἵν' ὑπὸ τούτων διαφορηθῶ; ΠΕ. πῶς γὰρ ἂν τού-
ἐκφυγεῖν; ΕΥ. οὐκ οἶδ' ὅπως ἄν. ΠΕ. ἀλλ' ἐγώ
τοί σοι λέγω [τρῶν.
ὅτι μένοντε δεῖ μάχεσθαι λαμβάνειν τε τῶν χυ-
ΕΥ. τί δὲ χύτρα νὼ γ' ὠφελήσει; ΠΕ. γλαῦξ μὲν οὐ
πρόσεισι νῷν. [πάσας
ΕΥ. τοῖς δὲ γαμψώνυξι τοισδί; ΠΕ. τὸν ὀβελίσκον ἁρ-
εἶτα κατάπηξον πρὸ σαυτοῦ. ΕΥ. τοῖσι δ' ὀφθαλ-
μοῖσι τί;
ΠΕ. ὀξύβαφον ἐντευθενὶ προσδοῦ λαβὼν ἢ τρύβλιον.
ΕΥ. ὦ σοφώτατ', εὖ γ' ἀνηῦρες αὐτὸ καὶ στρατηγικῶς·
ὑπερακοντίζεις σύ γ' ἤδη Νικίαν ταῖς μηχαναῖς.
ΧΟ. ἐλελελεῦ, χώρει, κάθες τὸ ῥύγχος· οὐ μέλλειν
ἐχρῆν. [τραν
ἕλκε, τίλλε, παῖε, δεῖρε, κόπτε πρώτην τὴν χύ-
ΕΠ. εἰπέ μοι τί μέλλετ', ὦ πάντων κάκιστα θηρίων,
ἀπολέσαι παθόντες οὐδὲν ἄνδρε καὶ διασπάσαι
τῆς ἐμῆς γυναικὸς ὄντε ξυγγενῆ καὶ φυλέτα;
ΧΟ. φεισόμεσθα γάρ τι τῶνδε μᾶλλον ἡμεῖς ἢ λύκων;
ἢ τίνας τισαίμεθ' ἄλλους τῶνδ' ἂν ἐχθίους ἔτι;
ΕΠ. εἰ δὲ τὴν φύσιν μὲν ἐχθροί, τὸν δὲ νοῦν εἰσιν φίλοι,
καὶ διδάξοντές τι δεῦρ' ἥκουσιν ἡμᾶς χρήσιμον;
ΧΟ. πῶς δ' ἂν οἵδ' ἡμᾶς τι χρήσιμον διδάξειάν ποτε
ἢ φράσειαν, ὄντες ἐχθροὶ τοῖσι πάπποις τοῖς ἐμοῖς;
ΕΠ. ἀλλ' ἀπ' ἐχθρῶν δῆτα πολλὰ μανθάνουσιν οἱ σο-
φοί. [λου
ἡ γὰρ εὐλάβεια σώζει πάντα. παρὰ μὲν οὖν φί-
οὐ μάθοις ἂν τοῦθ', ὁ δ' ἐχθρὸς εὐθὺς ἐξηνάγκασεν.
αὐτίχ' αἱ πόλεις παρ' ἀνδρῶν γ' ἔμαθον ἐχθρῶν κοὐ
φίλων
ἐκπονεῖν θ' ὑψηλὰ τείχη ναῦς τε κεκτῆσθαι μακράς.
τὸ δὲ μάθημα τοῦτο σώζει παῖδας, οἶκον, χρήματα.
ΧΟ. ἔστι μὲν λόγων ἀκοῦσαι πρῶτον, ὡς ἡμῖν δοκεῖ,
χρήσιμον· μάθοις γὰρ ἄν τι κἀπὸ τῶν ἐχθρῶν σοφόν.
ΠΕ. οἵδε τῆς ὀργῆς χαλᾶν εἴξασιν. ἄναγ' ἐπὶ σκέλος.
ΕΠ. καὶ δίκαιόν γ' ἐστί, κἀμοὶ δεῖ νέμειν ὑμᾶς χάριν.
ΧΟ. ἀλλὰ μὴν οὐδ' ἄλλο σοί πω πρᾶγμ' ἐνηντιώμεθα.
ΠΕ. μᾶλλον εἰρήνην ἄγουσιν ἢ πρίν· ὥστε τὴν χύτραν
τώ τε τρυβλίω καθίει·
καὶ τὸ δόρυ χρή, τὸν ὀβελίσκον,
περιπατεῖν ἔχοντας ἡμᾶς

327—335. = 343—351.

305. 309. ΕΥ. — ΠΕ. Brunckius] ΠΕ. — ΕΥ. In R ante versum 308. est
θ
πεισ 308. οἴμοι] οἶμαι Dobraeus. 310. πο—ποῦ D.] πο—ποί. ποῦ, syllaba πο in libris aliis octies, aliis novies, aliis decies posita. Versus hic et 315. sunt dochmiaci. ὃς Hauptius] ἄρ' ὃς ἄρα Aldus] ἄρα ποτὲ codices. 333—335. Versus ab interpolatore vitiose compositi, quum verba poetae in libro antiquiore maxima ex parte obliterata essent. Requiruntur versus paeonici tetrametri duo et dimeter unus, quales sunt antistrophici 349—351. Contra veterum Atticorum linguam peccat ἐξότε pro ἐξ ὅτου dictum. 336. ἀλλὰ πρὸς τοῦτον μὲν Porsonus] πρὸς μὲν οὖν (οὖν om. pr. V) τὸν ὄρνιν. Veram scripturam partim servavit Suidas (s. v. ὕστερος λόγος) ἀλλὰ πρὸς μὲν τούτους ὕστερος λόγος. 338. ἀπωλόμεσθ' Bentleius] ἀπολούμεσθ' vel ἀπολούμεθ' 342. κλαύσει D.] κλαυσεῖ (κλαύσῃ Γ) 349. περίβαλε Reisigius] ἐπίβαλε 348. ῥύγχει] Scholiasta γράφεται καὶ ῥάμφει· ὅπερ βέλτιον. ῥάμφος γὰρ ἐπὶ ὀρνέου, ἐπὶ δὲ χοίρου ῥύγχος. Sed vide quae in Thesauro sunt allata s. v. Ῥύγχος et in hac ipsa fabula 364. 479. 672. 1138. 1155. 358. νὼ γ' ὠφελήσει] νὼ 'πωφελήσει Dobraeus. Debebat potius νῷν ὠφελήσει coniicere, ut φίλοισιν ὠφελεῖν dictum est v. 420. 359. τοισδί RV. τοῖσδε ceteri. 360. πρὸ σαυτοῦ Bentleius] πρὸς αὐτὸν 361. προσδοῦ Hauptius] προσθοῦ 364. μέλλειν] μένειν R et Suidas s. v. ἐλελεῦ et ῥύγχος. 368. ξυγγενῆ Bentleius] ξυγγενέε. Sic ad περικαλλῆ in Thesm. 289. scholiasta adscripsit τὸ ἐντελὲς περικαλλέε. 373. οἵδ' Brunckius] οἵγ' 377. εὐθὺς RV. αὐτὸς ceteri et Suidas s. v. ἀπ' ἐχθρῶν. Quod αὐτό σ' esse potest, ut monitum in *the classical Journal* 4. p. 710. 382. μάθοις γὰρ ἄν τι Dobraeus] μάθοι γὰρ ἄν τις 385. ἐνηντιώμεθα Bentleius] ἠναντιώμεθα 386. ἢ πρίν Bergkius in Ritschelii Museo Rhen. vol. 1. p. 93.] ἡμῖν

τῶν ὅπλων ἐντός, παρ' αὐτὴν
τὴν χύτραν ἄκραν ὁρῶντας
ἐγγύς· ὡς οὐ φευκτέον νῷν.
ΕΥ. ἐτεόν, ἢν δ' ἄρ' ἀποθάνωμεν,
κατορυχησόμεσθα ποῦ γῆς;
ΠΕ. ὁ Κεραμεικὸς δέξεται νώ.
δημόθεν γὰρ ἵνα ταφῶμεν,
φήσομεν πρὸς τοὺς στρατηγοὺς
μαχομένω τοῖς πολεμίοισιν
ἀποθανεῖν ἐν Ὀρνεαῖς.
ΧΟ. ἄναγ' ἐς τάξιν πάλιν ἐς ταυτόν,
καὶ τὸν θυμὸν κατάθου κύψας
παρὰ τὴν ὀργὴν ὥσπερ ὁπλίτης·
κἀναπυθώμεθα τούσδε, τίνες ποτὲ
καὶ πόθεν ἔμολον,
ποίαν τιν' ἔχοντ' ἐπίνοιαν.
ἰὼ ἔποψ, σέ τοι καλῶ.
ΕΠ. καλεῖς δὲ τοῦ κλύειν θέλων;
ΧΟ. τίνες ποθ' οἵδε καὶ πόθεν;
ΕΠ. ξένω σοφῆς ἀφ' Ἑλλάδος.
ΧΟ. τύχης δὲ ποίας κομί-
ζει ποτ' αὐτὼ πρὸς ὄρ-
νιθας ἐλθεῖν ἔρως;
ΕΠ. βίου διαίτης τε καὶ
σοῦ ξυνοικεῖν τέ σοι
καὶ ξυνεῖναι τὸ πᾶν.
ΧΟ. λέγει δὲ δὴ τίνας λόγους;
ΕΠ. ἄπιστα καὶ πέρα κλύειν.
ΧΟ. τί φῄς; ὁρᾷ δὲ δὴ τί κέρ-
δος ἐνθάδ' ἄξιον μονῆς,
ὅτῳ πέποιθέ μοι ξυνὼν
κρατεῖν ἂν ἢ τὸν ἐχθρὸν ἢ
φίλοισιν ὠφελεῖν ἔχειν;
ΕΠ. λέγει μέγαν τιν' ὄλβον οὔ-
τε λεκτὸν οὔτε πιστόν· ὡς
σὰ γὰρ τὰ πάντα ταῦτα καὶ
τὸ τῇδε καὶ τὸ κεῖσε καὶ
τὸ δεῦρο προσβιβᾷ λέγων.
ΧΟ. πότερα μαινόμενος;
ΕΠ. ἄφατον ὡς φρόνιμος.
ΧΟ. ἔνι σοφόν τι φρενί;
ΕΠ. πυκνότατον κίναδος,
σόφισμα, κύρμα, τρῖμμα, παιπάλημ' ὅλον.
ΧΟ. λέγειν λέγειν κέλευέ μοι.
κλύων γὰρ ὧν σύ μοι λέγεις
λόγων ἀνεπτέρωμαι.
ΕΠ. ἄγε δὴ σὺ καὶ σὺ τὴν πανοπλίαν μὲν πάλιν
ταύτην λαβόντε κρεμάσατον τὐγἀγαθῇ

410—412. = 413—415.
417—420. = 421—426.

ἐς τὸν ἰπνὸν εἴσω, πλησίον τοὐπιστάτου·
σὺ δὲ τούσδ' ἐφ' οἷσπερ τοῖς λόγοις ξυνέλεξ' ἐγώ,
φράσον, δίδαξον. ΠΕ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ,
ἢν μὴ διάθωνταί γ' οἵδε διαθήκην ἐμοὶ
ἥνπερ ὁ πίθηκος τῇ γυναικὶ διέθετο,
ὁ μαχαιροποιός, μήτε δάκνειν τούτους ἐμὲ
μήτ' ὀρχίπεδ' ἕλκειν μήτ' ὀρύττειν ΧΟ. οὔ τί που
τόνδ'; οὐδαμῶς. ΠΕ. οὔκ, ἀλλὰ τὠφθαλμὼ λέγω.
ΧΟ. διατίθεμαι 'γώ. ΠΕ. κατόμοσόν νυν ταῦτά μοι.
ΧΟ. ὄμνυμ' ἐπὶ τούτοις, πᾶσι νικᾶν τοῖς κριταῖς
καὶ τοῖς θεαταῖς πᾶσιν. ΠΕ. ἔσται ταυταγί.
ΧΟ. εἰ δὲ παραβαίην, ἑνὶ κριτῇ νικᾶν μόνον.
ΠΕ. ἀκούετε λεῴ· τοὺς ὁπλίτας νυνμενὶ
ἀνελομένους θὤπλ' ἀπιέναι πάλιν οἴκαδε,
σκοπεῖν δ' ὅ τι ἂν προγράφωμεν ἐν τοῖς πινακίοις.
ΧΟ. δολερὸν μὲν ἀεὶ κατὰ πάντα δὴ τρόπον
πέφυκεν ἄνθρωπος· σὺ δ' ὅμως λέγε μοι.
τάχα γὰρ τύχοις ἂν
χρηστὸν ἐξειπὼν ὅ τι μοι παρορᾷς, ἢ
δύναμίν τινα μείζω
παραλειπομένην ὑπ' ἐμῆς φρενὸς ἀξυνέτου,
σὺ δὲ τοῦθ' ηὗρες· λέγ' ἐς κοινόν.
ὃ γὰρ ἂν σὺ τύχῃς μοι
ἀγαθὸν πορίσας, τοῦτο κοινὸν ἔσται.
ἀλλ' ἐφ' ὅτῳπερ πράγματι τὴν σὴν ἥκεις γνώμην
ἀναπείσας, [παραβῶμεν.
λέγε θαρρήσας· ὡς τὰς σπονδὰς οὐ μὴ πρότεροι
ΠΕ. καὶ μὴν ὀργῶ, νὴ τὸν Δία, καὶ προπεφύραται λό-
γος εἷς μοι, [χεῖσθαι
ὃν διαμάττειν οὐ κωλύει· φέρε παῖ στέφανον· κατα-
κατὰ χειρὸς ὕδωρ φερέτω ταχύ τις. ΕΥ. δειπνή-
σειν μέλλομεν, ἢ τί;
ΠΕ. μὰ Δί', ἀλλὰ λέγειν ζητῶ τι πάλαι μέγα καὶ λαρινὸν
ἔπος τι, [ὑπεραλγῶ,
ὅ τι τὴν τούτων θραύσει ψυχήν· οὕτως ὑμῶν
οἵτινες ὄντες πρότερον βασιλῆς ΧΟ. ἡμεῖς βασι-
λῆς; τίνος; ΠΕ. ὑμεῖς [Διὸς αὐτοῦ,
πάντων ὁπόσ' ἔστιν, ἐμοῦ πρῶτον, τουδί, καὶ τοῦ
ἀρχαιότεροι πρότεροί τε Κρόνου καὶ Τιτάνων ἐγέ-
νεσθε
καὶ γῆς. ΧΟ. καὶ γῆς; ΠΕ. νὴ τὸν Ἀπόλλω. ΧΟ.
τουτὶ μὰ Δί' οὐκ ἐπεπύσμην.
ΠΕ. ἀμαθὴς γὰρ ἔφυς κοὐ πολυπράγμων, οὐδ' Αἴσω-
πον πεπάτηκας, [γενέσθαι,
ὃς ἔφασκε λέγων κορυδὸν πάντων πρώτην ὄρνιθα
προτέραν τῆς γῆς, κἄπειτα νόσῳ τὸν πατέρ' αὐτῆς
ἀποθνῄσκειν· [δ' ἀποροῦσαν
γῆν δ' οὐκ εἶναι, τὸν δὲ προκεῖσθαι πεμπταῖον, τὴν
ὑπ' ἀμηχανίας τὸν πατέρ' αὐτῆς ἐν τῇ κεφαλῇ κα-
τορύξαι.

451—459. — 539—547.

---

390. παρ' αὐτὴν τὴν χύτραν ἄκραν Dawesius] παρὰ τὴν (παρ' αὐτὴν Paris. A.) χύτραν ἄκραν αὐτὴν ὁρῶντας 394. κατορυχησόμεσθα Elmsleius] κατορυχθησόμεσθα 396. δημόθεν Kockius] δημοσίᾳ, quod glossatoris est, quemadmodum ad verba Homeri Od. 19, 197. δημόθεν ἄλφιτα δῶκα καὶ αἴθοπα οἶνον Eustathius annotavit ξενίζεσθαι δημοσίᾳ τοὺς ἀξίους. 405. ποίαν τιν' ἔχοντ' Reisigius] ἐπὶ τίνα 409. ξένω D.] ξείνω

410. τύχης δὲ ποίας — ἐλθεῖν ἔρως; ΕΠ. βίου Reisigius] τύχη δὲ ποία — ἐλθεῖν; ΕΠ. ἔρως βίου 415. λέγει D.] λέγουσι δὴ om. R. 417. τί φῄς; in libris ante verba v. 416. λέγουσι δὲ δὴ etc. lectum huc transposuit D. δὲ δὴ addidit D. 419. τὸν ἐχθρὸν] τῶν ἐχθρῶν RV aliique. 424. σὰ γὰρ τὰ πάντα ταῦτα Meinekius] σὰ γὰρ ταῦτα πάντα RVΓΔ et scholiasta ad v. 348. σὰ ταῦτα γὰρ δὴ πάντα ceteri. 425. κεῖσε καὶ] καὶ om. R.

443. τόνδ' Valckenarius ad Herodot. 3, 46.] τόν 444. διατίθεμαι 'γώ Porsonus] διατίθεμ' ἐγώ RV. διατίθεμ' ἔγωγε ceteri. 448. ΠΕ.] κῆρυξ codex Vaticanus. Sunt verba Pithetaeri, qui κήρυκος munere fungitur.

454. παρορᾷς] παρορᾷτ' Bentleius. 457. ηὗρες L. Dindorfius] ὁρᾷς 460. πράγματι τὴν σὴν ἥκεις Dawesius] ἥκεις τὴν σὴν πράγματι 461. πρότεροι Hermannus] πρότερον 463. οὐ om. R, ut κωλύει οὐδὲν coniicere liceat, quemadmodum οὐδὲν κωλύει est apud Aristoph. Equit. 723. 972. et alios quosvis. Οὐ κωλύει pro οὐδὲν κωλύει Steph. Byz. s. v. Βοίβη p. 172, 14. ed. Mein. schol. Hom. Od. 18, 297. et schol. recentior ad Soph. Oed. T. 873. p. 299, 10. ed. Oxon. καταχεῖσθαι cod. Vat. καταχεῖσθε ceteri. 464. ΕΥ. Brunckius] ΧΟ. (ΕΠ. Paris. C, ut v. 486. 507. Ἔπο. pro Εὐ. est in ed. Aldina.)

ΕΥ. ὁ πατὴρ ἄρα τῆς κορυδοῦ νυνὶ κεῖται τεθνεὼς Κε-
φαλῆσιν. [ἐγένοντο,
ΠΕ. οὔκουν δῆτ' εἰ πρότεροι μὲν γῆς, πρότεροι δὲ θεῶν
ὡς πρεσβυτάτων αὐτῶν ὄντων ὀρθῶς ἔσθ' ἡ βασι-
λεία; [σε τὸ λοιπόν·
ΕΥ. νὴ τὸν Ἀπόλλω· πάνυ τοίνυν χρὴ ῥύγχος βόσκειν
οὐκ ἀποδώσει ταχέως ὁ Ζεὺς τὸ σκῆπτρον τῷ δρυ-
κολάπτῃ.
ΠΕ. ὡς οὐχὶ θεοὶ τοίνυν ἦρχον τῶν ἀνθρώπων τὸ πα-
λαιόν, [τούτων.
ἀλλ' ὄρνιθες, κἀβασίλευον, πόλλ' ἐστὶ τεκμήρια
αὐτίκα δ' ὑμῖν πρῶτ' ἐπιδείξω τὸν ἀλεκτρυόν', ὡς
ἐτυράννει [Μεγαβάζων,
ἦρχέ τε Περσῶν πρότερος πάντων Δαρείων καὶ
ὥστε καλεῖται Περσικὸς ὄρνις ἀπὸ τῆς ἀρχῆς ἔτ'
ἐκείνης.
ΕΥ. διὰ ταῦτ' ἄρ' ἔχων καὶ νῦν ὥσπερ βασιλεὺς ὁ μέγας
διαβάσκει [ὀρθήν.
ἐπὶ τῆς κεφαλῆς τὴν κυρβασίαν τῶν ὀρνίθων μόνος
ΠΕ. οὕτω δ' ἴσχυέ τε καὶ μέγας ἦν τότε καὶ πολύς, ὥστ'
ἔτι καὶ νῦν [θριον ᾄσῃ,
ἀπὸ τῆς ῥώμης τῆς τότ' ἐκείνης, ὁπόταν νόμον ὄρ-
ἀναπηδῶσιν πάντες ἐπ' ἔργον, χαλκῆς, κεραμῆς,
σκυλοδέψαι,
σκυτῆς, βαλανῆς, ἀλφιταμοιβοί, τορνευτολυρασπι-
δοπηγοί· [τοῦτό γ' ἐρώτα
οἱ δὲ βαδίζουσ' ὑποδησάμενοι νύκτωρ. ΕΥ. ἐμὲ
χλαῖναν γὰρ ἀπώλεσ' ὁ μοχθηρὸς Φρυγίων ἐρίων
διὰ τοῦτον. [ἐν ἄστει,
ἐς δεκάτην γάρ ποτε παιδαρίου κληθεὶς ὑπέπ·νον
κἄρτι καθηῦδον, καὶ πρὶν δειπνεῖν τοὺς ἄλλους
οὗτος ἄρ' ᾖσε, [κἄρτι προκύπτω
κἀγὼ νομίσας ὄρθρον ἐχώρουν Ἁλιμοῦντάδε,
ἔξω τείχους, καὶ λωποδύτης παίει ῥοπάλῳ με τὸ
νῶτον· [μάτιόν μου.
κἀγὼ πίπτω μέλλω τε βοᾶν, ὁ δ' ἀπέβλισε θοἰ-
ΠΕ. ἰκτῖνος δ' οὖν τῶν Ἑλλήνων ἦρχεν τότε κἀβασί-
λευεν. [τος βασιλεύων
ΕΠ. τῶν Ἑλλήνων; ΠΕ. καὶ κατέδειξέν γ' οὗτος πρῶ-
προκαλινδεῖσθαι τοῖς ἰκτίνοις. ΕΥ. νὴ τὸν Διόνυ-
σον, ἐγὼ γοῦν [σκων
ἐκαλινδούμην ἰκτῖνον ἰδών· κᾆθ' ὕπτιος ὢν ἀναχά-
ὀβολὸν κατεβρόχθισα· κᾆτα κενὸν τὸν θύλακον οἴ-
καδ' ἀφεῖλκον.

ΠΕ. Αἰγύπτου δ' αὖ καὶ Φοινίκης πάσης κόκκυξ βασι-
λεὺς ἦν·
χὠπόθ' ὁ κόκκυξ εἴποι κόκκυ, τότ' ἂν οἱ Φοίνικες
ἅπαντες [ριζον.
τοὺς πυροὺς ἂν καὶ τὰς κριθὰς ἐν τοῖς πεδίοις ἐθέ-
ΕΥ. τοῦτ' ἄρ' ἐκεῖν' ἦν τοὔπος ἀληθῶς· κόκκυ, ψωλοὶ
πεδίονδε. [βασιλεύοι
ΠΕ. ἦρχον δ' οὕτω σφόδρα τὴν ἀρχὴν ὥστ' εἴ τις καὶ
ἐν ταῖς πόλεσιν τῶν Ἑλλήνων, Ἀγαμέμνων ἢ Με-
νέλαος, [ροδοκοίη.
ἐπὶ τῶν σκήπτρων ἐκάθητ' ὄρνις, μετέχων ὅ τι δω-
ΕΥ. τουτὶ τοίνυν οὐκ ᾔδη 'γώ· καὶ δῆτά μ' ἐλάμβανε
θαῦμα, [τραγῳδοῖς·
ὁπότ' ἐξέλθοι Πρίαμός τις ἔχων ὄρνιν ἐν τοῖσι
ὁ δ' ἄρ' εἱστήκει τὸν Λυσικράτη τηρῶν ὅ τι δωρο-
δοκοίη. [νῦν βασιλεύων
ΠΕ. ὃ δὲ δεινότατόν γ' ἐστὶν ἁπάντων, ὁ Ζεὺς γὰρ ὁ
ἀετὸν ὄρνιν ἕστηκεν ἔχων ἐπὶ τῆς κεφαλῆς, βασι-
λεὺς ὤν· [ράπων ἱέρακα·
ἡ δ' αὖ θυγάτηρ γλαῦχ', ὁ δ' Ἀπόλλων ὥσπερ θε-
ΕΠ. νὴ τὴν Δήμητρ' εὖ ταῦτα λέγεις. τίνος οὕνεκα
ταῦτ' ἄρ' ἔχουσιν; [νόμος ἐστί,
ΠΕ. ἵν' ὅταν θύων τις ἔπειτ' αὐτοῖς ἐς τὴν χεῖρ', ὡς
τὰ σπλάγχνα διδῷ, τοῦ Διὸς αὐτοὶ πρότεροι τὰ
σπλάγχνα λάβωσιν. [θας ἅπαντες·
ὤμνυ τ' οὐδεὶς τότ' ἂν ἀνθρώπων θεόν, ἀλλ' ὄρνι-
Λάμπων δ' ὄμνυσ' ἔτι καὶ νυνὶ τὸν χῆν', ὅταν ἐξα-
πατᾷ τι· [ἐνόμιζον,
οὕτως ὑμᾶς πάντες πρότερον μεγάλους ἁγίους τ'
νῦν δ' ἀνδράποδ', ἠλιθίους, Μανᾶς.
ὥσπερ δ' ἤδη τοὺς μαινομένους
βάλλουσ' ὑμᾶς, κἀν τοῖς ἱεροῖς
πᾶς τις ἐφ' ὑμῖν ὀρνιθευτὴς
ἵστησι βρόχους, παγίδας, ῥάβδους,
ἕρκη, νεφέλας, δίκτυα, πηκτάς·
εἶτα λαβόντες πωλοῦσ' ἀθρόους·
οἱ δ' ὠνοῦνται βλιμάζοντες·
κοὐδ' οὖν, εἴπερ ταῦτα δοκεῖ δρᾶν,
ὀπτησάμενοι παρέθενθ' ὑμᾶς,
ἀλλ' ἐπικνῶσιν τυρόν, ἔλαιον,
σίλφιον, ὄξος, καὶ τρίψαντες
κατάχυσμ' ἕτερον γλυκὺ καὶ λιπαρόν,
κἄπειτα κατεσκέδασαν θερμὸν
τοῦτο καθ' ὑμῶν
αὕων ὥσπερ κενεβρείων.
ΧΟ. πολὺ δὴ πολὺ δὴ χαλεπωτάτους λόγους
ἤνεγκας, ἄνθρωφ'· ὡς ἐδάκρυσά γ' ἐμῶν
πατέρων κάκην, οἳ
τάσδε τὰς τιμὰς προγόνων παραδόντων
ἐπ' ἐμοὶ κατέλυσαν,
σὺ δέ μοι κατὰ δαίμονα καί τινα συντυχίαν
ἀγαθὴν ἥκεις ἐμοὶ σωτήρ.
ἀναθεὶς γὰρ ἐγώ σοι
τά τε νοττία κἀμαυτὸν οἰκετεύσω. [ἄξιον ἡμῖν
ἀλλ' ὅ τι χρὴ δρᾶν σὺ δίδασκε παρών· ὡς ζῆν οὐκ

---

477. ΠΕ. Bentleius] ΕΠ. 479. ΕΥ.] Πεισθ RV. 480. ΕΠ. ante οὐκ delevit Bentleius. οὐκ] ὡς Hamakerus. 481. ὡς R. ὡς δ' ceteri. ἦρχον τῶν ἀνθρώπων Bentleius] τῶν ἀνθρώπων ἦρχον 484. πρότερος Hirschigius] πρῶτον Δαρείων καὶ Μεγαβάζων Hauptius] Δαρείου καὶ Μεγαβάζου (sic RV: μεγαβύζου ceteri). 488. ἴσχυε Elmsleius] ἴσχυσε 489. νόμον Porsonus] μόνον. ὄρθριον νόμον est in Eccles. 741. 490. σκυλοδέψαι Bentleius. σκυτοδεψοί V et sine accentu R. σκυτόδεψοι superscripto αι Γ. σκυτοδέψαι ceteri. σκυλόδεψον vel σκυλοδεψόν in libris Demosth. p. 781, 18. eodemque accentu σκυτοδεψόν ap. Platon. Gorg. p. 517e, ut apud alios quoque accentus variat. Sed quum βυρσοδέψην, nisi libri fallunt, dixerit Aristoph. Eq. 44. Nub. 581., hoc loco non σκυλοδεψοί scripsi, sed σκυλοδέψαι praetuli. 492. ὑποδησάμενοι] ἀποδύσοντες Kockius. τοῦτό γ'] τοῦτ' R. 495. καθηῦδον Meinekius] καθεῦδον δειπνεῖν] δὲ πιεῖν Γ et Vat. δὲ πίνειν A. 496. Ἁλιμοῦντάδε D.] ἀλιμοῦντάδε 499. 502. ἰκτῖνος et ἰκτῖνον D.] ἴκτινος et ἴκτινον 500. γ' om. RVΓ. 501. 502. προκαλινδεῖσθαι — ἐκαλινδούμην Cobetus] προκυλινδεῖσθαι — ἐκυλινδούμην (ἐκυλινδόμην R)

505. τότ' ἂν οἱ Porsonus] τότ' οἱ RV. τόθ' οἱ Ald. τότε γ' οἱ Bentleius. 513. Λυσικράτη] λυσικράτην R. 515. ὄρνιν ἕστηκεν Tyrwhittus] ἕστηκεν ὄρνιν 520. ἂν addidit Porsonus. 521. νυνὶ Kusterus] νῦν 525. τοῖς ἱεροῖς] Scriptura suspecta, ut Meinekius annotavit, quum τοῖσιν ἀγροῖς potius exspectetur. 535. κατάχυσμ' ἕτερον] καταχυσμάτιον Kockius. 538. αὕων Reiskius] αὐτῶν κενεβρείων Bentleius] κενεβρίων 543. ἐμοὶ Paris. A. ἐμοῦ ceteri. 544. δέ μοι] Aptius δὲ νῦν τινα addidit Bentleius. κατὰ malebat Brunckius. 547. τά τε νοττία D. τά τε νεοττία R. τὰ νεοττία ceteri. οἰκετεύσω Hermannus] οἰκήσω

εἰ μὴ κομιούμεθα παντὶ τρόπῳ τὴν ἡμετέραν βασι-
λείαν. [εἶναι·
ΠΕ. καὶ δὴ τοίνυν πρῶτα διδάσκω μίαν ὀρνίθων πόλιν
κἄπειτα τὸν ἀέρα πάντα κύκλῳ καὶ πᾶν τουτὶ τὸ
μεταξὺ [βυλῶνα.
περιτειχίζειν μεγάλαις πλίνθοις ὀπταῖς ὥσπερ Βα-
ΕΥ. ὦ Κεβριόνη καὶ Πορφυρίων, ὡς σμερδαλέον τὸ πό-
λισμα, [ἀπαιτεῖν·
ΠΕ. κἄπειτ' ἢν τοῦτ' ἐπανεστήκῃ, τὴν ἀρχὴν τὸν Δί'
κἂν μὲν μὴ φῇ μηδ' ἐθελήσῃ μηδ' εὐθὺς γνωσιμα-
χήσῃ, [ἀπειπεῖν
ἱερὸν πόλεμον πρωυδᾶν αὐτῷ, καὶ τοῖσι θεοῖσιν
διὰ τῆς χώρας τῆς ὑμετέρας ἐστυκόσι μὴ διαφοι-
τᾶν, [βαινον
ὥσπερ πρότερον μοιχεύσοντες τὰς Ἀλκμήνας κατέ-
καὶ τὰς Ἀλόπας καὶ τὰς Σεμέλας· ἤνπερ δ' ἐπίωσ',
ἐπιβάλλειν [ἐκείνας.
σφραγῖδ' αὐτοῖς ἐπὶ τὴν ψωλήν, ἵνα μὴ βινῶσ' ἔτ'
τοῖς δ' ἀνθρώποις ὄρνιν ἕτερον πέμψαι κήρυκα κε-
λεύω,
ὡς ὀρνίθων βασιλευόντων θύειν ὄρνισι τὸ λοιπόν,
κἄπειτα θεοῖς ὕστερον αὖθις· προσνείμασθαι δὲ
πρεπόντως [στον·
τοῖσι θεοῖσιν τῶν ὀρνίθων ὃς ἂν ἁρμόζῃ καθ' ἕκα-
ἢν Ἀφροδίτῃ θύῃ, κριθὰς ὄρνιθι φαληρίδι θύειν·
ἢν δὲ Ποσειδῶνί τις οἶν θύῃ, νήττῃ πυροὺς καθα-
γίζειν· [λιτοῦντας·
ἢν δ' Ἡρακλέει θύησι, λάρῳ ναστοὺς θύειν με-
κἂν Διὶ θύῃ βασιλεῖ κριόν, βασιλεύς ἐστ' ὀρχίλος
ὄρνις, [σφαγιάζειν.
ᾧ προτέρῳ δεῖ τοῦ Διὸς αὐτοῦ σέρφον ἐνόρχην
ΕΥ. ἥσθην σέρφῳ σφαγιαζομένῳ. βροντάτω νῦν ὁ μέ-
γας Ζάν. [λοιούς,
ΕΠ. καὶ πῶς ἡμᾶς νομιοῦσι θεοὺς ἄνθρωποι κοὐχὶ κο-
οἳ πετόμεσθα πτέρυγάς τ' ἔχομεν; ΠΕ. ληρεῖς·
καὶ νὴ Δί' ὅ γ' Ἑρμῆς [θεοὶ πάνυ πολλοί.
πέτεται θεὸς ὢν πτέρυγάς τε φορεῖ, κἄλλοι γε
αὐτίκα Νίκη πέτεται πτερύγοιν χρυσαῖν, καὶ νὴ
Δί' Ἔρως γε·
Ἶριν δέ γ' Ὅμηρος ἔφασκ' ἰκέλην βῆναι τρήρωνι
πελείῃ.

553. Κεβριόνη Brunckius] Κεβριόνα 554. κἄπειτ' ἢν D.] κἄπειτ' ἂν (κἄπειδ' ἂν Δ. κἄπειδὰν Par. B.) ἐπανεστήκῃ] ἐπανεστήκει RV. 555. μὴ φῇ] μὴ 'φῇ Ald. et fortasse codices: quod est μὴ ἀφῇ. 564. ἁρμόζῃ] ἁρμόττῃ Lobeckius. 565. κριθὰς Brunckius] πυροὺς (ex versu proximo illatum.) φαληρίδι] φαλαρίδι Athenaeus 7. p. 325 b. 566. Ποσειδῶνί τις οἶν θύῃ] Schol. γράφεται Ποσειδῶνί τις βοῦν θύῃ. καθαγίζειν] καταγίζειν R et Ald. 567. Ἡρακλέει Brunckius] Ἡρακλεῖ θύησι Meinekius] θύῃ τις RVΓ et scholiasta. τις βοῦν ceteri et Ald. quod interpolator sumsit ex scholiastae annotatione modo memorata ad v. 566. μελιτοῦντας Meinekius] μελιττούτας RV aliique, μελιτούτας Ald. quod nihil aliud est quam μελιτούττας. Apud Hesychium, μελιτοῦντας (codex μελιττοῦντας): πλακοῦντας.| 569. ἐνόρχην RV aliique: ἔνορχιν deteriores. 573. 574. πέτεται] πέταται libri, nisi quod in Γ annotatum γρ. καὶ πέτεται 575. Ἶριν] Ἥρην Bentleius, quoniam non Iris, sed Iuno et Minerva cum columba comparantur Iliad. 5, 778. τὼ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι, quem locum comparavit scholiasta, qui addit οἱ δὲ ἐν ἑτέροις ποιήμασιν Ὁμήρου φασὶ τοῦτο φέρεσθαι· εἰσὶ γὰρ αὐτοῦ καὶ ὕμνοι. Et sic in Hymno 1, 114. de Iride et Ilithyia βὰν δὲ ποσὶν τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι. βῆναι Meinekius, collatis locis Homericis] εἶναι

ΕΥ. ὁ Ζεὺς δ' ἡμῖν οὐ βροντήσας πέμψει πτερόεντα
κεραυνόν; [μηδέν,
ΠΕ. ἢν δ' οὖν ὑμᾶς μὲν ὑπ' ἀγνοίας εἶναι νομίσωσι τὸ
τούτους δὲ θεοὺς τοὺς ἐν Ὀλύμπῳ, τότε χρὴ
στρούθων νέφος ἀρθὲν [ἀνακάψαι·
καὶ σπερμολόγων ἐκ τῶν ἀγρῶν τὸ σπέρμ' αὐτῶν
κἄπειτ' αὐτοῖς ἡ Δημήτηρ πυροὺς πεινῶσι με-
τρείτω. [παρέχουσαν.
ΕΥ. οὐκ ἐθελήσει μὰ Δί', ἀλλ' ὄψει προφάσεις αὐτὴν
ΠΕ. οἱ δ' αὖ κόρακες τῶν ζευγαρίων, οἷσιν τὴν γῆν κα-
ταροῦσιν, [ἐπὶ πείρᾳ·
καὶ τῶν προβάτων τοὺς ὀφθαλμοὺς ἐκκοψάντων
εἶθ' Ἀπόλλων ἰατρός γ' ὢν ἰάσθω· μισθοφορεῖ δέ.
ΕΥ. μή, πρίν γ' ἂν ἐγὼ τὼ βοιδαρίω τὥμὼ πρώτιστ'
ἀπόδωμαι. [νον, σὲ Ποσειδῶ,
ΠΕ. ἢν δ' ἡγῶνται σὲ θεόν, σὲ βίον, σὲ δὲ Γῆν, σὲ Κρό-
ἀγάθ' αὐτοῖσιν πάντα παρέσται. ΕΠ. λέγε δή μοι
τῶν ἀγαθῶν ἕν. [κατέδονται,
ΠΕ. πρῶτα μὲν αὐτῶν τὰς οἰνάνθας οἱ πάρνοπες οὐ
ἀλλὰ γλαυκῶν λόχος εἷς αὐτοὺς καὶ κερχνήδων
ἐπιτρίψει. [δονται,
εἶθ' οἱ κνῖπες καὶ ψῆνες ἀεὶ τὰς συκᾶς οὐ κατέ-
ἀλλ' ἀναλέξει πάντας καθαρῶς αὐτοὺς ἀγέλη μία
κιχλῶν. [σφόδρ' ἐρῶσι.
ΕΠ. πλουτεῖν δὲ πόθεν δώσομεν αὐτοῖς; καὶ γὰρ τούτου
ΠΕ. τὰ μέταλλ' αὐτοῖς μαντευομένοις οὗτοι δώσουσι τὰ
χρηστά, [κατεροῦσιν,
τάς τ' ἐμπορίας τὰς κερδαλέας πρὸς τὸν μάντιν
ὥστ' ἀπολεῖται τῶν ναυκλήρων οὐδείς. ΕΠ. πῶς
οὐκ ἀπολεῖται; [πλοῦ·
ΠΕ. προερεῖ τις ἀεὶ τῶν ὀρνίθων μαντευομένῳ περὶ τοῦ
νυνὶ μὴ πλεῖ, χειμὼν ἔσται· νυνὶ πλεῖ, κέρδος ἐπέ-
σται. [παρ' ὑμῖν.
ΕΥ. γαῦλον κτῶμαι καὶ ναυκληρῶ, κοὐκ ἂν μείναιμι
ΠΕ. τοὺς θησαυρούς τ' αὐτοῖς δείξουσ' οὓς οἱ πρότερον
κατέθεντο [τάδε πάντες,
τῶν ἀργυρίων· οὗτοι γὰρ ἴσασι· λέγουσι δέ τοι
οὐδεὶς οἶδεν τὸν θησαυρὸν τὸν ἐμὸν πλὴν εἴ τις
ἄρ' ὄρνις [ἀνορύττω.
ΕΥ. πωλῶ γαῦλον, κτῶμαι σμινύην, καὶ τὰς ὑδρίας
ΕΠ. πῶς δ' ὑγίειαν δώσομεν αὐτοῖς, οὖσαν παρὰ τοῖσι
θεοῖσιν; [σάφ' ἴσθι,
ΠΕ. ἢν εὖ πράττωσ', οὐχ ὑγιεία μεγάλη τοῦτ' ἐστί;
ὡς ἄνθρωπός γε κακῶς πράττων ἀτεχνῶς οὐδεὶς
ὑγιαίνει. [ἔστ' ἐν Ὀλύμπῳ·
ΕΠ. πῶς δ' ἐς γῆράς ποτ' ἀφίξονται; καὶ γὰρ τοῦτ'
ἢ παιδάρι' ὄντ' ἀποθνήσκειν δεῖ; ΠΕ. μὰ Δί', ἀλλὰ
τριακόσι' αὐτοῖς [παρὰ τοῦ; παρ' ἑαυτῶν.
ἔτι προσθήσουσ' ὄρνιθες ἔτη. ΕΠ. παρὰ τοῦ; ΠΕ.
οὐκ οἶσθ' ὅτι πέντ' ἀνδρῶν γενεὰς ζώει λακέρυζα
κορώνη; [βασιλεύειν.
ΕΥ. βαβαί, ὡς πολλῷ κρείττους οὗτοι τοῦ Διὸς ἡμῖν

576. ΕΥ. Bentleius] ΕΠ. 578. στρούθων Meinekius] στρουθῶν 581. ΕΥ.] ΕΠ. R. 584. Ἀπόλλων Elmsleius] ὁ γ' Ἀπόλλων γ' addidit Brunckius. 585. ἀπόδωμαι (ut κατάθωμαι Vesp. 567.) D.] ἀποδῶμαι. Vid. L. Dindorf. ad Xen. Mem. p. 127. ed. Oxon. 586. σὲ δὲ (δὲ om. Γ) Γῆν] Scriptura vitii suspecta.
593. δώσουσι] δείξουσι Bergkius. 603. δώσομεν Koechly] δώσουσ' 604. ὑγιεία D.] ὑγίεια 607. ὄντ'] ἔτ' ὄντ' RV. 608. παρὰ τοῦ] Exspectes παρ' ὅτου, quod coniecit Bekkerus. Sed similiter πῶς pro ὅπως dictum Eccles. 761. et πόθεν pro ὁπόθεν Pac. 847. 609. πέντ' ἀνδρῶν γενεὰς Bentleius] πέντε γενεὰς ἀνδρῶν 610. βαβαὶ Brunckius] αἰβοῖ: quod qui servare volent extra versum collocare et δὴ post πολλῷ addere debebunt, ut egofeci in ed. a. 1822.

ΠΕ. οὐ γὰρ πολλῷ ⏑ ⏑ ⏑́ ⏑ ⏑ –;
καὶ πρῶτα μὲν οὐχὶ νεὼς ἡμᾶς
οἰκοδομεῖν δεῖ λιθίνους αὐτοῖς,
οὐδὲ θυρῶσαι χρυσαῖσι θύραις,
ἀλλ' ὑπὸ θάμνοις καὶ πρινιδίοις
οἰκήσουσιν. τοῖς δ' αὖ σεμνοῖς
τῶν ὀρνίθων δένδρον ἐλάας
ὁ νεὼς ἔσται· κοὐκ ἐς Δελφοὺς
οὐδ' εἰς Ἄμμων' ἐλθόντες ἐκεῖ
θύσομεν, ἀλλ' ἐν ταῖσιν κομάροις
καὶ τοῖς κοτίνοις στάντες ἔχοντες
κριθάς, πυρούς, εὐξόμεθ' αὐτοῖς
ἀνατείνοντες τὼ χεῖρ' ἀγαθῶν
διδόναι τι μέρος· καὶ ταῦθ' ἡμῖν
παραχρῆμ' ἔσται
πυροὺς ὀλίγους προβαλοῦσιν.
ΧΟ. ὦ φίλτατ' ἐμοὶ πολὺ πρεσβυτῶν ἐξ ἐχθίστου μεταπίπτων, [ἔτ' ἀφείμην.
οὐκ ἔστιν ὅπως ἂν ἐγώ ποθ' ἑκὼν τῆς σῆς γνώμης
ἐπαυχήσας δὲ τοῖσι σοῖς λόγοις
ἐπηπείλησα καὶ κατώμοσα,
ἢν σὺ παρ' ἐμὲ θέμενος ὁμόφρονας λόγους
δικαίους ἄδολος ἐπὶ θεοὺς ἴῃς,
ἐμοὶ φρονῶν ξυνῳδά, μὴ
πολὺν χρόνον θεοὺς ἔτι
σκῆπτρα τἀμὰ τρίψειν.
ἀλλ' ὅσα μὲν δεῖ ῥώμῃ πράττειν, ἐπὶ ταῦτα τεταξόμεθ' ἡμεῖς· [ἀνάκειται.
ὅσα δὲ γνώμῃ δεῖ βουλεύειν, ἐπὶ σοὶ τάδε πάντ'
ΕΠ. καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν γ' ἔτι
ὥρα 'στὶν ἡμῖν οὐδὲ μελλονικιᾶν,
ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾶν· πρῶτον δέ τοι
εἰσέλθετ' ἐς νεοττιάν τε τὴν ἐμὴν
καὶ τἀμὰ κάρφη καὶ τὰ παρόντα φρύγανα,
καὶ τοὔνομ' ἡμῖν φράσατον. ΠΕ. ἀλλὰ ῥᾴδιον.
ἐμοὶ μὲν ὄνομα Πειθέταιρος, τῳδεδὶ
Εὐελπίδης Κριῶθεν. ΕΠ. ἀλλὰ χαίρετον
ἄμφω. ΠΕ. δεχόμεθα. ΕΠ. δεῦρο τοίνυν εἴσιτον.
ΠΕ. ἴωμεν· εἰσηγοῦ σὺ λαβὼν ἡμᾶς. ΕΠ. ἴτε.
ΠΕ. ἀτὰρ τὸ δεῖνα δεῦρ' ἐπανάκρουσαι πάλιν.
φέρ' ἴδω, φράσον νῷν, πῶς ἐγώ τε χοὐτοσὶ
ξυνεσόμεθ' ὑμῖν πετομένοις οὐ πετομένω;
ΕΠ. καλῶς. ΠΕ. ὅρα νυν ὡς ἐν Αἰσώπου λόγοις
ἐστὶν λεγόμενον δή τι, τὴν ἀλώπεχ', ὡς
φλαύρως ἐκοινώνησεν ἀετῷ ποτέ.
ΕΠ. μηδὲν φοβηθῇς· ἔστι γάρ τι ῥίζιον,
ὃ διατραγόντ' ἔσεσθον ἐπτερωμένω.
ΠΕ. οὕτω μὲν εἰσίωμεν. ἄγε δή, Ξανθία
καὶ Μανόδωρε, λαμβάνετε τὰ στρώματα.
ΧΟ. οὗτος, σὲ καλῶ σὲ καλῶ. ΕΠ. τί καλεῖς; ΧΟ. τούτους μὲν ἄγων μετὰ σαυτοῦ
ἀρίστισον εὖ· τὴν δ' ἡδυμελῆ ξύμφωνον ἀηδόνα
Μούσαις [μετ' ἐκείνης.
κατάλειφ' ἡμῖν δεῦρ' ἐκβιβάσας, ἵνα παίσωμεν
ΠΕ. ὦ τοῦτο μέντοι νὴ Δί' αὐτοῖσιν πιθοῦ·
ἐκβίβασον ἐκ τοῦ βουτόμου τοὐρνίθιον.
ΕΥ. ἐκβίβασον αὐτοῦ πρὸς θεῶν αὐτήν, ἵνα
καὶ νὼ θεασώμεσθα τὴν ἀηδόνα.
ΕΠ. ἀλλ' εἰ δοκεῖ σφῷν, ταῦτα χρὴ δρᾶν. ἡ Πρόκνη
ἔκβαινε, καὶ σαυτὴν ἐπιδείκνυ τοῖς ξένοις.
ΠΕ. ὦ Ζεῦ πολυτίμηθ', ὡς καλὸν τοὐρνίθιον,
ὡς δ' ἁπαλόν, ὡς δὲ λευκόν. ΕΥ. ἆρά γ' οἶσθ' ὅτι
ἐγὼ διαμηρίζοιμ' ἂν αὐτὴν ἡδέως;
ΠΕ. ὅσον δ' ἔχει τὸν χρυσόν, ὥσπερ παρθένος.
ΕΥ. ἐγὼ μὲν αὐτὴν κἂν φιλῆσαί μοι δοκῶ.
ΠΕ. ἀλλ', ὦ κακόδαιμον, ῥύγχος ὀβελίσκοιν ἔχει.
ΕΥ. ἀλλ' ὥσπερ ᾠὸν νὴ Δί' ἀπολέψαντα χρὴ
ἀπὸ τῆς κεφαλῆς τὸ λέμμα κᾆθ' οὕτω φιλεῖν.
ΕΠ. ἴωμεν. ΠΕ. ἡγοῦ δὴ σὺ νῷν τύχἀγαθῇ.
ΧΟ. ὦ φίλη, ὦ ξουθή,
ὦ φίλτατον ὀρνέων,
πάντων ξύννομε τῶν ἐμῶν
ὕμνων ξύντροφ' ἀηδοῖ,
ἦλθες ἦλθες, ὤφθης,
ἡδὺν φθόγγον ἐμοὶ φέρουσ'.
ἀλλ', ὦ καλλιβόαν κρέκουσ'
αὐλὸν φθέγμασιν ἠρινοῖς,
ἄρχου τῶν ἀναπαίστων.
Ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι, φύλλων γενεᾷ προσόμοιοι, [ἀμενηνά,
ὀλιγοδρανέες, πλάσματα πηλοῦ, σκιοειδέα φῦλ' ἀμενηνά,
ἀπτῆνες ἐφημέριοι, ταλαοὶ βροτοὶ ἀνέρες εἰκελόνειροι, [ἐοῦσι,
πρόσσχετε τὸν νοῦν τοῖς ἀθανάτοις ἡμῖν, τοῖς αἰὲν ἐοῦσι,
τοῖς αἰθερίοις, τοῖσιν ἀγήρῳς, τοῖς ἄφθιτα μηδομένοισιν, [μετεώρων,
ἵν' ἀκούσαντες πάντα παρ' ἡμῶν ὀρθῶς περὶ τῶν μετεώρων,
φύσιν οἰωνῶν γένεσίν τε θεῶν ποταμῶν τ' Ἐρέβους τε Χάους τε [τὸ λοιπόν.
εἰδότες ὀρθῶς παρ' ἐμοῦ Προδίκῳ κλάειν εἴπητε τὸ λοιπόν.
Χάος ἦν καὶ Νὺξ Ἔρεβός τε μέλαν πρῶτον καὶ Τάρταρος εὐρύς·
γῆ δ' οὐδ' ἀὴρ οὐδ' οὐρανὸς ἦν· Ἐρέβους δ' ἐν ἀπείροσι κόλποις [ᾠόν,
τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ᾠόν,
ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός, [κεσι δίναις.
στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις.
οὗτος δὲ Χάει πτερόεντι μιγεὶς νυχίῳ κατὰ Τάρταρον εὐρὺν [ἐς φῶς.
ἐνεόττευσεν γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν ἐς φῶς.
πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως ξυνέμιξεν ἅπαντα· [ὠκεανός τε
ξυμμιγνυμένων δ' ἑτέρων ἑτέροις γένετ' οὐρανὸς ὠκεανός τε
καὶ γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον.
ὧδε μέν ἐσμεν [ἐσμὲν Ἔρωτος
πολὺ πρεσβύτατοι πάντων μακάρων ἡμεῖς. ὡς δ'

611. Duorum anapaestorum defectum repetito κρείττους οὗτοι explevit Reisigius. 612. καὶ addidit Brunckius. πρῶτα ΓΔΒ. πρῶτον ceteri. 619. εἰς] ὡς Meinekius. 624 τι] τὸ Meinekius. 632. δικαίους ἄδολος D.] δικαίους ἀδόλους ὁσίους. Versus 631. 632. sunt dochmiaci dimetri, qui apte sequuntur post antispasticos duo. 634. ἴῃς Brunckius] ἴοις 639. γ' additum ex Plutarchi V. Niciae c. 8. ubi γ' ἔτι in γέ πω corruptum in libris. 641. τοι D. in Annot. Oxon. p. 613.] τε 642. νεοττιάν Lobeckius] νεοττίαν τε Dobraeus] γε 644. Πειθέταιρος D.] Πεισθέταιρος τῳδεδὶ D.] τωδὶ τί R et γρ. V. τῷδε τί V. τῷ δὲ τί ceteri. Epopis personae notam ante τῳδεδί delevit Bergkius. 645. Κριῶθεν] Schol. γρ. καὶ Θριῆθεν. Et sic Θριῆθεν libri deteriores. 658. σαυτοῦ] σοῦ R et Suidas s. v. ἀριστήσασθε.

663. ΕΥ. addidit Beerius. ἐκβίβασον αὐτοῦ πρὸς θεῶν αὐτήν] ἐκβίβασον αὐτὴν δῆτα πρὸς θεῶν Meinekius. 666. τοῖς ξένοις] τοῖν ξένοιν Meinekius. 671. κἂν Seagerus] καὶ 675. τύχἀγαθῇ D.] τύχῃ ἀγαθῇ R. τύχῃ 'γαθῇ alii. ἀγαθῇ τύχῃ deteriores. 688. πρόσχετε (debebat πρόσσχετε) Bentleius] προσέχετε 692. παρ' ἐμοῦ Προδίκῳ R. Προδίκῳ παρ' ἐμοῦ ceteri. 698. πτερόεντι] Mirum hoc Χάους epitheton. 701. γένετ'] ἐγένετ' RVΓ. 703. μακάρων ἡμεῖς. ὡς δ' Dobraeus] μακάρων. ἡμεῖς δ' ὡς

πολλοῖς δῆλον· πετόμεσθά τε γὰρ καὶ τοῖσιν ἐρῶσι
σύνεσμεν· [μασιν ὥρας
πολλοὺς δὲ καλοὺς ἀπομωμοκότας παῖδας πρὸς τέρ-
διὰ τὴν ἰσχὺν τὴν ἡμετέραν διεμήρισαν ἄνδρες ἐρα-
σταί, [δὲ Περσικὸν ὄρνιν.
ὁ μὲν ὄρτυγα δούς, ὁ δὲ πορφυρίων', ὁ δὲ χῆν', ὁ
πάντα δὲ θνητοῖς ἐστὶν ἀφ' ἡμῶν τῶν ὀρνίθων τὰ
μέγιστα. [ὀπώρας·
πρῶτα μὲν ὥρας φαίνομεν ἡμεῖς ἦρος, χειμῶνος,
σπείρειν μέν, ὅταν γέρανος κρώζουσ' ἐς τὴν Λι-
βύην μεταχωρῇ, [καθεύδειν,
καὶ πηδάλιον τότε ναυκλήρῳ φράζει κρεμάσαντι
εἶτα δ' Ὀρέστῃ χλαῖναν ὑφαίνειν, ἵνα μὴ ῥιγῶν
ἀποδύῃ. [φαίνει,
ἰκτῖνος δ' αὖ μετὰ ταῦτα φανεὶς ἑτέραν ὥραν ἀπο-
ἡνίκα πεκτεῖν ὥρα προβάτων πόκον ἠρινόν· εἶτα
χελιδών, [σθαι.
ὅτε χρὴ χλαῖναν πωλεῖν ἤδη καὶ ληδάριόν τι πρία-
ἐσμὲν δ' ὑμῖν Ἄμμων, Δελφοί, Δωδώνη, Φοῖβος
Ἀπόλλων. [τρέπεσθε,
ἐλθόντες γὰρ πρῶτον ἐπ' ὄρνις, οὕτω πρὸς ἅπαντα
πρός τ' ἐμπορίαν καὶ πρὸς βιότου κτῆσιν καὶ πρὸς
γάμον ἀνδρός· [κρίνει·
ὄρνιν τε νομίζετε πάνθ' ὅσαπερ περὶ μαντείας δια-
φήμη γ' ὑμῖν ὄρνις ἐστί, πταρμόν τ' ὄρνιθα κα-
λεῖτε,
ξύμβολον ὄρνιν, φωνὴν ὄρνιν, θεράποντ' ὄρνιν, ὄνον
ὄρνιν. [λων;
ἆρ' οὐ φανερῶς ἡμεῖς ὑμῖν ἐσμὲν μαντεῖος Ἀπόλ-
ἢν οὖν ἡμᾶς νομίσητε θεούς,
ἕξετε χρῆσθαι μάντεσι Μούσαις,
αὔραις, ὥραις, χειμῶνι, θέρει,
μετρίῳ πνίγει· κοὐκ ἀποδράντες
καθεδούμεθ' ἄνω σεμνυνόμενοι
παρὰ ταῖς νεφέλαις ὥσπερ χὠ Ζεύς·
ἀλλὰ παρόντες δώσομεν ὑμῖν
αὐτοῖς, παισίν, παίδων παισίν,
πλουθυγιείαν,
εὐδαιμονίαν, βίον, εἰρήνην,
νεότητα, γέλωτα, χορούς, θαλίας,
γάλα τ' ὀρνίθων.
ὥστε παρέσται κοπιᾶν ὑμῖν
ὑπὸ τῶν ἀγαθῶν·
οὕτω πλουτήσετε πάντες.
Μοῦσα λοχμαία,
τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιοτίξ,
ποικίλη, μεθ' ἧς ἐγὼ
νάπαισι καὶ κορυφαῖς ἐν ὀρείαις,
τιὸ τιὸ τιὸ τιοτίξ,
ἱζόμενος μελίας ἐπὶ φυλλοκόμου,
τιὸ τιὸ τιὸ τιοτίξ,
δι' ἐμῆς γένυος ξουθῆς μελέων
Πανὶ νόμους ἱεροὺς ἀναφαίνω
σεμνά τε μητρὶ χορεύματ' ὀρείᾳ,
τοτοτοτοτοτοτοτοτοτίξ,

737—768. = 769—800.

ἔνθεν ὡσπερεὶ μέλιττα
Φρύνιχος ἀμβροσίων μελέων ἀπεβόσκετο καρπόν,
ἀεὶ φέρων γλυκεῖαν ᾠδάν.
τιὸ τιὸ τιὸ τιοτίξ.
εἰ μετ' ὀρνίθων τις ὑμῶν, ὦ θεαταί, βούλεται
διαπλέκειν ζῶν ἡδέως τὸ λοιπόν, ὡς ἡμᾶς ἴτω.
ὅσα γὰρ ἐστιν ἐνθάδ' αἰσχρὰ τῷ νόμῳ κρατού-
μενα,
ταῦτα πάντ' ἐστὶν παρ' ἡμῖν τοῖσιν ὄρνισιν καλά.
εἰ γὰρ ἐνθάδ' ἐστὶν αἰσχρὸν τὸν πατέρα τύπτειν
νόμῳ,
τοῦτ' ἐκεῖ καλὸν παρ' ἡμῖν ἐστιν, ἤν τις τῷ πατρὶ
προσδραμὼν εἴπῃ πατάξας, αἶρε πλῆκτρον, εἰ μαχεῖ.
εἰ δὲ τυγχάνει τις ὑμῶν δραπέτης ἐστιγμένος,
ἀτταγᾶς οὗτος παρ' ἡμῖν ποικίλος κεκλήσεται.
εἰ δὲ τυγχάνει τις ὢν Φρὺξ μηδὲν ἧττον Σπινθάρου,
φρυγίλος ὄρνις ἐνθάδ' ἔσται, τοῦ Φιλήμονος γένους.
εἰ δὲ δοῦλός ἐστι καὶ Κὰρ ὥσπερ Ἐξηκεστίδης,
φυσάτω πάππους παρ' ἡμῖν, καὶ φανοῦνται φρά-
τερες.
εἰ δ' ὁ Πεισίου προδοῦναι τοῖς ἀτίμοις τὰς πύλας
βούλεται, πέρδιξ γενέσθω, τοῦ πατρὸς νεοττίον·
ὡς παρ' ἡμῖν οὐδὲν αἰσχρόν ἐστιν ἐκπερδικίσαι.
τοιάδε κύκνοι,
τιὸ τιὸ τιὸ τιὸ τιοτίξ,
ξυμμιγῆ βοὴν ὁμοῦ
πτεροῖς κρέκοντες ἴακχον Ἀπόλλω,
τιὸ τιὸ τιὸ τιοτίξ,
ὄχθῳ ἐφεζόμενοι παρ' Ἕβρον ποταμόν,
τιὸ τιὸ τιὸ τιοτίξ,
διὰ δ' αἰθέριον νέφος ἦλθε βοά·
πτῆξε δὲ ποικίλα φῦλά τε θηρῶν,
κύματά τ' ἔσβεσε νήνεμος αἴθρη,
τοτοτοτοτοτοτοτοτοτίξ.
πᾶς δ' ἐπεκτύπησ' Ὄλυμπος·
εἷλε δὲ θάμβος ἄνακτας· Ὀλυμπιάδες δὲ μέλος Χά-
τιὸ τιὸ τιὸ τιοτίξ. [ριτες Μοῦσαί τ' ἐπωλόλυξαν.
οὐδέν ἐστ' ἄμεινον οὐδ' ἥδιον ἢ φῦσαι πτερά.
αὐτίχ' ὑμῶν τῶν θεατῶν εἴ τις ἦν ὑπόπτερος,
εἶτα πεινῶν τοῖς χοροῖσι τῶν τραγῳδῶν ἤχθετο,
ἐκπτόμενος ἂν οὗτος ἠρίστησεν ἐλθὼν οἴκαδε,
κᾆτ' ἂν ἐμπλησθεὶς ἐφ' ἡμᾶς αὖθις αὖ κατέπτετο.
εἴ τε Πατροκλείδης τις ὑμῶν τυγχάνει χεζητιῶν,
οὐκ ἂν ἐξίδισεν ἐς θοἰμάτιον, ἀλλ' ἀνέπτετο,
κἀποπαρδὼν κἀναπνεύσας αὖθις αὖ κατέπτετο·
εἴ τε μοιχεύων τις ὑμῶν ἐστιν ὅστις τυγχάνει,
κᾆθ' ὁρᾷ τὸν ἄνδρα τῆς γυναικὸς ἐν βουλευτικῷ,
οὗτος ἂν πάλιν παρ' ὑμῶν πτερυγίσας ἀνέπτετο,
εἶτα βινήσας ἐκεῖθεν αὖθις αὖ καθέζετο.
ἆρ' ὑπόπτερον γενέσθαι παντός ἐστιν ἄξιον;
ὡς Διιτρέφης γε πυτιναῖα μόνον ἔχων πτερὰ
ᾑρέθη φύλαρχος, εἶθ' ἵππαρχος, εἶτ' ἐξ οὐδενὸς

704. τε addidit Brunckius. 713. 892. 1624. ἰκτῖνος D.] ἴκτινος 718. ἄνδρες Brunckius] ἀνδρός 738. —τίξ D.] —τίγξ hic et infra, nisi quod v. 753. et 773. τίξ ex R est annotatum, ut supra v. 260. —τίξ ex RV et Suida s. v. ἐποποῖ restitutum est pro —τίγξ.

740. καὶ κορυφαῖς Thierschius] κορυφαῖσί (κορυφαῖσιν V) τ'. Verba μεθ' ἧς ἐγὼ νάπαισί τ' ὀρείαις ἱζόμενος attulit Suidas s. v. ὀρείαις. 742. ἱζόμενος] ἑζόμενος Meinekius, ut ἐφεζόμενος est v. 774. 743. Syllabam τίξ hic et v. 775. om. RV.

749. ὡσπερεὶ Reiskius] ὥσπερ ἡ 759. μαχεῖ Reisigius] μάχει vel μάχῃ 763. ἐνθάδ'] οὗτος Dobraeus. 765. φράτερες D.] φράτορες 766. Πεισίου Caravella in Indice] Πισίου 767. νεοττίον D.] νεόττιον 772. πτεροῖς RVΓΑ. πτεροῖσι ceteri. ἴακχον VA. ἴαχον ceteri. 777. ποικίλα φῦλά τε] φῦλά τε ποικίλα Hermannus. 778. αἴθρη] αἰθὴρ (γρ. καὶ αἴθρη) Γ. αἰθὴρ etiam Vat. 787. τραγῳδῶν] τρυγῳδῶν "quidam" in Excerptis Scaligeri. 788. ἐκπτόμενος Brunckius] ἐκπετόμενος. Pariter κατέπτετο et ἀνέπτετο restitutum pro κατέπτατο et ἀνέπτατο 791. 792. 795. quo ultimo loco ἀνίπτατο RV. 796. καθέζετο] κατέπτετο Meinekius, 798. 1442. Διιτρέφης] Διειτρέφης Elmsleius: de quo dixi in Thes. vol. 2. p. 1470.

μεγάλα πράττει κἄστὶ νυνὶ ξουθὸς ἱππαλεκτρυών.
ΠΕ. ταυτὶ τοιαυτί· μὰ Δί' ἐγὼ μὲν πρᾶγμά πω
γελοιότερον οὐκ εἶδον οὐδεπώποτε.
ΕΥ. ἐπὶ τῷ γελᾷς; ΠΕ. ἐπὶ τοῖσι σοῖς ὠκυπτέροις.
οἶσθ' ᾧ μάλιστ' ἔοικας ἐπτερωμένος;
εἰς εὐτέλειαν χηνὶ συγγεγραμμένῳ.
ΕΥ. σὺ δὲ κοψίχῳ γε σκάφιον ἀποτετιλμένῳ.
ΠΕ. ταυτὶ μὲν ᾐκάσμεσθα κατὰ τὸν Αἰσχύλον·
τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς.
ΕΠ. ἄγε δὴ τί χρὴ δρᾶν; ΠΕ. πρῶτον ὄνομα τῇ πόλει
θέσθαι τι μέγα καὶ κλεινὸν εἶτα τοῖς θεοῖς
θῦσαι μετὰ τοῦτο. ΕΥ. ταῦτα κἀμοὶ ξυνδοκεῖ.
ΕΠ. φέρ' ἴδω, τί δ' ἡμῖν τοὔνομ' ἔσται τῇ πόλει;
ΠΕ. βούλεσθε τὸ μέγα τοῦτο τοὐκ Λακεδαίμονος,
Σπάρτην ὄνομα καλῶμεν αὐτήν; ΕΠ. Ἡράκλεις·
Σπάρτην γὰρ ἂν θείμην ἐγὼ τἠμῇ πόλει;
οὐδ' ἂν χαμεύνῃ πάνυ γε κειρίαν ἔχων.
ΠΕ. τί δῆτ' ὄνομ' αὐτῇ θησόμεσθ'; ΕΠ. ἐντευθενὶ
ἐκ τῶν νεφελῶν καὶ τῶν μετεώρων χωρίων
χαῦνόν τι πάνυ. ΠΕ. βούλει Νεφελοκοκκυγίαν;
ΕΠ. ἰοῦ ἰοῦ.
καλὸν σύ γ' ἀτεχνῶς καὶ μέγ' ηὗρες τοὔνομα.
ΕΥ. ἆρ' ἐστὶν αὑτηγὶ Νεφελοκοκκυγία,
ἵνα καὶ τὰ Θεογένους τὰ πολλὰ χρήματα
τά τ' Αἰσχίνου τάλαντα; ΠΕ. καὶ λῷστον μὲν οὖν
τὸ Φλέγρας πεδίον, ἵν' οἱ θεοὶ τοὺς Γηγενεῖς
ἀλαζονευόμενοι καθυπερηκόντισαν.
ΕΠ. λιπαρὸν τὸ χρῆμα τῆς πόλεως. τίς δαὶ θεὸς
πολιοῦχος ἔσται; τῷ ξανοῦμεν τὸν πέπλον;
ΠΕ. τί δ' οὐκ Ἀθηναίαν ἐῶμεν πολιάδα;
ΕΠ. καὶ πῶς ἂν ἔτι γένοιτ' ἂν εὔτακτος πόλις,
ὅπου θεός, γυνὴ γεγονυῖα, πανοπλίαν
ἕστηκ' ἔχουσα. Κλεισθένης δὲ κερκίδα;
ΠΕ. τίς δαὶ καθέξει τῆς πόλεως τὸ Πελαργικόν;
ΕΠ. ὄρνις ἀφ' ἡμῶν τοῦ γένους τοῦ Περσικοῦ,
ὅσπερ λέγεται δεινότατος εἶναι πανταχοῦ
Ἄρεως νεοττός. ΕΥ. ὦ νεοττὲ δέσποτα.
ὡς δ' ὁ θεὸς ἐπιτήδειος οἰκεῖν ἐπὶ πετρῶν.
ΠΕ. ἄγε νυν, σὺ μὲν βάδιζε πρὸς τὸν ἀέρα,
καὶ τοῖσι τειχίζουσι παραδιακόνει,
χάλικας παραφόρει, πηλὸν ἀποδὺς ὄργασον,
λεκάνην ἀνένεγκε, κατάπεσ' ἀπὸ τῆς κλίμακος,
φύλακας κατάστησαι, τὸ πῦρ ἔγκρυπτ' ἀεί,
κωδωνοφορῶν περίτρεχε, καὶ κάθευδ' ἐκεῖ·
κήρυκα δὲ πέμψον τὸν μὲν ἐς θεοὺς ἄνω,
ἕτερον δ' ἄνωθεν αὖ παρ' ἀνθρώπους κάτω,
κἀκεῖθεν αὖθις παρ' ἐμέ. ΕΥ. σὺ δέ γ' αὐτοῦ μένων
οἴμωζε παρ' ἔμ'. ΠΕ. ἴθ', ὠγάθ', οἷ πέμπω σ' ἐγώ.
οὐδὲν γὰρ ἄνευ σοῦ τῶνδ' ἃ λέγω πεπράξεται.
ἐγὼ δ' ἵνα θύσω τοῖσι καινοῖσιν θεοῖς,
τὸν ἱερέα πέμψοντα τὴν πομπὴν καλῶ.
παῖ παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.
ΧΟ. ὁμορροθῶ, ξυνθέλω,
ξυμπαραινέσας ἔχω
προσόδια μεγάλα
σεμνὰ προσιέναι θεοῖσιν,
ἅμα δὲ προσέτι χάριτος ἕνεκα
προβάτιόν τι θύειν.
ἴτω ἴτω δὲ Πυθιὰς βοὰ θεῷ,
ξυναυλείτω δὲ Χαῖρις ᾠδᾷ.
ΠΕ. παῦσαι σὺ φυσῶν. Ἡράκλεις, τουτὶ τί ἦν;
τουτὶ μὰ Δί' ἐγὼ πολλὰ δὴ καὶ δείν' ἰδὼν
οὔπω κόρακ' εἶδον ἐμπεφορβειωμένον.
ἱερεῦ, σὸν ἔργον, θῦε τοῖς καινοῖς θεοῖς.

ΙΕΡΕΥΣ.

δράσω τάδ'. ἀλλὰ ποῦ 'στιν ὁ τὸ κανοῦν ἔχων;
εὔχεσθε τῇ Ἑστίᾳ τῇ ὀρνιθείῳ καὶ τῷ ἰκτίνῳ τῷ ἑστιούχῳ καὶ ὄρνισιν Ὀλυμπίοις καὶ Ὀλυμπίῃσι πᾶσι καὶ πάσῃσιν.
ΠΕ. ὦ Σουνιέρακε, χαῖρ' ἄναξ Πελαργικέ.
ΙΕ. καὶ κύκνῳ Πυθίῳ καὶ Δηλίῳ καὶ Λητοῖ Ὀρτυγομήτρᾳ καὶ Ἀρτέμιδι Ἀκαλανθίδι,
ΠΕ. οὐκέτι Κολαινίς, ἀλλ' Ἀκαλανθὶς Ἄρτεμις.
ΙΕ. καὶ φρυγίλῳ Σαβαζίῳ, καὶ στρούθῳ μεγάλῃ μητρὶ θεῶν καὶ ἀνθρώπων,
ΠΕ. δέσποινα Κυβέλη, στροῦθε, μῆτερ Κλεοκρίτου.
ΙΕ. διδόναι Νεφελοκοκκυγιεῦσιν ὑγίειαν καὶ σωτηρίαν, αὐτοῖσι καὶ Χίοισι,
ΠΕ. Χίοισιν ἥσθην πανταχοῦ προσκειμένοις.
ΙΕ. καὶ ἥρωσιν ὄρνισι καὶ ἡρώων παισί, πορφυρίωνι καὶ πελεκᾶντι καὶ πελεκίνῳ καὶ φλέξιδι καὶ τέτρακι καὶ ταῶνι καὶ ἐλεᾷ καὶ βασκᾷ καὶ ἐλασᾷ καὶ ἐρῳδιῷ καὶ καταρράκτῃ καὶ μελαγκορύφῳ καὶ αἰγιθάλλῳ καὶ ἠρισάλπιγγι,
ΠΕ. παῦ' ἐς κόρακας· παῦσαι καλῶν. ἰοὺ ἰού,
ἐπὶ ποῖον, ὦ κακόδαιμον, ἱερεῖον καλεῖς
ἁλιαέτους καὶ γῦπας; οὐχ ὁρᾷς ὅτι

---

806. ἀποτετιλμένῳ] παρατετιλμένῳ R. 809—835. Quae in hoc colloquio Epopi tribuuntur in libris choro (i. e. coryphaeo) tribuit Beerius p.37. Nam Epopem post v. 675. abiisse putat. 812. τοὔνομ' Bentleius] ὄνομ' RV aliique. οὔνομ' unus et Ald. 816. πάνυ γε] πάνυ τι Meinekius. κειρίαν γ' RV et Suidas s. v. κειρίαν et χαμεύνη. γ' om. ceteri. 819. ἰοῦ ἰοῦ Kockius] ἰοὺ ἰού 820. σύ addidit Brunckius.
821. αὑτηγὶ Elmsleius] αὕτη γ' ἡ 822. Θεογένους D.] Θεαγένους 823. τάλαντα Hauptius in Dissert. Berolin. a. 1865. p. 11.] γ' ἅπαντα καὶ λῷστον μὲν οὖν] Verba vel defecta vel interpolata. οὖν ex RVΓ restitutum pro ἢ, quod est in deterioribus, sumtum ex annotatione scholiastae, ἔξωθεν ὑπακουστέον τὸν ἢ διασαφητικὸν σύνδεσμον. βέλτιον (quasi λῷον legerit) φησὶ πιστεύειν τὰ χρήματα τούτων ἐν Νεφελοκοκκυγίᾳ ἀποκεῖσθαι ἢ εἰς τὸ Φλέγρας πεδίον. Sententia μᾶλλον μὲν οὖν postulare videtur. 825. ἀλαζονευόμενοι] ἀλαζονευομένους Suidas s. v. Φλεγραίας.
835. Ἄρεως] ἄρεος Paris. A. 841. φύλακας] Vel φυλακάς. 843. κήρυκα] κήρυκε Marklandus. ἐς] ὡς Meinekius.

856. προβάτιον Bentleius] πρόβατον 857. ἴτω bis Ald., ter codices. θεῷ Bentleius] τῷ θεῷ 858. συναυλείτω (ὑπαυλείτω Meinekius) — ᾠδᾷ Hermannus] συνᾳδέτω — ᾠδάν 861. ἐμπεφορβειωμένον Brunckius] ἐμπεφορβιωμένον 862. Epopi tribuitur in libris. Correxit D. 866. καὶ ὄρνισιν — καὶ πάσῃσιν] Haec verba aptius ante διδόναι v. 878. collocari monet Kockius et post ἑστιούχῳ excidisse coniicit καὶ Ποσειδῶνι τῷ Σουνιέρακι, quod manifestum fit ex versu proximo Pithetaeri. 869. ΠΕ. addidit Beckius. 875. 877. στρούθῳ — στροῦθε D.] στρουθῷ — στρουθὲ
877. ΠΕ. addidit D. 881. ὄρνισι Hermannus] καὶ ὄρνισι 885. βασκᾷ D.] βάσκᾳ 886. ἐρῳδιῷ D.] ἐρωδιῷ, sine iota subscripto, contra Herodiani praeceptum, de quo dixit L. Dindorfius in Thesauro vol. 3. p. 2076. ἐδωλιῷ (ἐδώλιος: εἶδος ὀρνέου apud Hesychium) legisse scholiastam ex verbis eius colligi potest, ἡ βάσκα καὶ καταρράκται εἰσὶ παρὰ Καλλιμάχῳ ἀναγεγραμμέναι, καὶ ἀντὶ ἐδωλίου εἰδώλιος (ἀντὶ ἐρωδιοῦ εἰδώλιος Bentleius). ὁ (οὔτε recte Meinekius) δὲ αἰγίθαλλος οὔτ' ἐρισάλπιγξ. Ex verbis postremis apparet post αἰγιθάλλῳ addendum esse quod in libris excidit καὶ ἠρισάλπιγγι: nam sic potius quam ἐρισάλπιγγι scribeudum cum Meinekio, collata Hesychii glossa ἠρισάλπιγξ. 887. καταρράκτῃ Δ. καταράκτῃ RV aliique: de quo dixi in Thesauro vol. 4. p. 1204.

ἰκτῖνος εἴς ἂν τοῦτό γ' οἴχοιθ' ἁρπάσας;
ἄπελθ' ἀφ' ἡμῶν καὶ σὺ καὶ τὰ στέμματα·
ἐγὼ γὰρ αὐτὸς τουτογὶ θύσω μόνος.
ΧΟ. εἶτ' αὖθις αὖ τἄρα σοι
δεῖ με δεύτερον μέλος
χέρνιβι θεοσεβὲς
ὅσιον ἐπιβοᾶν, καλεῖν δὲ
μάκαρας, ἕνα τινὰ μόνον, εἴπερ
ἱκανὸν ἕξετ' ὄψον.
τὰ γὰρ παρόντα θύματ' οὐδὲν ἄλλο πλὴν
γένειόν τ' ἐστὶ καὶ κέρατα.
ΠΕ. θύοντες εὐξώμεσθα τοῖς πτερίνοις θεοῖς.

ΠΟΙΗΤΗΣ.

Νεφελοκοκκυγίαν τὰν εὐδαίμονα
κλῆσον, ὦ Μοῦσα, τεαῖς ἐν ὕμνων ἀοιδαῖς.
ΠΕ. τουτὶ τὸ πρᾶγμα ποδαπόν; εἰπέ μοι, τίς εἶ;
ΠΟ. ἐγὼ μελιγλώσσων ἐπέων ἱεὶς ἀοιδὰν
Μουσάων θεράπων ὀτρηρός,
κατὰ τὸν Ὅμηρον.
ΠΕ. ἔπειτα δῆτα δοῦλος ὢν κόμην ἔχεις;
ΠΟ. οὔκ, ἀλλὰ πάντες ἐσμὲν οἱ διδάσκαλοι
Μουσάων θεράποντες ὀτρηροί,
κατὰ τὸν Ὅμηρον.
ΠΕ. οὐκ ἐτὸς ὀτρηρὸν καὶ τὸ ληδάριον ἔχεις.
ἀτάρ, ὦ ποιητά, κατὰ τί δεῦρ' ἀνεφθάρης;
ΠΟ. μέλη πεποίηκ' ἐς τὰς Νεφελοκοκκυγίας
τὰς ὑμετέρας κύκλιά τε πολλὰ καὶ καλά,
καὶ παρθένεια, καὶ κατὰ τὰ Σιμωνίδου.
ΠΕ. ταυτὶ σὺ πότ' ἐποίησας ἀπὸ ποίου χρόνου;
ΠΟ. πάλαι πάλαι δὴ τήνδ' ἐγὼ κλῄζω πόλιν.
ΠΕ. οὐκ ἄρτι θύω τὴν δεκάτην ταύτης ἐγώ,
καὶ τοὔνομ' ὥσπερ παιδίῳ νῦν δὴ 'θέμην;
ΠΟ. ἀλλά τις ὠκεῖα Μουσάων φάτις
οἷάπερ ἵππων ἀμαρυγά.
σὺ δὲ πάτερ, κτίστορ Αἴτνας,
ζαθέων ἱερῶν ὁμώνυμε,
δὸς ἐμὶν ὅ τι περ
τεᾷ κεφαλᾷ θέλῃς
πρόφρων δόμεν ἐμὶν τεΐν.
ΠΕ. τουτὶ παρέξει τὸ κακὸν ἡμῖν πράγματα,
εἰ μή τι τούτῳ δόντες ἀποφευξούμεθα.
οὗτος, σὺ μέντοι σπολάδα καὶ χιτῶν' ἔχεις,
ἀπόδυθι καὶ δὸς τῷ ποιητῇ τῷ σοφῷ.
ἔχε τὴν σπολάδα· πάντως δέ μοι ῥιγῶν δοκεῖς.
ΠΟ. τόδε μὲν οὐκ ἀέκουσα φίλα
Μοῦσα τὸ δῶρον δέχεται·
τὺ δὲ τεᾷ φρενὶ μάθε
Πινδάρειον ἔπος·
ΠΕ. ἄνθρωπος ἡμῶν οὐκ ἀπαλλαχθήσεται.
ΠΟ. νομάδεσσι γὰρ ἐν Σκύθαις
ἀλᾶται Στράτων,
ὃς ὑφαντοδόνατον ἔσθος οὐ πέπαται·
ἀκλεὴς δ' ἔβα σπολὰς ἄνευ χιτῶνος.
ξύνες ὅ τοι λέγω.
ΠΕ. ξυνίημ' ὅτι βούλει τὸν χιτωνίσκον λαβεῖν.
ἀπόδυθι· δεῖ γὰρ τὸν ποιητὴν ὠφελεῖν.
ἄπελθε τουτονὶ λαβών. ΠΟ. ἀπέρχομαι,
κἀς τὴν πόλιν γ' ἐλθὼν ποιήσω τοιαδί·
κλῆσον, ὦ χρυσόθρονε, τὰν τρομεράν, κρυεράν·
νιφόβολα πεδία πολύπορά τ' ἤλυθον· ἀλαλαί.
ΠΕ. νὴ τὸν Δί', ἀλλ' ἤδη πέφευγας ταυταγὶ
τὰ κρυερὰ τονδὶ τὸν χιτωνίσκον λαβών.
τουτὶ μὰ Δί' ἐγὼ τὸ κακὸν οὐδέποτ' ἤλπισα,
οὕτω ταχέως τοῦτον πεπύσθαι τὴν πόλιν.
αὖθις σὺ περιχώρει λαβὼν τὴν χέρνιβα.
εὐφημία 'στω.

ΧΡΗΣΜΟΛΟΓΟΣ.

μὴ κατάρξῃ τοῦ τράγου.
ΠΕ. σὺ δ' εἶ τίς; ΧΡ. ὅστις; χρησμολόγος. ΠΕ. οἴμωζέ νυν.
ΧΡ. ὦ δαιμόνιε, τὰ θεῖα μὴ φαύλως φέρε·
ὡς ἔστι Βάκιδος χρησμὸς ἄντικρυς λέγων
ἐς τὰς Νεφελοκοκκυγίας. ΠΕ. κἄπειτα πῶς
ταῦτ' οὐκ ἐχρησμολόγεις σὺ πρὶν ἐμὲ τὴν πόλιν
τήνδ' οἰκίσαι; ΧΡ. τὸ θεῖον ἐνεπόδιζέ με.
ΠΕ. ἀλλ' οὐδὲν οἷόν ἐστ' ἀκοῦσαι τῶν ἐπῶν.
ΧΡ. Ἀλλ' ὅταν οἰκήσωσι λύκοι πολιαί τε κορῶναι
ἐν ταὐτῷ τὸ μεταξὺ Κορίνθου καὶ Σικυῶνος,
ΠΕ. τί οὖν προσήκει δῆτ' ἐμοὶ Κορινθίων;
ΧΡ. ᾐνίξαθ' ὁ Βάκις τοῦτο πρὸς τὸν ἀέρα.
πρῶτον Πανδώρᾳ θῦσαι λευκότριχα κριόν·
ὃς δέ κ' ἐμῶν ἐπέων ἔλθῃ πρώτιστα προφήτης,
τῷ δόμεν ἱμάτιον καθαρὸν καὶ καινὰ πέδιλα,
ΠΕ. ἔνεστι καὶ τὰ πέδιλα; ΧΡ. λαβὲ τὸ βιβλίον.
καὶ φιάλην δοῦναι, καὶ σπλάγχνων χεῖρ' ἐνιπλῆσαι.
ΠΕ. καὶ σπλάγχνα διδόν' ἔνεστι; ΧΡ. λαβὲ τὸ βιβλίον.
κἢν μέν, θέσπιε κοῦρε, ποιῇς ταῦθ' ὡς ἐπιτέλλω,
αἰετὸς ἐν νεφέλῃσι γενήσεαι· αἱ δέ κε μὴ δῷς,
οὐκ ἔσει οὐ τρυγὼν, οὐ λάϊος, οὐ δρυκολάπτης.
ΠΕ. καὶ ταῦτ' ἔνεστ' ἐνταῦθα; ΧΡ. λαβὲ τὸ βιβλίον.
ΠΕ. οὐδὲν ἄρ' ὅμοιός ἐσθ' ὁ χρησμὸς τουτῳί,
ὃν ἐγὼ παρὰ τἀπόλλωνος ἐξεγραψάμην·
Αὐτὰρ ἐπὴν ἄκλητος ἰὼν ἄνθρωπος ἀλαζὼν
λυπῇ θύοντας καὶ σπλαγχνεύειν ἐπιθυμῇ,
δὴ τότε χρὴ τύπτειν αὐτὸν πλευρῶν τὸ μεταξύ,
ΧΡ. οὐδὲν λέγειν οἶμαί σε. ΠΕ. λαβὲ τὸ βιβλίον.
καὶ φείδου μηδὲν μηδ' αἰετοῦ ἐν νεφέλῃσι,
μήτ' ἢν Λάμπων ᾖ μήτ' ἢν ὁ μέγας Διοπείθης.
ΧΡ. καὶ ταῦτ' ἔνεστ' ἐνταῦθα; ΠΕ. λαβὲ τὸ βιβλίον.
οὐκ εἶ θύραζ' ἐς κόρακας; ΧΡ. οἴμοι δείλαιος.
ΠΕ. οὔκουν ἑτέρωσε χρησμολογήσεις ἐκτρέχων;

ΜΕΤΩΝ.

ἥκω παρ' ὑμᾶς ΠΕ. ἕτερον αὖ τουτὶ κακόν.
τί δαὶ σὺ δράσων; τίς δ' ἰδέα βουλεύματος;
τίς ἡ 'πίνοια, τίς ὁ κόθορνος, τῆς ὁδοῦ;
ΜΕ. γεωμετρῆσαι βούλομαι τὸν ἀέρα

---

895. ΧΟ. Dobraeus] ΙΕ. αὖ τἄρα Elmsleius] αὖτ' ἄρα 905. κλῆσον] κλεῖσον R. τεαῖς] νέαις Tyrwhittus. 919. παρθένεια D.] παρθενεῖα 920. ποίου] πόσου Bentleius. 929. κεφαλᾷ Brunckius] κεφαλῇ 930. τεΐν] τεῶν Kockius. 932. τούτῳ] γ' αὐτῷ Hamakerus. 933. οὗτος] Servum compellat hic et v. 958., quem adesse ex v. 850. apparet. 937. τὸ Meinekius] τόδε, quod om. A. 943. ὑφαντοδόνατον V. ἀμφιδόνητον R. ὑφαντοδόνητον alii et Suidas s. h. v. et νομάδες et σπολάς. ὑφαντοδίνητον Ald. 946. ξυνίημ'] ξυνῆχ' Cobetus.

949. γ' ἐλθὼν] γ' om. Γ. ἀπελθὼν Kockius, ut legitur in scholio. τοιαδί Meinekius] ταδί RVΓ. δὴ ταδί ceteri. 952. Scriptura incerta. πολύπορά τ' V et scholiasta. πολύσπορά τ' R ut videtur. πολύπυρα Δ et Vat. πολύπυρα, superscripto πο Γ. 953. ἤλυθον-ἦλθον V. ἀλαλαί Bentleius] ἀλαλάν, nulla post ἤλυ]θον posita interpunctione. 955. τὸν om. RΓ. 959. ΙΕ. ante εὐφημία lectum delevit Beerius. 975. ἐνιπλῆσαι Cobetus] ἐπιπλῆσαι 974. βιβλίον] βυβλίον hic et infra R. 976. διδόν'] διδόναι R. δοῦν' Meinekius. 977. κἢν Cobetus] κἂν 979. οὐ λάϊος Meinekius (quem v. Vindic. p. 106.)] οὐδ' αἰετὸς 982. παρὰ τἀπόλλωνος] παρ' ἀπόλλωνος R. 991. ἐκτρέχων] ἀποτρέχων Hamakerus. ποι τρέχων D. 993. δαὶ Bentleius] δ' αὖ τίς δ'] δ' om. R. βουλεύματος Bergkius] βουλήματος

ὑμῖν διελεῖν τε κατὰ γύας. ΠΕ. πρὸς τῶν θεῶν,
σὺ δ' εἶ τίς ἀνδρῶν; ΜΕ. ὅστις εἴμ' ἐγώ; Μέτων,
ὃν οἶδεν Ἑλλὰς χὡ Κολωνός. ΠΕ. εἰπέ μοι,
ταυτὶ δέ σοι τί ἔστι; ΜΕ. κανόνες ἀέρος.
αὐτίκα γὰρ ἀὴρ ἔστι τὴν ἰδέαν ὅλος
κατὰ πνιγέα μάλιστα. προσθεὶς οὖν ἐγὼ
τὸν κανόν' ἄνωθεν τουτονὶ τὸν καμπύλον,
ἐνθεὶς διαβήτην—μανθάνεις; ΠΕ. οὐ μανθάνω.
ΜΕ. ὀρθῷ μετρήσω κανόνι προστιθείς, ἵνα
ὁ κύκλος γένηταί σοι τετράγωνος, κἀν μέσῳ
ἀγορά, φέρουσαι δ' ὦσιν εἰς αὐτὴν ὁδοὶ
ὀρθαὶ πρὸς αὐτὸ τὸ μέσον, ὥσπερ δ' ἀστέρος,
αὐτοῦ κυκλοτεροῦς ὄντος, ὀρθαὶ πανταχῇ
ἀκτῖνες ἀπολάμπωσιν. ΠΕ. ἄνθρωπος Θαλῆς.
Μέτων, ΜΕ. τί ἔστιν; ΠΕ. ἴσθ' ὁτιὴ φιλῶ σ'
ἐγώ,
κἀμοὶ πιθόμενος ὑπαποκίνει τῆς ὁδοῦ.
ΜΕ. τί δ' ἐστὶ δεινόν; ΠΕ. ὥσπερ ἐν Λακεδαίμονι
ξενηλατοῦμεν καὶ κεκίνηνταί τινες
πληγαὶ συχναὶ κατ' ἄστυ. ΜΕ. μῶν στασιάζετε;
ΠΕ. μὰ τὸν Δί' οὐ δῆτ'· ΜΕ. ἀλλὰ πῶς; ΠΕ. ὁμοθυμαδὸν
σποδεῖν ἅπαντας τοὺς ἀλαζόνας δοκεῖ.
ΜΕ. ὑπάγοιμ' τἄρ' ἄν. ΠΕ. νὴ Δί', ὡς οὐκ οἶδ' ἂν εἰ
φθαίης ἔτ'· ἐπίκεινται γὰρ ἐγγὺς αὑταί.
ΜΕ. οἴμοι κακοδαίμων. ΠΕ. οὐκ ἔλεγον ἐγὼ πάλαι;
οὐκ ἀναμετρήσεις σαυτὸν ἀπιὼν ἀλλαχῇ;

ΕΠΙΣΚΟΠΟΣ.

ποῦ πρόξενοι; ΠΕ. τίς ὁ Σαρδανάπαλλος οὑτοσί;
ΕΠΙ. ἐπίσκοπος ἥκω δεῦρο τῷ κυάμῳ λαχὼν
ἐς τὰς Νεφελοκοκκυγίας. ΠΕ. ἐπίσκοπος;
ἔπεμψε δὲ τίς σε δεῦρο; ΕΠΙ. φαῦλον βιβλίον
Τελέου τι. ΠΕ. βούλει δῆτα τὸν μισθὸν λαβὼν
μὴ πράγματ' ἔχειν, ἀλλ' ἀπιέναι; ΕΠΙ. νὴ τοὺς
θεούς.
ἐκκλησιάσαι δ' οὖν ἐδεόμην οἴκοι μένων.
ἔστιν γὰρ ἃ δι' ἐμοῦ πέπρακται Φαρνάκῃ.
ΠΕ. ἄπιθι λαβών· ἔστιν δ' ὁ μισθὸς οὑτοσί.
ΕΠΙ. τουτὶ τί ἦν; ΠΕ. ἐκκλησία περὶ Φαρνάκου.
ΕΠΙ. μαρτύρομαι τυπτόμενος ὢν ἐπίσκοπος.
ΠΕ. οὐκ ἀποσοβήσεις; οὐκ ἀποίσεις τὼ κάδω;
οὐ δεινά; καὶ πέμπουσιν ἤδη 'πισκόπους
ἐς τὴν πόλιν, πρὶν καὶ τεθύσθαι τοῖς θεοῖς.

ΨΗΦΙΣΜΑΤΟΠΩΛΗΣ.

Ἐὰν δ' ὁ Νεφελοκοκκυγιεὺς τὸν Ἀθηναῖον ἀδικῇ
ΠΕ. τουτὶ τί ἔστιν αὖ κακὸν τὸ βιβλίον;
ΨΗ. ψηφισματοπώλης εἰμί, καὶ νόμους νέους
ἥκω παρ' ὑμᾶς δεῦρο πωλήσων. ΠΕ. τὸ τί;
ΨΗ. Χρῆσθαι Νεφελοκοκκυγιᾶς τοῖς αὐτοῖς μέτροισι
καὶ σταθμοῖσι [καὶ ψηφίσμασι] καθάπερ Ὀλοφύξιοι
ΠΕ. σὺ δὲ γ' οἷσπερ ὠτοτύξιοι χρήσει τάχα.
ΨΗ. οὗτος, τί πάσχεις; ΠΕ. οὐκ ἀποίσεις τοὺς νόμους;
πικροὺς ἐγώ σοι τήμερον δείξω νόμους.
ΕΠΙ. καλοῦμαι Πειθέταιρον ὕβρεως ἐς τὸν μουνυχιῶνα μῆνα.
ΠΕ. ἄληθες, οὗτος; ἔτι γὰρ ἐνταῦθ' ἦσθα σύ;
ΨΗ. Ἐὰν δέ τις ἐξελαύνῃ τοὺς ἄρχοντας, καὶ μὴ δέχηται κατὰ τὴν στήλην,
ΠΕ. οἴμοι κακοδαίμων, καὶ σὺ γὰρ ἐνταῦθ' ἦσθ' ἔτι;
ΕΠΙ. ἀπολῶ σε καὶ γράψω σε μυρίας δραχμάς.
ΠΕ. ἐγὼ δὲ σοῦ γε τὼ κάδω διασκεδῶ.
ΨΗ. μέμνησ' ὅτε τῆς στήλης κατετίλας ἑσπέρας;
ΠΕ. αἰβοῖ· λαβέτω τις αὐτόν. οὗτος, οὐ μενεῖς;
ἀπίωμεν ἡμεῖς ὡς τάχιστ' ἐντευθενὶ
θύσοντες εἴσω τοῖς θεοῖσι τὸν τράγον.
ΧΟ. ἤδη 'μοὶ τῷ παντόπτᾳ
καὶ παντάρχᾳ θνητοὶ πάντες
θύσουσ' εὐκταίαις εὐχαῖς.
πᾶσαν μὲν γὰρ γᾶν ὀπτεύω,
σώζω δ' εὐθαλεῖς καρπούς,
κτείνων παμφύλων γένναν
θηρῶν, ἃ πάντ' ἐν γαίᾳ
ἐκ κάλυκος αὐξανόμενον γένυσι παμφάγοις
δένδρεσί τ' ἐφημένα καρπὸν ἀποβόσκεται·
κτείνω δ' οἳ κήπους εὐώδεις
φθείρουσιν λύμαις ἐχθίσταις,
ἑρπετά τε καὶ δάκετα πάνθ' ὅσαπερ
ἔστιν ὑπ' ἐμᾶς πτέρυγος ἐκ φοναῖς ὄλλυται.
τῇδε μέντοι θἠμέρᾳ μάλιστ' ἐπαναγορεύεται,
ἢν ἀποκτείνῃ τις ὑμῶν Διαγόραν τὸν Μήλιον,
λαμβάνειν τάλαντον, ἤν τε τῶν τυράννων τίς
τινα [νειν.
τῶν τεθνηκότων ἀποκτείνῃ, τάλαντον λαμβάβουλόμεσθ' οὖν νῦν ἀνειπεῖν ταῦτα χἠμεῖς ἐνθάδε·
ἢν ἀποκτείνῃ τις ὑμῶν Φιλοκράτη τὸν Στρούθιον,
λήψεται τάλαντον· ἢν δὲ ζῶν τις ἀγάγῃ, τέτταρα,
ὅτι συνείρων τοὺς σπίνους πωλεῖ καθ' ἑπτὰ τοὐβολοῦ,
εἶτα φυσῶν τὰς κίχλας δείκνυσι καὶ λυμαίνεται,
τοῖς τε κοψίχοισιν ἐς τὰς ῥῖνας ἐγχεῖ τὰ πτερά,
τὰς περιστεράς θ' ὁμοίως ξυλλαβὼν εἵρξας ἔχει,
κἀπαναγκάζει παλεύειν δεδεμένας ἐν δικτύῳ.
ταῦτα βουλόμεσθ' ἀνειπεῖν· κεἴ τις ὄρνιθας τρέφει
εἰργμένους ὑμῶν ἐν αὐλῇ, φράζομεν μεθιέναι.
ἢν δὲ μὴ πίθησθε, συλληφθέντες ὑπὸ τῶν ὀρνέων
αὖθις ὑμεῖς αὖ παρ' ἡμῖν δεδεμένοι παλεύσετε.
εὔδαιμον φῦλον πτηνῶν

1058—1087. = 1088—1117.

---

996. κατὰ γύας Dawesius] κατ' ἀγυιάς 1007. ἀστέρος Vat. ἀστέρες ceteri. 1009. ἄνθρωπος] ἄνθρωπος Dobraeus. 1010. ἴσθ' Meinekius] οἶσθ' 1011. πιθόμενος Bentleius] πειθόμενος 1012. ξενηλατοῦμεν D.] ξενηλατοῦνται 1017. τἄρ' ἄν Elmsleius] γὰρ ἄν RV. γὰρ ἄν γε ceteri. νὴ Δί' Metoni tribuunt libri. Correxit Elmsleius. οἶδ' ἂν Flor. Δ. οἶδ' ἄρ' ceteri. 1018. ἔτ' D.] ἄν 1020. σαυτὸν] ἑαυτὸν R. 1025. Τελέου τι. ΠΕ. D.] Τελέου. ΠΕ. τί; 1027 δ' οὖν] γοῦν Dobraeus. 1036. κακὸν τὸ] κακόν; τί τὸ Cobetus. 1040. Νεφελοκοκκυγιᾶς D.] Νεφελοκοκκυγίας editiones ante Kusterum et fortasse codices. Νεφελοκκυγιέας Kusterus. τοῖς αὐτοῖς Hamakerus] τοῖσδε (καὶ τοῖσδε BCΔ) τοῖς 1041. καὶ ψηφίσμασι aut delendum, ut voluit Meinekius, aut καὶ νομίσμασι scribendum cum Bergkio.

1043. οἷσπερ D.] οἱσίπερ ὠτοτύξιοι D.] ὠτοτύξιοι RVΔ. ὀτοτύξιοι ceteri. 1046. Πειθέταιρον D.] Πεισθέταιρον 1047. μῆνα om. Δ. 1051. γράψω Mehlerus Mnemos. vol. 2. p. 105.] γράφω 1054. ΨΗ. Kockius] ΕΠΙ. 1056. 1057. Hos versus Sacerdoti tribuunt libri. Correxit Beerius. 1060. εὐχαῖς Bentleius] εὐχαῖσι 1064. ἃ Brunckius] οἳ 1065. αὐξανόμενον cod. Vat. αὐξανόμενα ceteri, superscripto in B ον. παμφάγοις Dobraeus] πολυφάγοις 1066. τ'] δ' RV. ἐφημένα Dobraeus] ἐφεζόμενα 1069. δάκετα πάνθ' ὅσαπερ Dissenus] δάκεθ' ὅσα περ (δάκεθ' ὁπόσαπερ ἂν deteriores) 1070. πτέρυγος] φάρυγος Meinekius. Nullus hic alis locus, sive ὑπ' retineatur, sive cum Kockio in ἐπ' mutetur. ἐκ φοναῖς ὄλλυται Reisigius] φοναῖσιν ἐξόλλυται (ἐν φοναῖς ὄλλυται Ald.) 1078. ζῶν τις L. Dindorfius Praefat. ad Xenoph. Cyrop. p. XIII.] ζῶντ'. Accusativum ζῶν memorat Phrynich. in Bekk. Anecd. p. 22, 17. 1080. καὶ] πᾶσι καὶ RV et Suidas s. v. Φιλοκράτης. 1086. πίθησθε D.] πείθησθε

οἰωνῶν, οἳ χειμῶνος μὲν
χλαίνας οὐκ ἀμπίσχονται·
οὐδ' αὖ θερμὴ πνίγους ἡμᾶς
ἀκτὶς τηλαυγὴς θάλπει,
ἀλλ' ἀνθηρῶν λειμώνων
φύλλων τ' ἐν κόλποις ναίω,
ἡνίκ' ἂν ὁ θεσπέσιος ὀξὺ μέλος ἀχέτας
θάλπεσι μεσημβρινοῖς ἡλιομανὴς βοᾷ.
χειμάζω δ' ἐν κοίλοις ἄντροις,
Νύμφαις οὐρείαις ξυμπαίζων·
ἠρινά τε βοσκόμεθα παρθένια
λευκότροφα μύρτα, Χαρίτων τε κηπεύματα.
τοῖς κριταῖς εἰπεῖν τι βουλόμεσθα τῆς νίκης πέρι,
ὅσ' ἀγάθ', ἢν κρίνωσιν ἡμᾶς, πᾶσιν αὐτοῖς δώσομεν, [λαβεῖν.
ὥστε κρείττω δῶρα πολλῷ τῶν Ἀλεξάνδρου
πρῶτα μὲν γάρ, οὗ μάλιστα πᾶς κριτὴς ἐφίεται,
γλαῦκες ὑμᾶς οὔποτ' ἐπιλείψουσι Λαυρεωτικαί,
ἀλλ' ἐνοικήσουσιν ἔνδον, ἔν τε τοῖς βαλλαντίοις
ἐννεοττεύσουσι κἀκλέψουσι μικρὰ κέρματα.
εἶτα πρὸς τούτοισιν ὥσπερ ἐν ἱεροῖς οἰκήσετε.
τὰς γὰρ ὑμῶν οἰκίας ἐρέψομεν πρὸς ἀετόν·
κἂν λαχόντες ἀρχίδιον εἶθ' ἁρπάσαι βούλησθέ τι,
ὀξὺν ἱερακίσκον ἐς τὰς χεῖρας ὑμῖν δώσομεν.
ἢν δέ που δειπνῆτε, πρηγορῶνας ὑμῖν πέμψομεν.
ἢν δὲ μὴ κρίνητε, χαλκεύεσθε μηνίσκους φορεῖν
ὥσπερ ἀνδριάντες· ὡς ὑμῶν ὃς ἂν μὴ μῆν' ἔχῃ,
ὅταν ἔχητε χλανίδα λευκήν, τότε μάλισθ' οὕτω δίκην
δώσεθ' ἡμῖν, πᾶσι τοῖς ὄρνισι κατατιλώμενοι.

ΠΕ. τὰ μὲν ἱέρ' ἡμῖν ἐστιν, ὤρνιθες, καλά·
ἀλλ' ὡς ἀπὸ τοῦ τείχους πάρεστιν ἄγγελος
οὐδεὶς ὅτου πευσόμεθα τἀκεῖ πράγματα.
ἀλλ' οὑτοσὶ τρέχει τις Ἀλφειὸν πνέων.

ΑΓΓΕΛΟΣ Α.

ποῦ ποῦ 'στι, ποῦ ποῦ ποῦ 'στι, ποῦ ποῦ ποῦ 'στι, ποῦ
ποῦ Πειθέταιρός ἐστιν ἄρχων; ΠΕ. οὑτοσί.
ΑΓ. Α. ἐξῳκοδόμηταί σοι τὸ τεῖχος. ΠΕ. εὖ λέγεις.
ΑΓ. Α. κάλλιστον ἔργον καὶ μεγαλοπρεπέστατον·
ὥστ' ἂν ἐπάνω μὲν Προξενίδης ὁ Κομπασεὺς
καὶ Θεογένης ἐναντίω δύ' ἅρματε,
ἵππων ὑπόντων μέγεθος ὅσον ὁ δούριος,
ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην. ΠΕ. Ἡράκλεις.
ΑΓ. Α. τὸ δὲ μῆκός ἐστι, καὶ γὰρ ἐμέτρησ' αὔτ' ἐγώ,
ἑκατοντορόγυιον. ΠΕ. ὦ Πόσειδον, τοῦ μάκρους.
τίνες ᾠκοδόμησαν αὐτὸ τηλικουτονί;
ΑΓ. Α. ὄρνιθες, οὐδεὶς ἄλλος, οὐκ Αἰγύπτιος
πλινθοφόρος, οὐ λιθουργός, οὐ τέκτων παρῆν,
ἀλλ' αὐτόχειρες, ὥστε θαυμάζειν ἐμέ.
ἐκ μέν γε Λιβύης ἧκον ὡς τρισμύριαι
γέρανοι, θεμελίους καταπεπωκυῖαι λίθους.
τούτους δ' ἐτύκιζον αἱ κρέκες τοῖς ῥύγχεσιν.
ἕτεροι δ' ἐπλινθούργουν πελαργοὶ μύριοι·
ὕδωρ δ' ἐφόρουν κάτωθεν ἐς τὸν ἀέρα
οἱ χαραδριοὶ καὶ τἄλλα ποτάμι' ὄρνεα.
ΠΕ. ἐπηλοφόρουν δ' αὐτοῖσι τίνες; ΑΓ. Α. ἐρῳδιοὶ
λεκάναισι. ΠΕ. τὸν δὲ πηλὸν ἐνεβάλλοντο πῶς;
ΑΓ. Α. τοῦτ', ὦγάθ', ἐξηύρητο καὶ σοφώτατα·
οἱ χῆνες ὑποτύπτοντες ὥσπερ ταῖς ἄμαις
ἐς τὰς λεκάνας ἐνέβαλλον αὐτὸν τοῖν ποδοῖν.
ΠΕ. τί δῆτα πόδες ἂν οὐκ ἂν ἐργασαίατο;
ΑΓ. Α. καὶ νὴ Δί' αἱ νῆτταί γε περιεζωσμέναι
ἐπλινθοφόρουν· ἄνω δὲ τὸν ὑπαγωγέα
ἐπέτοντ' ἔχουσαι κατόπιν – ⏑ ⏑́ ⏑ –
⏑ ⏑́ ⏑ –, ⏑ ⏑́ ⏑ ὥσπερ παιδία,
τὸν πηλὸν ἐν τοῖς στόμασιν αἱ χελιδόνες.
ΠΕ. τί δῆτα μισθωτοὺς ἂν ἔτι μισθοῖτό τις;
φέρ' ἴδω, τί δαί; τὰ ξύλινα τοῦ τείχους τίνες
ἀπειργάσαντ'; ΑΓ. Α. ὄρνιθες ἦσαν τέκτονες
σοφώτατοι πελεκᾶντες, οἳ τοῖς ῥύγχεσιν
ἀπεπελέκησαν τὰς πύλας· ἦν δ' ὁ κτύπος
αὐτῶν πελεκώντων ὥσπερ ἐν ναυπηγίῳ.
καὶ νῦν ἅπαντ' ἐκεῖνα πεπύλωται πύλαις,
καὶ βεβαλάνωται καὶ φυλάττεται κύκλῳ,
ἐφοδεύεται, κωδωνοφορεῖται, πανταχῇ
φυλακαὶ καθεστήκασι καὶ φρυκτωρίαι
ἐν τοῖσι πύργοις. ἀλλ' ἐγὼ μὲν ἀποτρέχων
ἀπονίψομαι, σὺ δ' αὐτὸς ἤδη τἄλλα δρᾶ.
ΧΟ. οὗτος, τί ποιεῖς; ἆρα θαυμάζεις ὅτι
οὕτω τὸ τεῖχος ἐκτετείχισται ταχύ;
ΠΕ. νὴ τοὺς θεοὺς ἔγωγε· καὶ γὰρ ἄξιον·
ἴσα γὰρ ἀληθῶς φαίνεταί μοι ψεύδεσιν.
ἀλλ' ὅδε φύλαξ γὰρ τῶν ἐκεῖθεν ἄγγελος
ἐσθεῖ πρὸς ἡμᾶς δεῦρο πυρρίχην βλέπων.

ΑΓΓΕΛΟΣ Β.

ἰοὺ ἰού, ἰοὺ ἰού, ἰοὺ ἰού.
ΠΕ. τί τὸ πρᾶγμα τουτί; ΑΓ. Β. δεινότατα πεπόνθαμεν.
τῶν γὰρ θεῶν τις ἄρτι τῶν παρὰ τοῦ Διὸς
διὰ τῶν πυλῶν εἰσέπτετ' ἐς τὸν ἀέρα,
λαθὼν κολοιοὺς φύλακας ἡμεροσκόπους.
ΠΕ. ὦ δεινὸν ἔργον καὶ σχέτλιον εἰργασμένος.
τίς τῶν θεῶν; ΑΓ. Β. οὐκ ἴσμεν· ὅτι δ' εἶχε πτερά, [ἐχρῆν
τοῦτ' ἴσμεν. ΠΕ. οὔκουν δῆτα περιπόλους
πέμψαι κατ' αὐτὸν εὐθύς; ΑΓ. Β. ἀλλ' ἐπέμψαμεν
τρισμυρίους ἱέρακας ἱπποτοξότας, [μεν
χωρεῖ δὲ πᾶς τις ὄνυχας ἠγκυλωμένος,
κερχνῄς, τριόρχης, γύψ, κύμινδις, ἀετός·
ῥύμῃ τε καὶ πτεροῖσι καὶ ῥοιζήμασιν
αἰθὴρ δονεῖται τοῦ θεοῦ ζητουμένου·
κἄστ' οὐ μακρὰν ἄπωθεν, ἀλλ' ἐνταῦθά που
ἤδη 'στίν. ΠΕ. οὐκοῦν σφενδόνας δεῖ λαμβάνειν

---

1090. ἀμπίσχονται D.] ἀμπισχοῦνται (ἀμπισχνοῦνται Ald.) 1094. φύλλων] ὑλῶν Meinekius. τ' addidit Bentleius. ἐν κόλποις ναίω C. ἐν κόλποις ἐνναίω ceteri. κόλποις ἐνναίω Bergkius. 1095. ὀξὺ μέλος Brunckius] ὀξυμελὴς 1096. ἡλιομανὴς Suidas s. h. v.] ὑφηλιομανὴς R. ὑφ' ἡλίῳ μανεὶς ceteri. 1102. ὅσ' Dawesius] οἷς 1106. Λαυρεωτικαί D.] Λαυριωτικαί. Recta huius adiectivi scriptura est vel Λαυρειωτικός vel, quod praeferendum, Λαυρεωτικός: de quo dixit L. Dindorfius in Thes. vol. 5. p. 135. 1113. πρηγορῶνας Bentleius] πρηγορεῶνας 1115. ἀνδριάντες] ἀνδριάντες Dobraeus. μῆν' Dobraeus] μηνιν R. μήνην ceteri. 1118. ὤρνιθες] ὄρνιθες RΔ. 1119. τοῦ τείχους] τείχους οὐ Elmsleius. 1123. Πειθέταιρος D.] Πεισθέταιρος ἄρχων Bothius] ἀρχων 1127. Θεογένης D.] Θεαγένης 1128. δούριος] δούρειος RΓΔ: quod etiam δούρεος esse potest. 1130. μῆκος] ὕψος Hermannus. 1131. ἑκατοντορόγυιον Hotchkisius] ἑκατοντόργυον R et Suidas s. v. δούρειος et ἐξῳκοδόμηται. ἑκατοντόργυιον vel ἑκατονταόργυιον ceteri. τοῦ μάκρους] Vid. schol. Hom. Il. 23, 419.

1139. ἐπλινθούργουν Bergkius] ἐπλινθοφόρουν 1142. ἐρῳδιοὶ D.] ἐρωδιοὶ 1146. αὐτὸν B. αὐτοῖς ceteri. 1150. Lacunam indicavit Dobraeus. Desideratur subiectum verbi ἐπέτοντο. 1154. ὄρνιθες cum Pithetaeri verbis coniungit Hamakerus. 1178. εἰσέπτετ' Brunckius (ad v. 90.)] ἐσέπτατ' vel εἰσέπτατ' 1181. τριόρχης] τρίορχος (ut v. 1206.) Meinekius. In πυρίορχις corruptum in Crameri Anecd. Oxon. vol. 2. p. 452, 16.

καὶ τόξα· χώρει δεῦρο πᾶς ὑπηρέτης·
τόξευε, παῖε, σφενδόνην τίς μοι δότω.
ΧΟ. πόλεμος αἴρεται, πόλεμος οὐ φατὸς
πρὸς ἐμὲ καὶ θεούς. ἀλλὰ φύλαττε πᾶς
ἀέρα περινέφελον, ὃν Ἔρεβος ἐτέκετο,
μή σε λάθῃ θεῶν τις ταύτῃ περῶν·
ἄθρει δὲ πᾶς τις πανταχῇ κύκλῳ σκοπῶν,
ὡς ἐγγὺς ἤδη δαίμονος πεδαρσίου
δίνης πτερωτὸς φθόγγος ἐξακούεται.
ΠΕ. αὕτη σὺ ποῖ ποῖ ποῖ πέτει; μέν' ἥσυχος,
ἔχ' ἀτρέμας αὐτοῦ· στῆθ'· ἐπίσχες τοῦ δρόμου.
τίς εἶ; ποδαπή; λέγειν ἐχρῆν ὁπόθεν ποτ' εἶ.
ΙΡΙΣ.
παρὰ τῶν θεῶν ἔγωγε τῶν Ὀλυμπίων.
ΠΕ. ὄνομα δέ σοι τί ἐστι, πλοῖον, ἢ κυνῆ;
ΙΡ. Ἶρις ταχεῖα. ΠΕ. Πάραλος, ἢ Σαλαμινία;
ΙΡ. τί δὲ τοῦτο; ΠΕ. ταυτηνί τις οὐ ξυλλήψεται
ἀναπτόμενος τρίορχος; ΙΡ. ἐμὲ συλλήψεται;
τί ποτ' ἐστὶ τουτὶ τὸ κακόν; ΠΕ. οἰμώξει μακρά.
ΙΡ. ἄτοπόν γε τουτὶ πρᾶγμα. ΠΕ. κατὰ ποίας πύλας
εἰσῆλθες ἐς τὸ τεῖχος, ὦ μιαρωτάτη;
ΙΡ. οὐκ οἶδα μὰ Δί' ἔγωγε κατὰ ποίας πύλας.
ΠΕ. ἤκουσας αὐτῆς οἷον εἰρωνεύεται;
πρὸς τοὺς κολοιάρχους προσῆλθες; οὐ λέγεις;
σφραγῖδ' ἔχεις παρὰ τῶν πελαργῶν; ΙΡ. τί τὸ
κακόν; [βολον
ΠΕ. οὐκ ἔλαβες; ΙΡ. ὑγιαίνεις μέν; ΠΕ. οὐδὲ σύμ-
ἐπέβαλεν ὀρνίθαρχος οὐδείς σοι παρών;
ΙΡ. μὰ Δί' οὐκ ἔμοιγ' ἐπέβαλεν οὐδεὶς, ὦ μέλε.
ΠΕ. κἄπειτα δῆθ' οὕτω σιωπῇ διαπέτει
διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τοῦ χάους;
ΙΡ. ποίᾳ γὰρ ἄλλῃ χρὴ πέτεσθαι τοὺς θεούς;
ΠΕ. οὐκ οἶδα μὰ Δί' ἔγωγε· τῇδε μὲν γὰρ οὔ.
ἀδικεῖ δὲ καὶ νῦν. ἆρά γ' οἶσθα τοῦθ', ὅτι
δικαιότατ' ἂν ληφθεῖσα πασῶν Ἰρίδων
ἀπέθανες, εἰ τῆς ἀξίας ἐτύγχανες;
ΙΡ. ἀλλ' ἀθάνατός εἰμ'. ΠΕ. ἀλλ' ὅμως ἂν ἀπέθανες.
δεινότατα γάρ τοι πεισόμεσθ', ἐμοὶ δοκεῖν,
εἰ τῶν μὲν ἄλλων ἄρξομεν, ὑμεῖς δ' οἱ θεοὶ
ἀκολαστανεῖτε, κοὐδέπω γνώσεσθ' ὅτι
ἀκροατέ' ὑμῖν ἐν μέρει τῶν κρειττόνων.
φράσον δέ τοί μοι, τὼ πτέρυγε ποῖ ναυστολεῖς;
ΙΡ. ἐγώ; πρὸς ἀνθρώπους πέτομαι παρὰ τοῦ πατρὸς
φράσουσα θύειν τοῖς Ὀλυμπίοις θεοῖς
μηλοσφαγεῖν τε βουθύτοις ἐπ' ἐσχάραις
κνισᾶν τ' ἀγυιάς. ΠΕ. τί σὺ λέγεις; ποίοις θεοῖς;
ΙΡ. ποίοισιν; ἡμῖν, τοῖς ἐν οὐρανῷ θεοῖς.
ΠΕ. θεοὶ γὰρ ὑμεῖς; ΙΡ. τίς γὰρ ἔστ' ἄλλος θεός;
ΠΕ. ὄρνιθες ἀνθρώποισι νῦν εἰσιν θεοί,
οἷς θυτέον αὐτούς, ἀλλὰ μὰ Δί' οὐ τῷ Διί.
ΙΡ. ὦ μῶρε μῶρε, μὴ θεῶν κίνει φρένας
δεινάς, ὅπως μή σου γένος πανώλεθρον
Διὸς μακέλλῃ πᾶν ἀναστρέψῃ Δίκη,
λιγνὺς δὲ σῶμα καὶ δόμων περιπτυχὰς
καταιθαλώσῃ σου Λικυμνίαις βολαῖς.
1188—1195. = 1262—1268.

---

1187. παῖε] πᾶς RA. πᾶς τις C. Ald. et schol. ad v. 1118. 1196. τις πανταχῇ addidit Reisigius. 1206. ἀναπτόμενος Flor. Δ. ἀναπτάμενος ceteri. συλλήψεται Elmsleius] ξυλλήψεται 1208. τουτὶ πρᾶγμα Elmsleius] τουτὶ (τοῦτο BCΔ) τὸ πρᾶγμα 1212. κολοιάρχους] κολοιάρχους πῶς R. κολοιοὺς πῶς VAΓ et Vat. 1221. ἀδικεῖ (i. e. *iniuria tibi fit*) D.] ἀδικεῖς δὲ] με R. 1225. δοκεῖν Cobetus] δοκεῖ 1226. ἄρξομεν Cobetus] ἄρχομεν 1228. ἀκροατέ' Blaydesius] ἀκροατέον ποίοισιν] Pro ὁποίοισιν dictum. V. ad v. 608. 1242. καταιθαλώσῃ] καταιθαλώσει VΓΔ.

ΠΕ. ἄκουσον αὕτη· παῦε τῶν παφλασμάτων·
ἔχ' ἀτρέμα. φέρ' ἴδω, πότερα Λυδὸν ἢ Φρύγα
ταυτὶ λέγουσα μορμολύττεσθαι δοκεῖς;
ἆρ' οἶσθ' ὅτι Ζεὺς εἴ με λυπήσει πέρα,
μέλαθρα μὲν αὐτοῦ καὶ δόμους Ἀμφίονος
καταιθαλώσω πυρφόροισιν αἰετοῖς,
πέμψω δὲ πορφυρίωνας ἐς τὸν οὐρανὸν
ὄρνις ἐπ' αὐτόν, παρδαλᾶς ἐνημμένους,
πλεῖν ἑξακοσίους τὸν ἀριθμόν; καὶ δή ποτε
εἷς Πορφυρίων αὐτῷ παρέσχε πράγματα.
σὺ δ' εἴ με λυπήσεις τι, τῆς διακόνου
πρώτης ἀνατείνας τὼ σκέλη διαμηριῶ
τὴν Ἶριν αὐτήν, ὥστε θαυμάζειν ὅπως
οὕτω γέρων ὢν στύομαι τριέμβολον.
ΙΡ. διαρραγείης, ὦ μέλ', αὐτοῖς ῥήμασιν.
ΠΕ. οὐκ ἀποσοβήσεις; οὐ ταχέως; εὐρὰξ πατάξ.
ΙΡ. ἦ μὴν σε παύσει τῆς ὕβρεως οὑμὸς πατήρ.
ΠΕ. οἴμοι τάλας. οὔκουν ἑτέρωσε πετομένη
καταιθαλώσεις τῶν νεωτέρων τινά;
ΧΟ. ἀποκεκλῄκαμεν διογενεῖς θεοὺς
μηκέτι τὴν ἐμὴν διαπερᾶν πόλιν,
μηδέ τιν' ἱερόθυτον ἀνὰ δάπεδον ἔτι
τῇδε βροτῶν θεοῖσι πέμπειν καπνόν.
ΠΕ. δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς
οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν.
ΚΗΡΥΞ.
ὦ Πειθέταιρ' ὦ Πειθέταιρ', ὦ μακάριε,
ὦ κλεινότατ', ὦ σοφώτατ', ὦ γλαφυρώτατε,
ὦ τρισμακάρι', ὦ κατακέλευσον. ΠΕ. τί σὺ λέγεις;
ΚΗ. στεφάνῳ σε χρυσῷ τῷδε σοφίας οὕνεκα
στεφανοῦσι καὶ τιμῶσιν οἱ πάντες λεῴ.
ΠΕ. δέχομαι. τί δ' οὕτως οἱ λεῴ τιμῶσί με;
ΚΗ. ὦ κλεινοτάτην αἰθέριον οἰκίσας πόλιν,
οὐκ οἶσθ' ὅσην τιμὴν παρ' ἀνθρώποις φέρει,
ὅσους τ' ἐραστὰς τῆσδε τῆς χώρας ἔχεις.
πρὶν μὲν γὰρ οἰκίσαι σε τήνδε τὴν πόλιν,
ἐλακωνομάνουν ἅπαντες ἄνθρωποι τότε,
ἐκόμων, ἐπείνων, ἐρρύπων, ἐσωκράτων,
ἐσκυταλιοφόρουν· νῦν δ' ὑποστρέψαντες αὖ
ὀρνιθομανοῦσι, πάντα δ' ὑπὸ τῆς ἡδονῆς
ποιοῦσιν ἅπερ ὄρνιθες ἐκμιμούμενοι.
πρῶτον μὲν εὐθὺς πάντες ἐξ εὐνῆς ἅμα
ἐπέτονθ' ἕωθεν ὥσπερ ἡμεῖς ἐπὶ νομόν·
κἄπειτ' ἂν ἅμα κατῆρον ἐς τὰ βιβλία·
εἶτ' ἂν ἐνέμοντ' ἐνταῦθα τὰ ψηφίσματα.
ὠρνιθομάνουν δ' οὕτω περιφανῶς ὥστε καὶ

---

1250. ὄρνις A. ὄρνεις ceteri. 1259. ἦ μὴν Bentleius] ἢ μή παύσει R. παύσῃ ceteri. 1263. ἀποκεκλῄκαμεν Reiskius] ἀποκεκλήκαμεν 1265. ἔτι] ἂν ἔτι Meinekius. 1268. βροτῶν RV. βροτὸν ceteri. πέμπειν ARΓ. πέμπειν ἂν ceteri, ab correctore trimetrum faciente. Post hunc versum trium chori senariorum defectum indicavit Kockius, qui responderint versibus 1196—1198. 1271. Πειθέταιρ' D.] Πεισθέταιρ' Alterum ὦ Πειθέταιρ' addidi cum Dobraeo, deleto quod post ὦ μακάρι' legebatur ὦ σοφώτατε. 1273. 1274. ὦ τρισμακάρι', ὦ κλεινότ' (sic), ὦ σοφώτατε, | ὦ γλαφυρώτατε, ὦ κατακέλευσον R. Idem verborum ordo apud Suidam s. v. κατακέλευσον. 1281. ἄνθρωποι D.] ἄνθρωποι 1282. ἐσωκράτων R. ἐσωκράτουν ceteri. 1283. ἐσκυταλιοφόρουν· νῦν Porsonus] σκυτάλι' ἐφόρουν· νυνὶ 1288. κατῆρον Cobetus] κατῆραν βιβλία] βυβλία R aliique. 1289. ἂν ἐνέμοντ' Cobetus Mnemos. vol. 6. p. 317.] ἀπενέμοντ'. ANENEMONT' legit scholiasta, qui annotavit, συναληλιμμένον ἀμφίβολόν ἐστιν, ὃ καὶ ἐπιτετήδευκε. διελόντι δὲ τὸ μέν ἐστιν ἂν ἐνέμοντο, τὸ δὲ ἀνενέμοντο (libri ἀπενέμοντο), τουτέστιν ἀνεγίνωσκον.

πολλοῖσιν ὀρνίθων ὀνόματ' ἦν κείμενα.
πέρδιξ μὲν εἷς κάπηλος ὠνομάζετο
χωλός, Μενίππῳ δ' ἦν χελιδὼν τοὔνομα,
Ὀπουντίῳ δ' ὀφθαλμὸν οὐκ ἔχων κόραξ,
κορυδὸς Φιλοκλέει. χηναλώπηξ Θεογένει,
ἶβις Λυκούργῳ, Χαιρεφῶντι νυκτερίς,
Συρακοσίῳ δὲ κίττα· Μειδίας δ' ἐκεῖ
ὄρτυξ ἐκαλεῖτο· καὶ γὰρ ᾔκειν ὄρτυγι
ὑπὸ στυφοκόπου τὴν κεφαλὴν πεπληγμένῳ.
ᾖδον δ' ὑπὸ φιλορνιθίας πάντες μέλη,
ὅπου χελιδὼν ἦν τις ἐμπεποιημένη
ἢ πηνέλοψ ἢ χὴν τις ἢ περιστερὰ
ἢ πτέρυγες, ἢ πτεροῦ τι καὶ σμικρὸν προσῆν.
τοιαῦτα μὲν τἀκεῖθεν· ἓν δέ σοι λέγω,
ἥξουσ' ἐκεῖθεν δεῦρο πλεῖν ἢ μύριοι
πτερῶν δεόμενοι καὶ τρόπων γαμψωνύχων·
ὥστε πτερῶν σοι τοῖς ἐποίκοις δεῖ ποθέν.
ΠΕ. οὐ τἄρα μὰ Δί' ἡμῖν ἔτ' ἔργον ἑστάναι,
ἀλλ' ὡς τάχιστα σὺ μὲν ἰὼν τὰς ἀρρίχους
καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίμπλη πτερῶν·
Μανῆς δὲ φερέτω μοι θύραζε τὰ πτερά·
ἐγὼ δ' ἐκείνων τοὺς προσιόντας δέξομαι.
ΧΟ. ταχὺ δὴ πολυάνορα τὰν πόλιν
καλεῖ τις ἀνθρώπων.
τύχα μόνον προσείη.
κατέχουσι δ' ἔρωτες ἐμᾶς πόλεως.
ΠΕ. θᾶττον φέρειν κελεύω.
ΧΟ. τί γὰρ οὐκ ἔνι ταύτῃ
καλὸν ἀνδρὶ μετοικεῖν;
Σοφία, Πόθος, ἀμβρόσιαι Χάριτες,
τό τε τᾶς ἀγανόφρονος Ἡσυχίας
εὐάμερον πρόσωπον.
ΠΕ. ὡς βλακικῶς διακονεῖς· οὐ θᾶττον ἐγκονήσεις;
ΧΟ. φερέτω κάλαθον ταχύ τις πτερῶν,
σὺ δ' αὖθις ἐξόρμα,
τύπτων γε τοῦτον ὡδί.

1313—1322. = 1325—1334.

πάνυ γὰρ βραδύς ἐστί τις ὥσπερ ὄνος.
ΠΕ. Μανῆς γάρ ἐστι δειλός.
ΧΟ. σὺ δὲ τὰ πτερὰ πρῶτον
διάθες τάδε κόσμῳ,
τά τε μουσίχ' ὁμοῦ τά τε μαντικὰ καὶ
τὰ θαλάττι'. ἔπειτα δ' ὅπως φρονίμως
πρὸς ἄνδρ' ὁρῶν πτερώσεις.
ΠΕ. οὔ τοι μὰ τὰς κερχνῇδας ἔτι σοῦ σχήσομαι,
οὕτως ὁρῶν σε δειλὸν ὄντα καὶ βραδύν.

ΠΑΤΡΑΛΟΙΑΣ.

γενοίμαν αἰετὸς ὑψιπέτας, [ἐπ' οἶδμα λίμνας.
ὡς ἂν ποταθείην ὑπὲρ αἰθέρος ἀτρυγέτου γλαυκᾶς
ΠΕ. ἔοικεν οὐ ψευδαγγελήσειν ἄγγελος.
ᾄδων γὰρ ὅδε τις αἰετοὺς προσέρχεται.
ΠΑ. αἰβοῖ·
οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι γλυκύτερον·
[ἐρῶ δ' ἐγώ τοι τῶν ἐν ὄρνισιν νόμων.]
ὀρνιθομανῶ γὰρ καὶ πέτομαι, καὶ βούλομαι
οἰκεῖν μεθ' ὑμῶν, κἀπιθυμῶ τῶν νόμων.
ΠΕ. ποίων νόμων; πολλοὶ γὰρ ὀρνίθων νόμοι.
ΠΑ. πάντων· μάλιστα δ' ὅτι καλὸν νομίζετε
τὸν πατέρα τοῖς ὄρνισιν ἄγχειν καὶ δάκνειν.
ΠΕ. καὶ νὴ Δί' ἀνδρεῖόν γε πάνυ νομίζομεν
ὃς ἂν πεπλήγῃ τὸν πατέρα νεοττὸς ὤν.
ΠΑ. διὰ ταῦτα μέντοι δεῦρ' ἀνοικισθεὶς ἐγὼ
ἄγχειν ἐπιθυμῶ τὸν πατέρα καὶ πάντ' ἔχειν.
ΠΕ. ἀλλ' ἔστιν ἡμῖν τοῖσιν ὄρνισιν νόμος
παλαιὸς ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν·
ἐπὴν ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους
πάντας ποιήσῃ τοὺς πελαργιδῆς τρέφων,
δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν.
ΠΑ. ἀπέλαυσά τἄρ' ἂν νὴ Δί' ἐλθὼν ἐνθαδί,
εἴπερ γέ μοι καὶ τὸν πατέρα βοσκητέον.
ΠΕ. οὐδέν γ'. ἐπειδήπερ γὰρ ἦλθες, ὦ μέλε,
εὔνους, πτερώσω σ' ὥσπερ ὄρνιν ὀρφανόν,
σοί τ', ὦ νεανίσκ', οὐ κακῶς ὑποθήσομαι,
ἀλλ' οἷάπερ αὐτὸς ἔμαθον ὅτε παῖς ἦ. σὺ γὰρ
τὸν μὲν πατέρα μὴ τύπτε· ταυτηνδὶ λαβὼν
τὴν πτέρυγα, καὶ τουτὶ τὸ πλῆκτρον θἀτέρᾳ,

---

1295. Θεογένει D.] Θεαγένει 1297. Συρακοσίῳ Bentleius] Συρακουσίῳ 1298. ᾔκειν] ἤκεν RV. εἶκεν ceteri. ᾔκει Suidas s. h. v. et grammaticus Crameri Anecd. Oxon. vol. 2. p. 444, 4. ᾔκειν restitutum ex annotatione scholiastae, ὁ δὲ Σύμμαχος ᾔκειν, ἐῴκει et Photio, ᾔκειν: τὸ ἐῴκειν ἐπὶ γ΄ προσώπου. οὕτως Ἀριστοφάνης. 1299. στυφοκόπου Brunckius] στυφοκόμπου (quemadmodum apud Pollucem quoque 7, 136. 9, 107., qui hoc vocabulum ex comicis memorat, inserto μ in libris scriptum est aliosque grammaticos, de quo v. L. Dindorfius in Thesauro vol. 7. p. 919.) Scholiasta, Διονύσιος δὲ ὁ Ζώπυρος (scholiasta duos grammaticos, Διονύσιον et Ζώπυρον, quos ex Diogene L. 6, 100. novimus, pro uno habuisse videtur) γράφει ὑπ' ὀρτυγοκόμπου καὶ ἐξηγεῖτο ὅτι ἔγκειται τὸ μ: qui non viderat ὀρτυγοκόμπου librarii errore pro ὀρτυγοκόπου scriptum esse, quod verum habendum erit donec ostendatur quomodo στυφοκόπου correpta syllaba prima dici potuerit. 1301. ἐμπεποιημένη] ἐμπεπλεγμένη (γρ. καὶ ἐμπεποιημένη) Γ 1308. οὐ τἄρα Elmsleius] οὐκ ἆρα vel οὐκ ἄρα. 1310. ἐμπίμπλη] ἐμπίπλη libri. ἐμπίμπλη scripsit Musurus in excerpto ex Favorino quod scholio ad Nub. 633. (vol. 1. p. 495, 9.) intulit: nam apud Favorinum (in Aldi Hortis Adon. fol. 54 b) legitur ἐμπίπλη. 1313. δὴ Cobetus] δ' ἂν τὰν Hermannus Elem. doctr. metr. p. 419.] τάνδε 1314. καλεῖ (i. e. καλέσει)] καλοῖ BCΔ. 1315. Pithetaero tribuunt libri. Correxit Bergkius. τύχα Meinekius] τύχη 1320. ἀμβρόσιαι A. ἀμβροσία ceteri. 1321. τᾶς D.] τῆς 1322. εὐάμερον BΔ. εὐήμερον ceteri. 1326. αὖθις Brunckius] αὖτις

1328. ἐστί τις Bentleius] τις (τις om. BC) ἐστιν 1335. 1336. Quum post stropham unus sequatur tetrameter catalecticus, mirum est post antistropham duos hos positos esse trimetros: quos probabile est ab interpolatore ex uno effictos esse tetrametro, quem Hauptius in Prooemio Lection. Berol. 1865/66. p. 9. restituit, οὔτοι μὰ τὰς κερχνῇδας ἔτι σοῦ σχήσομ', ὦ πονηρέ. 1338. αἰθέρος addidit Kockius. 1340. ψευδαγγελήσειν Bentleius] ψευδαγγελὴς εἶν' ἄγγελος D.] ἄγγελος 1343. Scholiasta ad v. 1342. μετὰ τοῦτον ἑνὸς στίχου φέρουσί τινες διάλειμμα καὶ Ἀριστοφάνης (incertum utrum scholiasta sic an Ἀριστοφάνους scripserit: Aristophanem autem dicit grammaticum) πλήρωμα οὕτως "ἐρῶ δ' ἐγώ τι (sic cod. Ven.: ἔγωγε Aldus) τῶν ἐν ὄρνισιν νομῶν". Seclusi supplementum inutile ex v. 1345. confictum, etsi verum esse potest unum hic excidisse versum. ἐγώ τοι Bekkerus] ἐγώ τι RV. ἔγωγε ceteri. 1343. 1345. 1346. Aldus et aliquot codices νόμῶν et νόμοί duplici accentu, ambiguitatis significandae caussa: v. Elmsl. ad Eurip. Medeam p. 272. 1344. πέτομαι καὶ — οἰκεῖν] πέτεσθαι καὶ — οἰκῶν (ε supra scr.) Kockius. 1345. νομίζεται R. νομίζεται ceteri. 1354. ταῖς R et scholiasta. τοῖς ceteri. 1356. πελαργιδῆς D.] πελαργιδεῖς 1358. τἄρ' Elmsleius] γὰρ 1362. σοί τ' Bergkius] σοὶ δ' 1363. ἦ scholiasta et grammaticus in Montef. Bibl. Coislin. p. 233.] ἦν 1364. ταυτηνδὶ Elmsleius] ταύτην δὲ RVΓ. ταύτην δέ γε alii. 1365. θἀτέρᾳ D.] θητέρᾳ

νομίσας ἀλεκτρυόνος ἔχειν τονδὶ λόφον,
φρούρει, στρατεύου, μισθοφορῶν σαυτὸν τρέφε,
τὸν πατέρα δ' ἔα ζῆν· ἀλλ' ἐπειδὴ μάχιμος εἶ,
ἐς τἀπὶ Θρᾴκης ἀποπέτου, κἀκεῖ μάχου.
ΠΑ. νὴ τὸν Διόνυσον, εὖ γέ μοι δοκεῖς λέγειν,
καὶ πείσομαί σοι. ΠΕ. νοῦν ἄρ' ἕξεις νὴ Δία.

ΚΙΝΗΣΙΑΣ.

Ἀναπέτομαι δὴ πρὸς Ὄλυμπον πτερύγεσσι κούφαις·
πέτομαι δ' ὁδὸν ἄλλοτ' ἐπ' ἄλλαν μελέων
ΠΕ. τουτὶ τὸ πρᾶγμα φορτίου δεῖται πτερῶν.
ΚΙ. ἀφόβῳ φρενὸς ὄμματι γένναν ἐφέπων
ΠΕ. ἀσπαζόμεσθα φιλύρινον Κινησίαν.
τί δεῦρο πόδα σὺ κυλλὸν ἀνὰ κύκλον κυκλεῖς;
ΚΙ. ὄρνις γενέσθαι βούλομαι λιγύφθογγος ἀηδών.
ΠΕ. παῦσαι μελῳδῶν, ἀλλ' ὅ τι λέγεις εἰπέ μοι.
ΚΙ. ὑπὸ σοῦ πτερωθεὶς βούλομαι μετάρσιος
ἀναπτόμενος ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν
ἀεροδονήτους καὶ νιφοβόλους ἀναβολάς.
ΠΕ. ἐκ τῶν νεφελῶν γὰρ ἄν τις ἀναβολὰς λάβοι;
ΚΙ. κρέμαται μὲν οὖν ἐντεῦθεν ἡμῶν ἡ τέχνη.
τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίγνεται
ἀέρια καὶ σκότι' ἄττα καὶ κυαναυγέα
καὶ πτεροδόνητα· σὺ δὲ κλύων εἴσει τάχα.
ΠΕ. οὐ δῆτ' ἔγωγε. ΚΙ. νὴ τὸν Ἡρακλέα σύ γε.
ἅπαντα γὰρ δίειμί σοι τὸν ἀέρα,
εἴδωλα πετηνῶν
αἰθεροδρόμων,
οἰωνῶν ταναοδείρων.
ΠΕ. ὠόπ.
ΚΙ. τὸν ἅλαδε δρόμον ἁλάμενος
ἅμ' ἀνέμων πνοαῖσι βαίην.
ΠΕ. νὴ τὸν Δί' ἦ 'γώ σου καταπαύσω τὰς πνοάς.
ΚΙ. τοτὲ μὲν νοτίαν στείχων πρὸς ὁδόν,
τοτὲ δ' αὖ βορέᾳ σῶμα πελάζων
ἀλίμενον αἰθέρος αὔλακα τέμνων.
χαρίεντά γ', ὦ πρεσβῦτ', ἐσοφίσω καὶ σοφά.
ΠΕ. οὐ γὰρ σὺ χαίρεις πτεροδόνητος γενόμενος;
ΚΙ. ταυτὶ πεποίηκας τὸν κυκλιοδιδάσκαλον,
ὃς ταῖσι φυλαῖς περιμάχητός εἰμ' ἀεί;
ΠΕ. βούλει διδάσκειν καὶ παρ' ἡμῖν οὖν μένων
Λεωτροφίδῃ χορὸν πετομένων ὀρνέων
Κεκροπίδα φυλήν; ΚΙ. καταγελᾷς μου, δῆλος εἶ.
ἀλλ' οὖν ἔγωγ' οὐ παύσομαι, τοῦτ' ἴσθ' ὅτι,
πρὶν ἂν πτερωθεὶς διαδράμω τὸν ἀέρα.

ΣΥΚΟΦΑΝΤΗΣ.

ὄρνιθές τινες οἵδ' οὐδὲν ἔχοντες πτεροποίκιλοι,
τανυσίπτερε ποικίλα χελιδοῖ·
ΠΕ. τουτὶ τὸ κακὸν οὐ φαῦλον ἐξεγρήγορεν.
ὅδ' αὖ μινυρίζων δεῦρό τις προσέρχεται.
ΣΥ. τανυσίπτερε ποικίλα μάλ' αὖθις.
ΠΕ. ἐς θοἰμάτιον τὸ σκόλιον ᾄδειν μοι δοκεῖ,
δεῖσθαι δ' ἔοικεν οὐκ ὀλίγων χελιδόνων.
ΣΥ. τίς ὁ πτερῶν δεῦρ' ἐστὶ τοὺς ἀφικνουμένους;
ΠΕ. ὁδὶ πάρεστιν· ἀλλ' ὅτου δεῖ χρὴ λέγειν.
ΣΥ. πτερῶν πτερῶν δεῖ· μὴ πύθῃ τὸ δεύτερον.
ΠΕ. μῶν εὐθὺ Πελλήνης πέτεσθαι διανοεῖ;
ΣΥ. μὰ Δί', ἀλλὰ κλητήρ εἰμι νησιωτικὸς
καὶ συκοφάντης, ΠΕ. ὦ μακάριε τῆς τέχνης.
ΣΥ. καὶ πραγματοδίφης. εἶτα δέομαι πτερὰ λαβὼν
κύκλῳ περισοβεῖν τὰς πόλεις καλούμενος.
ΠΕ. ὑπὸ πτερύγων τί προσκαλεῖ σοφώτερον;
ΣΥ. μὰ Δί', ἀλλ' ἵν' οἱ λῃσταί τε μὴ λυπῶσί με,
μετὰ τῶν γεράνων τ' ἐκεῖθεν ἀναχωρῶ πάλιν,
ἀνθ' ἕρματος πολλὰς καταπεπωκὼς δίκας.
ΠΕ. τουτὶ γὰρ ἐργάζει σὺ τοὖργον; εἰπέ μοι,
νεανίας ὢν συκοφαντεῖς τοὺς ξένους;
ΣΥ. τί γὰρ πάθω; σκάπτειν γὰρ οὐκ ἐπίσταμαι.
ΠΕ. ἀλλ' ἔστιν ἕτερα νὴ Δί' ἔργα σώφρονα,
ἀφ' ὧν διαζῆν ἄνδρα χρῆν τοσουτονὶ
ἐκ τοῦ δικαίου μᾶλλον ἢ δικορραφεῖν.
ΣΥ. ὦ δαιμόνιε, μὴ νουθέτει μ', ἀλλὰ πτέρου.
ΠΕ. νῦν τοι λέγων πτερῶ σε. ΣΥ. καὶ πῶς ἂν λόγοις
ἄνδρα πτερώσειας σύ; ΠΕ. πάντες τοῖς λόγοις
ἀναπτεροῦνται. ΣΥ. πάντες; ΠΕ. οὐκ ἀκήκοας,
ὅταν λέγωσιν οἱ πατέρες ἑκάστοτε
τοῖς δημόταις ἐν τοῖσι κουρείοις ταδί
"δεινῶς γέ μου τὸ μειράκιον Διιτρέφης
λέγων ἀνεπτέρωκεν ὥσθ' ἱππηλατεῖν."
ὁ δέ τις τὸν αὑτοῦ φησιν ἐπὶ τραγῳδίᾳ
ἀνεπτερῶσθαι καὶ πεποτῆσθαι τὰς φρένας.
ΣΥ. λόγοισί τἄρα καὶ πτεροῦνται; ΠΕ. φήμ' ἐγώ.
ὑπὸ γὰρ λόγων ὁ νοῦς τε μετεωρίζεται
ἐπαίρεταί θ' ἅνθρωπος. οὕτω καί σ' ἐγὼ
ἀναπτερώσας βούλομαι χρηστοῖς λόγοις
τρέψαι πρὸς ἔργον νόμιμον. ΣΥ. ἀλλ' οὐ βούλομαι.
ΠΕ. τί δαὶ ποιήσεις; ΣΥ. τὸ γένος οὐ καταισχυνῶ.
παππῷος ὁ βίος συκοφαντεῖν ἐστί μοι.
ἀλλὰ πτέρου με ταχέσι καὶ κούφοις πτεροῖς
ἱέρακος, ἢ κερχνῇδος, ὡς ἂν τοὺς ξένους
καλεσάμενος, κᾆτ' ἐγκεκληκὼς ἐνθαδὶ
κατ' αὖ πέτωμαι πάλιν ἐκεῖσε. ΠΕ. μανθάνω.
ὡδὶ λέγεις· ὅπως ἂν ὠφλήκῃ δίκην
ἐνθάδε πρὶν ἥκειν ὁ ξένος. ΣΥ. πάνυ μανθάνεις.
ΠΕ. κἄπειθ' ὁ μὲν πλεῖ δεῦρο, σὺ δ' ἐκεῖσ' αὖ πέτει
ἁρπασόμενος τὰ χρήματ' αὐτοῦ. ΣΥ. πάντ' ἔχεις.
βέμβικος οὐδὲν διαφέρειν δεῖ. ΠΕ. μανθάνω
βέμβικα· καὶ μὴν ἔστι μοι νὴ τὸν Δία
κάλλιστα Κορκυραῖα τοιαυτὶ πτερά.
ΣΥ. οἴμοι τάλας· μάστιγ' ἔχεις. ΠΕ. πτερῶ μὲν οὖν,
οἷσί σε ποιήσω τήμερον βεμβικιᾶν.

---

1366. τονδὶ D.] τόνδε τὸν RVΓ. γε τὸν alii. 1368. πατέρα δ' Meinekius] πατέρ' ἔα] ἃ D. Vid. ad Thesm. 176. 1376. φρενὸς ὄμματι Hermannus] φρενὶ σώματι γένναν D.] γενεὰν Aldus et scholiasta (τὴν τῶν ὀρνίθων γενεὰν intelligens). τε νέαν codices. Restitui γένναν, ut probabilior evaderet metri forma

⏑⏑–́⏑⏑–́⏑⏑–́, ⏑⏑⏑–́

quae vocabula alibi quoque sunt permutata. Sic in Sophoclis ex Inacho fragmento (267.) apud schol. Aristoph. Pac. 530. in eodem metri genere εὐδαίμονες οἳ τότε γενεᾶς legitur, sed rectam scripturam γέννας servavit Philodemus in Gomperzii Studiis Herculanensibus fasc. 2. p.51. Restituto autem γένναν idem huius versus metrum est quod v 1374. πέτομαι δ' ὁδὸν ἄλλοτ' ἐπ' ἄλλαν μελέων, ubi μελέων duabus syllabis est pronunciandum. ἐφέπων] Schol. τινὲς ἐπέων.
1381. λιγύφθογγος] γρ. λιγύμυθος V. γρ. λιγύμυθος ἢ λιγύμοχθος Γ. λιγύμοχθος annotatum in B. (qui in textu λιγύμυθος) et ab scholiasta. 1389. σκότι' ἄττα Dobraeus] σκότια RVΔ σκότιά γε alii. 1393. πετηνῶν RVΓΔ Ald. πετεινῶν Vat. 1394. ταναοδείρων producta syllaba prima ut v. 254. 1395. ἅλαδε δρόμον Hermannus] ἁλαδρόμον 1396. βαίην] γρ. βαίνων V.
1407. Κεκροπίδα] Exspectes nomen simile, sed ab avis alicuius nomine derivatum. Κρεκοπίδα Kockius.

1410. ὄρνιθές τινες D.] ὄρνιθες τίνες 1420. usque ad finem fabulae exciderunt in Γ. 1426. ὑπὸ VAΔ. ὑπαὶ ceteri. 1427. τε Hermannus] γε 1438. τοῖς] τοι Dobraeus. 1441. δημόταις Kockius] μειρακίοις Διιτρέφης Elmsleius] ὁ διιτρέφης. Vid. ad v. 798. 1445. καὶ πεποτῆσθαι] κἀπτοῆσθαι] Cobetus. 1448. θ' ἅνθρωπὸς Hirschigius] τ' ἄνθρωπος
1456. κατ' Dobraeus] κᾆτ'

ΣΤ. οἴμοι τάλας. ΠΕ. οὐ πτερυγιεῖς ἐντευθενί;
οὐκ ἀπολιβάξεις, ὦ κάκιστ' ἀπολούμενος;
πικρὰν τάχ' ὄψει στρεψοδικοπανουργίαν.
ἀπίωμεν ἡμεῖς ξυλλαβόντες τὰ πτερά.
ΧΟ. πολλὰ δὴ καὶ καινὰ καὶ θαυ-
μάστ' ἐπεπτόμεσθα καὶ
δεινὰ πράγματ' εἴδομεν.
ἔστι γὰρ δένδρον πεφυκὸς
ἔκτοπόν τι, καρδίας ἀ-
πωτέρω, Κλεώνυμος,
χρήσιμον μὲν οὐδέν, ἄλ-
λως δὲ δειλὸν καὶ μέγα.
τοῦτο τοῦ μὲν ἦρος ἀεὶ
βλαστάνει καὶ συκοφαντεῖ,
τοῦ δὲ χειμῶνος πάλιν τὰς
ἀσπίδας φυλλορροεῖ.
ἔστι δ' αὖ χώρα πρὸς αὐτῷ
τῷ σκότῳ πόρρω τις ἐν
τῇ λύχνων ἐρημίᾳ,
ἔνθα τοῖς ἥρωσιν ἄνθρω-
ποι ξυναριστῶσι καὶ ξύν-
εισι, πλὴν τῆς ἑσπέρας.
τηνικαῦτα δ' οὐκέτ' ἦν
ἀσφαλὲς ξυντυγχάνειν.
εἰ γὰρ ἐντύχοι τις ἥρῳ
τῶν βροτῶν νύκτωρ Ὀρέστῃ,
γυμνὸς ἦν πληγεὶς ὑπ' αὐτοῦ
πάντα τἀπιδέξια.

ΠΡΟΜΗΘΕΥΣ.

οἴμοι τάλας, ὁ Ζεὺς ὅπως μή μ' ὄψεται.
ποῦ Πειθέταιρός ἐστιν; ΠΕ. ἔα, τουτὶ τί ἦν;
τίς οὑγκαλυμμός; ΠΡ. τῶν θεῶν ὁρᾷς τινα
ἐμοῦ κατόπιν ἐνταῦθα; ΠΕ. μὰ Δί' ἐγὼ μὲν οὔ.
τίς δ' εἶ σύ; ΠΡ. πηνίκ' ἐστὶν ἄρα τῆς ἡμέρας;
ΠΕ. ὁπηνίκα; σμικρόν τι μετὰ μεσημβρίαν.
ἀλλὰ σὺ τίς εἶ; ΠΡ. βουλυτός, ἢ περαιτέρω;
ΠΕ. οἴμ' ὡς βδελύττομαί σε. ΠΡ. τί γὰρ ὁ Ζεὺς ποιεῖ;
ἀπαιθριάζει τὰς νεφέλας, ἢ ξυννέφει;
ΠΕ. οἴμωζε μεγάλ'. ΠΡ. οὕτω μὲν ἐκκεκαλύψομαι.
ΠΕ. ὦ φίλε Προμηθεῦ. ΠΡ. παῦε παῦε, μὴ βόα.
ΠΕ. τί γὰρ ἔστι; ΠΡ. σίγα, μὴ κάλει μου τοὔνομα·
ἀπὸ γάρ μ' ὀλεῖς, εἴ μ' ἐνθάδ' ὁ Ζεὺς ὄψεται.
ἀλλ' ἵνα φράσω σοι πάντα τἄνω πράγματα,
τουτὶ λαβών μου τὸ σκιάδειον ὑπέρεχε
ἄνωθεν, ὡς ἂν μή μ' ὁρῶσιν οἱ θεοί.
ΠΕ. ἰοὺ ἰού·
εὖ γ' ἐπενόησας αὐτὸ καὶ προμηθικῶς.
ὑπόδυθι ταχὺ δή, κᾆτα θαρρήσας λέγε.
ΠΡ. ἄκουε δή νυν. ΠΕ. ὡς ἀκούοντος λέγε.
ΠΡ. ἀπόλωλεν ὁ Ζεύς. ΠΕ. πηνίκ' ἄττ' ἀπώλετο;
ΠΡ. ἐξ οὗπερ ὑμεῖς ᾠκίσατε τὸν ἀέρα.
θύει γὰρ οὐδεὶς οὐδὲν ἀνθρώπων ἔτι
θεοῖσιν, οὐδὲ κνῖσα μηρίων ἄπο
ἀνῆλθεν ὡς ἡμᾶς ἀπ' ἐκείνου τοῦ χρόνου,
ἀλλ' ὡσπερεὶ Θεσμοφορίοις νηστεύομεν
ἄνευ θυηλῶν· οἱ δὲ βάρβαροι θεοὶ

1470—1481· = 1482—1493.

πεινῶντες ὥσπερ Ἰλλυριοὶ κεκριγότες
ἐπιστρατεύσειν φάσ' ἄνωθεν τῷ Διί,
εἰ μὴ παρέξει τἀμπόρι' ἀνεῳγμένα,
ἵν' εἰσάγοιτο σπλάγχνα κατατετμημένα.
ΠΕ. εἰσὶν γὰρ ἕτεροι βάρβαροι θεοί τινες
ἄνωθεν ὑμῶν; ΠΡ. οὐ γάρ εἰσι βάρβαροι,
ὅθεν ὁ πατρῷός ἐστιν Ἐξηκεστίδῃ;
ΠΕ. ὄνομα δὲ τούτοις τοῖς θεοῖς τοῖς βαρβάροις
τί ἐστίν; ΠΡ. ὅ τι ἐστίν; Τριβαλλοί. ΠΕ. μαν-
θάνω.
ἐντεῦθεν ἄρα τοὐπιτριβείης ἐγένετο;
ΠΡ. μάλιστα πάντων. ἓν δέ σοι λέγω σαφές·
ἥξουσι πρέσβεις δεῦρο περὶ διαλλαγῶν
παρὰ τοῦ Διὸς καὶ τῶν Τριβαλλῶν τῶν ἄνω·
ὑμεῖς δὲ μὴ σπένδεσθ', ἐὰν μὴ παραδιδῷ
τὸ σκῆπτρον ὁ Ζεὺς τοῖσιν ὄρνισιν πάλιν,
καὶ τὴν Βασίλειάν σοι γυναῖκ' ἔχειν διδῷ.
ΠΕ. τίς ἐστιν ἡ Βασίλεια; ΠΡ. καλλίστη κόρη,
ἥπερ ταμιεύει τὸν κεραυνὸν τοῦ Διὸς
καὶ τἄλλ' ἁπαξάπαντα, τὴν εὐβουλίαν,
τὴν εὐνομίαν, τὴν σωφροσύνην, τὰ νεώρια,
τὴν λοιδορίαν, τὸν κωλαγρέτην, τὰ τριώβολα.
ΠΕ. ἅπαντά τἄρ' αὐτῷ ταμιεύει. ΠΡ. φήμ' ἐγώ.
ἥν γ' ἢν σὺ παρ' ἐκείνου παραλάβῃς, πάντ' ἔχεις.
τούτων ἕνεκα δεῦρ' ἦλθον, ἵνα φράσαιμί σοι.
ἀεί ποτ' ἀνθρώποις γὰρ εὔνους εἴμ' ἐγώ.
ΠΕ. μόνον θεῶν γὰρ διά σ' ἀπανθρακίζομεν.
ΠΡ. μισῶ δ' ἅπαντας τοὺς θεούς, ὡς οἶσθα σύ.
ΠΕ. νὴ τὸν Δί' ἀεὶ δῆτα θεομισὴς ἔφυς.
ΠΡ. Τίμων καθαρός. ἀλλ' ὡς ἂν ἀποτρέχω πάλιν,
φέρε τὸ σκιάδειον, ἵνα με κἂν ὁ Ζεὺς ἴδῃ
ἄνωθεν, ἀκολουθεῖν δοκῶ κανηφόρῳ.
ΠΕ. καὶ τὸν δίφρον γε διφροφόρει τονδὶ λαβών.
ΧΟ. πρὸς δὲ τοῖς Σκιάποσιν λί-
μνη τις ἔστ', ἄλουτος οὗ
ψυχαγωγεῖ Σωκράτης·
ἔνθα καὶ Πείσανδρος ἦλθε
δεόμενος ψυχὴν ἰδεῖν, ἣ
ζῶντ' ἐκεῖνον προὔλιπε,
σφάγι' ἔχων κάμηλον ἀ-
μνόν τιν', ἧς λαιμοὺς τεμὼν ὥσ-
περ ποθ' οὐδυσσεὺς ἀπῆλθε,
κᾆτ' ἀνῆλθ' αὐτῷ κάτωθεν
πρὸς τὸ λαῖγμα τῆς καμήλου
Χαιρεφῶν ἡ νυκτερίς.

ΠΟΣΕΙΔΩΝ.

τὸ μὲν πόλισμα τῆς Νεφελοκοκκυγίας
ὁρᾶν τοδὶ πάρεστιν, οἷ πρεσβεύομεν.
οὗτος, τί δρᾷς; ἐπ' ἀριστέρ' οὕτως ἀμπέχει;
οὐ μεταβαλεῖ θοἰμάτιον ὧδ' ἐπὶ δεξιά;
τί, ὦ κακόδαιμον; Λαισποδίας εἶ τὴν φύσιν.
ὦ δημοκρατία, ποῖ προβιβᾷς ἡμᾶς ποτε,
εἰ τουτονὶ κεχειροτονήκασ' οἱ θεοί;
ἕξεις ἀτρέμας; οἴμωζε· πολὺ γὰρ δή σ' ἐγὼ
ἑόρακα πάντων βαρβαρώτατον θεῶν.

1553—1564. = 1694—1705.

---

1468. στεψοδικοπανουργίαν] στρουθοδικοπανουργίαν varia lectio ap. schol. 1478. τοῦ addidit Bentleius. 1495. Πειθέταιρος D.] Πεισθέταιρος ἐστιν] ἐστ' Meinekius recte, nisi ἔα potius in ἆ mutandum, de quo v. annot. ad Thesm. 176. 1496. οὑγκαλυμμός Dawesius] ὁ συγκαλυμμός 1502. ξυννέφει Cobetus] ξυννεφεῖ 1503. ἐκκεκαλύψομαι] ἐκκαλύψομαι Aldus. 1506. γάρ μ' ὀλεῖς Meinekius] γάρ μ' ὀλέσει R. γὰρ ὀλέσει VA aliique. γὰρ ὀλέσεις Ald. ἀπὸ γὰρ ὄλωλ' Cobetus.

1527. Ἐξηκεστίδῃ Brunckius] Ἐξηκεστίδης 1541. κωλαγρέτην D.] κωλακρέτην 1542. τἄρ' Elmsleius] γὰρ vel γ' ἄρ' 1543. παραλάβῃς RV. λάβῃς ceteri. πάντ' V. ἅπαντ' ceteri. 1561. ποθ' addidit Hermannus. οὐδυσσεὺς Bentleius] Ὀδυσσεὺς 1563. λαῖγμα Bentleius] λαῖτμα V. λαῖμα ceteri 1568. μεταβαλεῖ Cobetus] μεταβαλεῖς 1571. κεχειροτονήκασ' Elmsleius] γ' ἐχειροτόνησαν 1572. ἕξεις ἀτρέμας; Triballo tribuunt libri. Correxit Bergkius. 1573. ἑόρακα D.] ἑώρακα

ἄγε δὴ τί δρῶμεν, Ἡράκλεις;

ΗΡΑΚΛΗΣ.

ἀκήκοας
ἐμοῦ γ' ὅτι τὸν ἄνθρωπον ἄγχειν βούλομαι,
ὅστις ποτ' ἔσθ' ὁ τοὺς θεοὺς ἀποτειχίσας.
ΠΟΣ. ἀλλ', ὦγάθ', ᾑρήμεσθα περὶ διαλλαγῶν
πρέσβεις. ΗΡ. διπλασίως μᾶλλον ἄγχειν μοι δοκεῖ.
ΠΕ. τὴν τυρόνηστίν τις δότω· φέρε σίλφιον·
τυρὸν φερέτω τις· πυρπόλει τοὺς ἄνθρακας.
ΗΡ. τὸν ἄνδρα χαίρειν οἱ θεοὶ κελεύομεν
τρεῖς ὄντες ἡμεῖς. ΠΕ. ἀλλ' ἐπίκνη τὸ σίλφιον.
ΗΡ. τὰ δὲ κρέα τοῦ ταῦτ' ἐστίν; ΠΕ. ὄρνιθές τινες
ἐπανιστάμενοι τοῖς δημοτικοῖσιν ὀρνέοις
ἔδοξαν ἀδικεῖν. ΗΡ. εἶτα δῆτα σίλφιον
ἐπικνῇς πρότερον αὐτοῖσιν; ΠΕ. ὦ χαῖρ', Ἡρά- [κλεις.
τί ἔστι; ΠΟ. πρεσβεύοντες ἡμεῖς ἥκομεν
παρὰ τῶν θεῶν περὶ πολέμου καταλλαγῆς.

ΟΙΚΕΤΗΣ.

ἔλαιον οὐκ ἔνεστιν ἐν τῇ ληκύθῳ.
ΠΕ. καὶ μὴν τά γ' ὀρνίθεια λιπάρ' εἶναι πρέπει.
ΠΟ. ἡμεῖς τε γὰρ πολεμοῦντες οὐ κερδαίνομεν,
ὑμεῖς τ' ἂν ἡμῖν τοῖς θεοῖς ὄντες φίλοι
ὄμβριον ὕδωρ ἂν εἴχετ' ἐν τοῖς τέλμασιν,
ἁλκυονίδας τ' ἂν ἤγεθ' ἡμέρας ἀεί.
τούτων περὶ πάντων αὐτοκράτορες ἥκομεν
ΠΕ. ἀλλ' οὔτε πρότερον πώποθ' ἡμεῖς ἤρξαμεν
πολέμου πρὸς ὑμᾶς, νῦν τ' ἐθέλομεν, εἰ δοκεῖ,
ἐὰν τὸ δίκαιον ἀλλὰ νῦν ἐθέλητε δρᾶν,
σπονδὰς ποιεῖσθαι. τὰ δὲ δίκαι' ἐστὶν ταδί·
τὸ σκῆπτρον ἡμῖν τοῖσιν ὄρνισιν πάλιν
τὸν Δί' ἀποδοῦναι· κἂν διαλλαττώμεθα
ἐπὶ τοῖσδε, τοὺς πρέσβεις ἐπ' ἄριστον καλῶ.
ΗΡ. ἐμοὶ μὲν ἀπόχρη ταῦτα, καὶ ψηφίζομαι.
ΠΟΣ. τί, ὦ κακόδαιμον; ἠλίθιος καὶ γάστρις εἶ.
ἀποστερεῖς τὸν πατέρα τῆς τυραννίδος;
ΠΕ. ἄληθες; οὐ γὰρ μεῖζον ὑμεῖς οἱ θεοὶ
ἰσχύσετ', ἢν ὄρνιθες ἄρξωσιν κάτω;
νῦν μέν γ' ὑπὸ ταῖς νεφέλαισιν ἐγκεκρυμμένοι
κύψαντες ἐπιορκοῦσιν ὑμᾶς οἱ βροτοί·
ἐὰν δὲ τοὺς ὄρνις ἔχητε συμμάχους,
ὅταν ὀμνύῃ τις τὸν κόρακα καὶ τὸν Δία,
ὁ κόραξ παρελθὼν τοὐπιορκοῦντος λάθρα
προσπτόμενος ἐκκόψει τὸν ὀφθαλμὸν θενών.
ΠΟΣ. νὴ τὸν Ποσειδῶ, ταῦτά γέ τοι καλῶς λέγεις.
ΗΡ. κἀμοὶ δοκεῖ. ΠΕ. τί δαὶ σὺ φῄς;

ΤΡΙΒΑΛΛΟΣ.

ναβαισατρεῦ.
ΠΕ. ὁρᾷς; ἐπαινεῖ χοὖτος. ἕτερον νῦν ἔτι
ἀκούσαθ' ὅσον ὑμᾶς ἀγαθὸν ποιήσομεν.
ἐάν τις ἀνθρώπων ἱερεῖόν τῳ θεῶν
εὐξάμενος εἶτα διασοφίζηται λέγων,
μενετοὶ θεοί, καὶ μἀποδιδῷ μισητίᾳ,
ἀναπράξομεν καὶ ταῦτα. ΠΟΣ. φέρ' ἴδω, τῷ [τρόπῳ;
ΠΕ. ὅταν διαριθμῶν ἀργυρίδιον τύχῃ
ἄνθρωπος οὗτος, ᾗ καθῆται λούμενος,
καταπτόμενος ἰκτῖνος, ἁρπάσας λάθρα,
προβάτοιν δυοῖν τιμὴν ἀνοίσει τῷ θεῷ.
ΗΡ. τὸ σκῆπτρον ἀποδοῦναι πάλιν ψηφίζομαι
τούτοις ἐγώ. ΠΟΣ. καὶ τὸν Τριβαλλόν νυν ἐροῦ.
ΗΡ. ὁ Τριβαλλὸς, οἰμώζειν δοκεῖ σοι; ΤΡΙ. σαυνάκα
βακταρικροῦσα. ΗΡ. φησί μ' εὖ λέγειν πάνυ.
ΠΟΣ. εἴ τοι δοκεῖ σφῷν ταῦτα, κἀμοὶ ξυνδοκεῖ.
οὗτος, δοκεῖ δρᾶν ταῦτα τοῦ σκήπτρου πέρι.
ΠΕ. καὶ νὴ Δί' ἕτερόν γ' ἐστὶν οὗ 'μνήσθην ἐγώ.
τὴν μὲν γὰρ Ἥραν παραδίδωμι τῷ Διί,
τὴν δὲ Βασίλειαν τὴν κόρην γυναῖκ' ἐμοὶ
ἐκδοτέον ἐστίν. ΠΟΣ. οὐ διαλλαγῶν ἐρᾷς.
ἀπίωμεν οἴκαδ' αὖθις. ΠΕ. ὀλίγον μοι μέλει.
μάγειρε, τὸ κατάχυσμα χρὴ ποιεῖν γλυκύ.
ΗΡ. ὦ δαιμόνι' ἀνθρώπων Πόσειδον, ποῖ φέρει;
ἡμεῖς περὶ γυναικὸς μιᾶς πολεμήσομεν;
ΠΟΣ. τί δαὶ ποιῶμεν; ΗΡ. ὅ τι; διαλλαττώμεθα.
ΠΟΣ. τί, ᾠζύρ'; οὐκ οἶσθ' ἐξαπατώμενος πάλαι;
βλάπτεις δέ τοι σὺ σαυτόν. ἢν γὰρ ἀποθάνῃ
ὁ Ζεὺς, παραδοὺς τούτοισι τὴν τυραννίδα,
πένης ἔσει σύ. σοῦ γὰρ ἅπαντα γίγνεται
τὰ χρήμαθ', ὅσ' ἂν ὁ Ζεὺς ἀποθνήσκων καταλίπῃ.
ΠΕ. οἴμοι τάλας, οἷόν σε περισοφίζεται.
δεῦρ' ὡς ἔμ' ἀποχώρησον, ἵνα τί σοι φράσω.
διαβάλλεταί σ' ὁ θεῖος, ὦ πονηρὲ σύ.
τῶν γὰρ πατρῴων οὐδ' ἀκαρῆ μέτεστί σοι
κατὰ τοὺς νόμους· νόθος γὰρ εἶ κοὐ γνήσιος.
ΗΡ. ἐγὼ νόθος; τί λέγεις; ΠΕ. σὺ μέντοι νὴ Δία,
ὤν γ' ἐκ ξένης γυναικός. ἢ πῶς ἄν ποτε
ἐπίκληρον εἶναι τὴν Ἀθηναίαν δοκεῖς,
οὖσαν θυγατέρ', ὄντων ἀδελφῶν γνησίων,
ΗΡ. τί δ', ἢν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα
νοθεῖ' ἀποθνήσκων; ΠΕ. ὁ νόμος αὐτὸν οὐκ ἐᾷ.
οὗτος ὁ Ποσειδῶν πρῶτος, ὃς ἐπαίρει σε νῦν,
ἀνθέξεταί σου τῶν πατρῴων χρημάτων
φάσκων ἀδελφὸς αὐτὸς εἶναι γνήσιος.
ἐρῶ δὲ δὴ καὶ τὸν Σόλωνός σοι νόμον·
"Νόθῳ δὲ μὴ εἶναι ἀγχιστείαν παίδων ὄντων γνησίων. ἐὰν δὲ παῖδες μὴ ὦσι γνήσιοι, τοῖς ἐγγυτάτω γένους μετεῖναι τῶν χρημάτων."
ΗΡ. ἐμοὶ δ' ἄρ' οὐδὲν τῶν πατρῴων χρημάτων
μέτεστιν; ΠΕ. οὐ μέντοι μὰ Δία. λέξον δέ μοι,
ἤδη σ' ὁ πατὴρ εἰσήγαγ' ἐς τοὺς φράτερας;
ΗΡ. οὐ δῆτ' ἐμέ γε. καὶ δῆτ' ἐθαύμαζον πάλαι.
ΠΕ. τί δῆτ' ἄνω κέχηνας αἰκίαν βλέπων;
ἀλλ' ἢν μεθ' ἡμῶν ᾖς, καταστήσω σ' ἐγὼ
τύραννον, ὀρνίθων τε παρέξω σοι γάλα.
ΗΡ. δίκαι' ἔμοιγε καὶ πάλιν δοκεῖς λέγειν

---

1575. γ' om. R. 1579. τυρόκνηστιν] τυροκνήστιν (i. e. τυροκνῆστιν) R. τις] μοι RVA. μοί τις cod. Voss. 1582. ἐπίκνη Meinekius] ἐπικνῶ. Imperativum legit scholiasta, qui per ἐπίβαλλε explicat. 1586. ἐπικνῇς Cobetus] ἐπικνᾷς 1590. ὀρνίθεια Brunckius] ὀρνίθια 1598. ἐὰν τὸ scholiasta] ἐάν τι ἀλλά Elmsleius] ἄλλο 1601. κἂν Seagerus] καὶ 1610. ὄρνις] ὄρνεις RV aliique. 1613. προσπτόμενος Brunckius] προσπτάμενος 1614. ταῦτά γε τοι RV aliique. τοι om. alii. Probabilius ταῦτά τοι. 1615. ναβαισατρεῦ] βαβακατρεῦ superscriptum in B. Et sic Suidas s. h. v. et grammaticus in Montef. Bibl. Coislin. p. 231. 1618. τῳ θεῶν B. τῷ θεῷ ceteri. 1620. μἀποδιδῷ D.] μὴ 'ποδιδῷ (ἀποδιδῷ RV) μισητίᾳ Suidas s. v. μενετοί] μισητίαν .

1623. καθῆται Bekkerus] κάθηται 1624. καταπτόμενος Brunckius] καταπτάμενος ἰκτῖνος D.] ἴκτινος ἀναρπάσας] κἀναρπάσας RV. 1629. φησί μ' Dobraeus] φησὶν 1631. οὗτος Kockius] ΗΡ. οὗτος 1636. αὖθις] αὖτις R et Voss. 1639. περὶ γυναικὸς] γυναικὸς περὶ Meinekius. 1652. νοθεῖ' ἀποθνήσκων] νόθῳ 'ξαποθνήσκων (νοθωξ ἀποθνήσκων RV). Correctum ex scholiasta, qui annotavit, γράφεται νοθεῖα ὡς πρεσβεῖα. εἰ τὰ μὲν χρήματα ἐμοί, φησίν, ὡς νόθῳ καταλείψει, τὴν δὲ ἀρχὴν τοῖς γνησίοις. et infra, περισπωμένως δὲ ἀναγνωστέον τὸ νοθεῖα. τὰ νοθεῖ' ἀποθνήσκων apud Harpocrat. s. v. νοθεῖα (νοθεία ap. Suidam, νόθια ap. Photium). νοθεῖα ex Aristophane Pollux quoque memorat 3, 21. νόθῳ 'ποθνήσκων Kockius. 1669. φράτερας D.] φράτορας 1673. τε addidit Meinekius. 1674. πάλιν RV. πάλαι ceteri.

περὶ τῆς κόρης, κἄγωγε παραδίδωμί σοι.
ΠΕ. τί δαὶ σὺ φῄς; ΠΟΣ. τἀναντία ψηφίζομαι.
ΠΕ. ἐν τῷ Τριβαλλῷ πᾶν τὸ πρᾶγμα. τί σὺ λέγεις;
ΤΡΙ. καλάνι κόραυνα καὶ μεγάλα βασιλιναῦ
ὄρνιτο παραδίδωμι. ΗΡ. παραδοῦναι λέγει.
ΠΟΣ. μὰ τὸν Δί' οὐχ οὗτός γε παραδοῦναι λέγει,
εἰ μὴ βατίζει γ' ὥσπερ αἱ χελιδόνες.
ΠΕ. οὐκοῦν παραδοῦναι ταῖς χελιδόσιν λέγει.
ΠΟΣ. σφὼ νῦν διαλλάττεσθε καὶ ξυμβαίνετε.
ἐγὼ δ', ἐπειδὴ σφῷν δοκεῖ, σιγήσομαι.
ΗΡ. ἡμῖν ἃ λέγεις σὺ πάντα συγχωρεῖν δοκεῖ.
ἀλλ' ἴθι μεθ' ἡμῶν αὐτὸς ἐς τὸν οὐρανόν,
ἵνα τὴν Βασίλειαν καὶ τὰ πάντ' ἐκεῖ λάβῃς.
ΠΕ. ἐς καιρὸν ἆρα κατεκόπησαν οὑτοιὶ
ἐς τοὺς γάμους. ΗΡ. βούλεσθε δῆτ' ἐγὼ τέως
ὀπτῶ τὰ κρέα ταυτὶ μένων; ὑμεῖς δ' ἴτε.
ΠΟΣ. ὀπτᾷς τὰ κρέα; πολλήν γε τενθείαν λέγεις.
οὐκ εἶ μεθ' ἡμῶν; ΗΡ. εὖ γε μέντἂν διετέθην
ΠΕ. ἀλλὰ γαμικὴν χλανίδα δότω τις δεῦρό μοι
ΧΟ. ἔστι δ' ἐν Φάναισι πρὸς τῇ
Κλεψύδρᾳ πανοῦργον ἐγ-
γλωττογαστόρων γένος,
οἳ θερίζουσίν τε καὶ σπεί-
ρουσι καὶ τρυγῶσι ταῖς γλώτ-
ταισι συκάζουσί τε·
βάρβαροι δ' εἰσὶν γένος,
Γοργίαι τε καὶ Φίλιπποι.
κἀπὸ τῶν ἐγγλωττογαστό-
ρων ἐκείνων τῶν Φιλίππων
πανταχοῦ τῆς Ἀττικῆς ἡ
γλῶττα χωρὶς τέμνεται
ΑΓ. ὦ πάντ' ἀγαθὰ πράττοντες, ὦ μείζω λόγου,
ὦ τρισμακάριον πτηνὸν ὀρνίθων γένος,
δέχεσθε τὸν τύραννον ὀλβίοις δόμοις.
προσέρχεται γὰρ οἷος οὔτε παμφαὴς
ἀστὴρ ἰδεῖν ἔλαμψε χρυσαυγεῖ δόμῳ,
οὔθ' ἡλίου τηλαυγὲς ἀκτίνων σέλας
τοιοῦτον ἐξέλαμψεν, οἷον ἔρχεται
ἔχων γυναικὸς κάλλος οὐ φατὸν λέγειν,
πάλλων κεραυνόν, πτεροφόρον Διὸς βέλος·
ὀσμὴ δ' ἀνωνόμαστος ἐς βάθος κύκλου
χωρεῖ, καλὸν θέαμα· θυμιαμάτων δ'
αὖραι διαψαίρουσι πλεκτάνην καπνοῦ.
ὁδὶ δὲ καὐτός ἐστιν. ἀλλὰ χρὴ θεᾶς
Μούσης ἀνοίγειν ἱερὸν εὔφημον στόμα.
ΧΟ. ἄναγε, δίεχε, πάραγε, πάρεχε,
περιπέτεσθε
μάκαρα μάκαρι σὺν τύχᾳ.
ὢ φεῦ φεῦ τῆς ὥρας, τοῦ κάλλους.
ὦ μακαριστὸν σὺ γάμον τῇδε πόλει γήμας.
μεγάλαι μεγάλαι κατέχουσι τύχαι
γένος ὀρνίθων
διὰ τόνδε τὸν ἄνδρ'. ἀλλ' ὑμεναίοις
καὶ νυμφιδίοισι δέχεσθ' ᾠδαῖς
αὐτὸν καὶ τὴν Βασίλειαν.
Ἥρᾳ ποτ' Ὀλυμπίᾳ
τὸν ἠλιβάτων θρόνων
ἄρχοντα θεαὶ μέγαν
Μοῖραι ξυνεκοίμισαν
τοιῷδ' ὑμεναίῳ.
Ὑμὴν ὦ, Ὑμέναι' ὦ,
Ὑμὴν ὦ, Ὑμέναι' ὦ.
ὁ δ' ἀμφιθαλὴς Ἔρως
χρυσόπτερος ἡνίας
ηὔθυνε παλιντόνους,
Ζηνὸς πάροχος γάμων
κεὐδαίμονος Ἥρας.
Ὑμὴν ὦ, Ὑμέναι' ὦ,
Ὑμὴν ὦ, Ὑμέναι' ὦ.
ΠΕ ἐχάρην ὕμνοις, ἐχάρην ᾠδαῖς·
ἄγαμαι δὲ λόγων. ἄγε νυν αὐτοῦ
καὶ τὰς χθονίας κλῄσατε βροντάς,
τάς τε πυρώδεις Διὸς ἀστεροπάς,
δεινόν τ' ἀργῆτα κεραυνόν.
ΧΟ ὦ μέγα χρύσεον ἀστεροπῆς φάος,
ὦ Διὸς ἄμβροτον ἔγχος πυρφόρον,
ὦ χθόνιαι βαρυαχέες ὀμβροφόροι θ' ἅμα βρονταί,
αἷς ὅδε νῦν χθόνα σείει,
διὰ σὲ τὰ πάντα κρατήσας
καὶ πάρεδρον Βασίλειαν ἔχει Διός.
[Ὑμὴν ὦ, Ὑμέναι' ὦ.]
ΠΕ ἕπεσθε νῦν γάμοισιν, ὦ φῦλα πάντα συννόμων
πτεροφόρ', ἴτ' ἐπὶ πέδον Διὸς καὶ λέχος γαμήλιον.
ὄρεξον, ὦ μάκαιρα, σὴν χεῖρα καὶ πτερῶν ἐμῶν
λαβοῦσα συγχόρευσον· αἴρων δὲ κουφιῶ σ' ἐγώ.
ΧΟ ἀλαλαί, ἰὴ παιών ἰή,
τήνελλα καλλίνικος, ὦ
δαιμόνων ὑπέρτατα.

1731—1737. = 1738—1744.

---

1678. καλάνι] καλαν R. 1679. λέγει Bentleius] λέγεις 1681. βατίζει γ' D.] βαδίζειν (βαδίζοι ΒΔ). βαβάζει γ' Bentleius, recte fortasse, quod verbum Hesychius annotavit, βαβάζω: τὸ μὴ διηρθρωμένα λέγω. βαδίζειν legerunt Didymus et Symmachus, ut annotavit scholiasta. 1694. Φάναισι D.] Φαναῖσι: de quo dixi in Thesauro vol. 8. p. 620. Alludit ad verbum φαίνειν, quod de sycophantis dicitur, ut monuit scholiasta.

1709. οὔτε — οὔθ'] οὐδὲ — οὐδ' Meinekius. 1710. ἰδεῖν. ἔλαμψε] ἔλαμψεν ἰδεῖν R et Vossianus. δόμῳ] δρόμῳ Kiehlius Mnemos. 2. p. 107. 1720. ΧΟ.] ἡμιχ. hic et, ubi AB et Voss. omittunt, v. 1731. 1723. μάκαρα D.] τὸν μάκαρα

1724. τῆς ὥρας, τοῦ κάλλους] Eadem coniunxit Iosephus A. I. 15, 2, 4. ἐν ὄψει τῆς τε ὥρας καὶ τοῦ κάλλους.

1725. πόλει R. τῇ πόλει ceteri. 1732. τὸν van Gent Mnemos. 7. p. 214.] τῶν 1733. θεαὶ Brunckius] θεοῖς 1735. τοιῷδ' Dawesius] ἐν τοιῷδ' 1737. Addidi alterum hoc Ὑμὴν ὦ, Ὑμέναι' ὦ, ut est in antistropha 1744. Probabilior epiphonematis forma est,

Ὑμὴν ὦ, Ὑμέναι', ἰὼ
Ὑμήν, ὦ Ὑμέναιε.

ut dixi in annotatione ad Pacem supra p. 82. 1740. ηὔθυνε D.] εὔθυνε 1742. κεὐδαίμονος Dawesius] τῆς τ' εὐδαίμονος 1744. Alterum Ὑμὴν ὦ, Ὑμέναι' ὦ addunt RV et Voss., omittunt ceteri. 1754. διὰ σὲ τὰ] Vid. annot. ad Nub. 916. δῖα σκῆπτρα κρατήσας Dobraeus. 1756. Seclusi Ὑμὴν ὦ Ὑμέναι' ὦ, quod, nisi insititium esset, sic potius scribendum foret

Ὑμὴν ὦ, Ὑμέναι', ἰὼ
Ὑμήν, ὦ Ὑμέναιε.

1758. ἴτ' addidit D. 1761. ἀλαλαὶ ABC et Vat. (ut Lysistr. 1291.) ἀλαλαλα ΓRV et Voss. ἀλλαλαὶ Δ et Ald. Alterum ἰὴ addidit D. ut est Pac. 452.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΛΥΣΙΣΤΡΑΤΗ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΛΥΣΙΣΤΡΑΤΗ.
ΚΑΛΟΝΙΚΗ.
ΜΥΡΡΙΝΗ.
ΛΑΜΠΙΤΩ.
ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ΚΑΙ ΓΥΝΑΙΚΩΝ.
ΠΡΟΒΟΥΛΟΣ.
ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ.
ΚΙΝΗΣΙΑΣ.
ΠΑΙΣ Κινησίου.
ΚΗΡΥΞ ΛΑΚΕΔΑΜΟΝΙΩΝ.
ΠΡΕΣΒΕΙΣ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ.
ΑΘΗΝΑΙΟΙ ΤΙΝΕΣ.

## ΥΠΟΘΕΣΙΣ.[a]

Λυσιστράτη τις Ἀθήνησι τῶν πολιτίδων καὶ τῶν Πελοποννησίων, ἔτι δὲ καὶ Βοιωτίων γυναικῶν σύλλογον ἐποιήσατο, διαλλαγὰς μηχανωμένη τοῖς Ἕλλησιν· ὀμόσαι δὲ ἀναπείσασα μὴ πρότερον τοῖς ἀνδράσι συνουσιάσειν, πρὶν ἂν πολεμοῦντες ἀλλήλοις παύσωνται, τὰς μὲν ἐξωπίους ἐμπριλὰς[b] καταλιποῦσα ὀπίσω, αὐτὴ δὲ πρὸς τὰς κατειληφυίας τὴν ἀκρόπολιν μετὰ τῶν οἰκείων ἀπαντᾷ. συνδραμόντων δὲ πρεσβυτῶν πολιτῶν μετὰ λαμπάδων καὶ πυρὸς πρὸς τὰς πύλας τὴν ἀναστολὴν ποιεῖται ἐξελθοῦσα, καὶ προβούλου τινὸς μετ' ὀλίγον παραβιάσασθαι μετὰ τοξοτῶν ὁρμήσαντος, εἶτα δὲ ἀποκρουσθέντος καὶ διαπυνθανομένου τί βουλόμεναι ταῦτα δεδράκασι, τὸ μὲν πρῶτόν φασιν ὅτι ἐγκρατεῖς γενόμεναι τοῦ ἀργυρίου μὴ ἐπιτρέψουσι τοῖς ἀνδράσιν ἀπὸ τούτου πολεμεῖν, δεύτερον δὲ ὅτι πολὺ ἄμεινον ταμιεύσονται καὶ τὸν παρόντα πόλεμον τάχιστα καταπαύσουσιν. οὗτος μὲν οὖν καταπλαγεὶς τοῦ θράσους ὡς τοὺς συμπροβούλους οἴχεται, ταῦτα μὴ παύσας· οἱ δὲ γέροντες ὑπομένοντες ταῖς γυναιξὶ λοιδοροῦνται. μετὰ ταῦτα αὐτῶν τινες αὐτομολοῦσαι μάλα γελοίως δι' ἀκρασίαν ὡς τοὺς ἄνδρας ἁλίσκονται· ἐγκαρτεροῦσι δὲ Λυσιστράτης ἱκετευούσης. Κινησίας τις τῶν πολιτῶν, ἀκρατῶς ἔχων τῆς γυναικός, παραγίνεται· ἡ δὲ χυτροτομοῦσα[c] αὐτὸν ἐπαγγέλλεται μέν, τὰ περὶ τῶν διαλλαγῶν δὲ σπουδάζει. ἀφικνοῦνται δὲ καὶ παρὰ Λακεδαιμονίων περὶ σπονδῶν κήρυκες, ἐμφανίζοντες ἅμα καὶ τὰς προτέρας γυναῖκας. συνταχθέντες δὲ σφίσιν οἱ Ἀθηναῖοι[d] πρέσβεις αὐτοκράτορας ἀποστέλλουσιν. οἱ μὲν γέροντες εἰς ταυτὸν ταῖς γυναιξὶν ἀποκαταστάντες ἕνα χορὸν ἐκ τῆς διχορίας ἀποστέλλουσι[e]· καὶ Λυσιστράτη τοὺς παραγενο-

[a] ΥΠΟΘΕΣΙΣ] Hoc Argumentum primum edidit Kusterus ex codice, ut videtur, Vaticano Palatino. Legitur etiam in Ravennate et, qui Ravennati simillimus est, olim Augustano, nunc Monacensi.
[b] ἐμπριλὰς] Vocabulum corruptum. Requiritur tertia verbi alicuius persona.
[c] χυτροτομοῦσα] κερτομοῦσα Brunckius.
[d] οἱ Ἀθηναῖοι addidit Kusterus.
[e] ἀποστέλλουσι] ἀποτελοῦσι Meinekius.

μένους πρὸς αὐτὴν ἐκ Λακεδαίμονος πρέσβεις ὀργῶντας διαλλάττεσθαι προσέλκει· καὶ ἑκατέρους ἀναμνήσασα τῆς[f] παλαιᾶς εἰς ἀλλήλους γενομένης εὐνοίας διαλλάττει ἐν φανερῷ, καὶ ξενίσασα κοινῇ παραδίδωσι τὰς γυναῖκας ἑκάστοις ἄγεσθαι.

Ἐδιδάχθη ἐπὶ Καλλίου ἄρχοντος τοῦ μετὰ Κλεόκριτον ἄρξαντος. εἰσῆκται δὲ διὰ Καλλιστράτου.

---

[f] τῆς et εὐνοίας addidit Kusterus.

---

ΛΥΣΙΣΤΡΑΤΗ.

Ἀλλ' εἴ τις ἐς Βακχεῖον αὐτὰς ἐκάλεσεν,
ἢ 'ς Πανός, ἢ 'πὶ Κωλιάδ', ἢ 'ς Γενετυλλίδος,
οὐδ' ἂν διελθεῖν ἦν ἂν ὑπὸ τῶν τυμπάνων.
νῦν δ' οὐδεμία πάρεστιν ἐνταυθὶ γυνή,
πλὴν ἥ γ' ἐμὴ κωμῆτις ἥδ' ἐξέρχεται.
χαῖρ', ὦ Καλονίκη.

ΚΑΛΟΝΙΚΗ.

καὶ σύ γ', ὦ Λυσιστράτη.
τί ξυντετάραξαι; μὴ σκυθρώπαζ', ὦ τέκνον.
οὐ γὰρ πρέπει σοι τοξοποιεῖν τὰς ὀφρῦς.
ΛΥ. ἀλλ', ὦ Καλονίκη, κάομαι τὴν καρδίαν,
καὶ πόλλ' ὑπὲρ ἡμῶν τῶν γυναικῶν ἄχθομαι,
ὁτιὴ παρὰ μὲν τοῖς ἀνδράσιν νενομίσμεθα
εἶναι πανοῦργοι, ΚΑ. καὶ γάρ ἐσμεν νὴ Δία.
ΛΥ. εἰρημένον δ' αὐταῖς ἀπαντᾶν ἐνθάδε
βουλευσομέναισιν οὐ περὶ φαύλου πράγματος,
εὕδουσι κοὐχ ἥκουσιν. ΚΑ. ἀλλ', ὦ φιλτάτη,
ἥξουσι· χαλεπή τοι γυναικῶν ἤξοδος.
ἡ μὲν γὰρ ἡμῶν περὶ τὸν ἄνδρ' ἐκύπτασεν,
ἡ δ' οἰκέτην ἤγειρεν, ἡ δὲ παιδίον
κατέκλινεν, ἡ δ' ἔλουσεν, ἡ δ' ἐψώμισεν.
ΛΥ. ἀλλ' ἕτερά τἄρ' ἦν τῶνδε προυργιαίτερα
αὐταῖς. ΚΑ. τί δ' ἐστίν, ὦ φίλη Λυσιστράτη,
ἐφ' ὅ τι ποθ' ἡμᾶς τὰς γυναῖκας ξυγκαλεῖς;
τί τὸ πρᾶγμα; πηλίκον τι; ΛΥ. μέγα. ΚΑ. μῶν
καὶ παχύ;
ΛΥ. καὶ νὴ Δί παχύ. ΚΑ. κᾆπειτα πῶς οὐχ ἥκομεν;
ΛΥ. οὐχ οὗτος ὁ τρόπος· ταχὺ γὰρ ἂν ξυνήλθομεν.
ἀλλ' ἔστιν ὑπ' ἐμοῦ πρᾶγμ' ἀνεζητημένον,
πολλαῖσί τ' ἀγρυπνίαισιν ἐρριπτασμένον.
ΚΑ. ἦ πού τι λεπτόν ἐστι τοὐρριπτασμένον.
ΛΥ. οὕτω γε λεπτὸν ὥσθ' ὅλης τῆς Ἑλλάδος
ἐν ταῖς γυναιξίν ἐστιν ἡ σωτηρία.
ΚΑ. ἐν ταῖς γυναιξίν; ἐπ' ὀλίγου τἄρ' εἴχετο.
ΛΥ. ὡς ἔστ' ἐν ἡμῖν τῆς πόλεως τὰ πράγματα,
ἢ μηκέτ' εἶναι μήτε Πελοποννησίους
ΚΑ. βέλτιστα τοίνυν μηκέτ' εἶναι νὴ Δία.
ΛΥ. Βοιωτίους τε πάντας ἐξολωλέναι.
ΚΑ. μὴ δῆτα πάντας γ', ἀλλ' ἄφελε τὰς ἐγχέλεις.
ΛΥ. περὶ τῶν Ἀθηνῶν δ' οὐκ ἐπιγλωττήσομαι
τοιοῦτον οὐδέν· ἀλλ' ὑπονόησον σύ μοι.
ἢν δὲ ξυνέλθωσ' αἱ γυναῖκες ἐνθάδε,
αἵ τ' ἐκ Βοιωτῶν αἵ τε Πελοποννησίων
ἡμεῖς τε, κοινῇ σώσομεν τὴν Ἑλλάδα.
ΚΑ. τί δ' ἂν γυναῖκες φρόνιμον ἐργασαίατο
ἢ λαμπρόν, αἳ καθήμεθ' ἐξανθισμέναι,
κροκωτὰ φοροῦσαι καὶ κεκαλλωπισμέναι
καὶ Κιμμερίκ' ὀρθοστάδια καὶ περιβαρίδας;
ΛΥ. ταῦτ' αὐτὰ γάρ τοι κἄσθ' ἃ σώσειν προσδοκῶ,
τὰ κροκωτίδια καὶ τὰ μύρα χαἰ περιβαρίδες
χἠ 'γχουσα καὶ τὰ διαφανῆ χιτώνια.
ΚΑ. τίνα δὴ τρόπον ποθ'; ΛΥ. ὥστε τῶν νῦν μηδένας
ἀνδρῶν ἐπ' ἀλλήλοισιν αἴρεσθαι δόρυ,
ΚΑ. κροκωτὸν ἄρα νὴ τὼ θεὼ 'γὼ βάψομαι.
ΛΥ. μήτ' ἀσπίδα λαβεῖν ΚΑ. Κιμμερικὸν ἐνδύσομαι.
ΛΥ. μήτε ξιφίδιον. ΚΑ. κτήσομαι περιβαρίδας.
ΛΥ. ἆρ' οὐ παρεῖναι τὰς γυναῖκας δῆτ' ἐχρῆν;
ΚΑ. οὐ γὰρ μὰ Δί' ἀλλὰ πετομένας ἥκειν πάλαι.
ΛΥ. ἀλλ', ὦ μέλ', ὄψει τοι σφόδρ' αὐτὰς Ἀττικάς,
ἅπαντα δρώσας τοῦ δέοντος ὕστερον.
ἀλλ' οὐδὲ Παράλων οὐδεμία γυνὴ πάρα,
οὐδ' ἐκ Σαλαμῖνος. ΚΑ. ἀλλ' ἐκεῖναί γ' οἶδ' ὅτι
ἐπὶ τῶν κελήτων διαβεβήκασ' ὄρθριαι.
ΛΥ. οὐδ' ἃς προσεδόκων κἀλογιζόμην ἐγὼ
πρώτας παρέσεσθαι δεῦρο τὰς Ἀχαρνέων
γυναῖκας, οὐχ ἥκουσιν. ΚΑ. ἡ γοῦν Θεογένους
ὡς δεῦρ' ἰοῦσα θοὐκάτειον ἤρετο.
ἀτὰρ αἵδε καὶ δή σοι προσέρχονταί τινες,
χαὐθάτεραι χωροῦσί τινες. ἰοὺ ἰού, [Δία·
πόθεν εἰσίν; ΛΥ. Ἀναγυρουντόθεν. ΚΑ. νὴ τὸν
ὁ γοῦν ἀνάγυρός μοι κεκινῆσθαι δοκεῖ.

ΜΥΡΡΙΝΗ.

μῶν ὕστεραι πάρεσμεν, ὦ Λυσιστράτη;
τί φῄς; τί σιγᾷς; ΛΥ. οὐκ ἐπαινῶ, Μυρρίνη,
ἥκουσαν ἄρτι περὶ τοιούτου πράγματος.
ΜΥ. μόλις γὰρ ηὗρον ἐν σκότῳ τὸ ζώνιον.
ἀλλ' εἴ τι πάνυ δεῖ, ταῖς παρούσαισιν λέγε.

---

4. ἐνταυθὶ Elmsleius] ἐνταυθοῖ 12. 39. 244. ἐνθάδε] ἐνθαδὶ Meinekius hic et alibi in fine versuum. 16. ἤξοδος Dawesius] ἔξοδος 20. τἄρ' Elmsleius] γὰρ 24. νὴ Δὶ — κᾄπειτα D.] νὴ Δία — κᾆτα. Vid. Annot. Oxon. p. 758. 31. τἄρ' Mehlerus] γάρ 38. ἄλλ' Brunckius] ἀλλ' 42. ἐργασαίατο] ἐργασαίμεθα Clemens Alex. Paed. 3. p. 254. (vol. 1. p. 330, 5. ed. meae Oxon.): sed tertia persona idem utitur p. 235. (= 306, 11.) τί γὰρ φρόνιμον γυναῖκες ἐργάσαιντο.

43. ἐξανθισμέναι Clemens p. 254. (ubi tamen in duobus codicibus ἐξανθισμέναι [η])] ἐξηνθισμέναι libri et Clemens p. 235. et Suidas s. h. v. 44. κροκωτὰ φοροῦσαι] κροκωτοφοροῦσαι (ut v. 219.) BCΔ cum Clemente p. 235. 45. καὶ Κιμμερικορθοστάδια BCΔ Voss. καὶ κιμβερινκορθοστάδια R Aug. Mox v. 52. libri κιμμερικὸν (exceptis Δ et Voss. qui Κιμμερινόν) quod utrobique restituendum esse dixi in Thesauro vol. 4. p. 1557. Κιμβερικόν est ap. Pollucem 7, 49. et Hesychium, sed Κιμμερικόν ap. Photium. 47. χαἰ Reisigius] καὶ 49. μηδένας Meinekius] μηδένα 63. Θεογένους ex schol.] Θεαγένους 64. θοὐκάτειον] τἀκάτιον. Correctum ex Suida s. v. Θεαγένης, ubi ἑκάτειον ex hoc loco memoratur. 66. χαὐθάτεραι (ut χρῆσθαι ἑτέρῳ in χρῆσθατέρῳ contractum Pac. 253.) D.] αἵδ' αὖθ' ἕτεραι. αἱδὶ δ' (vel θ') ἕτεραι Dobraeus, qui verba αἱδὶ — τινες Lysistratae tribui volebat. Infra v. 736. αὖθ' ἡτέρα in libris scriptum pro αὕτη 'τέρα. 70. Μυρρίνη] μυρρίνηι R: unde Μυρρίνην Invernizius.

ΛΥ. μὰ Δί' ἀλλ' ἐπαναμείνωμεν ὀλίγου γ' οὕνεκα
τάς τ' ἐκ Βοιωτῶν τάς τε Πελοποννησίων
γυναῖκας ἐλθεῖν. ΜΥ. πολὺ σὺ κάλλιον λέγεις.
ἡδὶ δὲ καὶ δὴ Λαμπιτὼ προσέρχεται.
ΛΥ. ὦ φιλτάτη Λάκαινα, χαῖρε, Λαμπιτοῖ.
οἷον τὸ κάλλος, γλυκυτάτη, σου φαίνεται.
ὡς δ' εὐχροεῖς, ὡς δὲ σφριγᾷ τὸ σῶμά σου.
κἂν ταῦρον ἄγχοις.

ΛΑΜΠΙΤΩ.

μάλα γ' οἰῶ ναὶ τὼ σιώ·
γυμνάδδομαι γὰρ καὶ ποτὶ πυγὰν ἅλλομαι.
ΛΥ. ὡς δὴ καλόν τι χρῆμα τιτθίων ἔχεις.
ΛΑ. ἅπερ ἱερεῖόν τοί μ' ὑποψαλάσσετε.
ΛΥ. ἡδὶ δὲ ποδαπὴ 'σθ' ἡ νεᾶνις ἀτέρα;
ΛΑ. πρέσβειρά τοι ναὶ τὼ σιὼ Βοιωτία
ἵκει ποθ' ἀμέ. ΛΥ. ναὶ μὰ Δία Βοιωτία,
καλόν γ' ἔχουσα τὸ πεδίον. ΚΑ. καὶ νὴ Δία
κομψότατα τὴν βληχώ γε παρατετιλμένη.
ΛΥ. τίς δ' ἀτέρα παῖς; ΛΑ. χαῖα ναὶ τὼ σιώ,
Κορινθία δ' αὖ. ΛΥ. χαῖα νὴ τὸν Δία
δήλη 'στὶν οὖσα ταυταγὶ κἀντευθενί.
ΛΑ. τίς δ' αὖ συναλίαξε τόνδε τὸν στόλον
τὸν τᾶν γυναικῶν; ΛΥ. ἥδ' ἐγώ. ΛΑ. μύσιδδέ τοι
ὅ τι λῇς ποθ' ἀμέ. ΜΥ. νὴ Δί', ὦ φίλη γύναι,
λέγε δῆτα τὸ σπουδαῖον ὅ τι τοῦτ' ἐστί σοι.
ΛΥ. λέγοιμ' ἂν ἤδη. πρὶν λέγειν δ', ὑμᾶς τοδὶ
ἐπερήσομαί τι μικρόν. ΜΥ. ὅ τι βούλει γε σύ.
ΛΥ. τοὺς πατέρας οὐ ποθεῖτε τοὺς τῶν παιδίων
ἐπὶ στρατιᾶς ἀπόντας; εὖ γὰρ οἶδ' ὅτι
πάσαισιν ὑμῖν ἐστιν ἀποδημῶν ἀνήρ.
ΚΑ. ὁ γοῦν ἐμὸς ἀνὴρ πέντε μῆνας, ὦ τάλαν,
ἄπεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτη.
ΛΥ. ὁ δ' ἐμός γε τελέους ἑπτὰ μῆνας ἐν Πύλῳ.
ΛΑ. ὁ δ' ἐμός γα, καἴκ' ἐκ τᾶς ταγᾶς ἔλσῃ ποκά,
πορπακισάμενος φροῦδος ἀμπτάμενος ἔβα.
ΛΥ. ἀλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.
ἐξ οὗ γὰρ ἡμᾶς προὔδοσαν Μιλήσιοι,
οὐκ εἶδον οὐδ' ὄλισβον ὀκτωδάκτυλον,
ὃς ἦν ἂν ἡμῖν σκυτίνη 'πικουρία.
ἐθέλοιτ' ἂν οὖν, εἰ μηχανὴν εὕροιμ' ἐγώ,
μετ' ἐμοῦ καταλῦσαι τὸν πόλεμον; ΜΥ. νὴ τὼ θεώ·
ἐγὼ μὲν ἂν κἂν εἴ με χρείη τοὔγκυκλον
τουτὶ καταθεῖσαν ἐκπιεῖν αὐθημερόν.
ΚΑ. ἐγὼ δέ γ' ἂν κἂν ὡσπερεὶ ψῆττάν με δῇ
ἐπιδοῦν' ἐμαυτῆς παρατεμοῦσαν θἤμισυ.
ΛΑ. ἐγὼ δὲ καί κα ποττὸ Ταΰγετον ἄνω
ἔλσοιμ', ὅπα μέλλοιμί γ' εἰράναν ἰδῆν.
ΛΥ. λέγοιμ' ἄν· οὐ δεῖ γὰρ κεκρύφθαι τὸν λόγον.
ἡμῖν γάρ, ὦ γυναῖκες, εἴπερ μέλλομεν
ἀναγκάσειν τοὺς ἄνδρας εἰρήνην ἄγειν,
ἀφεκτέ' ἐστὶ ΜΥ. τοῦ; φράσον. ΛΥ. ποιήσετ' οὖν;
ΜΥ. ποιήσομεν, κἂν ἀποθανεῖν ἡμᾶς δέῃ.
ΛΥ. ἀφεκτέα τοίνυν ἐστὶν ἡμῖν τοῦ πέους.
τί μοι μεταστρέφεσθε; ποῖ βαδίζετε;
αὗται; τί μοιμυᾶτε κἀνανεύετε;
τί χρὼς τέτραπται; τί δάκρυον κατείβεται;
ποιήσετ', ἢ οὐ ποιήσετ'; ἢ τί μέλλετε;
ΜΥ. οὐκ ἂν ποιήσαιμ', ἀλλ' ὁ πόλεμος ἑρπέτω.
ΚΑ. μὰ Δί' οὐδ' ἔγωγ' ἄν, ἀλλ' ὁ πόλεμος ἑρπέτω.
ΛΥ. ταυτὶ σὺ λέγεις, ὦ ψῆττα; καὶ μὴν ἄρτι γε
ἔφησθα σαυτῆς κἂν παρατεμεῖν θἤμισυ.
ΚΑ. ἄλλ' ἄλλ' ὅ τι βούλει· κἄν με χρῇ, διὰ τοῦ πυρὸς
ἐθέλω βαδίζειν· τοῦτο μᾶλλον τοῦ πέους.
οὐδὲν γὰρ οἷον, ὦ φίλη Λυσιστράτη.
ΛΥ. τί δαὶ σύ; ΜΥ. κἀγὼ βούλομαι διὰ τοῦ πυρός.
ΛΥ. ὢ παγκατάπυγον θἠμέτερον ἅπαν γένος.
οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσιν αἱ τραγῳδίαι.
οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.
ἀλλ', ὦ φίλη Λάκαινα, σὺ γὰρ ἐὰν γένῃ
μόνη μετ' ἐμοῦ, τὸ πρᾶγμ' ἀνασωσαίμεσθ' ἔτ' ἄν,
ξυμψήφισαί μοι. ΛΑ. χαλεπὰ μὲν ναὶ τὼ σιὼ
γυναῖκάς ἐσθ' ὑπνῶν ἄνευ ψωλᾶς μόνας.
ὅμως γα μάν· δεῖ τᾶς γὰρ εἰράνας μάλα.
ΛΥ. ὦ φιλτάτη σὺ καὶ μόνη τούτων γυνή.
ΚΑ. εἰ δ' ὡς μάλιστ' ἀπεχοίμεθ' οὗ σὺ δὴ λέγεις,
ὃ μὴ γένοιτο, μᾶλλον ἂν διὰ τουτογὶ
γένοιτ' ἂν εἰρήνη; ΛΥ. πολύ γε νὴ τὼ θεώ.
εἰ γὰρ καθοίμεθ' ἔνδον ἐντετριμμέναι
κἀν τοῖς χιτωνίοισι τοῖς ἀμοργίνοις
γυμναὶ παρίοιμεν, δέλτα παρατετιλμέναι,
στύοιντο δ' ἄνδρες κἀπιθυμοῖεν σπλεκοῦν,
ἡμεῖς δὲ μὴ προσίοιμεν, ἀλλ' ἀπεχοίμεθα,
σπονδὰς ποιήσαιντ' ἂν ταχέως, εὖ οἶδ' ὅτι.
ΛΑ. ὁ γῶν Μενέλαος τᾶς Ἑλένας τὰ μᾶλά πα
γυμνᾶς παρενιδὼν ἐξέβαλ', οἰῶ, τὸ ξίφος.

---

74. οὕνεκα Brunckius] εἵνεκα 79. γλυκυτάτη Bisetus] ὦ γλυκυτάτη. Praestat fortasse ὦ γλύκη (ut ὦ γλύκων Eccles. 985.), quod coniecit Meinekius. 81. γ' Reisigius] γὰρ τὼ addidit Berglerus. 82. γὰρ Halbertsma] γε (τε Eustathius p. 1570, 12.) cum Suida s. v. πυγή. 83. καλόν τι Cobetus] καλὸν τὸ τιτθίων Kusterus] τῶν τιτθίων. τῶν τιτθῶν Bentleius. καλὸν τὸ χρῆμ' ἔχεις τῶν τιτθίων Bergkius. 85. 90. ἀτέρα D.] ἡτέρα 87. ἀμέ Hamakerus] ὑμέ ναὶ μὰ Δία Meinekius] νὴ δί' ὦ 88. ΚΑ. Brunckius] ΛΑ. (in Aug. lineola) 89. τὴν Bentleius] τὰν 90. χαια Invernizius] χαῖα μὲν 92. οὖσα ταυταγὶ] οὖσ' ἐνταυθαγὶ Bentleius. κἀντευθενί Bentleius] τἀντευθενί 93. συναλίαξε Brunckius] ξυναλίαζε (ξυναλίαξε Aug.) 94. ἥδ' Brunckius] ἅδ' μύσιδδέ τοι Bentleius] μυσιδδέτω μύσιδδέ τω R.) 96. ΜΥ. νὴ — λέγε Beerius p. 163.] ΛΥ. νὴ — ΜΥ. λέγε 97. δ' additum in ed. Brubachiana. 100. εὖ Bentleius] ΜΥ. εὖ 105. καἴκ' ἐκ Ahrens. de dial. Dor. p. 382.] κἂν ἐκ. καἴκα 'κ Meinekius. ποκὰ Meinekius] πόκα 113. ἐγὼ μὲν ἂν Bentleius] ἔγωγ' ἂν cum Suida s. v. ἔγκυκλον 114. ἐκπιεῖν] ἐμπιεῖν Bergkius. 115. δέ γ' ἂν κἂν] ἐγὼ δὲ κἂν Suidas s. v. ψῆττα. ὡσπερεὶ Suidas] ὥσπερ ἡ vel ὥσπερ ἢ ψῆττάν με δῇ | ἐπιδοῦν' D. (v. ad Thesm. 217.)] ψῆτταν δοκῶ | δοῦναι ἄν (ἂν om. Suidas). De forma contracta δῇ, qua Aristophanes aliique poetae comici usi sunt, dictum in Thesauro vol. 2. p. 1036. Meinekius coniecerat ψῆτταν δέῃ | δοῦναί μ', et δοῦναί μ' etiam Reisigius.

116. παραταμοῦσαν (debebat παρατεμοῦσαν) Meinekius] παρταμοῦσα. παρατεμοῦσα Elmsleius. παρατεμεῖν est v. 132. 117. Ταΰγετον Bothius] Ταΰγετόν γ' 118. ἰδῆν Bergkius] ἰδεῖν 123. ἐστὶν ἡμῖν Bentleius] ἡμῖν ἐστι 126. μοιμυᾶτε L. Dindorfius in Thesauro vol. 5. p. 1238.] μοι μυᾶτε 130. ἔγωγ' ἂν Reisigius] ἐγὼ γὰρ 136. ΜΥ. Bentleius] ΛΑ. (fortasse ΑΛ. i. e. ἄλλη γυνή, quod coniecit Dobraeus.) 137. παγκατάπυγον Reiskius] πᾶν κατάπυγον 141. τὸ πρᾶγμ' ἀνασωσαίμεσθ' ἔτ' ἄν Brunckius] τὸ πρᾶγμ' ἂν σωσαίμεσθ' ἔτι R. τὸ πρᾶγμ' ἀνασωσαίμεσθ' ἔτι alii. 143. ἐσθ' ὑπνῶν Dawesius] ὑπνῶν ἐστ' 144. γα Scaliger] γε τᾶς Tyrwhittus] τὰς μάλα D.] μάλ' αὖ 149. καθοίμεθ' Brunckius] καθήμεθ' 152. στύοιντο δ' Bothius] στύοιντ' ἂν 152. 157. ἄνδρες Brunckius] ἄνδρες 152. σπλεκοῦν D.] πλεκοῦν (σπεκλοῦν editio Zanetti) 153. προσίοιμεν] προσείμεθ' Halbertsma. 155. πα] πο R. ποῦ Suidas s. v. μῆλα 156. παρενιδὼν A et Suidas. παρευιδὼν R. παρευιδὼν alii. παρεσιδὼν B. παραϊδὼν cum digammo Meinekius. Sic παραβλέψας Ran. 409.

ΚΑ. τί δ', ἢν ἀφίωσ' ἄνδρες ἡμᾶς, ὦ μέλε;
ΛΥ. τὸ τοῦ Φερεκράτους, κύνα δέρειν δεδαρμένην.
ΚΑ. φλυαρία ταῦτ' ἐστὶ τὰ μεμιμημένα.
ἐὰν λαβόντες δ' ἐς τὸ δωμάτιον βίᾳ
ἕλκωσιν ἡμᾶς; ΛΥ. ἀντέχου σὺ τῶν θυρῶν.
ΚΑ. ἐὰν δὲ τύπτωσιν, τί; ΛΥ. παρέχειν χρὴ κακῶς
οὐ γὰρ ἔνι τούτοις ἡδονὴ τοῖς πρὸς βίαν.
κἄλλως ὀδυνᾶν χρή· κἀμέλει ταχέως πάνυ
ἀπεροῦσιν. οὐ γὰρ οὐδέποτ' εὐφρανθήσεται
ἀνήρ, ἐὰν μὴ τῇ γυναικὶ συμφέρῃ.
ΚΑ. εἴ τοι δοκεῖ σφῷν ταῦτα, χἠμῖν ξυνδοκεῖ.
ΛΑ. καὶ τὼς μὲν ἁμῶν ἄνδρας ἁμὲς πείσομες
παντᾶ δικαίως ἄδολον εἰράναν ἄγειν
τὸν τῶν Ἀσαναίων γα μὰν ῥυάχετον
πᾶ κά τις ἀμπείσειεν αὖ μὴ πλαδδίην;
ΛΥ. ἡμεῖς ἀμέλει σοι τά γε παρ' ἡμῖν πείσομεν.
ΛΑ. οὐχ ἇς πόδας κ' ἔχωντι ταὶ τριήριες
καὶ τὠργύριον τὤβυσσον ᾖ πὰρ τᾷ σιῷ.
ΛΥ. ἀλλ' ἔστι καὶ τοῦτ' εὖ παρεσκευασμένον.
καταληψόμεθα γὰρ τὴν ἀκρόπολιν τήμερον.
ταῖς πρεσβυτάταις γὰρ προστέτακται τοῦτο δρᾶν,
ἕως ἂν ἡμεῖς ταῦτα συντιθώμεθα,
θύειν δοκούσαις καταλαβεῖν τὴν ἀκρόπολιν.
ΛΑ. παντᾶ κ' ἔχοι, καὶ τᾷδε γὰρ λέγεις, καλῶς.
ΛΥ. τί δῆτα ταῦτ' οὐχ ὡς τάχιστα, Λαμπιτοῖ,
ξυνωμόσαμεν, ὅπως ἂν ἀρρήκτως ἔχῃ;
ΛΑ. πάρφαινε μὰν τὸν ὅρκον, ὡς ὀμιόμεθα.
ΛΥ. καλῶς λέγεις. ποῦ 'σθ' ἡ Σκύθαινα; ποῖ βλέπεις;
θὲς ἐς τὸ πρόσθεν ὑπτίαν τὴν ἀσπίδα,
καί μοι δότω τὰ τόμιά τις. ΚΑ. Λυσιστράτη,
τίν' ὅρκον ὁρκώσεις ποθ' ἡμᾶς; ΛΥ. ὅντινα;
εἰς ἀσπίδ', ὥσπερ φασὶν Αἰσχύλος ποτέ,
μηλοσφαγούσας. ΚΑ. μὴ σύ γ', ὦ Λυσιστράτη,
εἰς ἀσπίδ' ὀμόσῃς μηδὲν εἰρήνης πέρι.
ΛΥ. τίς ἂν οὖν γένοιτ' ἂν ὅρκος; ΚΑ. εἰ λευκόν ποθεν
ἵππον λαβοῦσαι τόμιον ἐντεμοίμεθα.
ΛΥ. ποῖ λευκὸν ἵππον; ΚΑ. ἀλλὰ πῶς ὀμούμεθα
ἡμεῖς; ΛΥ. ἐγώ σοι νὴ Δί', ἢν βούλῃ, φράσω.
θεῖσαι μέλαιναν κύλικα μεγάλην ὑπτίαν,
μηλοσφαγοῦσαι Θάσιον οἴνου σταμνίον,
ὀμόσωμεν ἐς τὴν κύλικα μὴ 'πιχεῖν ὕδωρ.
ΛΑ. φεῦ δᾶ, τὸν ὅρκον ἄφατον ὡς ἐπαινίω.
ΛΥ. φερέτω κύλικά τις ἔνδοθεν καὶ σταμνίον.
ΚΑ. ὦ φίλταται γυναῖκες, ὁ κεραμὼν ὅσος.
ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών.
ΛΥ. καταθεῖσα ταύτην προσλαβοῦ μοι τοῦ κάπρου.
δέσποινα Πειθοῖ καὶ κύλιξ φιλοτησία,
τὰ σφάγια δέξαι ταῖς γυναιξὶν εὐμενής.
ΚΑ. εὔχρων γε θαῖμα κἀποπυτίζει καλῶς.
ΛΑ. καὶ μὰν ποτόδδει γ' ἁδὺ ναὶ τὸν Κάστορα.
ΜΥ. ἐᾶτε πρώτην μ', ὦ γυναῖκες, ὀμνύναι.
ΚΑ. μὰ τὴν Ἀφροδίτην οὐκ, ἐάν γε μὴ λάχῃς.
ΛΥ. λάζυσθε πᾶσαι τῆς κύλικος, ὦ Λαμπιτοῖ·
λεγέτω δ' ὑπὲρ ὑμῶν μί' ἅπερ ἂν κἀγὼ λέγω·
ὑμεῖς δ' ἐπομεῖσθε ταὐτὰ κἀμπεδώσετε.
Οὐκ ἔστιν οὐδεὶς οὔτε μοιχὸς οὔτ' ἀνήρ
ΚΑ. οὐκ ἔστιν οὐδεὶς οὔτε μοιχὸς οὔτ' ἀνήρ
ΛΥ. ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. λέγε.
ΚΑ. ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. παπαῖ,
ὑπολύεταί μου τὰ γόνατ', ὦ Λυσιστράτη.
ΛΥ. οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον
ΚΑ. οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον
ΛΥ. κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη,
ΚΑ. κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη,
ΛΥ. ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου·
ΚΑ. ὅπως ἂν ἀνὴρ ἐπιτυφῇ μάλιστά μου·
ΛΥ. κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι.
ΚΑ. κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι.
ΛΥ. ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ,
ΚΑ. ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ,
ΛΥ. κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.
ΚΑ. κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.
ΛΥ. οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὼ Περσικά.
ΚΑ. οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὼ Περσικά.
ΛΥ. οὐ στήσομαι λέαιν' ἐπὶ τυροκνήστιδος.
ΚΑ. οὐ στήσομαι λέαιν' ἐπὶ τυροκνήστιδος.
ΛΥ. ταῦτ' ἐμπεδοῦσα μὲν πίοιμ' ἐντευθενί·
ΚΑ. ταῦτ' ἐμπεδοῦσα μὲν πίοιμ' ἐντευθενί·
ΛΥ. εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῆθ' ἡ κύλιξ.
ΚΑ. εἰ δὲ παραβαίην, ὕδατος ἐμπλῆθ' ἡ κύλιξ.
ΛΥ. ξυνεπόμνυθ' ὑμεῖς ταῦτα πᾶσαι; ΜΥ. νὴ Δία.
ΛΥ. φέρ' ἐγὼ καθαγίσω τήνδε. ΚΑ. τὸ μέρος γ', ὦ φίλη,
ὅπως ἂν ὦμεν εὐθὺς ἀλλήλων φίλαι.
ΛΑ. τίς ὠλολυγά; ΛΥ. τοῦτ' ἐκεῖν' οὐγὼ 'λεγον·
αἱ γὰρ γυναῖκες τὴν ἀκρόπολιν τῆς θεοῦ
ἤδη κατειλήφασιν. ἀλλ', ὦ Λαμπιτοῖ,
σὺ μὲν βάδιζε καὶ τὰ παρ' ὑμῖν εὖ τίθει,
τασδὶ δ' ὁμήρους κατάλιφ' ἡμῖν ἐνθάδε·
ἡμεῖς δὲ ταῖς ἄλλαισι ταῖσιν ἐν πόλει
ξυνεμβάλωμεν εἰσιοῦσαι τοὺς μοχλούς.
ΚΑ. οὔκουν ἐφ' ἡμᾶς ξυμβοηθήσειν οἴει
τοὺς ἄνδρας εὐθύς; ΛΥ. ὀλίγον αὐτῶν μοι μέλει.
οὐ γὰρ τοσαύτας οὔτ' ἀπειλὰς οὔτε πῦρ

---

157. ἀφίωσ' Kusterus] ἀφίωσιν 162. τύπτωσιν] τύπτωσι BCΔ Voss. τί addidit D. κακῶς ed. Iunt. κακὰ κῶς R, quod est κακά, superscripto κῶς: unde interpolatum in aliis κακὰ κακῶς. 166. ἀνὴρ Meinekius] ἀνὴρ 169. παντᾶ Brunckius] πάντα 170. ῥυάχετον ex Hesychio et Photio] ρυάγχετον R. ῥυχάχετον alii et Suidas. 171. κά Dobraeus] καί ἀναπείσειεν (debebat ἀμπείσειεν, ut Ahrens Dial. Dor. p. 381.) Dobraeus] ἂν πείσειεν πλαδδίην Ahrens] πλαδδιῆν vel πλαδδιεῖν 173. ἇς (i. e. ἕως) Koenius ad Greg. Cor. p. 188. (ut ἇς Σέλευκος θέλῃ in inscr. Delphica 1706.)] ἅς vel ας sine accentu. πόδας Valckenarius Diatr. Eurip. p. 235.] σπουδᾶς R. Alii vel sic vel σποδᾶς (quod schol. explicat ἀντὶ τοῦ σπουδῆς), σποδάς, σπουδάς κ' Bergkius] γ', quod habent B et Voss., om. ceteri. ἔχωντι Bentleius] ἔχοντι τριήριες Koenius] τριήρεες 174. τὠργύριον L. Dindorfius in Thesauro vol. 3. p. 2646.] τἀργύριον πὰρ Koenius] παρὰ 180. παντᾶ κ' Bentleius] πάντα γ' τᾷδε B. τάδε ceteri. 181. τάχιστα] τάχιστ' ὦ C et Voss. 183. ὀμιόμεθα Elmsleius ad Acharn. 729.] ὀμιώμεθα 188. φασίν, Αἰσχύλος] φασ' ἐν αἰσχύλῳ R Aug. 189. μηλοσφαγούσας] μηλοσφαγούσαις R Aug. 192. ἐντεμοίμεθα] ἐκτεμοίμεθα R Aug. 198. ἐπαινίω Elmsleius] ἐπαινιῶ

200—267. om. BCΔ Voss. 200—204. Lysistratae tribuunt libri. Correxit Reisigius. 200. κεραμὼν Reiskius] κεραμεῶν. κεραμὼν τὸ περιεκτικὸν et Κεράμων τὸ κύριον memorat Arcadius p. 13, 19. 201. Myrrhinae tribuit Hamakerus. 202. μοι Brunckius] μου 205. κἀποπυτίζει Brunckius] κἀποπυττίζει 207. ΜΥ. Hamakerus] ΛΥ. 212. 213. οὔτε — οὔτε Bekkerus] οὐδὲ — οὐδὲ 216. μου] μοι Cobetus. 229. 230. τὼ D.] τὰ 235. 236. ἐμπλῆθ' ἡ Dawesius] ἐμπλησθῇ. ἐμπλεῖθ' ἡ et Ach. 236. ἐμπλείμην (pro ἐμπλήμην) Buttmannus Gramm. vol. 2. p. 274. 237. ξυνεπόμνυθ' Bentleius] συνεπόμνυσθ' 238. γ'] τ' R Aug. 240. ὠλολυγὰ D.] ἁ ὀλολυγὰ τοῦτ'] ταῦτ' R et Aug. οὑγὼ 'λεγον Kusterus] οὐκ ἐγὼ 'λεγον 243. ὑμῖν Reisigius] ὑμῶν 244. κατάλιφ' Brunckius] κατάλειφ' 249. οὔτ' — οὔτε Bekkerus] οὐδ' — οὐδὲ

ἥξουσ' ἔχοντες ὥστ' ἀνοῖξαι τὰς πύλας
ταύτας, ἐὰν μὴ 'φ' οἷσιν ἡμεῖς εἴπομεν.
ΚΑ. μὰ τὴν Ἀφροδίτην οὐδέποτέ γ'· ἄλλως γὰρ ἂν
ἄμαχοι γυναῖκες καὶ μιαραὶ κεκλήμεθ' ἄν.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

χώρει, Δράκης, ἡγοῦ βάδην, εἰ καὶ τὸν ὦμον ἀλγεῖς
κορμοῦ τοσουτονὶ βάρος χλωρᾶς φέρων ἐλάας.
ἦ πόλλ' ἄελπτ' ἔνεστιν ἐν τῷ μακρῷ βίῳ, φεῦ,
ἐπεὶ τίς ἂν ποτ' ἤλπισ', ὦ Στρυμόδωρ', ἀκοῦσαι
γυναῖκας, ἃς ἐβόσκομεν
κατ' οἶκον ἐμφανὲς κακόν,
κατὰ μὲν ἅγιον ἔχειν βρέτας,
κατὰ δ' ἀκρόπολιν ἐμὰν λαβεῖν,
μοχλοῖς δὲ καὶ κλήθροισιν
τὰ προπύλαια πακτοῦν;
ἀλλ' ὡς τάχιστα πρὸς πόλιν σπεύσωμεν, ὦ Φιλοῦργε,
ὅπως ἂν αὐτὰς ἐν κύκλῳ θέντες τὰ πρέμνα ταυτί,
ὅσαι τὸ πρᾶγμα τοῦτ' ἐνεστήσαντο καὶ μετῆλθον,
μίαν πυρὰν νήσαντες ἐμπρήσωμεν αὐτόχειρες
πάσας ὑπὸ ψήφου μιᾶς, πρώτην δὲ τὴν Λύκωνος.
οὐ γὰρ μὰ τὴν Δήμητρ' ἐμοῦ ζῶντος ἐγχανοῦνται·
ἐπεὶ οὐδὲ Κλεομένης, ὃς αὐτὴν κατέσχε πρῶτος,
ἀπῆλθεν ἀψάλακτος, ἀλλ'
ὅμως Λακωνικὸν πνέων
ᾤχετο θὤπλα παραδοὺς ἐμοί,
σμικρὸν ἔχων πάνυ τριβώνιον,
πινῶν, ῥυπῶν, ἀπαράτιλτος,
ἓξ ἐτῶν ἄλουτος.
οὕτως ἐπολιόρκησ' ἐγὼ τὸν ἄνδρ' ἐκεῖνον ὠμῶς
ἐφ' ἑπτακαίδεκ' ἀσπίδας πρὸς ταῖς πύλαις καθεύδων.
τασδὶ δὲ τὰς Εὐριπίδῃ θεοῖς τε πᾶσιν ἐχθρὰς
ἐγὼ οὐκ ἄρα σχήσω παρὼν τολμήματος τοσούτου;
μὴ νῦν ἔτ' ἐν τῇ τετραπόλει τοὐμὸν τροπαῖον εἴη.

256—265. = 271—280.

ἀλλ' αὐτὸ γάρ μοι τῆς ὁδοῦ
λοιπόν ἐστι χωρίον
τὸ πρὸς πόλιν, τὸ σιμόν οἷ σπουδὴν ἔχω·
χὤπως ποτ' ἐξαμπρεύσομεν
τοῦτ' ἄνευ κανθηλίου.
ὡς ἐμοῦ γε τὼ ξύλω τὸν ὦμον ἐξιπώκατον·
ἀλλ' ὅμως βαδιστέον
καὶ τὸ πῦρ φυσητέον,
μή μ' ἀποσβεσθὲν λάθῃ πρὸς τῇ τελευτῇ τῆς ὁδοῦ.
φῦ φῦ.
ἰοὺ ἰοὺ τοῦ καπνοῦ.
ὡς δεινόν, ὦναξ Ἡράκλεις,
προσπεσόν μ' ἐκ τῆς χύτρας
ὥσπερ κύων λυττῶσα τὠφθαλμὼ δάκνει·
κἄστιν γε Λήμνιον τὸ πῦρ
τοῦτο πάσῃ μηχανῇ.
οὐ γὰρ ἂν ποθ' ὧδ' ὀδὰξ ἔβρυκε τὰς λήμας ἐμοῦ.
σπεῦδε πρόσθεν ἐς πόλιν
καὶ βοήθει τῇ θεῷ,
ἢ πότ' αὐτῇ μᾶλλον ἢ νῦν, ὦ Λάχης, ἀρήξομεν;
φῦ φῦ.
ἰοὺ ἰοὺ τοῦ καπνοῦ.
τουτὶ τὸ πῦρ ἐγρήγορεν θεῶν ἕκατι καὶ ζῇ.
οὐκουν ἄν, εἰ τὼ μὲν ξύλω θείμεσθα πρῶτον αὐτοῦ,
τῆς ἀμπέλου δ' ἐς τὴν χύτραν τὸν φανὸν ἐγκα-
θέντες
ἅψαντες εἶτ' ἐς τὴν θύραν κριηδὸν ἐμπέσοιμεν;
κἂν μὴ καλούντων τοὺς μοχλοὺς χαλῶσιν αἱ γυ-
ναῖκες,
ἐμπιμπράναι χρὴ τὰς θύρας καὶ τῷ καπνῷ πιέζειν.
θώμεσθα δὴ τὸ φορτίον. φεῦ τοῦ καπνοῦ, βαβαιάξ.
τίς ξυλλάβοιτ' ἂν τοῦ ξύλου τῶν ἐν Σάμῳ στρα-
τηγῶν;
ταυτὶ μὲν ἤδη τὴν ῥάχιν θλίβοντά μου πέπαυται.
σὸν δ' ἐστὶν ἔργον, ὦ χύτρα, τὸν ἄνθρακ' ἐξεγεί-
ρειν, [σεις
τὴν λαμπάδ' ἡμμένην ὅπως πρόφρων ἐμοὶ προσοί-
δέσποινα Νίκη ξυγγενοῦ, τῶν τ' ἐν πόλει γυναικῶν
τοῦ νῦν παρεστῶτος θράσους θέσθαι τροπαῖον ἡμᾶς.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

λιγνὺν δοκῶ μοι καθορᾶν καὶ καπνόν, ὦ γυναῖκες,
ὥσπερ πυρὸς καομένου· σπευστέον ἐστὶ θᾶττον.
πέτου πέτου, Νικοδίκη,
πρὶν ἐμπεπρῆσθαι Καλύκην
τε καὶ Κρίτυλλαν περιφυσήτῳ
ὑπό τε νόμων ἀργαλέων
ὑπό τε γερόντων ὀλέθρων.
ἀλλὰ φοβοῦμαι τόδε. μῶν ὑστερόπους βοηθῶ;
νῦν δὴ γὰρ ἐμπλησαμένη τὴν ὑδρίαν κνεφαία
μόλις ἀπὸ κρήνης ὑπ' ὄχλου καὶ θορύβου καὶ πατά-
γου χυτρείου,

286—295. = 296—305.

321—334. = 335—349.

---

254. ΓΕΡΟΝΤΩΝ] ἀνδρῶν pr. R. γερόντων rec. R. Chorus ex duobus constat ἡμιχορίοις, altero virorum, altero mulierum. Conf. ad v. 318. 255. βάρος χλωρᾶς φέρων Bentleius] φέρων βάρος χλωρᾶς ἐλάας Brunckius] ἐλαίας 256. ἔνεστιν Reisigius] ἔστιν 259. Στρυμόδωρ' Brunckius] Στρυμμόδωρ' 263. κατὰ δ' D.] κατά τ' 264. μοχλοῖς (μοχλοῖσιν R Aug.) δὲ καὶ κλήθροισιν] Si versus catalecticus esset, scribendum foret κλήθροις δὲ καὶ μοχλοῖσι. Sed probabilius est acatalectum fuisse: unde κλήθροισί μου Meinekius, parum probabiliter. Si in antistropha v. 279. recte legitur πινῶν ῥυπῶν ἀπαράτιλτος, quod tamen ipsum quoque incertum est, versus strophicus aliter erit corrigendus. 267. αὐτὰς Reisigius] αὐταῖς 270. ὑπὸ] ἀπὸ Meinekius. 277. 278. Horum versuum metrum hoc est

‿́ ‿ ‿, ‿́ ‿ ‿ ‿, ‿́ ‿ –,

quo Euripides usus est in Hippolyto 1108. ἄλλα γὰρ ἄλλοθεν ἀμείβεται. = 1115. ῥᾴδια δ' ἤθεα τὸν αὔριον. neque in verbis quidquam est quod reprehendi possit. Idem de versibus strophicis dicendum 262. 263. κατὰ μὲν ἅγιον ἔχειν βρέτας, | κατὰ δ' ἀκρόπολιν ἐμὰν λαβεῖν, qui duo sund iambici dimetri. Quaeritur igitur quomodo haec responsionis inaequalitas sit explicanda. Coniecturae quibus versus antistrophici tentati sunt, ut duo evaderent dimetri iambici, manifesto falsae sunt. 277. ᾤχετο θ' ὦπλα BCΔ Voss. ᾠιχετ' ὅπλα R. Ωχετ' ὅπλα ed. Iunt. ᾤχεθ' ὅπλα Aug. 279. πινῶν] πεινῶν BC Aug. Voss. ἀπαράτιλτος si recte legitur, versus ex dipodia iambica et trochaica erit compositus, de quo tamen non liquet, quum versus strophici 264. incerta sit emendatio. 281. οὕτως Brunckius] οὕτω δ' ὠμῶς Bentleius] ὅμως 282. ἀσπίδας ex lemmate scholii] ἀσπίδων 285. ἐν τῇ τετραπόλει Meinekius] ἐνγετεραπολει R. ἐν τετραπόλει ceteri. ἐν τετραπτόλει Brunckius.

291. γρ. ἐξιπώκατον codicis Vossiani apogr. Cantabrig. γρ. ἐξιπώκειτον Voss. ἐξιπώκατον ceteri et Suidas. 301. ἂν addidit Brunckius. 304. ἤ ποτ' (debebat ἢ πότ' ut Bothius) Reiskius] εἴ ποτ' 306. ἕκατι] ἕκητι BCΔ Voss. 307. οὔκουν Brunckius] οὐκοῦν εἰ — θείμεσθα] οὖν — θώμεσθα R. 311. ἐμπιμπράναι Brunckius] ἐμπιπράναι 313. τοῦ ξύλου] τοῖν ξύλοιν BΔ. Fortasse ex v. 291. 307. 316. πρόφρων Reisigius coniectura incerta] πρῶτον R et Aug. πρῶτος vel πρώτως ceteri. 317. τ' delet Bergkius. 318. ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ] ἡμι^χ γυ^ν R. 328. μόλις Δ et Voss. μόγις ceteri.

δούλαισιν ὠστιζομένη
⏑́ ⏑ ⏑ – ⏑́ ⏑ ⏑ –
στιγματίαις θ', ἁρπαλέως
ἀραμένη ταῖσιν ἐμαῖς
δημότισιν καομέναις
φέρουσ' ὕδωρ βοηθῶ.
ἤκουσα γὰρ τυφογέρον-
τας ἄνδρας ἔρρειν, στελέχη
φέροντας, ὥσπερ βαλανεύσοντας,
ὡς τριτάλαντον τὸ βάρος,
δεινότατ' ἀπειλοῦντας ἐπῶν,
ὡς πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν·
ἅς, ὦ θεά, μή ποτ' ἐγὼ πιμπραμένας ἴδοιμι,
ἀλλὰ πολέμου καὶ μανιῶν ῥυσαμένας Ἑλλάδα καὶ
ἐφ' οἷσπερ, ὦ χρυσολόφα [πολίτας,
σὰς πολιοῦχ' ἔσχον ἕδρας.
καί σε καλῶ ξύμμαχον, ὦ
Τριτογένει', ἤν τιν' ἐκεί-
νων ὑποπιμπρῇ τις ἀνήρ,
φέρειν ὕδωρ μεθ' ἡμῶν.
ἔασον ὦ. τουτὶ τί ἦν; ὦνδρες πόνῳ πονηροί·
οὐ γάρ ποτ' ἂν χρηστοί γ' ἔδρων οὐδ' εὐσεβεῖς
τάδ' ἄνδρες. [ἥκει·
ΧΟ. ΓΕ. τουτὶ τὸ πρᾶγμ' ἡμῖν ἰδεῖν ἀπροσδόκητον
ἑσμὸς γυναικῶν οὑτοσὶ θύρασιν αὖ βοηθεῖ.
ΧΟ. ΓΥ. τί βδύλλεθ' ἡμᾶς; οὔ τί που πολλαὶ δοκοῦμεν
εἶναι;
καὶ μὴν μέρος γ' ἡμῶν ὁρᾶτ' οὔπω τὸ μυριοστόν.
ΧΟ. ΓΕ. ὦ Φαιδρία, ταύτας λακεῖν ἐάσομεν τοσαυτί;
οὐ περικατᾶξαι τὸ ξύλον τύπτοντ' ἐχρῆν τιν' αὐ-
ταῖς; [ἄν,
ΧΟ. ΓΥ. θώμεσθα δὴ τὰς κάλπιδας χἠμεῖς χαμᾶζ', ὅπως
ἢν προσφέρῃ τὴν χεῖρά τις, μὴ τοῦτό μ' ἐμποδίζῃ.
ΧΟ. ΓΕ. εἰ νὴ Δί' ἤδη τὰς γνάθους τούτων τις ἢ δὶς ἢ
τρὶς
ἔκοψεν ὥσπερ Βουπάλου, φωνὴν ἂν οὐκ ἂν εἶχον.
ΧΟ. ΓΥ. καὶ μὴν ἰδοὺ παταξάτω τις· στᾶσ' ἐγὼ παρέξω,
κοὐ μή ποτ' ἄλλη σου κύων τῶν ὄρχεων λάβηται.
ΧΟ. ΓΕ. εἰ μὴ σιωπήσει, θενών σου 'κκοκκιῶ τὸ γῆρας.
ΧΟ. ΓΥ. ἅπτου μόνον Στρατυλλίδος τῷ δακτύλῳ προσ-
ελθών.
ΧΟ. ΓΕ. τί δ', ἢν σποδῶ τοῖς κονδύλοις, τί μ' ἐργάσει
τὸ δεινόν;

ΧΟ. ΓΥ. βρύκουσά σου τοὺς πλεύμονας καὶ τἄντερ' ἐξα-
μήσω.
ΧΟ. ΓΕ. οὐκ ἔστ' ἀνὴρ Εὐριπίδου σοφώτερος ποιητής·
οὐδὲν γὰρ ὡδὶ θρέμμ' ἀναιδές ἐστιν ὡς γυναῖκες.
ΧΟ. ΓΥ. αἰρώμεθ' ἡμεῖς θοὔδατος τὴν κάλπιν, ὦ Ῥο-
δίππη. [ἀφίκου;
ΧΟ. ΓΕ. τί δ', ὦ θεοῖς ἐχθρά, σὺ δεῦρ' ὕδωρ ἔχουσ'
ΧΟ. ΓΥ. τί δαὶ σὺ πῦρ, ὦ τύμβ', ἔχων; ὡς σαυτὸν ἐμ-
πυρεύσων; [ὑφάψω.
ΧΟ. ΓΕ. ἐγὼ μέν, ἵνα νήσας πυρὰν τὰς σὰς φίλας
ΧΟ. ΓΥ. ἐγὼ δέ γ', ἵνα τὴν σὴν πυρὰν τούτῳ κατασβέ-
σαιμι. [γον τάχ' αὐτὸ δείξει.
ΧΟ. ΓΕ. τοὐμὸν σὺ πῦρ κατασβέσεις; ΧΟ. ΓΥ. τοὔρ-
ΧΟ. ΓΕ. οὐκ οἶδά σ' εἰ τῇδ' ὡς ἔχω τῇ λαμπάδι στα-
θεύσω. [παρέξω.
ΧΟ. ΓΥ. εἰ ῥύμμα τυγχάνεις ἔχων, λουτρόν γ' ἐγὼ
ΧΟ. ΓΕ. ἐμοὶ σὺ λουτρόν, ὦ σαπρά; ΧΟ. ΓΥ. καὶ ταῦτα
νυμφικόν γε. [θέρα γάρ εἰμι.
ΧΟ. ΓΕ. ἤκουσας αὐτῆς τοῦ θράσους; ΧΟ. ΓΥ. ἐλευ-
ΧΟ. ΓΕ. σχήσω σ' ἐγὼ τῆς νῦν βοῆς. ΧΟ. ΓΥ. ἀλλ'
οὐκέθ' ἡλιάξει. [ἔργον, ὦχελῷε.
ΧΟ. ΓΕ. ἔμπρησον αὐτῆς τὰς κόμας. ΧΟ. ΓΥ. σὸν
ΧΟ. ΓΕ. οἴμοι τάλας. ΧΟ. ΓΥ. μῶν θερμὸν ἦν;
ΧΟ. ΓΕ. ποῖ θερμόν; οὐ παύσει; τί δρᾷς;
ΧΟ. ΓΥ. ἄρδω σ', ὅπως ἂν βλαστάνῃς.
ΧΟ. ΓΕ. ἀλλ' αὗός εἰμ' ἤδη τρέμων.
ΧΟ. ΓΥ. οὐκοῦν ἐπειδὴ πῦρ ἔχεις, σὺ χλιανεῖς σεαυτόν.

ΠΡΟΒΟΥΛΟΣ.

ἆρ' ἐξέλαμψε τῶν γυναικῶν ἡ τρυφὴ
χὠ τυμπανισμὸς χοἰ πυκνοὶ Σαβάζιοι,
ὅ τ' Ἀδωνιασμὸς οὗτος οὑπὶ τῶν τεγῶν,
οὗ 'γώ ποτ' ὢν ἤκουον ἐν τἠκκλησίᾳ;
ἔλεγε δ' ὁ μὴ ὥρασι μὲν Δημόστρατος
πλεῖν ἐς Σικελίαν, ἡ γυνὴ δ' ὀρχουμένη,
αἰαῖ Ἄδωνιν, φησίν, ὁ δὲ Δημόστρατος
ἔλεγεν ὁπλίτας καταλέγειν Ζακυνθίων·
ἡ δ' ὑποπεπωκυῖ' ἡ γυνὴ 'πὶ τοῦ τέγους,
κόπτεσθ' Ἄδωνιν, φησίν· ὁ δ' ἐβιάζετο
ὁ θεοῖσιν ἐχθρὸς καὶ μιαρὸς Χολοζύγης.
τοιαῦτ' ἀπ' αὐτῶν ἐστιν ἀκολαστάσματα.
ΧΟ. ΓΕ. τί δῆτ' ἄν, εἰ πύθοιο καὶ τὴν τῶνδ' ὕβριν;
αἳ τἄλλα θ' ὑβρίκασι κἀκ τῶν καλπίδων
ἔλουσαν ἡμᾶς, ὥστε θαἰματίδια
σείειν πάρεστιν ὥσπερ ἐνεουρηκότας.
ΠΡ. νὴ τὸν Ποσειδῶ τὸν ἁλυκόν, δίκαιά γε.
ὅταν γὰρ αὐτοὶ ξυμπονηρευώμεθα
ταῖσιν γυναιξὶ καὶ διδάσκωμεν τρυφᾶν,
τοιαῦτ' ἀπ' αὐτῶν βλαστάνει βουλεύματα.
οἳ λέγομεν ἐν τῶν δημιουργῶν τοιαδί
"ὦ χρυσοχόε, τὸν ὅρμον ὃν ἐπεσκεύασας,
ὀρχουμένης μου τῆς γυναικὸς ἑσπέρας
ἡ βάλανος ἐκπέπτωκεν ἐκ τοῦ τρήματος.
ἐμοὶ μὲν οὖν ἔστ' ἐς Σαλαμῖνα πλευστέα·
σὺ δ' ἢν σχολάσῃς, πάσῃ τέχνῃ πρὸς ἑσπέραν
ἐλθὼν ἐκείνῃ τὴν βάλανον ἐνάρμοσον."

---

330. δούλαισιν D.] δούλησιν. Post hunc versum excidit versus respondens antistrophico 345. 332. στιγματίαις] μαστιγίαις BCΔ Voss. 338. ὡς τριτάλαντον Bentleius] ἐς πόλιν ὡς τριτάλαντον τὸ addidit Bothius. 340. γυναῖκας] Suspectus diiambus, quum in versu strophico 326. choriambus positus sit. 341. πιμπραμένας] 'μπιμπραμένας Bergkius. 345. σὰς πολιοῦχ' Bentleius] πολιοῦχε σάς 348. ἤν τιν' ἐκείνων ὑποπιμπρῇ τις ἀνὴρ D.] ἤν (εἴ Reisigius) τις ἐκείνας ὑποπίμπρησιν ἀνήρ. ὑποπίμπρησιν Brunckius: sed coniunctivus est ὑποπιμπρῇ. 350. ἔασον] Στρατυλλίδος nomen (ex v. 365.) in libris praescriptum δ delevit D. 352. ΓΕ.] ἀν (i. e. ἀνδρῶν) R et Aug., qui in sequentibus personarum vices lineolis notat. ἰδεῖν Voss. Vat., om. ceteri. ἑσμὸς] ἐσμὸς libri. 356. τοσαυτί] τοσαῦτα R Aug. 357. περικατᾶξαι D.] περικατάξαι τύπτοντ' ἐχρῆν] τύπτοντα χρῆν BCΔ Voss. αὐταῖς ex schol.] αὐτάς 358. χαμᾶζ' om. R Aug. 360. Δί' ἤδη τὰς] δία τὰς R Aug. 362. ΧΟ. ΓΥ.] στρα. R hic et infra. στᾶσ' Brunckius] καὶ στᾶσ' 364. θενών D.] θένων σου 'κκοκκιῶ τὸ γῆρας Reisigius] ἐκκοκκιῶ τὸ γῆράς σου 365. ἅπτου R Aug. ἅψαι ceteri. 366. κονδύλοις] δακτύλοις R Aug.

367. πλεύμονας] πνεύμονας R Aug. 369. ὡδὶ R Aug. οὕτω ceteri. Euripidis versus fuisse potest οὐδὲν γὰρ ὧδε θρέμμ' ἀναιδὲς ὡς γυνή. 372. δαὶ R. δὲ alii. δὲ δὴ Δ. 377. γ' addidit Bentleius. 380. ἡλιάξει Buttmannus] ἡλιάξεις. ἡλιάζεις Δ. ἡλιάζει Cobetus. 384. ἂν βλαστάνῃς Brunckius] ἀναβλαστάνῃς 389. Ἀδωνιασμὸς editio Caninii] ἀδωνισμὸς 391. ἔλεγε Meinekius] ἔλεγεν 398. ἀκολαστάσματα (collato gramm. in Bekk. Anecd. p 367, 20. ubi ἀκολαστάματα) Dobraeus] ἀκόλαστ' ᾄσματα 402. σείειν πάρεστιν] πάρεστι σείειν Brunckius. 408. ἐπεσκεύασας] ἐσκεύασας R Aug.

ἕτερος δέ τις πρὸς σκυτοτόμον ταδὶ λέγει
νεανίαν καὶ πέος ἔχοντ' οὐ παιδικόν
"ὦ σκυτοτόμε μου τῆς γυναικὸς τοῦ ποδὸς
τὸ δακτυλίδιον πιέζει τὸ ζυγόν,
ἅθ' ἁπαλὸν ὄν· τοῦτ' οὖν σὺ τῆς μεσημβρίας
ἐλθὼν χάλασον, ὅπως ἂν εὐρυτέρως ἔχῃ."
τοιαῦτ' ἀπήντηκ' ἐς τοιαυτὶ πράγματα,
ὅτε γ' ὢν ἐγὼ πρόβουλος, ἐκπορίσας ὅπως
κωπῆς ἔσονται, τἀργυρίου νυνὶ δέον,
ὑπὸ τῶν γυναικῶν ἀποκέκλημαι τῶν πυλῶν.
ἀλλ' οὐδὲν ἔργον ἑστάναι. φέρε τοὺς μοχλούς,
ὅπως ἂν αὐτὰς τῆς ὕβρεως ἐγὼ σχέθω.
τί κέχηνας, ὦ δύστηνε; ποῖ δ' αὖ σὺ βλέπεις,
οὐδὲν ποιῶν ἀλλ' ἢ καπηλεῖον σκοπῶν;
οὐχ ὑποβαλόντες τοὺς μοχλοὺς ὑπὸ τὰς πύλας
ἐντεῦθεν ἐκμοχλεύσετ'; ἐνθενδὶ δ' ἐγὼ
ξυνεκμοχλεύσω. ΛΥ. μηδὲν ἐκμοχλεύετε·
ἐξέρχομαι γὰρ αὐτομάτη. τί δεῖ μοχλῶν;
οὐ γὰρ μοχλῶν δεῖ μᾶλλον ἢ νοῦ καὶ φρενῶν.
ΠΡ. ἄληθες, ὦ μιαρὰ σύ; ποῦ 'σθ' ὁ τοξότης;
ξυλλάμβαν' αὐτὴν κὠπίσω τὼ χεῖρε δεῖ.
ΛΥ. εἴ τἄρα νὴ τὴν Ἄτεμιν τὴν χεῖρά μοι
ἄκραν προσοίσει, δημόσιος ὢν κλαύσεται.
ΠΡ. ἔδεισας, οὗτος; οὐ ξυναρπάσει μέσην
καὶ σὺ μετὰ τούτου κἀνύσαντε δήσετον;

ΓΥΝΗ Α.

εἴ τἄρα νὴ τὴν Πάνδροσον ταύτῃ μόνον
τὴν χεῖρ' ἐπιβαλεῖς, ἐπιχεσεῖ πατούμενος.
ΠΡ. ἰδού γ' ἐπιχεσεῖ. ποῦ 'στιν ἕτερος τοξότης;
ταύτην προτέραν ξύνδησον, ὁτιὴ καὶ λαλεῖ.
ΓΥ. Β. εἴ τἄρα νὴ τὴν Φωσφόρον τὴν χεῖρ' ἄκραν
ταύτῃ προσοίσεις, κύαθον αἰτήσεις τάχα.
ΠΡ. τουτὶ τί ἦν; ποῦ τοξότης; ταύτης ἔχου.
παύσω τιν' ὑμῶν τῆσδ' ἐγὼ τῆς ἐξόδου.
ΓΥ. Γ. εἴ τἄρα νὴ τὴν Ταυροπόλον ταύτῃ πρόσει,
ἐκκοκκιῶ σου τὰς στενοκωκύτους τρίχας.
ΠΡ. οἴμοι κακοδαίμων· ἐπιλέλοιφ' ὁ τοξότης.
ἀτὰρ οὐ γυναικῶν οὐδέποθ' ἔσθ' ἡττητέα
ἡμῖν· ὁμόσε χωρῶμεν αὐταῖς, ὦ Σκύθαι,
ξυνταξάμενοι. ΛΥ. νὴ τὼ θεὼ γνώσεσθ' ἄρα
ὅτι καὶ παρ' ἡμῖν εἰσι τέτταρες λόχοι
μαχίμων γυναικῶν ἔνδον ἐξωπλισμένων
ΠΡ. ἀποστρέφετε τὰς χεῖρας αὐτῶν, ὦ Σκύθαι.
ΛΥ. ὦ ξύμμαχοι γυναῖκες, ἐκθεῖτ' ἔνδοθεν,
ὦ σπερμαγοραιολεκιθολαχανοπώλιδες,
ὦ σκοροδοπανδοκευτριαρτοπώλιδες,
οὐχ ἕλξετ', οὐ παιήσετ', οὐκ ἀράξετε;
οὐ λοιδορήσετ', οὐκ ἀναισχυντήσετε;
παύεσθ', ἐπαναχωρεῖτε, μὴ σκυλεύετε.
ΠΡ. οἴμ' ὡς κακῶς πέπραγέ μου τὸ τοξικόν.
ΛΥ. ἀλλὰ τί γὰρ ᾤου; πότερον ἐπὶ δούλας τινὰς
ἥκειν ἐνόμισας, ἢ γυναιξὶν οὐκ οἴει
χολὴν ἐνεῖναι; ΠΡ. νὴ τὸν Ἀπόλλω καὶ μάλα
πολλήν γ', ἐάνπερ πλησίον κάπηλος ᾖ. [γῆς,
ΧΟ. ΓΕ. ὦ πόλλ' ἀναλώσας ἔπη πρόβουλε τῆσδε τῆς
τί τοῖσδε σαυτὸν ἐς λόγον τοῖς θηρίοις ξυνάπτεις;
οὐκ οἶσθα λουτρὸν οἷον αἵδ' ἡμᾶς ἔλουσαν ἄρτι,
ἐν τοῖσιν ἱματιδίοις καὶ ταῦτ' ἄνευ κονίας;
ΧΟ. ΓΥ. ἀλλ', ὦ μέλ', οὐ χρὴ προσφέρειν τοῖς πλησίοι-
σιν εἰκῇ
τὴν χεῖρ'· ἐὰν δὲ τοῦτο δρᾷς, κυλοιδιᾶν ἀνάγκη.
ἐπεὶ θέλω 'γὼ σωφρόνως ὥσπερ κόρη καθῆσθαι,
λυποῦσα μηδέν' ἐνθαδί, κινοῦσα μηδὲ κάρφος,
ἢν μή τις ὥσπερ σφηκιὰν βλίττῃ με κἀρεθίζῃ.
ΧΟ. ΓΕ. ὦ Ζεῦ, τί ποτε χρησόμεθα τοῖσδε τοῖς κνωδά-
οὐ γὰρ ἔτ' ἀνεκτέα τάδ', ἀλλὰ βασανιστέον [λοις;
τόδε σοι τὸ πάθος μετ' ἐμοῦ
ὅ τι βουλόμεναί ποτε τὴν
Κραναὰν κατέλαβον,
ἐφ' ὅ τι τε μεγαλόπετρον, ἄβατον ἀκρόπολιν,
ἱερὸν τέμενος.
ἀλλ' ἀνερώτα καὶ μὴ πείθου καὶ πρόσφερε πάν-
τας ἐλέγχους. [μεθέντας.
ὡς αἰσχρὸν ἀκωδώνιστον ἐᾶν τὸ τοιοῦτον πρᾶγμα
ΠΡ. καὶ μὴν αὐτῶν τοῦτ' ἐπιθυμῶ νὴ τὸν Δία πρῶτα
πυθέσθαι, [μοχλοῖσιν.
ὅ τι βουλόμεναι τὴν πόλιν ἡμῶν ἀπεκλῄσατε τοῖσι
ΛΥ. ἵνα τἀργύριον σῶν παρέχοιμεν καὶ μὴ πολεμοῖτε
δι' αὐτό.
ΠΡ. διὰ τἀργύριον πολεμοῦμεν γάρ; ΛΥ. καὶ τἄλλα γε
πάντ' ἐκυκήθη. [ἐπέχοντες,
ἵνα γὰρ Πείσανδρος ἔχοι κλέπτειν χοἰ ταῖς ἀρχαῖς
ἀεί τινα κορκορυγὴν ἐκύκων. οἱ δ' οὖν τοῦδ' οὕ-
νεκα δρώντων [καθέλωσιν.
ὅ τι βούλονται· τὸ γὰρ ἀργύριον τοῦτ' οὐκέτι μὴ
ΠΡ. ἀλλὰ τί δράσεις; ΛΥ. τοῦτό μ' ἐρωτᾷς; ἡμεῖς τα-
μιεύσομεν αὐτό.
ΠΡ. ὑμεῖς ταμιεύσετε τἀργύριον; ΛΥ. τί δὲ δεινὸν
τοῦτο νομίζεις; [ὑμῖν;
οὐ καὶ τἄνδον χρήματα πάντως ἡμεῖς ταμιεύομεν
ΠΡ. ἀλλ' οὐ ταυτόν. ΛΥ. πῶς οὐ ταυτόν; ΠΡ. πολε-
μητέον ἔστ' ἀπὸ τούτου.
ΛΥ. ἀλλ' οὐδὲν δεῖ πρῶτον πολεμεῖν. ΠΡ. πῶς γὰρ
σωθησόμεθ' ἄλλως;
ΛΥ. ἡμεῖς ὑμᾶς σώσομεν. ΠΡ. ὑμεῖς; ΛΥ. ἡμεῖς μέν-
τοι. ΠΡ. σχέτλιόν γε. [ΛΥ. ἀγανακτεῖς·
ΛΥ. ὡς σωθήσει, κἂν μὴ βούλῃ. ΠΡ. δεινόν γε λέγεις.
ἀλλὰ ποιητέα ταῦτ' ἐστὶν ὅμως. ΠΡ. νὴ τὴν Δή-
μητρ' ἄδικόν γε. [οὕνεκα καὶ πολὺ μᾶλλον.
ΛΥ. σωστέον, ὦ τᾶν. ΠΡ. κεἰ μὴ δέομαι; ΛΥ. τοῦδ'
ΠΡ. ὑμῖν δὲ πόθεν περὶ τοῦ πολέμου τῆς τ' εἰρήνης
ἐμέλησεν; [ΛΥ. ἀκροῦ δή,
ΛΥ. ἡμεῖς φράσομεν. ΠΡ. λέγε δὴ ταχέως, ἵνα μὴ κλάῃς.
καὶ τὰς χεῖρας πειρῶ κατέχειν. ΠΡ. ἀλλ' οὐ δύνα-
μαι· χαλεπὸν γὰρ
ὑπὸ τῆς ὀργῆς αὐτὰς ἴσχειν.

ΓΥΝΗ.

κλαύσει τοίνυν πολὺ μᾶλλον.

476—483. = 541—548.

---

416. μου τῆς Meinekius] τῆς μου τοῦ ποδὸς] τοὺς πόδας R Aug. 417. Post δακτυλίδιον una vel duae syllabae exciderunt. Fort. σφόδρα πιέζει 421. ὅτε γ'] ὅτ' Meinekius. 423. ἀποκέκλημαι D.] ἀποκέκλισμαι R. ἀποκέκλεισμαι vel ἀποκέκλειμαι ceteri. τῶν πυλῶν] ταῖς πύλαις Hamakerus. 426. δ' αὖ] δὲ BCΔ Voss. 429. ἐνθενδὶ δ' B. ἐνθένδε γ' R. ἐνθένδε δ' alii. ἐντεῦθεν δ' vel ἐνθαδὶ δ' Bentleius. 439. 447. Στρα. praescriptum in libris, et v. 443. ΛΥ., ubi ed. Iunt. pariter Στρα. Correxi praeeunte Do-
πτ ρετ
braeo. 455. ΠΡ.] υρ R. ὑπη Aug. ὑπηρέτης Iunt. 459. οὐχ ἕλξετ'] οὐκ ἐξέλκετ' R Aug. ἀράξετε Wakefieldus] ἀρήξετε 465. νὴ] μὰ R Aug.

467. τῆς addidit Kusterus. 476. τοῖς Hermannus] τοῖσιν 477. ἔτ' Δ Voss. ἔστ' ceteri. ἀνεκτέα Dobraeus] ἀνεκτὰ 484. πείθου] πιθοῦ R Aug. 486. αὐτῶν] πάντων Hamakerus. 487. ἀπεκλῄσατε D.] ἀπεκλείσατε τοῖσι μοχλοῖσιν editio Lugd. Bat. a. 1624.] τοῖς μοχλοῖς 488. παρέχοιμεν — πολεμοῖτε] Fort. παρέχωμεν (sic Frobenius) — πολεμῆτε 494. δὲ addidit Bentleius. 499. γε addidit Brunckius. 501. καὶ om. R Aug. 505. ΓΥΝΗ] ΛΥ. Alius haec verba esse mulieris intellexit Bentleius et apparet ex verbis proximis Probuli.

ΠΡ. τοῦτο μέν, ὦ γραῦ, σαυτῇ 'κρωξας· σὺ δέ μοι
λέγε. ΛΥ. ταῦτα ποιήσω
ἡμεῖς τὸν μὲν πρότερον πόλεμον καὶ χρόνον ἠνε-
σχόμεθ' ὑμῶν [ἐποιεῖτε.
ὑπὸ σωφροσύνης τῆς ἡμετέρας τῶν ἀνδρῶν ἅττ'
οὐ γὰρ γρύζειν εἰᾶθ' ἡμᾶς. κᾆτ' οὐκ ἠρέσκετέ γ'
ἡμᾶς. [ἂν οὖσαι
ἀλλ' ᾐσθανόμεσθα καλῶς ὑμῶν, καὶ πολλάκις ἔνδον
ἠκούσαμεν ἄν τι κακῶς ὑμᾶς βουλευσαμένους μέγα
πρᾶγμα· [λάσασαι
εἶτ' ἀλγοῦσαι τἄνδοθεν ὑμᾶς ἐπανηρόμεθ' ἄν γε-
"τί βεβούλευται περὶ τῶν σπονδῶν ἐν τῇ στήλῃ
παραγράψαι [δ' ὃς ἂν ἀνὴρ
ἐν τῷ δήμῳ τήμερον ὑμῖν;" "τί δέ σοι ταῦτ';" ἦ
"οὐ σιγήσει;" κἀγὼ 'σίγων. ΓΥ. Α. ἀλλ' οὐκ ἂν
ἐγώ ποτ' ἐσίγων. [ἔνδον ἐσίγων.
ΠΡ. κἂν ᾤμωζές γ', εἰ μὴ 'σίγας. ΛΥ. τοιγὰρ ἔγωγ'
κἄπειθ' ἕτερόν τι πονηρότερον βούλευμ' ἐπεπύ-
σμεθ' ἂν ὑμῶν· [ὧδ' ἀνοήτως;"
εἶτ' ἠρόμεθ' ἄν "πῶς ταῦτ', ὦνερ, διαπράττεσθ'
ὁ δέ μ' εὐθὺς ὑποβλέψας ἂν ἔφασκ', εἰ μὴ τὸν στή-
μονα νήσω, [δρεσσι μελήσει.
ὀτοτύξεσθαι μακρὰ τὴν κεφαλήν· πόλεμος δ' ἄν-
ΠΡ. ὀρθῶς γε λέγων νὴ Δί' ἐκεῖνος. ΛΥ. πῶς ὀρθῶς,
ὦ κακόδαιμον,
εἰ μηδὲ κακῶς βουλευομένοις ἐξῆν ὑμῖν ὑποθέσθαι;
ὅτε δὴ δ' ὑμῶν ἐν ταῖσιν ὁδοῖς φανερῶς ἠκούομεν
ἤδη [εἶφ' ἕτερός τις·
"οὐκ ἔστιν ἀνὴρ ἐν τῇ χώρᾳ;" "μὰ Δί' οὐ δῆτ'"
μετὰ ταῦθ' ἡμῖν εὐθὺς ἔδοξεν σῶσαι τὴν Ἑλλάδα
κοινῇ [ἀναμεῖναι;
ταῖσι γυναιξὶ ξυλλεχθείσαις. ποῖ γὰρ καὶ χρῆν
ἢν οὖν ἡμῶν χρηστὰ λεγουσῶν ἐθελήσητ' ἀντα-
κροᾶσθαι [ὑμᾶς.
κἀντισιωπᾶν ὥσπερ χἠμεῖς, ἐπανορθώσαιμεν ἂν
ΠΡ. ὑμεῖς ἡμᾶς; δεινόν γε λέγεις κοὐ τλητὸν ἔμοιγε.
ΛΥ. σιώπα. [λυμμα φορούσῃ
ΠΡ. σοί γ', ὦ κατάρατε, σιωπῶ 'γώ, καὶ ταῦτα κά-
περὶ τὴν κεφαλήν; μή νυν ζῴην. ΛΥ. ἀλλ' εἰ
τοῦτ' ἐμπόδιόν σοι,
παρ' ἐμοῦ τουτὶ τὸ κάλυμμα λαβὼν
ἔχε καὶ περίθου περὶ τὴν κεφαλήν,
κᾆτα σιώπα,
καὶ τουτονγὶ τὸν καλαθίσκον,
κᾆτα ξαίνειν ξυζωσάμενος,
κυάμους τρώγων·
πόλεμος δὲ γυναιξὶ μελήσει. [ὅπως ἂν
ΧΟ. ΓΩ. ἀπαίρετ', ὦ γυναῖκες, ἀπὸ τῶν καλπίδων,
ἐν τῷ μέρει χἠμεῖς τι ταῖς φίλαισι συλλάβωμεν.
ἐγὼ γὰρ οὔποτε κάμοιμ' ἂν ὀρχουμένη,
οὐδὲ γόνατ' ἂν κόπος ἕλοι με καματηρὸς ἄν.
ἐθέλω δ' ἐπὶ πᾶν ἰέναι
μετὰ τῶνδ' ἀρετῆς ἕνεχ' αἷς
ἔνι φύσις, ἔνι χάρις,
ἔνι θράσος, ἔνι δὲ τὸ σοφόν, ἔνι φιλόπολις
ἀρετὴ φρόνιμος.
ἀλλ', ὦ τηθῶν ἀνδρειοτάτη καὶ μητριδίων ἀκαλη-
φῶν, [θεῖτε.
χωρεῖτ' ὀργῇ καὶ μὴ τέγγεσθ'· ἔτι γὰρ νῦν οὔρια
ΛΥ. ἀλλ' ἤνπερ ὅ τε γλυκύθυμος Ἔρως χἠ Κυπρογένει'
Ἀφροδίτη [καταπνεύσῃ,
ἵμερον ἡμῶν κατὰ τῶν κόλπων καὶ τῶν μηρῶν
κᾆτ' ἐνστάξῃ τέτανον τερπνὸν τοῖς ἀνδράσι καὶ
ῥοπαλισμούς, [σθαι.
οἶμαί ποτε Λυσιμάχας ἡμᾶς ἐν τοῖς Ἕλλησι καλεῖ-
ΠΡ. τί ποιησάσας; ΛΥ. ἢν παύσωμεν πρώτιστον μὲν
ξὺν ὅπλοισιν [φίαν Ἀφροδίτην.
ἀγοράζοντας καὶ μαινομένους. ΓΥ. νὴ τὴν Πα-
ΛΥ. νῦν μὲν γὰρ δὴ κἀν ταῖσι χύτραις κἀν τοῖς λαχά-
νοισιν ὁμοίως [Κορύβαντες.
περιέρχονται κατὰ τὴν ἀγορὰν ξὺν ὅπλοις, ὥσπερ
ΠΡ. νὴ Δία· χρὴ γὰρ τοὺς ἀνδρείους. ΛΥ. καὶ μὴν τό
γε πρᾶγμα γέλοιον, [ρακίνους.
ὅταν ἀσπίδ' ἔχων καὶ Γοργόνα τις κᾆτ' ὠνῆται κο-
ΓΥ. νὴ Δί' ἐγὼ γοῦν ἄνδρα κομήτην φυλαρχοῦντ' εἶδον
ἐφ' ἵππου [γραός·
ἐς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ
ἕτερος δ' αὖ Θρᾷξ πέλτην σείων κἀκόντιον, ὥσπερ
ὁ Τηρεύς, [τέπινεν.
ἐδεδίσκετο τὴν ἰσχαδόπωλιν καὶ τὰς δρυπετεῖς κα-
ΠΡ. πῶς οὖν ὑμεῖς δυναταὶ παῦσαι τεταραγμένα πράγ-
ματα πολλὰ [ΠΡ. πῶς; ἀπόδειξον.
ἐν ταῖς χώραις καὶ διαλῦσαι; ΛΥ. φαύλως πάνυ.
ΛΥ. ὥσπερ κλωστῆρ', ὅταν ἡμῖν ᾖ τεταραγμένος, ὧδε
λαβοῦσαι, [δ' ἐκεῖσε,
ὑπενεγκοῦσαι τοῖσιν ἀτράκτοις τὸ μὲν ἐνταυθί, τὸ
οὕτως καὶ τὸν πόλεμον τοῦτον διαλύσομεν, ἤν τις
ἐάσῃ, [δ' ἐκεῖσε.
διενεγκοῦσαι διὰ πρεσβειῶν τὸ μὲν ἐνταυθί, τὸ
ΠΡ. ἐξ ἐρίων δὴ καὶ κλωστήρων καὶ ἀτράκτων πράγ-
ματα δεινὰ

506. 'κρωξας Meinekius] κρώξαις 507. καὶ χρόνον ἠνεσχόμεθ' ὑμῶν Porsonus] καὶ τὸν χρόνον ἠνεσχόμεθα (ἠνειχόμεσθα Voss). Recte Porsonus ὑμῶν addidisse videtur, quod cohaeret cum τῶν ἀνδρῶν, sed verba καὶ τὸν χρόνον interpolatoris esse videntur versum defectum sarcientis. 508. ἅττ' ἐποιεῖτε A. ἅττ' ἂν ποιεῖτε R Aug. ἅττ' ἂν ποῆτε alii. 509. ἠρέσκετέ γ'] ἠρέσκετ' R. ἠρέσκεθ' Aug. 514. ταῦτ'] τοῦτ' BC. τοῦτο Voss. 515. ΓΥ.] Μυρρίνη, superscripto γυνή, B. μία γυνή C. 516. ᾤμωζες] ᾤμωξας B C Voss. Vat. ἔγωγ' est in ed. Iunt., om. codices. ἔνδον habent codices, om. ed. Iunt. 517. κἄπειθ' addidit D. πονηρότερον] δήπου addunt BΔ. 519. ἂν addidit Porsonus. ἔφασκ' εἰ Porsonus] ἔφασκε κεἰ νήσω] νήσεις BΔ. 524. εἶφ' addidit Dobraeus. 526. ταῖσι Florens Christianus] ταῖς 528. κἀντισιωπᾶν Kusterus] κἀντισιωπᾶθ' ἐπανορθώσαιμεν] ἐπανορθωσαίμεθ' legisse videtur Antiatt. Bekkeri p. 96, 25. qui ἐπανορθώσασθαι ex Thesmophoriazusis affert, de quo dixi ad Fragm. p. 510. ed. Oxon. ἂν om. R Aug. 533. περίθου] περιδοῦ Meinekius. 535. τουτονγὶ Elmsleius] τουτονὶ R Aug. τοῦτον ceteri.

539. ἀπαίρετ' ex schol., qui explicat ἀναχωρήσατε, Brunckius] αἴρεσθ' 540. τι] τε R Aug. 541. ἐγὼ γὰρ οὔποτε] Ante οὔποτε quinque syllabas excidisse versus strophicus docet 476. quibus supplendis non sufficit quod vetus interpolator posuit ἐγὼ γάρ. Prima versus syllaba fortasse ὡς fuit. Recentior interpolator, responsionis antistrophicae ignarus, in BΔ trimetrum fecit ἐγὼ γὰρ οὔποτ' ἂν κάμοιμ' ὀρχουμένη. Proximus quoque versus, ab Hermanno et Bentleio utcunque correctus, interpolatoris manum expertus esse videtur. 542. οὐδὲ] οὔτε BCΔ Voss. γόνατ' ἂν Hermannus] τὰ γόνατα ἕλοι με καματηρὸς ἂν Bentleius] ἑλεῖ (ἕλοι BΔ) μου καματηρός 546. θράσος Voss. δὲ θράσος ceteri. τὸ addidit Hermannus. 549. ἀνδρειοτάτη ex Athenaeo 3. p. 90. et Suida s. v. τήθη] ἀνδρειοτάτων 551. τε addidit Porsonus. 552. ἡμῶν] ἡμῖν Bentleius. 553. ἐνστάξῃ Hirschigius] ἐντέξῃ 557. κἀν — κἀν Brunckius] καὶ — καὶ 561. ἐφ' ἵππου] ἔφιππον R. ἐφ' ἵππον Aug. ἐφ' ἵππῳ schol. Pluti 427. 563. δ' αὖ Brunckius] δὲ 564. δρυπετεῖς D.] δρυπέπεις CR Aug. δρυπέτεις ceteri. 565. δυναταὶ Elmsleius] δύνασθε (δύνασθαι Voss.) 567 κλωστῆρ' Bentleius] κλωστήρ

παύσειν οἴεσθ', ὦ ἀνόητοι; ΛΥ. κἂν ὑμῖν γ' εἴ τις
ἐνῆν νοῦς, [ἅπαντα.
ἐκ τῶν ἐρίων τῶν ἡμετέρων ἐπολιτεύεσθ' ἂν
ΠΡ. πῶς δή; φέρ' ἴδω. ΛΥ. πρῶτον μὲν ἐχρῆν, ὥσπερ
πόκου ἐν βαλανείῳ, [κλίνης
ἐκπλύναντας τὴν οἰσπώτην, ἐκ τῆς πόλεως ἐπὶ
ἐκραβδίζειν τοὺς μοχθηροὺς καὶ τοὺς τριβόλους
ἀπολέξαι, [λοῦντας ἑαυτοὺς
καὶ τούς γε συνισταμένους τούτους καὶ τοὺς πι-
ἐπὶ ταῖς ἀρχαῖσι διαξῆναι καὶ τὰς κεφαλὰς ἀποτῖλαι·
εἶτα ξαίνειν ἐς καλαθίσκον κοινὴν εὔνοιαν ἅπαντας,
καταμιγνύντας τούς τε μετοίκους κεἴ τις ξένος ἢ
φίλος ὑμῖν, [μῖξαι·
κεἴ τις ὀφείλει τῷ δημοσίῳ, καὶ τούτους ἐγκατα-
καὶ νὴ Δία τάς γε πόλεις, ὁπόσαι τῆς γῆς τῆσδ'
εἰσὶν ἄποικοι, [κεῖται
διαγιγνώσκειν ὅτι ταῦθ' ἡμῖν ὥσπερ τὰ κατάγματα
χωρὶς ἕκαστον· κᾆτ' ἀπὸ τούτων πάντων τὸ κά-
ταγμα λαβόντας [ποιῆσαι
δεῦρο ξυνάγειν καὶ ξυναθροίζειν εἰς ἕν, κἄπειτα
τολύπην μεγάλην, κᾆτ' ἐκ ταύτης τῷ δήμῳ χλαῖ-
ναν ὑφῆναι.
ΠΡ. οὔκουν δεινὸν ταυτὶ ταύτας ῥαβδίζειν καὶ τολυ-
πεύειν, [ὦ παγκατάρατε,
αἷς οὐδὲ μετῆν πάνυ τοῦ πολέμου; ΛΥ. καὶ μήν,
πλεῖν ᾗ διπλοῦν αὐτὸν φέρομεν. πρώτιστον μέν
γε τεκοῦσαι [σιγα ὁ κακήσης.
κἀκπέμψασαι παῖδας ὁπλίτας. ΠΡ. σίγα, μὴ μνη-
ΛΥ. εἶθ' ἡνίκ' ἐχρῆν εὐφρανθῆναι καὶ τῆς ἥβης ἀπο-
λαῦσαι, [μὲν ἐᾶτε,
μονοκοιτοῦμεν διὰ τὰς στρατιάς. καὶ θἠμέτερον
περὶ τῶν δὲ κορῶν ἐν τοῖς θαλάμοις γηρασκουσῶν
ἀνιῶμαι. [οὐκ εἶπας ὅμοιον.
ΠΡ. οὔκουν χἄνδρες γηράσκουσιν; ΛΥ. μὰ Δί', ἀλλ'
ὁ μὲν ἥκων γάρ, κἂν ᾖ πολιός, ταχὺ παῖδα κόρην
γεγάμηκεν· ['πιλάβηται,
τῆς δὲ γυναικὸς σμικρὸς ὁ καιρός, κἂν τούτου μὴ
οὐδεὶς ἐθέλει γῆμαι ταύτην, ὀττευομένη δὲ κάθηται.
ΠΡ. ἀλλ' ὅστις ἔτι στῦσαι δυνατὸς
ΛΥ. σὺ δὲ δὴ τί παθὼν οὐκ ἀποθνήσκεις;
χοιρίον ἔσται· σορὸν ὠνήσει·
μελιτοῦτταν ἐγὼ καὶ δὴ μάξω.
λαβὲ ταυτὶ καὶ στεφάνωσαι.
ΓΥ. Α. καὶ ταυτασὶ δέξαι παρ' ἐμοῦ.
ΓΥ. Β. καὶ τουτονγὶ λαβὲ τὸν στέφανον.
ΛΥ. τοῦ δεῖ; τί ποθεῖς; χώρει 'ς τὴν ναῦν·
ὁ Χάρων σε καλεῖ,
σὺ δὲ κωλύεις ἀνάγεσθαι.
ΠΡ. εἶτ' οὐχὶ ταῦτα δεινὰ πάσχειν ἔστ' ἐμέ;
νὴ τὸν Δί' ἀλλὰ τοῖς προβούλοις ἄντικρυς
ἐμαυτὸν ἐπιδείξω βαδίζων ὡς ἔχω.
ΛΥ. μῶν ἐγκαλεῖς ὅτι οὐχὶ προυθέμεσθά σε;
ἀλλ' ἐς τρίτην γοῦν ἡμέραν σοὶ πρῴ πάνυ
ἥξει παρ' ἡμῶν τὰ τρίτ' ἐπεσκευασμένα.
ΧΟ. ΓΕ. οὐκέτ' ἔργον ἐγκαθεύδειν ὅστις ἔστ' ἐλεύθερος·
ἀλλ' ἐπαποδυώμεθ', ἄνδρες, τουτῳὶ τῷ πράγματι.
ἤδη γὰρ ὄζειν ταδὶ πλειόνων καὶ μειζόνων
πραγμάτων μοι δοκεῖ,
καὶ μάλιστ' ὀσφραίνομαι τῆς Ἱππίου τυραννίδος·
καὶ πάνυ δέδοικα μὴ τῶν Λακώνων τινὲς
δεῦρο συνεληλυθότες ἄνδρες ἐς Κλεισθένους
τὰς θεοῖς ἐχθρὰς γυναῖκας ἐξεπαίρωσιν δόλῳ
καταλαβεῖν τὰ χρήμαθ' ἡμῶν τόν τε μισθόν,
ἔνθεν ἔζων ἐγώ.
δεινὰ γάρ τοι τάσδε γ' ἤδη τοὺς πολίτας νουθετεῖν,
καὶ λαλεῖν γυναῖκας οὔσας ἀσπίδος χαλκῆς πέρι,
καὶ διαλλάττειν πρὸς ἡμᾶς ἀνδράσιν Λακωνικοῖς,
οἷσι πιστὸν οὐδὲν εἰ μή περ λύκῳ κεχηνότι.
ἀλλὰ ταῦθ' ὕφηναν ἡμῖν, ἄνδρες, ἐπὶ τυραννίδι.
ἀλλ' ἐμοῦ μὲν οὐ τυραννεύσουσ', ἐπεὶ φυλάξομαι,
καὶ φορήσω τὸ ξίφος τὸ λοιπὸν ἐν μύρτου κλαδί,
ἀγοράσω τ' ἐν τοῖς ὅπλοις ἑξῆς Ἀριστογείτονι,
ὡδέ θ' ἑστήξω παρ' αὐτόν· αὐτὸ γάρ μοι γίγνεται
τῆς θεοῖς ἐχθρᾶς πατάξαι τῆσδε γραὸς τὴν γνάθον.
ΧΟ. ΓΥ. οὐκ ἄρ' εἰσιόντα σ' οἴκαδ' ἡ τεκοῦσα γνώσεται.
ἀλλὰ θώμεσθ', ὦ φίλαι γρᾶες, ταδὶ πρῶτον χαμαί.
ἡμεῖς γάρ, ὦ πάντες ἀστοί, λόγων κατάρχομεν
τῇ πόλει χρησίμων·
εἰκότως, ἐπεὶ χλιδῶσαν ἀγλαῶς ἔθρεψέ με.
ἑπτὰ μὲν ἔτη γεγῶσ' εὐθὺς ἠρρηφόρουν·
εἶτ' ἀλετρὶς ἢ δεκέτις οὖσα τἀρχηγέτι·
κᾆτ' ἔχουσα τὸν κροκωτὸν ἄρκτος ἢ Βραυρωνίοις·
κἀκανηφόρουν ποτ' οὖσα παῖς καλὴ 'χουσ'
ἰσχάδων ὁρμαθόν·
ἆρα προυφείλω τι χρηστὸν τῇ πόλει παραινέσαι;
εἰ δ' ἐγὼ γυνὴ πέφυκα, τοῦτο μὴ φθονεῖτέ μοι,
ἢν ἀμείνω γ' εἰσενέγκω τῶν παρόντων πραγμά-
των. [ρω,
τοὐράνου γάρ μοι μέτεστι· καὶ γὰρ ἄνδρας ἐσφέ-
τοῖς δὲ δυστήνοις γέρουσιν οὐ μέτεσθ' ὑμῖν, ἐπεὶ
τὸν ἔρανον τὸν γενόμενον παππῷον ἐκ τῶν Μη-
δικῶν
εἶτ' ἀναλώσαντες οὐκ ἀντεσφέρετε τὰς ἐσφοράς,
ἀλλ' ὑφ' ὑμῶν διαλυθῆναι προσέτι κινδυνεύομεν.
ἆρα γρυκτόν ἐστιν ὑμῖν; εἰ δὲ λυπήσεις τί με,
τῷδε τἀψήκτῳ πατάξω 'γὼ κοθόρνῳ τὴν γνάθον.
ΧΟ. ΓΕ. ταῦτ' οὖν οὐχ ὕβρις τὰ πράγματ' ἐστὶ
πολλή; κἀπιδώσειν μοι δοκεῖ τὸ χρῆμα μᾶλλον.
ἀλλ' ἀμυντέον τὸ πρᾶγμ' ὅστις γ' ἐνόρχης ἔστ' ἀνήρ.
ἀλλὰ τὴν ἐξωμίδ' ἐκδυώμεθ', ὡς τὸν ἄνδρα δεῖ
ἀνδρὸς ὄζειν εὐθύς, ἀλλ' οὐκ ἐντεθριῶσθαι πρέπει.

614—635. = 636—657.

658—681. = 682—705.

574. πόκου Kusterus] πόκον 577. πιλοῦντας] θλίβοντας R Aug.: quo scholiasta illud explicat. 583. τὰ om. R Aug. 588. παγκατάρατε] λακκατάρατε (debebat λακατάρατε) Bentleius, quod adiectivum annotavit Photius p. 203, 5. λακατάρατοι (codex λακκατάρατοι) per οἱ ἄγαν καταρατοὶ interpretatus. 589. ᾗ D.] ἥγε: de qua corruptela dixi in annot. ad Harpocrat. vol. 1. p. 61. ed. Oxon. 591. ἡνίκ' ἐχρῆν D.] ἡνίκα χρῆν 592. θἠμέτερον Berglerus] κἀθ' ἡμέτερον R Aug. κᾆθ' ἡμέτερον ceteri. 594. χἄνδρες Reisigius] γ' ἄνδρες R Aug. κἄνδρες ceteri. ἥκων γὰρ] γὰρ ἥκων R Aug. 598. ἔτι — παθὼν Florens Christianus] ἔστι — μαθὼν 600. χοιρίον ἔσται Elmsleius] χωρίον ἐστί 601. μελιτοῦτταν Bentleius] μελιττοῦταν 604. τουτονγὶ Elmsleius] τουτονὶ 605. δεῖ Bentleius] δέει vel δέῃ χώρει 'ς] χώρει εἰς libri.

612. σοὶ om. R Aug. 613. ἐπεσκευασμένα] ἐσκευασμένα R Aug. 615. ἄνδρες] ὦνδρες Meinekius. ἄνθρωποι R Aug. 616. πλειόνων καὶ μειζόνων] μειζόνων καὶ πλειόνων BCΔ Voss. 629. οὐδὲν πιστὸν] πιστὸν οὐδὲν R Aug. 634. αὐτὸ Scaliger] αὐτὸς 636. οὐκ ἄρ' Dobraeus] οὐ γὰρ εἰσιόντα σ' (quod legit scholiasta) Bentleius] εἰσιόντας 644. οὖσα τἀρχηγέτι Bentleius] οὖσά τ' ἀρχηγέτι 645. κᾆτ' ἔχουσα Bentleius] καταχέουσα R Aug. κατέχουσα ceteri. 646. 'χουσ' D.] ἔχουσ' 652. γενόμενον Geelius Mnemos. 2. p. 109.] λεγόμενον 657. τῷδε τἀψήκτῳ — 'γὼ Cobetus] τῷδέ γ' (τῷδέ σ' Dobraeus) ἀψήκτῳ — τῷ

ἀλλ' ἄγετε, λευκόποδες, οἵπερ ἐπὶ Λειψύδριον ἤλ-
θομεν, ὅτ' ἦμεν ἔτι,
νῦν δεῖ νῦν ἀνηβῆσαι πάλιν κἀναπτερῶσαι
πᾶν τὸ σῶμα κἀποσείσασθαι τὸ γῆρας τόδε.
εἰ γὰρ ἐνδώσει τις ἡμῶν ταῖσδε κἂν σμικρὰν λαβήν,
οὐδὲν ἐλλείψουσιν αὗται λιπαροῦς χειρουργίας,
ἀλλὰ καὶ ναῦς τεκτανοῦνται, κἀπιχειρήσουσ' ἔτι
ναυμαχεῖν καὶ πλεῖν ἐφ' ἡμᾶς, ὥσπερ Ἀρτεμισία.
ἢν δ' ἐφ' ἱππικὴν τράπωνται, διαγράφω τοὺς ἱπ-
πέας.
ἱππικώτατον γάρ ἐστι χρῆμα κἄποχον γυνή, [πει,
κοὐκ ἂν ἀπολίσθοι τρέχοντος· τὰς Ἀμαζόνας σκό-
πει, ἃς Μίκων ἔγραψ' ἀφ' ἵππων μαχομένας τοῖς ἀν-
δράσιν.
ἀλλὰ τούτων χρῆν ἁπασῶν ἐς τετρημένον ξύλον
ἐγκαθαρμόσαι λαβόντας τουτονὶ τὸν αὐχένα.
ΧΟ. ΓΥ. εἰ νὴ τὼ θεὼ με ζωπυρήσεις,
λύσω τὴν ἐμαυτῆς ὗν ἐγὼ δή, καὶ ποιήσω [νον.
τήμερον τοὺς δημότας βωστρεῖν σ' ἐγὼ πεκτούμε-
ἀλλὰ χἠμεῖς, ὦ γυναῖκες, θᾶττον ἐκδυώμεθα,
ὡς ἂν ὄζωμεν γυναικῶν αὐτοδὰξ ὠργισμένων.
νῦν πρός ἔμ' ἴτω τις, ἵνα μή ποτε φάγῃ σκόροδα,
μηδὲ κυάμους μέλανας.
ὡς εἰ καὶ μόνον κακῶς μ' ἐρεῖς, ὑπερχολῶ γάρ,
αἰετὸν τίκτοντα κάνθαρός σε μαιεύσομαι.
οὐ γὰρ ὑμῶν φροντίσαιμ' ἄν, ἢν ἐμοὶ ζῇ Λαμπιτὼ
ἥ τε Θηβαία φίλη παῖς εὐγενὴς Ἰσμηνία.
οὐ γὰρ ἔσται δύναμις, οὐδ' ἢν ἑπτάκις σὺ ψηφίσῃ,
ὅστις, ὦ δύστην', ἀπήχθου πᾶσι καὶ τοῖς γείτοσιν.
ὥστε κἀχθὲς θἠκάτῃ ποιοῦσα παιγνίαν ἐγὼ
τοῖσι παισὶ τὴν ἑταίραν ἐκάλεσ' ἐκ τῶν γειτόνων,
παῖδα χρηστὴν κἀγαπητὴν ἐκ Βοιωτῶν ἔγχελυν·
οἱ δὲ πέμψειν οὐκ ἔφασκον διὰ τὰ σὰ ψηφίσματα.
κοὐχὶ μὴ παύσεσθε τῶν ψηφισμάτων τούτων,
πρὶν ἂν
τοῦ σκέλους ὑμᾶς λαβών τις ἐκτραχηλίσῃ φέρων.
ἄνασσα πράγους τοῦδε καὶ βουλεύματος,
τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων;
ΛΥ. κακῶν γυναικῶν ἔργα καὶ θήλεια φρὴν
ποιεῖ μ' ἀθυμεῖν περιπατεῖν τ' ἄνω κάτω.
ΧΟ. ΓΥ. τί φῄς; τί φῄς;
ΛΥ. ἀληθῆ ἀληθῆ.
ΧΟ. ΓΥ. τί δ' ἐστὶ δεινόν; φράζε ταῖς σαυτῆς φίλαις.
ΛΥ. ἀλλ' αἰσχρὸν εἰπεῖν καὶ σιωπῆσαι βαρύ.
ΧΟ. ΓΥ. μή νύν με κρύψῃς ὅ τι πεπόνθαμεν κακόν.
ΛΥ. βινητιῶμεν, ἡ βράχιστον τοῦ λόγου.
ΧΟ. ΓΥ. ἰὼ Ζεῦ.
ΛΥ. τί Ζῆν' ἀϋτεῖς; ταῦτα δ' οὖν οὕτως ἔχει.
ἐγὼ μὲν οὖν αὐτὰς ἀποσχεῖν οὐκέτι
οἵα τ' ἀπὸ τῶν ἀνδρῶν· ἀποδιδράσκουσι γάρ.
τὴν μέν γε πρώτην διαλέγουσαν τὴν ὀπὴν
κατέλαβον ᾗ τοῦ Πανός ἐστι ταὐλίον,
τὴν δ' ἐκ τροχιλίας αὖ κατειλυσπωμένην,
τὴν δ' αὐτομολοῦσαν, τὴν δ' ἐπὶ στρούθου μίαν
ἤδη πέτεσθαι διανοουμένην κάτω
εἰς Ὀρσιλόχου χθὲς τῶν τριχῶν κατέσπασα.
πάσας τε προφάσεις ὥστ' ἀπελθεῖν οἴκαδε
ἕλκουσιν. ἤδη γοῦν τις αὐτῶν ἔρχεται.
αὕτη σὺ ποῖ θεῖς; ΓΥ. Α. οἴκαδ' ἐλθεῖν βούλομαι.
οἴκοι γάρ ἐστιν ἔριά μοι Μιλήσια
ὑπὸ τῶν σέων κατακαπτόμενα. ΛΥ. ποίων σέων;
οὐκ εἶ πάλιν; ΓΥ. Α. ἀλλ' ἥξω ταχέως, νὴ τὼ θεώ,
ὅσον διαπετάσασ' ἐπὶ τῆς κλίνης μόνον.
ΛΥ. μὴ διαπετάννυ, μηδ' ἀπέλθῃς μηδαμῆ.
ΓΥ. Α. ἀλλ' ἐῶ 'πολέσθαι τἄρι'; ΛΥ. ἢν τούτου δέῃ.
ΓΥ. Β. τάλαιν' ἐγώ, τάλαινα τῆς ἀμοργίδος,
ἣν ἄλοπον οἴκοι καταλέλοιφ'. ΛΥ. αὕτη 'τέρα
ἐπὶ τὴν ἄμοργιν τὴν ἄλοπον ἐξέρχεται.
χώρει πάλιν δεῦρ'. ΓΥ. Β. ἀλλὰ νὴ τὴν Φωσφόρον
ἔγωγ' ἀποδείρασ' αὐτίκα μάλ' ἀνέρχομαι.
ΛΥ. μὴ μἀποδείρῃς. ἢν γὰρ ἄρξῃ τουτουί,
ἑτέρα γυνὴ ταὐτὸν ποιεῖν βουλήσεται.
ΓΥ. Γ. ὦ πότνι' Εἰλείθυι', ἐπίσχες τοῦ τόκου,
ἕως ἂν εἰς ὅσιον μόλω 'γὼ χωρίον.
ΛΥ. τί ταῦτα ληρεῖς; ΓΥ. Γ. αὐτίκα μάλα τέξομαι.
ΛΥ. ἀλλ' οὐκ ἐκύεις σύ γ' ἐχθές. ΓΥ. Γ. ἀλλὰ τήμερον.
ἀλλ' οἴκαδέ μ' ὡς τὴν μαῖαν, ὦ Λυσιστράτη,
ἀπόπεμψον ὡς τάχιστα. ΛΥ. τίνα λόγον λέγεις;
τί τοῦτ' ἔχεις τὸ σκληρόν; ΓΥ. Γ. ἄρρεν παιδίον.
ΛΥ. μὰ τὴν Ἀφροδίτην οὐ σύ γ', ἀλλ' ἢ χαλκίον
ἔχειν τι φαίνει κοῖλον· εἴσομαι δ' ἐγώ.
ὦ καταγέλαστ', ἔχουσα τὴν ἱερὰν κυνῆν
κυεῖν ἔφασκες; ΓΥ. Γ. καὶ κυῶ γε νὴ Δία.
ΛΥ. τί δῆτα ταύτην εἶχες; ΓΥ. Γ. ἵνα μ' εἰ καταλάβοι
ὁ τόκος ἔτ' ἐν πόλει, τέκοιμ' ἐς τὴν κυνῆν
ἐσβᾶσα ταύτην, ὥσπερ αἱ περιστεραί.
ΛΥ. τί λέγεις; προφασίζει· περιφανῆ τὰ πράγματα.
οὐ τἀμφιδρόμια τῆς κυνῆς αὐτοῦ μενεῖς;
ΓΥ. Γ. ἀλλ' οὐ δύναμαι 'γωγ' οὐδὲ κοιμᾶσθ' ἐν πόλει,
ἐξ οὗ τὸν ὄφιν εἶδον τὸν οἰκουρόν ποτε.
ΓΥ. Δ. ἐγὼ δ' ὑπὸ τῶν γλαυκῶν γε τάλαιν' ἀπόλλυμαι
ταῖς ἀγρυπνίαισι κικκαβιζουσῶν ἀεί.

---

664. λευκόποδες Hermannus] λυκόποδες, cum scholiasta et Photio et Suida s. h. v. 673. λιπαροῦς ex schol. Bentleius] λιπαρὰς vel λιπαρᾶς 676. διαγράφω Bentleius] διαγράψω vel διαγράψαι 678. τὰς D.] τὰς δ' 679. ἀφ' Cobetus] ἐφ' 692. μ' addidit Bentleius. 700. θἠκάτῃ D.] τῇ 'κάτῃ 701. τοῖσι] ταῖσι legit scholiasta. 704. παύσεσθε Bentleius] παύσησθε 705. ὑμᾶς λαβών] λαβὼν ὑμᾶς R Aug. λαβών τις ὑμᾶς Bentleius. φέρων] θέλων Suidas s. v. ψηφοφορία: unde θένων (debebat θενών) Bentleius. 706. 707. His versibus in R praescriptum γυνὴ πρὸς λυσιστράτην. Sunt coryphaei verba, eodemque modo intelligendum ΧΟ. ΓΥ. quod v. 710—716. praescriptum est ab Kustero. Nam in ed. Iunt., quacum codices consentire verisimile est, praescriptum ΑΛ. γυ. (i. e. ἄλλη γυνή) 709. ποιεῖ] ποιεῖν R Aug. ἀθυμεῖν Porsonus] ἄθυμον

723. στρούθου D.] στρουθοῦ 725. κατέσπασα] ἀνέσπασα Meinekius. 727. ἕλκουσιν] πλέκουσιν Wakefieldus. ἤδη] ἠδὶ Elmsleius. 728—777. Quae in his versibus Brunckius aliique diversis mulieribus tribuerunt in R Aug. et ed. Iunt. et haud dubie aliis quoque libris, ἄλλη vel γυνή, vel utroque coniuncto ἄλλη γυνή praescriptum habent. Non plures quam tres prodiisse recte iudicare videtur Beerius, qui de hac scena dixit p. 90—92. 730. κατακαπτόμενα Brunckius] κατακοπτόμενα. κατακαμπτόμενος Etym. M. p. 709 extr. (ubi κατακαπτόμενος Sylb.) καταπονούμενον Choerob. in Theodos. p. 453, 1. 731. ἀλλ' ἥξω] ἀνήξω Meinekius. 734. ἀλλ' ἐῶ] ἀλλ' ὦ D.: v. ad Thesm. 176. ἐῶ δ' interpolator in ΒΔ. 735. ἀμοργίδος] ἀμόργιδος Kusterus. 736. καταλέλοιφ'. — αὕτη 'τέρα D. in ed. Par. a. 1838.] καταλέλοιπ'. — αὖθ' ἡτέρα 739. ἔγωγ'] ἐγὼ δ' R Aug. ἀνέρχομαι Brunckius] ἀπέρχομαι (ἐπέρχομαι C et Vat.) ἐπανέρχομαι Kusterus. 740. μἀποδείρῃς D.] μὴ ἀποδείρῃς vel μὴ 'ποδείρῃς τουτουί Bentleius] τούτου σὺ R Aug. τοῦτο σὺ ceteri. τοῦδε σὺ Reisigius. 742. Εἰλείθυι'] εἰλήθυι' R Aug. 745. γ' ἐχθὲς] γε χθὲς R Aug. 749. ἀλλ' ἢ] ἀλλὰ R Aug. 754. ἔτ' om. R Aug. 760. γε delet Bentleius. 761. κικκαβιζουσῶν D. ex Photio p. 164, 20. κικκαβίζειν: τὴν τῶν γλαυκῶν φωνὴν οὕτως καλεῖ Ἀριστο-

ΛΥ. ὦ δαιμόνιαι, παύσασθε τῶν τερατευμάτων.
ποθεῖτ' ἴσως τοὺς ἄνδρας· ἡμᾶς δ' οὐκ οἴει
ποθεῖν ἐκείνους; ἀργαλέας γ' εὖ οἶδ' ὅτι
ἄγουσι νύκτας. ἀλλ' ἀνάσχεσθ', ὦγαθαί,
καὶ προσταλαιπωρήσατ' ἔτ' ὀλίγον χρόνον,
ὡς χρησμὸς ἡμῖν ἐστιν ἐπικρατεῖν, ἐὰν
μὴ στασιάσωμεν· ἔστι δ' ὁ χρησμὸς οὑτοσί.
ΓΥ. Α. λέγ' αὐτὸν ἡμῖν ὅ τι λέγει. ΛΥ. σιγᾶτε δή.
'Αλλ' ὁπόταν πτήξωσι χελιδόνες εἰς ἕνα χῶρον,
τοὺς ἔποπας φεύγουσαι, ἀπόσχωνταί τε φαλήτων,
παῦλα κακῶν ἔσται, τὰ δ' ὑπέρτερα νέρτερα θήσει
Ζεὺς ὑψιβρεμέτης· ΓΥ. Α. ἐπάνω κατακεισόμεθ'
ἡμεῖς;
ΛΥ. ἢν δὲ διαστῶσιν καὶ ἀναπτῶνται πτερύγεσσιν
ἐξ ἱεροῦ ναοῖο χελιδόνες, οὐκέτι δόξει
ὄρνεον οὐδ' ὁτιοῦν καταπυγωνέστερον εἶναι.
ΓΥ. Α. σαφής γ' ὁ χρησμὸς νὴ Δί'. ὦ πάντες θεοί,
μή νυν ἀπείπωμεν ταλαιπωρούμεναι,
ἀλλ' εἰσίωμεν. καὶ γὰρ αἰσχρὸν τουτογί,
ὦ φίλταται, τὸν χρησμὸν εἰ προδώσομεν.
ΧΟ. ΓΕ. μῦθον βούλομαι λέξαι τιν' ὑμῖν, ὅν ποτ' ἤκουσ'
αὐτὸς ἔτι παῖς ὤν.
οὕτως ἦν ποτε νέος Μελανίων τις, ὃς
φεύγων γάμον ἀφίκετ' ἐς ἐρημίαν,
κἀν τοῖς ὄρεσιν ᾤκει·
κᾆτ' ἐλαγοθήρει
πλεξάμενος ἄρκυς,
καὶ κύνα τιν' εἶχεν,
κοὐκέτι κατῆλθε πάλιν οἴκαδ' ὑπὸ μίσους.
οὕτω τὰς γυναῖκας ἐβδελύχθη
κεῖνος, ἡμεῖς τ' οὐδὲν ἧττον
τοῦ Μελανίωνος οἱ σώφρονες.

ΓΕΡΩΝ.

βούλομαί σε, γραῦ, κύσαι,
ΓΥ. κρόμμυόν τἄρ' οὐκ ἔδει.
ΓΕ. κἀνατείνας λακτίσαι.
ΓΥ. τὴν λόχμην πολλὴν φορεῖς.
ΓΕ. καὶ Μυρωνίδης γὰρ ἦν
τραχὺς ἐντεῦθεν μελάμπυ-
γός τε τοῖς ἐχθροῖς ἅπασιν,
ὣς δὲ καὶ Φορμίων.
ΧΟ. ΓΥ. κἀγὼ βούλομαι μῦθόν τιν' ὑμῖν ἀντιλέξαι
τῷ Μελανίωνι.
Τίμων ἦν τις ἀΐδρυτος ἀβάτοισιν ἐν
σκώλοισι τὰ πρόσωπα περιειργμένος,
'Ερινύος ἀπορρώξ.
οὗτος ἄρ' ὁ Τίμων
ᾤχεθ' ὑπὸ μίσους
⏑́ ⏑ ⏑ ⏑ – –
πολλὰ καταρασάμενος ἀνδράσι πονηροῖς.
οὕτω κεῖνος ὑμῶν ἀντεμίσει
τοὺς πονηροὺς ἄνδρας ἀεί,
ταῖσι δὲ γυναιξὶν ἦν φίλτατος.
ΓΥ. τὴν γνάθον βούλει θένω;
ΓΕ. μηδαμῶς· ἔδεισά γε.
ΓΥ. ἀλλὰ κρούσω τῷ σκέλει;
ΓΕ. τὸν σάκανδρον ἐκφανεῖς.
ΓΥ. ἀλλ' ὅμως ἂν οὐκ ἴδοις
καίπερ οὔσης γραὸς ὄντ' αὐ-
τὸν κομήτην, ἀλλ' ἀπεψι-
λωμένον τῷ λύχνῳ.
ΛΥ. ἰοὺ ἰού, γυναῖκες, ἴτε δεῦρ' ὡς ἐμὲ
ταχέως. ΓΥ. τί δ' ἔστιν; εἰπέ μοι, τίς ἡ βοή;
ΛΥ. ἄνδρ' ἄνδρ' ὁρῶ προσιόντα παραπεπληγμένον,
τοῖς τῆς 'Αφροδίτης ὀργίοις εἰλημμένον.
ὦ πότνια, Κύπρου καὶ Κυθήρων καὶ Πάφου
μεδέουσ', ἴθ' ὀρθὴν ἥνπερ ἔρχει τὴν ὁδόν.
ΓΥ. ποῦ δ' ἐστὶν ὅστις ἐστί; ΛΥ. παρὰ τὸ τῆς Χλόης.
ΓΥ. ὦ νὴ Δί' ἐστὶ δῆτα. τίς κἀστίν ποτε;
ΛΥ. ὁρᾶτε· γιγνώσκει τις ὑμῶν; ΜΥ. νὴ Δία,
ἔγωγε· κἀστὶν οὑμὸς ἀνὴρ Κινησίας.
ΛΥ. σὸν ἔργον ἤδη τοῦτον ὀπτᾶν καὶ στρέφειν,
κἀξηπεροπεύειν, καὶ φιλεῖν καὶ μὴ φιλεῖν,
καὶ πάνθ' ὑπέχειν πλὴν ὧν ξύνοιδεν ἡ κύλιξ.
ΜΥ. ἀμέλει, ποιήσω ταῦτ' ἐγώ. ΛΥ. καὶ μὴν ἐγὼ
ξυνηπεροπεύσω σοὶ παραμένουσ' ἐνθαδί,
καὶ ξυσταθεύσω τοῦτον. ἀλλ' ἀπέλθετε.

ΚΙΝΗΣΙΑΣ.

οἴμοι κακοδαίμων, οἷος ὁ σπασμός μ' ἔχει
χὠ τέτανος ὥσπερ ἐπὶ τροχοῦ στρεβλούμενον.
ΛΥ. τίς οὗτος οὑντὸς τῶν φυλάκων ἑστώς; ΚΙ. ἐγώ.
ΛΥ. ἀνήρ; ΚΙ. ἀνὴρ δῆτ'. ΛΥ. οὐκ ἄπει δῆτ' ἐκποδών;
ΚΙ. σὺ δ' εἶ τίς ἡ 'κβάλλουσά μ'; ΛΥ. ἡμεροσκόπος.
ΚΙ. πρὸς τῶν θεῶν νυν ἐκκάλεσόν μοι Μυρρίνην.
ΛΥ. ἰδού, καλέσω 'γὼ Μυρρίνην σοι; σὺ δὲ τίς εἶ;
ΚΙ. ἀνὴρ ἐκείνης, Παιονίδης Κινησίας.
ΛΥ. ὦ χαῖρε φίλτατ'· οὐ γὰρ ἀκλεὲς τοὔνομα
τὸ σὸν παρ' ἡμῖν ἐστιν οὐδ' ἀνώνυμον.
ἀεὶ γὰρ ἡ γυνή σ' ἔχει διὰ στόμα.
κἂν ᾠὸν ἢ μῆλον λάβῃ, Κινησίᾳ
τουτὶ γένοιτο, φησίν. ΚΙ. ὦ πρὸς τῶν θεῶν.
ΛΥ. νὴ τὴν 'Αφροδίτην· κἂν περὶ ἀνδρῶν γ' ἐμπέσῃ
λόγος τις, εἴρηκ' εὐθέως ἡ σὴ γυνὴ
ὅτι λῆρός ἐστι τἄλλα πρὸς Κινησίαν.

781—804. = 805—828.

---

ϊ
φάνης] κακκαβιζουσῶν R Aug. κακκαβαζουσῶν Voss. κακκαβιαζουσῶν Δ. κικκαβαζουσῶν Dobraeus, collato κικκαβαῦ Av. 262.

764. ἐκείνους] ἐκείνους γ' R Aug. γ' Dobraeus] τ' R Aug., om. ceteri. 766. προσταλαιπωρήσατ' ἔτ'] προσταλαιπωρήσατέ γε R Aug. ἔτ' om. BΔ. 768. στασιάσωμεν] στασιῶμεν R Aug. 777—780. ΓΥ. Α.] ΧΟ. ΓΥ. libri. Unius ex tribus, de quibus ad v. 728. dictum est, mulieribus, etsi incertum cuius, haec verba esse intellexit Beerius. 777. γ' om. R Aug. 785. ἦν ποτε νέος Hermannus] ἦν νεανίσκος 787. ἐς Brunckius] εἰς 789. ἐλαγοθήρα BCΔ Voss. 795.
ο
τ'] δ' BC Voss. 797. ΓΕΡΩΝ] πρ (i. e. πρόβουλος) R Aug. 798. ΓΥ.] μία τῶν γυναικῶν R Aug. τἄρ'] γὰρ R Aug. 799. κἀνατείνας Bentleius] κἀνατείνας τὸ σκέλος, illato glossemate. Nam in R annotatum (ad ἀνατείνας) τὸ σκέλος ἢ τὸ αἰδοῖον. 803. ἅπασιν] ἀπαντῶν Meinekius. 809. ἦν τις Δ Voss. et Suidas s. v. ἀπορρῶγας. τις ἦν ceteri. ἀΐδρυτος] ἀνίδρυτος Suidas s. v. Τίμων. 810. τὰ πρόσωπα — 'Ερινύος Hermannus] τὸ πρόσωπον — 'Ερινύων

813. ἄρ' Hermannus] οὖν 814. Indicavi lacunam quam Bisetus verbis ex stropha v. 793. repetitis κοὐκέτι κατῆλθεν explevit. Meinekius lacunam post v. 812. ab se indicatam verbis εἰς ἀγρὸν ἔρημον explet.

820 — 890. om. BCΔ Voss., relicto in C spatio quattuor circiter plagularum. 821. ΓΥ. addidit Brunckius. 822—824. ΓΕ. Brunckius] Χο. ἀν. ἔδεισά γε] Vitii suspectum. 823. 825. ΓΥ. Brunckius] Χο. γυ. 824. σάκανδρον ex Suida s. h. v.] σάκανδρ'

830. 835. 836. ΓΥ.] ΓΥ. Α. Brunckius. 831. Alterum ἄνδρ' addidit Florens Christianus. 832. εἰλημμένον Kusterus] εἰλυμμένον 833. ὦ Bothius] ἄλλη. ὦ 839. ἤδη Dobraeus] εἴη 843. σοὶ addidit Porsonus. παραμένουσ'] περιμένουσ' Dobraeus.

844. ξυσταθεύσω D.] ξυνσταθεύσω 851. Μυρρίνην Kusterus] τὴν Μυρρίνην 852. ἀνὴρ Meinekius] ἀνὴρ Παιονίδης] παιονείδης R. Πεονίδης Bentleius.

ΚΙ. ἴθι νυν, κάλεσον αὐτήν. ΛΥ. τί οὖν; δώσεις τί μοι;
ΚΙ. ἔγωγέ σοι νὴ τὸν Δί', ἢν βούλῃ γε σύ·
ἔχω δὲ τοῦθ'· ὅπερ οὖν ἔχω δίδωμί σοι.
ΛΥ. φέρε νυν καλέσω καταβᾶσά σοι. ΚΙ. ταχύ νυν πάνυ.
ὡς οὐδεμίαν ἔχω γε τῷ βίῳ χάριν,
ἐξ οὗπερ αὕτη Ἐξῆλθεν ἐκ τῆς οἰκίας·
ἀλλ' ἄχθομαι μὲν εἰσιών, ἔρημα δὲ
εἶναι δοκεῖ μοι πάντα, τοῖς δὲ σιτίοις
χάριν οὐδεμίαν οἶδ' ἐσθίων· ἔστυκα γάρ.
ΜΥ. φιλῶ φιλῶ 'γὼ τοῦτον, ἀλλ' οὐ βούλεται
ὑπ' ἐμοῦ φιλεῖσθαι. σὺ δ' ἐμὲ τούτῳ μὴ κάλει.
ΚΙ. ὦ γλυκύτατον Μυρρινίδιον, τί ταῦτα δρᾷς;
κατάβηθι δεῦρο. ΜΥ. μὰ Δί' ἐγὼ μὲν αὐτόσ' οὔ.
ΚΙ. ἐμοῦ καλοῦντος οὐ καταβήσει, Μυρρίνη;
ΜΥ. οὐ γὰρ δεόμενος οὐδὲν ἐκκαλεῖς ἐμέ.
ΚΙ. ἐγὼ οὐ δεόμενος; ἐπιτετριμμένος μὲν οὖν.
ΜΥ. ἄπειμι. ΚΙ. μὴ δῆτ', ἀλλὰ τῷ γοῦν παιδίῳ
ὑπάκουσον· οὗτος, οὐ καλεῖς τὴν μαμμίαν;

ΠΑΙΣ.

μαμμία μαμμία μαμμία.
ΚΙ. αὕτη, τί πάσχεις; οὐδ' ἐλεεῖς τὸ παιδίον
ἄλουτον ὂν κἄθηλον ἕκτην ἡμέραν;
ΜΥ. ἔγωγ' ἐλεῶ δῆτ'· ἀλλ' ἀμελὴς αὐτῷ πατὴρ
ἔστιν. ΚΙ. κατάβηθ', ὦ δαιμονία, τῷ παιδίῳ.
ΜΥ. οἷον τὸ τεκεῖν· καταβατέον. τί γὰρ πάθω;
ΚΙ. ἐμοὶ γὰρ αὕτη καὶ νεωτέρα δοκεῖ
πολλῷ γεγενῆσθαι κἀγανώτερον βλέπειν·
χᾆ δυσκολαίνει πρὸς ἐμὲ καὶ βρενθύεται,
ταῦτ' αὐτὰ δὴ κᾆσθ' ἅμ' ἐπιτρίβει τῷ πόθῳ.
ΜΥ. ὦ γλυκύτατον σὺ τεκνίδιον κακοῦ πατρός,
φέρε σε φιλήσω γλυκύτατον τῇ μαμμίᾳ.
ΚΙ. τί, ὦ πονηρά, ταῦτα ποιεῖς χἀτέραις
πείθει γυναιξί, κἀμέ τ' ἄχθεσθαι ποιεῖς
αὐτή τε λυπεῖ; ΜΥ. μὴ πρόσαγε τὴν χεῖρά μοι.
ΚΙ. τὰ δ' ἔνδον ὄντα τἀμὰ καὶ σὰ χρήματα
χεῖρον διατίθης. ΜΥ. ὀλίγον αὐτῶν μοι μέλει.
ΚΙ. ὀλίγον μέλει σοι τῆς κρόκης φορουμένης
ὑπὸ τῶν ἀλεκτρυόνων; ΜΥ. ἔμοιγε νὴ Δία.
ΚΙ. τὰ τῆς Ἀφροδίτης δ' ἱέρ' ἀνοργίαστά σοι
χρόνον τοσοῦτόν ἐστιν. οὐ βαδιεῖ πάλιν;
ΜΥ. μὰ Δί' οὐκ ἔγωγ', ἢν μὴ διαλλαχθῆτέ γε
καὶ τοῦ πολέμου παύσησθε. ΚΙ. τοιγάρ, ἢν δοκῇ,
ποιήσομεν καὶ ταῦτα. ΜΥ. τοιγάρ, ἢν δοκῇ,
κἄγωγ' ἄπειμ' ἐκεῖσε· νῦν δ' ἀπομώμοκα.
ΚΙ. σὺ δ' ἀλλὰ κατακλίνηθι μετ' ἐμοῦ διὰ χρόνου.
ΜΥ. οὐ δῆτα· καίτοι σ' οὐκ ἐρῶ γ' ὡς οὐ φιλῶ.
ΚΙ. φιλεῖς: τί οὖν οὐ κατεκλίνης, ὦ Μυρρίνη;
ΜΥ. ὦ καταγέλαστ', ἐναντίον τοῦ παιδίου;
ΚΙ. μὰ Δί', ἀλλὰ τοῦτό γ' οἴκαδ', ὦ Μανῆ, φέρε.
ἰδού, τὸ μέν σοι παιδίον καὶ δὴ 'κποδών,
σὺ δ' οὐ κατακλίνει. ΜΥ. ποῦ γὰρ ἄν τις καί, τάλαν,
δράσειε τοῦθ'; ΚΙ. ὅπου; τὸ τοῦ Πανὸς καλόν.
ΜΥ. καὶ πῶς ἔθ' ἁγνὴ δῆτ' ἂν ἔλθοιμ' ἐς πόλιν;
ΚΙ. κάλλιστα δήπου, λουσαμένη τῇ Κλεψύδρᾳ.
ΜΥ. ἔπειτ' ὀμόσασα δῆτ' ἐπιορκήσω, τάλαν;

---

862. σοι addidit Bentleius. 866. Ἐξῆλθεν Florens Christianus] ξυνῆλθεν 885. γὰρ] μὲν Brunckius. γὰρ in Bekk. Anecd. p. 335. 888. δὴ κᾆσθ' ἅμ' Dobraeus] δῆσθ' (i. e. δή 'σθ') ἃ κἄμ' 895. διατίθης Porsonus] διατιθεῖς 898. δ' addidit Cobetus. 901. 902. ἢν D.] ἂν 904. κατακλίνηθι Elmsleius] κατακλίθητι 906. ὦ Μυρρίνη D.] ὦ μυρρίνιον R Aug. (librarii, ut videtur, error recordati diminutivi Μυρρινίδιον v. 872.) ὦ μύρριον ceteri. Μυρρινίδιον Dobraeus. 910. κατακλίνει] κατακλινεῖ BCΔ Voss. 912. ἂν ἔλθοιμ' Brunckius] ἀνέλθοιμ' 913. τῇ] 'ν τῇ Meinekius.

ΚΙ. εἰς ἐμὲ τράποιτο· μηδὲν ὅρκου φροντίσῃς.
ΜΥ. φέρε νυν ἐνέγκω κλινίδιον νῷν. ΚΙ. μηδαμῶς.
ἀρκεῖ χαμαὶ νῷν. ΜΥ. μὰ τὸν Ἀπόλλω μή σ' ἐγώ,
καίπερ τοιοῦτον ὄντα, κατακλινῶ χαμαί.
ΚΙ. ἥ τοι γυνὴ φιλεῖ με, δήλη 'στὶν καλῶς.
ΜΥ. ἰδού, κατάκεισ' ἀνύσας τι· κἀγὼ 'κδύομαι.
καίτοι, τὸ δεῖνα, ψίαθός ἐστ' ἐξοιστέα.
ΚΙ. ποία ψίαθος; μή μοί γε. ΜΥ. νὴ τὴν Ἄρτεμιν,
αἰσχρὸν γὰρ ἐπὶ τόνου γε. ΚΙ. δός μοί νυν κύσαι.
ΜΥ. ἰδού. ΚΙ. παπαιάξ. ἧκέ νυν ταχέως πάνυ.
ΜΥ. ἰδοὺ ψίαθος· κατάκεισο, καὶ δὴ 'κδύομαι.
καίτοι, τὸ δεῖνα, προσκεφάλαιον οὐκ ἔχεις.
ΚΙ. ἀλλ' οὐδὲ δέομ' ἔγωγε. ΜΥ. νὴ Δί' ἀλλ' ἐγώ.
ΚΙ. ἀλλ' ἦ τὸ πέος τόδ' Ἡρακλῆς ξενίζεται.
ΜΥ. ἀνίστασ', ἀναπήδησον. ἤδη πάντ' ἔχεις.
ΚΙ. ἅπαντα δῆτα. δεῦρό νυν, ὦ χρυσίον.
ΜΥ. τὸ στρόφιον ἤδη λύομαι. μέμνησό νυν·
μή μ' ἐξαπατήσῃς τὰ περὶ τῶν διαλλαγῶν.
ΚΙ. νὴ Δί' ἀπολοίμην ἆρα. ΜΥ. σισύραν οὐκ ἔχεις.
ΚΙ. μὰ Δί' οὐδὲ δέομαί γ', ἀλλὰ βινεῖν βούλομαι.
ΜΥ. ἀμέλει, ποιήσεις τοῦτο· ταχὺ γὰρ ἔρχομαι.
ΚΙ. ἄνθρωπος ἐπιτρίψει με διὰ τὰ στρώματα.
ΜΥ. ἔπαιρε σαυτόν. ΚΙ. ἀλλ' ἐπῆρται τοῦτό γε.
ΜΥ. βούλει μυρίσω σε; ΚΙ. μὰ τὸν Ἀπόλλω μή μέ γε.
ΜΥ. νὴ τὴν Ἀφροδίτην, ἤν τε βούλῃ γ' ἤν τε μή.
ΚΙ. εἴθ' ἐκχυθείη τὸ μύρον, ὦ Ζεῦ δέσποτα.
ΜΥ. πρότεινέ νυν τὴν χεῖρα κἀλείφου λαβών.
ΚΙ. οὐχ ἡδὺ τὸ μύρον μὰ τὸν Ἀπόλλω τουτογί,
εἰ μὴ διατριπτικόν γε, κοὐκ ὄζον γάμων.
ΜΥ. τάλαιν' ἐγώ, τὸ Ῥόδιον ἤνεγκον μύρον.
ΚΙ. ἀγαθόν· ἔασον, δαιμονία. ΜΥ. ληρεῖς ἔχων.
ΚΙ. κάκιστ' ἀπόλοιθ' ὁ πρῶτος ἑψήσας μύρον.
ΜΥ. λαβὲ τόνδε τὸν ἀλάβαστον. ΚΙ. ἀλλ' ἕτερον ἔχω.
ἀλλ', ᾠζυρά, κατάκεισο καὶ μή μοι φέρε
μηδέν. ΜΥ. ποιήσω ταῦτα νὴ τὴν Ἄρτεμιν.
ὑπολύομαι γοῦν. ἀλλ' ὅπως, ὦ φίλτατε,
σπονδὰς ποιεῖσθαι ψηφιεῖ. ΚΙ. βουλεύσομαι.
ἀπολώλεκέν με κἀπιτέτριφεν ἡ γυνή,
τά τ' ἄλλα πάντα κἀποδείρασ' οἴχεται.
οἴμοι τί πάθω; τίνα βινήσω,
τῆς καλλίστης πασῶν ψευσθείς;
πῶς ταυτηνὶ παιδοτροφήσω;
ποῦ Κυναλώπηξ;
μίσθωσόν μοι τὴν τιτθήν.

---

917. μή] οὐ μή Meinekius. 919. ἥ τοι] ἡ δὴ R Aug. 920. κἀγὼ] καὶ δὴ Hamakerus ex v. 925. 921. ψίαθος] ψίεθος R Aug. hic et infra. 927. ἀλλ' οὐδὲ δέομαι 'γωγε (debebat δέομ' ἔγωγε) Bentleius] ἀλλ' οὐ (οὐδὲ Voss.) δέομ' οὐδὲν ἔγωγε 929. ΜΥ. ante ἤδη lectum hunc transposuit Hamakerus et ἔχω, quod est in libris, in ἔχεις mutavit. 933. ἆρα Brunckius] ἄρα . ἀλλὰ cum proximis Myrrhinae verbis coniungendum Meinekius. 934. οὐδὲ δέομαί γ', ἀλλὰ Dobraeus] οὐ δέομαί γ' ἀλλὰ R Aug. οὐδὲ δέομαι ἀλλὰ Voss. οὐ δέομαι ἀλλὰ C. οὐ δέομαι δῆτ' ἀλλὰ B. 936. ἡ 'νθρωπος (debebat ἅνθρωπος) Toupius] ἄνθρωπος 940. ὦ Ζεῦ δέσποτα] Scriptor περὶ κωμῳδίας vol. 1. p. 28, 10. ed. Oxon. ubi de facetiarum comicarum generibus exponit, ἕκτον, inquit, κατὰ ἐξαλλαγήν, ὡς τὸ ὦ Βδεῦ δέσποτα ἀντὶ τοῦ ὦ Ζεῦ. Quae ad hunc versum rettulit Bentleius. Simili ioco Διὸς σκαταιβάτου pro Διὸς καταιβάτου dictum Pacis v. 42. restituit Meinekius. 941. νυν] δὴ R Aug. νῦν ceteri. 943. γε] τε RC Aug. 945. ἔασον Reisigius] ἔα αὔτ' ὦ 946. πρῶτος R Aug. πρῶτον ceteri. 951. βουλεύσομαι] βουλήσομαι Meinekius. 956. ταυτηνὶ Reisigius] ταύτην 958. μοι τὴν] μοί τινα Seagerus. τιτθήν D.] τίτθην (κύστην R. κύστιν Aug.)

ΧΟ.ΓΕ. ἐν δεινῷ γ', ὦ δύστηνε, κακῷ
τείρει ψυχὴν ἐξαπατηθείς.
κἄγωγ' οἰκτείρω σ', αἰαῖ.
ποῖος γὰρ ἔτ' ἂν νεφρὸς ἀντίσχοι,
ποία ψυχή, ποῖοι δ' ὄρχεις,
ποία δ' ὀσφῦς, ποῖος δ' ὄρρος
κατατεινόμενος
καὶ μὴ βινῶν τοὺς ὄρθρους;
ΚΙ. ὦ Ζεῦ, δεινῶν ἀντισπασμῶν.
ΧΟ.ΓΕ. ταυτὶ μέντοι νυνί σ' ἐποίησ'
ἡ παμβδελυρὰ καὶ παμμυσαρά.
ΧΟ.ΓΥ. μὰ Δί' ἀλλὰ φίλη καὶ παγγλυκερά.
ΧΟ.ΓΕ. ποία γλυκερά;
μιαρὰ μιαρὰ δῆτ'· ὦ Ζεῦ Ζεῦ,
εἴθ' αὐτήν, ὥσπερ τοὺς θωμούς,
μεγάλῳ τυφῷ καὶ πρηστῆρι
ξυστρέψας καὶ ξυγγογγύλας
οἴχοιο φέρων, εἶτα μεθείης,
ἡ δὲ φέροιτ' αὖ πάλιν ἐς τὴν γῆν,
κᾆτ' ἐξαίφνης
περὶ τὴν ψωλὴν περιβαίη.

ΚΗΡΥΞ.

πᾶ τᾶν Ἀσανᾶν ἐστιν ἁ γερωία
ἢ τοὶ πρυτάνιες; λῶ τι μυσίξαι νέον.]
ΠΡ. σὺ δ' εἶ πότερον ἄνθρωπος, ἢ Κονίσαλος;
ΚΗ. κᾶρυξ ἐγών, ὦ κυρσάνιε, ναὶ τὼ σιώ,
ἔμολον ἀπὸ Σπάρτας περὶ τᾶν διαλλαγᾶν.
ΠΡ. κἄπειτα δόρυ δῆθ' ὑπὸ μάλης ἥκεις ἔχων;
ΚΗ. οὐ τὸν Δί' οὐκ ἐγών γα. ΠΡ. ποῖ μεταστρέφει;
τί δὴ προβάλλει τὴν χλαμύδ'; ἢ βουβωνιᾷς
ὑπὸ τῆς ὁδοῦ; ΚΗ. παλεόρ γα, ναὶ τὸν Κάστορα,
ὤνθρωπος. ΠΡ. ἀλλ' ἔστυκας, ὦ μιαρώτατε.
ΚΗ. οὐ τὸν Δί' οὐκ ἐγών γα· μηδ' αὖ πλαδδίη.
ΠΡ. τί δ' ἐστί σοι τοδί; ΚΗ. σκυτάλα Λακωνικά.
ΠΡ. εἴπερ γε χαὔτη 'στὶ σκυτάλη Λακωνική.
ἀλλ' ὡς πρὸς εἰδότ' ἐμὲ σὺ τἀληθῆ λέγε.
τί τὰ πράγμαθ' ὑμῖν ἐστι τἀν Λακεδαίμονι;
ΚΗ. ὀρσὰ Λακεδαίμων πᾶα καὶ τοὶ σύμμαχοι
ἅπαντες ἐστύκαντι· Πελλάνας δὲ δεῖ.
ΠΡ. ἀπὸ τοῦ δὲ τουτὶ τὸ κακὸν ὑμῖν ἐνέπεσεν;
ἀπὸ Πανός; ΚΗ. οὔκ, ἀλλ' ἆρχεν, οἰῶ, Λαμπιτώ,
ἔπειτα τἄλλαι ταὶ κατὰ Σπάρταν ἁμᾶ
γυναῖκες ᾇπερ ἀπὸ μιᾶς ὑσπλαγίδος
ἀπήλααν τὼς ἄνδρας ἀπὸ τῶν ὑσσάκων.
ΠΡ. πῶς οὖν ἔχετε; ΚΗ. μογίομες. ἂν γὰρ τὰν πόλιν
ᾇπερ λυχνοφορίοντες ἐπικεκύφαμες.
ταὶ γὰρ γυναῖκες οὐδὲ τῶ μύρτω σιγῆν
ἐῶντι, πρίν χ' ἅπαντες ἐξ ἑνὸς λόγω
σπονδὰς ποιησώμεσθα ποττὰν Ἑλλάδα.
ΠΡ. τουτὶ τὸ πρᾶγμα πανταχόθεν ξυνομώμοται
ὑπὸ τῶν γυναικῶν· ἄρτι νυνὶ μανθάνω.
ἀλλ' ὡς τάχιστα φράζε περὶ διαλλαγῶν
αὐτοκράτορας πρέσβεις ἀποπέμπειν ἐνθαδί.
ἐγὼ δ' ἑτέρους ἐνθένδε τῇ βουλῇ φράσω
πρέσβεις ἑλέσθαι, τὸ πέος ἐπιδείξας τοδί.
ΚΗ. πωτάομαι· κράτιστα γὰρ παντᾶ λέγεις.
ΧΟ.ΓΕ. οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον,
οὐδὲ πῦρ, οὐδ' ὧδ' ἀναιδὴς οὐδεμία πόρδαλις.
ΧΟ. ΓΥ. ταῦτα μέντοι σὺ ξυνιεὶς εἶτα πολεμεῖς ἐμοί,
ἐξόν, ὦ πονηρέ, σοὶ βέβαιον ἔμ' ἔχειν φίλην;
ΧΟ.ΓΕ. ὡς ἐγὼ μισῶν γυναῖκας οὐδέποτε παύσομαι.
ΧΟ.ΓΥ. ἀλλ' ὅταν βούλῃ σύ· νυνὶ δ' οὔ σε περιόψομαι
γυμνὸν ὄνθ' οὕτως. ὅρα γὰρ ὡς καταγέλαστος εἶ.
ἀλλὰ τὴν ἐξωμίδ' ἐνδύσω σε προσιοῦσ' ἐγώ.
ΧΟ.ΓΕ. τοῦτο μὲν μὰ τὸν Δί' οὐ πονηρὸν ἐποιήσατε·
ἀλλ' ὑπ' ὀργῆς γὰρ πονηρᾶς καὶ τότ' ἀπέδυν ἐγώ.
ΧΟ.ΓΥ. πρῶτα μὲν φαίνει γ' ἀνήρ, εἶτ' οὐ καταγέλα-
στος εἶ.
κεἴ με μὴ 'λύπεις, ἐγὼ σοῦ κἂν τόδε τὸ θηρίον
τοὐπὶ τὠφθαλμῷ λαβοῦσ' ἐξεῖλον ἄν, ὃ νῦν ἔνι.
ΧΟ.ΓΕ. τοῦτ' ἄρ' ἦν με τοὐπιτρῖβον· δακτύλιος οὑτοσί·
ἐκσκάλευσον αὐτὸ κᾆτα δεῖξον ἀφελοῦσά μοι·
ὡς τὸν ὀφθαλμόν γέ μου νὴ τὸν Δία πάλαι δάκνει.
ΧΟ.ΓΥ. ἀλλὰ δράσω ταῦτα· καίτοι δύσκολος ἔφυς
ἀνήρ.
ἦ μέγ', ὦ Ζεῦ, χρῆμ' ἰδεῖν τῆς ἐμπίδος ἔνεστί σοι.
οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία;
ΧΟ.ΓΕ. νὴ Δί' ὤνησάς γέ μ', ὡς πάλαι γέ μ' ἐφρεω-
ρύχει,
ὥστ' ἐπειδὴ 'ξῃρέθη, ῥεῖ μου τὸ δάκρυον πολύ.
ΧΟ.ΓΥ. ἀλλ' ἀποψήσω σ' ἐγώ, καίτοι πάνυ πονηρὸς εἶ,
καὶ φιλήσω. ΧΟ. ΓΕ. μὴ φιλήσῃς. ΧΟ. ΓΥ. ἤν
τε βούλῃ γ' ἤν τε μή.
ΧΟ.ΓΕ. ἀλλὰ μὴ ὥρασ' ἵκοισθ'· ὡς ἐστὲ θωπικαὶ φύσει,
κἄστ' ἐκεῖνο τοὔπος ὀρθῶς κοὐ κακῶς εἰρημένον,
οὔτε σὺν πανωλέθροισιν οὔτ' ἄνευ πανωλέθρων.
ἀλλὰ νυνὶ σπένδομαί σοι, καὶ τὸ λοιπὸν οὐκέτι
οὔτε δράσω φλαῦρον οὐδὲν οὔθ' ὑφ' ὑμῶν πείσομαι.
ἀλλὰ κοινῇ ξυσταλέντες τοῦ μέλους ἀρξώμεθα.
ΧΟ. οὐ παρασκευαζόμεσθα
τῶν πολιτῶν οὐδέν', ὦνδρες,
φλαῦρον εἰπεῖν οὐδεέν·

1043—1072. = 1189—1215.

---

959. γ', ὦ] γ' ὧν Meinekius. 962. γὰρ ἔτ' ἂν Meinekius] γὰρ ἂν (ἂν om. Δ Voss.) ἢ 964. ποῖος δ' ex schol. Ran. 224.] ποῖος δ' ἂν (δ' om. C) 966. βινῶν] κινῶν R Aug. 970. Χο. γυ. R Aug. Voss. Κι. ceteri. 972. ὦ Ζεῦ Ζεῦ Brunckius] ὦ Ζεῦ ὦ Ζεῦ 976. ξυγγογγύλας Cobetus] ξυγγογγυλίσας 980. γερωία Valckenarius] γερωχία RC Aug. γερωσία ΒΔ. 982—1007. ΠΡ.] Quae in his Προβούλῳ tribuunt libri Cinesiae tribuit Beerius p. 92. partim praeeunte Bentleio. 981. μυσίξαι] μυθίξαι R Aug. 982. εἶ] εἶ τίς R Aug. σὺ δ' εἶ τί; πότερ' Bentleius. 988. παλεόρ γα D.] πάλαι ὄργα R Aug. παλεός γα alii et scholiasta, unus παλαιός γα. 989. ὤνθρωπος Toupius] ἄνθρωπος 993. εἰδότ' ἐμὲ Porsonus] εἰδότα με 998. ἆρχεν Elmsleius] ἀρχὰ μέν. ἆρχε μὲν correxerat Hermannus. 999. ἔπειτα τἄλλαι Elmsleius] ἔπειτα δ' ἄλλαι R Aug. ἔπειτα ἄλλαι vel ἔπειτ' ἄλλαι alii. Σπάρταν R Aug. τὰν σπάρταν alii. 1001. ἀπήλααν Giesius de dial. Aeol. p. 317. et Ahrens de dial. Dor. p. 76. 1002. μογίομες] μογέομες ΒΔ, ut λυχνοφορέοντες iidem v. 1003. Vid. Ahrens p. 207. 1003. ἐπικεκύφαμες Reiskius] ἀποκεκύφαμες

1004. σιγῆν Invernizius] θιγῆν R Aug. σιγεῖν vel σίγειν alii. 1005. χ' Elmsleius] γ', quod om. R Aug. 1006. ποιησώμεσθα B. ποιησόμεσθα ceteri. 1010. ἀποπέμπειν C Vat. Voss. πέμπειν ceteri. 1013. παντᾶ Bentleius] πάντα 1016. σὺ addidit Bentleius. ξυνιεὶς Reiskius] ξυνιεῖς ἐμοί Hermannus] εἰπέ μοι 1017. σοὶ ΒΔ. σὺ ceteri. βέβαιον ἔμ' Hermannus] βεβαίαν μ' 1019. νυνὶ Kusterus] νῦν 1020. ὅρα Dobraeus] ὁρῶ 1025. κεἴ Dobraeus] κἂν με μὴ 'λύπεις Florens Christianus] μή με λυπῇς (λυπεῖς C.) κἂν] γ' ἂν R Aug. 1030. ἔφυς Brunckius] γ' ἔφυς 1035. καίτοι Florens Christianus] καίτοι γε 1037. ὥρασ' D.] ὥρας 1040. ἀλλὰ—] Χο. γυ ἀλλὰ— BC. 1042—1228. Chori sermonibus partim Χο. γυ. partim Χο. γε. praescriptum in libris. Senum et mulierum chorum in hac parte fabulae in unum coniungi chorum monuit scriptor ὑποθέσεως supra p. 104. οἱ γέροντες εἰς ταυτὸν ταῖς γυναιξὶν ἀποκαταστάντες ἕνα χορὸν ἐκ τῆς διχορίας ἀποτελοῦσι. 1044. οὐδεέν Aug. οὐδὲ ἓν ceteri.

ἀλλὰ πολὺ τοὔμπαλιν πάντ' ἀγαθὰ καὶ λέγειν
καὶ δρᾶν· ἱκανὰ γὰρ τὰ κακὰ καὶ τὰ παρακείμενα.
ἀλλ' ἐπαγγελλέτω πᾶς ἀνὴρ καὶ γυνή,
εἴ τις ἀργυρίδιον δεῖ-
ται λαβεῖν, μνᾶς ἢ δύ' ἢ τρεῖς,
ὡς πλέω 'στὶν
ἄχομεν βαλλάντια.
κἄν ποτ' εἰρήνη φανῇ,
ὅστις ἂν νυνὶ δανείση-
ται παρ' ἡμῶν,
ἂν λάβῃ μηκέτ' ἀποδῷ.
ἑστιᾶν δὲ μέλλομεν ξέ-
νους τινὰς Καρυστίους, ἄν-
δρας καλούς τε κἀγαθούς.
κἄστιν ἔτ' ἔτνος τι, καὶ δελφάκιον ἦν τί μοι,
καὶ τοῦτο τέθυχ', ὥστε κρέ' ἔδεσθ' ἁπαλὰ καὶ καλά.
ἥκετ' οὖν εἰς ἐμοῦ τήμερον· πρῴ δὲ χρὴ
τοῦτο δρᾶν λελουμένους, αὐ-
τούς τε καὶ τὰ παιδί', εἶτ' εἴ-
σω βαδίζειν,
μηδ' ἐρέσθαι μηδένα,
ἀλλὰ χωρεῖν ἄντικρυς,
ὥσπερ οἴκαδ' εἰς ἑαυτῶν,
γεννικῶς, ὡς
ἡ θύρα κεκλῄσεται.
καὶ μὴν ἀπὸ τῆς Σπάρτης οἱδὶ πρέσβεις ἕλκοντες
ὑπήνας [ἔχοντες.
χωροῦσ', ὥσπερ χοιροκομεῖον περὶ τοῖς μηροῖσιν
ἄνδρες Λάκωνες πρῶτα μέν μοι χαίρετε,
εἶτ' εἴπαθ' ἡμῖν πῶς ἔχοντες ἥκετε.

ΛΑΚΩΝ.

τί δεῖ ποθ' ὑμὲ πολλὰ μυσίδδειν ἔπη;
ὁρῆν γὰρ ἔξεσθ' ὡς ἔχοντες ἵκομες.
ΧΟ. βαβαί· νενεύρωται μὲν ἥδε συμφορὰ
δεινῶς· τεθερμῶσθαί γε χεῖρον φαίνεται.
ΛΑ. ἄφατα. τί κα λέγοι τις; ἀλλ' ὅπα σέλει
παντᾶ τις ἐλσὼν ἁμὶν εἰράναν σέτω.
ΧΟ. καὶ μὴν ὁρῶ καὶ τούσδε τοὺς αὐτόχθονας
ὥσπερ παλαιστὰς ἄνδρας ἀπὸ τῶν γαστέρων
θαἰμάτι' ἀποστέλλοντας· ὥστε φαίνεται
ἀσκητικὸν τὸ χρῆμα τοῦ νοσήματος.

ΑΘΗΝΑΙΟΣ.

τίς ἂν φράσειε ποῦ 'στιν ἡ Λυσιστράτη;
ὡς ἄνδρες ἡμεῖς οὑτοιὶ τοιουτοιί.
ΧΟ. χαὔτη ξυνᾴδει χἀτέρα ταύτῃ νόσος.
ἦ που πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει;
ΑΘ. μὰ Δί', ἀλλὰ ταυτὶ δρῶντες ἐπιτετρίμμεθα.
ὥστ' εἴ τις ἡμᾶς μὴ διαλλάξει ταχύ,
οὐκ ἔσθ' ὅπως οὐ Κλεισθένη βινήσομεν.
ΧΟ. εἰ σωφρονεῖτε, θαἰμάτια λήψεσθ', ὅπως
τῶν ἑρμοκοπιδῶν μή τις ὑμᾶς ὄψεται.
ΑΘ. νὴ τὸν Δί' εὖ μέντοι λέγεις. ΛΑ. ναὶ τὼ σιὼ
παντᾶ γα. φέρε τὸ ἔσθος ἀμβαλώμεθα.
ΑΘ. ὦ χαίρετ', ὦ Λάκωνες· αἰσχρά γ' ἐπάθομεν.
ΛΑ. ὦ πουλυχαρίδα, δεινά κα 'πεπόνθεμες.
αἰ εἶδον ἁμὲ τὤνδρες ἀμπεφλασμένως.
ΑΘ. ἄγε δή, Λάκωνες, αὔθ' ἕκαστα χρὴ λέγειν.
ἐπὶ τί πάρεστε δεῦρο; ΛΑ. περὶ διαλλαγᾶν
πρέσβεις. ΑΘ. καλῶς δὴ λέγετε· χἠμεῖς γ' οὑτοιί.
τί οὐ καλοῦμεν δῆτα τὴν Λυσιστράτην,
ἥπερ διαλλάξειεν ἡμᾶς ἂν μόνη;
ΛΑ. ναὶ τὼ σιώ, καὶ λῆτε, τὸν Λυσίστρατον.
ΑΘ. ἀλλ' οὐδὲν ἡμᾶς, ὡς ἔοικε, δεῖ καλεῖν·
αὐτὴ γάρ, ὡς ἤκουσεν, ἥδ' ἐξέρχεται.
χαῖρ', ὦ πασῶν ἀνδρειοτάτη· δεῖ δὴ νυνί σε γε-
νέσθαι [πολύπειρον·
δεινήν, ἀγαθήν, φαύλην, σεμνήν, ἀγανήν, ⏑ ⏑ –,
ὡς οἱ πρῶτοι τῶν Ἑλλήνων τῇ σῇ ληφθέντες ἴυγγι
ξυνεχώρησάν σοι καὶ κοινῇ τἀγκλήματα πάντ' ἐπέ-
τρεψαν.
ΛΥ. ἀλλ' οὐχὶ χαλεπὸν τοὔργον, εἰ λάβοι γέ τις
ὀργῶντας ἀλλήλων τε μὴ 'κπειρωμένους.
τάχα δ' εἴσομαι 'γώ. ποῦ 'στιν ἡ Διαλλαγή;
πρόσαγε λαβοῦσα πρῶτα τοὺς Λακωνικούς,
καὶ μὴ χαλεπῇ τῇ χειρὶ μηδ' αὐθαδικῇ,
μηδ' ὥσπερ ἡμῶν ἄνδρες ἀμαθῶς τοῦτ' ἔδρων,
ἀλλ' ὡς γυναῖκας εἰκός, οἰκείως πάνυ.
ἢν μὴ διδῷ τὴν χεῖρα, τῆς σάθης ἄγε.
ἴθι καὶ σὺ τούτους τοὺς Ἀθηναίους ἄγε·
οὗ δ' ἂν διδῶσι, πρόσαγε τούτου λαβομένη.
ἄνδρες Λάκωνες, στῆτε παρ' ἐμὲ πλησίον,
ἐνθένδε δ' ὑμεῖς, καὶ λόγων ἀκούσατε.
ἐγὼ γυνὴ μέν εἰμι, νοῦς δ' ἔνεστί μοι·
αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω,
τοὺς δ' ἐκ πατρός τε καὶ γεραιτέρων λόγους
πολλοὺς ἀκούσασ' οὐ μεμούσωμαι κακῶς.
λαβοῦσα δ' ὑμᾶς λοιδορῆσαι βούλομαι
κοινῇ δικαίως, οἳ μιᾶς ἐκ χέρνιβος
βωμοὺς περιρραίνοντες, ὥσπερ ξυγγενεῖς,
Ὀλυμπίασιν, ἐν Πύλαις, Πυθοῖ—πόσους
εἴποιμ' ἂν ἄλλους, εἴ με μηκύνειν δέοι; —
ἐχθρῶν παρόντων βαρβάρων στρατεύματι
Ἕλληνας ἄνδρας καὶ πόλεις ἀπόλλυτε.
εἷς μὲν λόγος μοι δεῦρ' ἀεὶ περαίνεται.
ΑΘ. ἐγὼ δ' ἀπόλλυμαί γ' ἀπεψωλημένος.

---

1054. πλέα (debebat πλέω, ut Bergkius) 'στὶν ἄχομεν Burgesius] πόλλ' ἐσῶστιν κἄχομεν 1057. ἀποδῷ BCΔ et schol. ἀποδιδῶ (ἀποδιδωι R) ceteri. 1060. ἔτ' addidit Reisigius. 1063. ὥστε] ὡς BCΔ. κρέ' ἔδεσθ' Reisigius] τὰ κρέα ἔξεσθ' 1067. εἴσω] ἔσω R Aug. 1071. ὡς Elmsleius] ἴσως δ' κεκλῄσεται D.] κεκλείσεται 1073. χωροῦσ'] χωροῦσιν R Aug. 1074. μέν μοι R Aug. μέντοι ceteri. 1076. δεῖ Florens Christianus] δή ὑμὲ Ahrens de dial. Dor. p. 264.] ὔμμε 1077. ἵκομες Ahrens ib. p. 183.] ἥκομες 1079. τεθερμῶσθαί γε (τε Bothius)] Corruptum. τόδ' Ἑρμοῦ στῦμα Hermannus scholiastae annotatione confisus, ἀντὶ τοῦ χεῖρον τῆς τάσεως τοῦ Ἑρμοῦ φαίνεται, τουτέστι χεῖρον τέταται τοῦ Ἑρμοῦ, ἐπειδὴ πριαπῶδες ἔχει τὸ αἰδοῖον καὶ ἐν τέταται μεγάλως. 1080. κα Ahrens l. c. p. 381.] κἂν 1081. ἐλσὼν — σέτω Vat. et schol. ἐλθὼν — θέτω ceteri. ἁμὶν Brunckius] ἀμῖν 1083. ἄνδρας] παῖδας Vat. et schol. 1087. ἄνδρες Meinekius] ἄνδρες 1088. νόσος Reisigius] νόσῳ

1096. γα Reisigius] γε τὸ ἔσθος] ἔσθος cum digammo pronunciandum.. ἀμβαλώμεθα Brunckius] ἐμβαλώμεσθα vel ἐμβαλώμεθα 1097. ὦ Bothius] ὦ 1098—1236. om. BCΔ. In C quinque paginae vacuae. 1098. 1242. πουλυχαρίδα Bentleius] πολυχαρίδα κα 'πεπόνθεμες Bergkius (praeeunte Elmsleio, qui τἂν ἐπεπόνθεμες)] κ' αὖ πεπόνθαμες 1099. αἰ Meinekius] αἴ κ' εἶδον Brunckius] ἴδον. εἶδον cum digammo pronunciandum, ut ἔσθος v. 1096. ἁμὲ τὤνδρες Elmsleius] ἀμὲς ἄνδρες (ἄνδρας R) ἀμπεφλασμένως Meinekius] ἀναπεφλασμένως 1102. γ' οὑτοιί Cobetus] τουτογὶ 1105. καὶ Ahrens de dial. Dor. p. 348.] κἂν (καλεῖτε pr. R) 1106. 1107. ΑΘ. Beerius p. 165. Choro tribuunt libri. 1109. ⏑ ⏑ –] Incertum est in qua sede versus tres syllabae exciderint. ἀφελῆ Meinekius. Alii alia. 1119. ἢν] κἂν Meinekius. 1121. τούτου Dobraeus] τούτους 1123. δ' Bergkius] τ' vel θ' 1129. ἐκ Bentleius] τε cum Suida s. v. χερνίβος χέρνιβος] χερνίβος R et Suidas 1133. βαρβάρων] βαρβάροις Hermannus. στρατεύματι] στρατεύμασι Reiskius et Hermannus.

ΛΥ. εἶτ', ὦ Λάκωνες, πρὸς γὰρ ὑμᾶς τρέψομαι,
οὐκ ἴσθ' ὅτ' ἐλθὼν δεῦρο Περικλείδας ποτὲ
ὁ Λάκων Ἀθηναίων ἱκέτης καθέζετο
ἐπὶ τοῖσι βωμοῖς ὠχρὸς ἐν φοινικίδι,
στρατιὰν προσαιτῶν; ἡ δὲ Μεσσήνη τότε
ὑμῖν ἐπέκειτο, χὠ θεὸς σείων ἅμα.
ἐλθὼν δὲ σὺν ὁπλίταισι τετρακισχιλίοις
Κίμων ὅλην ἔσωσε τὴν Λακεδαίμονα.
ταυτὶ παθόντες τῶν Ἀθηναίων ὕπο
δῃοῦτε χώραν, ἧς ὕπ' εὖ πεπόνθατε;
ΑΘ. ἀδικοῦσιν οὗτοι νὴ Δί', ὦ Λυσιστράτη.
ΛΑ. ἀδικίομες· ἀλλ' ὁ πρωκτὸς ἄφατον ὡς καλός.
ΛΥ. ὑμᾶς δ' ἀφήσειν τοὺς Ἀθηναίους μ' οἴει;
οὐκ ἴσθ' ὅθ' ὑμᾶς οἱ Λάκωνες αὖθις αὖ
κατωνάκας φοροῦντας ἐλθόντες δορὶ
πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν,
πολλοὺς δ' ἑταίρους Ἱππίου καὶ ξυμμάχους
ξυνεκμαχοῦντες τῇ τόθ' ἡμέρᾳ μόνοι,
ἠλευθέρωσαν, κἀντὶ τῆς κατωνάκης
τὸν δῆμον ὑμῶν χλαῖναν ἠμπισχον πάλιν;
ΛΑ. οὔπα γυναῖκ' ὄπωπα χαϊωτέραν.
ΑΘ. ἐγὼ δὲ κύσθον γ' οὐδέπω καλλίονα.
ΛΥ. τί δῆθ' ὑπηργμένων γε πολλῶν κἀγαθῶν
μάχεσθε κοὐ παύεσθε τῆς μοχθηρίας;
τί δ' οὐ διηλλάγητε; φέρε, τί τοὐμποδών;
ΛΑ. ἀμές γα λῶμες, αἴ τις ἀμὶν τὤγκυκλον [Πύλον,
λῆ τοῦτ' ἀποδόμεν. ΛΥ. ποῖον, ὦ τἀν; ΛΑ. τὰν
ἅσπερ πάλαι δεόμεθα καὶ βλιμάδδομες.
ΑΘ. μὰ τὸν Ποσειδῶ, τοῦτο μέν γ' οὐ δράσετε.
ΛΥ. ἄφετ', ὠγάθ', αὐτοῖς. ΑΘ. κᾆτα τίνα κινήσομεν;
ΛΥ. ἕτερόν γ' ἀπαιτεῖτ' ἀντὶ τούτου χωρίον.
ΑΘ. τὸ δεῖνα τοίνυν παράδοθ' ἡμῖν τουτονὶ
πρώτιστα τὸν Ἐχινοῦντα καὶ τὸν Μηλιᾶ
κόλπον τὸν ὄπισθεν καὶ τὰ Μεγαρικὰ σκέλη.
ΛΑ. οὐ τὼ σιώ, οὐχὶ πάντα γ', ὦ λισσάνιε.
ΛΥ. ἐᾶτε, μηδὲν διαφέρου περὶ σκελοῖν.
ΑΘ. ἤδη γεωργεῖν γυμνὸς ἀποδὺς βούλομαι.
ΛΑ. ἐγὼ δὲ κοπραγωγῆν γα λῶ, ναὶ τὼ σιώ.
ΛΥ. ἐπὴν διαλλαγῆτε, ταῦτα δράσετε.
ἀλλ' εἰ δοκεῖ δρᾶν ταῦτα, βουλεύσασθε καὶ
τοῖς ξυμμάχοις ἐλθόντες ἀνακοινώσατε.
ΑΘ. ποίοισιν, ὦ τἀν, ξυμμάχοις; ἐστύκαμεν.
οὐ ταὐτὰ δόξει τοῖσι συμμάχοισι νῷν,
βινεῖν ἅπασιν; ΛΑ. τοῖσι γῶν, ναὶ τὼ σιώ,
ἁμοῖσι. ΑΘ. καὶ γάρ, ναὶ μὰ Δία, Καρυστίοις.
ΛΥ. καλῶς λέγετε. νῦν οὖν ὅπως ἁγνεύσετε,
ἕως ἂν αἱ γυναῖκες ὑμᾶς ἐν πόλει
ξενίσωμεν ὧν ἐν ταῖσι κίσταις εἴχομεν.
ὅρκους δ' ἐκεῖ καὶ πίστιν ἀλλήλοις δότε.
κἄπειτα τὴν αὑτοῦ γυναῖχ' ὑμῶν λαβὼν
ἄπεισ' ἕκαστος. ἀλλ' ἴωμεν ὡς τάχος.
ΛΑ. ἄγ' ὅπα τυ λῇς. ΑΘ. νὴ τὸν Δί' ὡς τάχιστά γε.
ΧΟ. στρωμάτων δὲ ποικίλων καὶ
χλανιδίων καὶ ξυστίδων καὶ
χρυσίων, ὅσ' ἐστί μοι,
οὐ φθόνος ἔνεστί μοι πᾶσι παρέχειν φέρειν
τοῖς παισίν, ὁπόταν τε θυγάτηρ τινὶ κανηφορῇ.
πᾶσιν ὑμῖν λέγω λαμβάνειν τῶν ἐμῶν
χρημάτων νῦν ἔνδοθεν, καὶ
μηδὲν οὕτως εὖ σεσημάν-
θαι τὸ μὴ οὐχὶ
τοὺς ῥύπους ἀνασπάσαι,
χἄττ' ἂν ἔνδον ᾖ φορεῖν.
ὄψεται δ' οὐδὲν σκοπῶν, εἰ
μή τις ὑμῶν
ὀξύτερον ἐμοῦ βλέπει.
εἰ δέ τῳ μὴ σῖτος ὑμῶν
ἔστι, βόσκει δ' οἰκέτας καὶ
σμικρὰ πολλὰ παιδία,
ἔστι παρ' ἐμοῦ λαβεῖν πυρίδια λεπτὰ μέν,
ὁ δ' ἄρτος ἀπὸ χοίνικος ἰδεῖν μάλα νεανίας.
ὅστις οὖν βούλεται τῶν πενήτων ἴτω
εἰς ἐμοῦ σάκκους ἔχων καὶ
κωρύκους, ὡς λήψεται πυ-
ρούς· ὁ Μανῆς δ'
οὑμὸς αὐτοῖς ἐμβαλεῖ.
πρός γε μέντοι τὴν θύραν
προαγορεύω μὴ βαδίζειν
τὴν ἐμήν, ἀλλ'
εὐλαβεῖσθαι τὴν κύνα.

ΑΘΗΝΑΙΟΣ Α.

ἄνοιγε τὴν θύραν σύ· παραχωρεῖν ἔδει

---

1148. ἀδικίομες D.] ἀδικιοῦμες R Aug. ἀδικοῦμες ceteri. ἄφατον ὡς Bentleius] ἄφατος καὶ 1149. μ' addidit Dobraeus. 1153. ἑταίρους Ἱππίου ex Suida s. v. κατωνάκαι] ἑτέρους ἱππίους 1154. ξυνεκμαχοῦντες] ξυνεκμοχλοῦντες (quod verbum legitur v. 430.) Meinekius. 1155. ἠλευθέρωσαν D.] κἀλευθέρωσαν. Qui neglecto augmento καὶ addidit corrector non animadvertit cohaerere verba οὐκ ἴσθ' ὅθ' ὑμᾶς — ἠλευθέρωσαν. 1159. γε Bothius] τε 1162. ἀμές γα Koenius ad Greg. Cor. p. 252.] ἀμές γε λῶμες Bentleius] λώμεσθ' τὤγκυκλον Meinekius] τοὔγκυκλον 1163. ἀποδόμεν Brunckius] ἀποδῶμεν 1164. ἅσπερ Berglerus (τᾶσπερ Elmsleius)] ὥσπερ δεόμεθα Elmsleius] δεόμεσθα βλιμάδδομες Brunckius] βλιμάττομες 1167. τούτου Florens Christianus] τούτου τοῦ χωρίον Bentleius] χωρίου 1171. λισσάνιε Is. Vossius] λυσσάνιε 1172. σκελοῖν] τοῖν σκελοῖν Bentleius. 1174. λῶ Reisigius] πρῶτα 1180. γῶν Ahrens de dial. Dor. p. 167.] γοῦν 1183. ἕως Hamakerus] ὅπως

1190. χρυσίων] χρυσίδων Brunckius. ἐστί μοι Bothius (ἔστ' ἐμοὶ Bentleius)] ἐστὶν ἐμοὶ 1201. χἄττ' ἂν Bothius] χ' ἅτ' 1207. ὁ δ' ἄρτος — νεανίας] τὸν δ' ἄρτον — νεανίαν Hermannus. 1211. σάκκους Bentleius] σάκους 1214. οὑμὸς αὐτοῖς Bentleius] αὐτοῖς οὑμὸς 1216—1246. Personae in his versibus sic sunt descriptae in Aug. et ed. Iunt. (quibuscum R consentire credibile est et inde ab v. 1237. BCΔ, in quibus praecedentes versus 1216—1236. in lacunam inciderunt, ut dixi ad v. 1098.) Θεράπων. ἄνοιγε — προσταλαιπωρήσαιμεν. ΧΟ. χἠμεῖς — Θε. οὐκ ἄπιτε — Αθ. οὔπω — ΧΟ. ὀρθῶς γ' — Θε. νὴ τὸν Δί' — Λα. ὦ πολυχαρίδα — Ἀθ. λαβὲ — ὀρχουμένους. Laconis versus esse 1242—1244. dialectus docet, nec minus certum est viri Atheniensis versus esse 1245. 1246. In praecedentibus vero versibus quomodo personae essent describendae diu est multumque disceptatum, ut videre licet apud Beerium p. 93. 94, Hermannum in Annalibus Vindob. a. 1845. vol. 110. p. 71—73., Hamakerum Mnemos. vol. 5. p. 23—26., quem ego partim sum secutus. 1216. σύ Bentleius] οὐ, cum verbo παραχωρεῖς coniunctum. Verba ἄνοιγε τὴν θύραν σύ viri sunt Atheniensis ex aedibus prodeuntis, qui τὴν θυρωρὸν alloquitur. Scholiasta, ἐπικωμάζει λαμπάδα ἔχων. δεῖ δὲ νοεῖν ὅτι πρὸς τὴν θυρωρὸν λέγει. Cuius in libro versus 1216—1218. θεράποντι tributos fuisse ex annotatione ad v. 1239. colligi potest, αὖθις ἔρχονται πάλιν: συνήχθησαν πάλιν. ἦν γὰρ θεράπων διασκορπίσας αὐτοὺς τῇ λαμπάδι. Verbum autem ἐπικωμάζει indicio est scholiastam verba ἄνοιγε τὴν θύραν non ab viro ex aedibus prodeunte, sed ab viro ante aedes versante dicta esse credidisse. παραχωρεῖν θέλεις; ὑμεῖς τί κάθησθε; libri] Verba interpolata. Aristophanes scripsisse videtur παραχωρεῖν ἔδει | ὑμᾶς. τί κάθησθε; quibus verbis proximisque μῶν ἐγὼ τῇ λαμ-

ὑμᾶς. τί κάθησθε; μῶν ἐγὼ τῇ λαμπάδι
ὑμᾶς κατακαύσω; φορτικὸν μὲν τουτογὶ
κοὐκ ἂν ποιήσαιμ'· εἰ δὲ πάνυ δεῖ τοῦτο δρᾶν,
ὑμῖν χαριζόμενος ταλαιπωρήσομαι.
ΑΘ. Β. χἠμεῖς γε μετὰ σοῦ ξυνταλαιπωρήσομεν.
ΑΘ. Α. οὐκ ἄπιτε; κωκύσεσθε τὰς τρίχας μακρά.
οὐκ ἄπιθ', ὅπως ἂν οἱ Λάκωνες ἔνδοθεν
καθ' ἡσυχίαν ἀπίωσιν ηὐωχημένοι;
ΑΘ. Γ. οὔπω τοιοῦτον ξυμπόσιον ὄπωπ' ἐγώ.
ἦ καὶ χαρίεντες ἦσαν οἱ Λακωνικοί·
ἡμεῖς δ' ἐν οἴνῳ ξυμπόται σοφώτατοι.
ΑΘ. Α. ὀρθῶς γ', ὁτιὴ νήφοντες οὐχ ὑγιαίνομεν.
ἢν τοὺς Ἀθηναίους ἐγὼ πείσω λέγων,
μεθύοντες ἀεὶ πανταχοῖ πρεσβεύσομεν.
νῦν μὲν γὰρ ὅταν ἔλθωμεν ἐς Λακεδαίμονα
νήφοντες, εὐθὺς βλέπομεν ὅ τι ταράξομεν·
ὥσθ' ὅ τι μὲν ἂν λέγωσιν οὐκ ἀκούομεν,
ἃ δ' οὐ λέγουσι, ταῦθ' ὑπονενοήκαμεν.
ἀγγέλλομεν δ' οὐ ταὐτὰ τῶν αὐτῶν πέρι.
νυνὶ δ' ἅπαντ' ἤρεσκεν· ὥστ' εἰ μέν γέ τις
ᾄδοι Τελαμῶνος, Κλειταγόρας ᾄδειν δέον,
ἐπῃνέσαμεν ἂν καὶ προσεπιωρκήσαμεν.
ἀλλ' οὑτοιὶ γὰρ αὖθις ἔρχονται πάλιν
ἐς ταὐτόν· οὐκ ἐρρήσετ', ὦ μαστιγίαι;
ΑΘ. Β. νὴ τὸν Δί', ὡς ἤδη γε χωροῦσ' ἔνδοθεν.
ΛΑ. ὦ πουλυχαρίδα, λαβὲ τὰ φυσατήρια,
ἵν' ἐγὼ διποδιάξω γα κάείσω καλὸν
ἐς τὼς Ἀσαναίως τε κῆς αὐτὼς ἁμᾶ.

ΑΘ. Α. λαβὲ δῆτα τὰς φυσαλλίδας πρὸς τῶν θεῶν,
ὡς ἥδομαί γ' ὑμᾶς ὁρῶν ὀρχουμένους.

ΧΟΡΟΣ ΛΑΚΩΝΩΝ.

ὅρμαον
τοῖς κυρσανίοις, ὦ Μναμόνα,
τὰν τεὰν μῶαν, ἅτις
οἶδεν ἁμὲ τὼς τ' Ἀσαναίως,
ὅκα τοὶ μὲν ἐπ' Ἀρταμιτίῳ
πρώκροον θείκελοι
ποττὰ κᾶλα τὼς Μήδως τ' ἐνίκων.
ἁμὲ δ' αὖ Λεωνίδας
ἆγεν ᾇπερ τὼς κάπρως
θάγοντας, οἰῶ, τὸν ὀδόντα·
πολὺς δ' ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσει,
πολὺς δ' ἁμᾶ καττοῖν σκελοῖν ἵετο.
ἦν γὰρ τὤνδρες οὐκ ἐλάσσως
τᾶς ψάμμας, τοὶ Πέρσαι.
Ἀγροτέρα σηροκτόνε
μόλε δεῦρο, παρσένε σιά,
ποττὰς σπονδάς,
ὡς συνέχῃς πολὺν ἁμὲ χρόνον.
νῦν δ' αὖ φιλία τ' αἰὲς εὔπορος εἴη
[ταῖς συνθήκαις]
καὶ τᾶν αἱμυλᾶν ἀλωπέκων παυσαίμεθ'· ὦ
δεῦρ' ἴθι δεῦρ', ὦ κυναγὲ παρσένε.
ΛΥ. ἄγε νυν, ἐπειδὴ τἄλλα πεποίηται καλῶς,
ἀπάγεσθε ταύτας, ὦ Λάκωνες, τασδεδὶ
ὑμεῖς· ἀνὴρ δὲ παρὰ γυναῖκα καὶ γυνὴ
στήτω παρ' ἄνδρα, κᾆτ' ἐπ' ἀγαθαῖς ξυμφοραῖς
ὀρχησάμενοι θεοῖσιν εὐλαβώμεθα
τὸ λοιπὸν αὖθις μὴ 'ξαμαρτάνειν ἔτι.

ΧΟΡΟΣ ΑΘΗΝΑΙΩΝ.

πρόσαγε χορόν, ἐπάγαγε χάριτας,
ἐπὶ δὲ κάλεσον Ἄρτεμιν,
ἐπὶ δὲ δίδυμον ἤιον
εὔφρον', ἐπὶ δὲ Νύσιον,
ὃς μετὰ Μαινάσι Βάκχιος ὄμμασι δαίεται,

---

πάδι ὑμᾶς κατακαύσω; Atheniensis minatur plebeculae, non constat quot personis repraesentatae, quam chorus invitaverat versibus 1209—1215. Similiter Philocleo post coenam ex aedibus prodiens in Vespis 1325. minatur, ἄνεχε, πάρεχε. | κλαύσεταί τις τῶν ὄπισθεν | ἐπακολουθούντων ἐμοί. | οἷον, εἰ μὴ 'ρρήσεθ', ὑμᾶς | ὦ πονηροί, ταυτηὶ τῇ | δᾳδὶ φρυκτοὺς σκευάσω. Scaligero scribendum videbatur ἄνοιγε τὴν θύραν. παραχωρεῖν οὐ θέλεις; Sed alienum ab hoc loco οὐ θέλεις; nam aut παραχωρεῖν ἔδει ὑμᾶς dicendum erat, ut ego scripsi, aut παραχωρήσατε ὑμεῖς.

1218. φορτικὸν μὲν τουτογὶ Hamakerus] φορτικὸν τὸ χωρίον. χωρίον non videtur legisse scholiasta, qui annotavit, τὸ πρᾶγμα, τὸ ὑμᾶς καῦσαι. ὑμῖν τοῖς θεαταῖς τελειώσομεν τὸ δρᾶμα. φορτικὸν μέν ἐστιν εἰσελθεῖν εἰς τὴν σκηνὴν μετὰ λαμπάδος καὶ καταφλέξαι τινά. (Sic Aristophanes in Nubibus quoque v. 543. iudicat.) εἰ δὲ βούλεσθε, ὦ θεαταί, καὶ τοῦτο ποιήσομεν προσχαριζόμενοι ὑμῖν. 1219. κοὐκ D. in Annot. Oxon. p. 813.] οὐκ 1220. χαριζόμενος D.] χαρίζεσθαι ταλαιπωρήσομεν Florens Christianus. Debebat ταλαιπωρήσομαι, quod ego restitui praeeunte Engero, qui χαρίσασθαι (hoc cum Bentleio) προσταλαιπωρήσομαι coniecerat. προσταλαιπωρήσαιμεν libri. πρὸς fortasse ex glossemate προσχαριζόμενοι, quo scholiasta utitur, adhaesit, nisi hoc ab scholiasta positum est qui προσταλαιπωρήσομεν scriptum videret. 1221. Haec alius viri Atheniensis esse qui cum viro primo, comitantibus aliis nonnullis, ex aedibus egressus erat, perspexit Hamakerus p. 25.: unde explicatur numeri pluralis usus. 1224. ηὐωχημένοι Meinekius] εὐωχημένοι. Vid. ad Vesp. 1306. et L. Dindorf. ad Xen. Cyrop. 4, 5, 7. in ed. Oxon. p. 191. 1225. Haec viro Atheniensi tertio tribuere malui quam secundo. Scholiasta, ἐξέρχεταί τις τῶν Ἀθηναίων ἀπὸ τοῦ συμποσίου.

1228. ὁτιὴ Bentleius] ὅτι 1230. πανταχοῖ Brunckius] πανταχοῦ 1242. πουλυχαρίδα] Vid. ad v. 1098.

1243. γα Brunckius] τε κάείσω Meursius] κάΐσω R Aug. καὶ κινήσω BCΔ Vat. 1244. τὼς Ἀσαναίως] τοὺς ἀσαναίους R Aug. hic et infra v. 1250. pariterque τοὺς μήδους v. 1253. κῆς Brunckius] καὶ R Aug. καὶ ἐς BC. αὐτὼς Ahrens de dial. Dor. p. 261.] ἡμᾶς ἁμᾷ hic et 1259 Meinekius] ἅμα

1245. δῆτα R Aug. δή C. δή σύ BΔ. 1246. ὑμᾶς ὁρῶν] ὁρῶν ὑμᾶς R Aug. ὁρῶν om. BCΔ. 1248. τοῖς κυρσανίαις (debebat κυρσανίοις) Burgesius] τὼς κυρσανίως. Dativo τῷ ἐφήβῳ utitur scholiasta, quasi τῷ κυρσανίῳ legerit. Μναμόνα] μναμοσύνη BCΔ Vat. 1249. τὰν τεὰν] τάν τ' ἐμὰν BCΔ. 1250. ἁμὲ] ἄμμε BΔ. 1252. πρώκροον Ahrens de dial. Dor. p. 188.] πρόκροον θείκελοι] Schol. τὸ πλῆρες θεοείκελοι. σιοείκελοι Meinekius. 1256. οἰῶ correpta syllaba prima, ut v. 81. 1259. δ' ἅμα BC. τ' ἅμα R Aug. καττοῖν σκελοῖν Meinekius] καὶ κατὰ τῶν σκελῶν. καὶ καττῶν σκελῶν Brunckius. καὶ delevit Reisigius. ἵετο Brunckius] ἀφρὸς ἵετο. λύθρος ἵετο Meinekius. 1262. Ἀγροτέρα D.] ἀγροτέρ' ἄρτεμι. Ἀγροτέρα, omisso Ἀρτέμιδος nomine, dixerunt Aristoph. Eq. 660. aliique. Similiter Apollinis et Minervae nomina ex glossematis illata sunt v. 1299. 1300. 1263. σιά] σεία Cobetus. 1266. τ' Schaeferus] δ' αἰὲς] Fort. ἐς αἰές. 1268. ταῖς (ταῖσιν R Aug.) συνθήκαις delet Hamakerus. 1274. τασδεδὶ D.] τασδεῖ BCΔ. τάσδε τε R Aug. 1278. αὖθις] αὖτις R Aug. 1289. ἐπάγαγε Meinekius] ἔπαγε 1281. δίδυμον ἤιον Engerus] δίδυμον ἄγε (ἄγετε BCΔ) χορὸν (ἀγέχορον Berglerus) ἰήιον. ἄγε χορὸν legit scholiasta, δύο εἰσὶ χοροί, ὁ τῶν Λακώνων καὶ ὁ τῶν Ἀθηναίων. 1274. Βάκχιος (sic Burgesius pro Βάκχειος) ὄμμασι δαίεται] βακχιοῖ εὐάσιν, deleto δαίεται, Bergkius. Scholiasta, μετὰ τῶν βακχῶν βλέπει

Δία τε πυρὶ φλεγόμενον, ἐπί τε πότνιαν ἄλοχον
ὀλβίαν,
εἶτα δὲ δαίμονας, οἷς ἐπιμάρτυσι
χρησόμεθ' οὐκ ἐπιλήσμοσιν
Ἡσυχίας πέρι τῆς ἀγανόφρονος,
ἣν ἐποίησε θεὰ Κύπρις.
ἀλαλαὶ ἰὴ παιήων·
αἴρεσθ' ἄνω, ἰαί,
ὡς ἐπὶ νίκῃ, ἰαί.
εὐοῖ εὐοῖ, εὐαὶ εὐαί.
ΛΥ. Λάκων πρόφαινε δὴ σὺ μοῦσαν ἐπὶ νέᾳ νέαν.
ΧΟ. ΛΑ. Ταΰγετον αὖτ' ἐραννὸν ἐκλιπῶα
Μῶα μόλε Λάκαινα πρεπτὸν ἁμὶν
κλέωα τὸν Ἀμύκλαις σιὸν
καὶ χαλκίοικον ἄνασσαν,
Τυνδαρίδας τ' ἀγασώς,
τοὶ δὴ πὰρ Εὐρώταν ψιάδδοντι.
ὦ εἶα μάλ' ἔμβη,
ὦ εἶα, κοῦφα πάλλων,
ὡς Σπάρταν ὑμνίωμες.
τᾷ σιῶν χοροὶ μέλοντι
καὶ ποδῶν κτύπος,
ᾇ δὲ πῶλοι ταὶ κόραι
πὰρ τὸν Εὐρώταν
ἀμπάλλοντι πυκνὰ ποδοῖν
ἀγκονίωαι,
ταὶ δὲ κόμαι σείονθ' ᾇπερ Βακχᾶν
θυρσαδδωᾶν καὶ παδωᾶν.
ἁγῆται δ' ἁ Λήδας παῖς ἁγνὰ
χοραγὸς εὐπρεπής.
ἀλλ' ἄγε κόμαν παραμπύκιδδε, χερὶ ποδοῖν τε πάδη
ᾇ τις ἔλαφος· κρότον δ' ἁμᾶ ποίη χορωφελήταν·
καὶ τὰν σιὰν δ' αὖ τὰν κρατίσταν χαλκίοικον ὕμνη.

---

1287. ἐπιμάρτυσι] ἐπὶ μάρτυσι BC. 1289. ἀγανόφρονος Reisigius] μεγαλόφρονος 1291. παιήων] παιὼν Δ ut est in Av. 1761. ubi παιὼν ἰή scripsi (ut Pac. 452.) quod hic quoque restituendum videtur. 1292. 1293. Probabilior metri forma evadet, si scribatur, αἴρεσθ' ἄνω, ἰαὶ ἰαί, | ἰαί, ὡς ἐπὶ νίκῃ. 1295. Lysistratae personae notam addidit Bergkius, deleto Λάκων. Probabilior Meinekii sententia est qui duos trimetros hic lectos fuisse coniecit, perditis vel ante vel post Λάκων syllabis decem. 1298. Μῶα μόλε] ὦ Μῶα μόλε Reisigius. Μῶα μόλε μόλε Hermannus. 1299. κλέωα Ahrens de dial. Dor. p. 347.] κλεῶα Ἀμύκλαις Valckenarius] Ἀμύκλαις Ἀπόλλω 1300. ἄνασσαν] ἀσάναν, ad quod scripturam diversam annotavit scholiasta "διχῶς ἄνασσαν". Nam adverbio διχῶς grammatici diversas significare solent scripturas, ut in scholiis ad Aristophanem vol. 2. p. 316, 5. vol. 3 p. 265, 16. 331, 26. 357, 24. ed. Oxon.: cuius usus ignoratio interdum mirorum errorum caussa fuit, ut ostendi in Praefatione ad Aeschyli Prometheum (ex Poetis scenicis separatim editam Londini a. 1866.) p. XIII.

1303. ὦ addidit D. Conf. Pac. 459. μάλ' Brunckius] μάλα ἔμβη] ἔμβα BCΔ Vat. 1304. ὦ εἶα] ὠῖα R Aug. 1308. ᾇ δὲ Ahrens de dial. Dor. p. 370.] αἴτε vel ἅτε 1311. ἀγκονίωαι Reisigius] ἀγκονεύουσαι R (cum gl. ἀνακινοῦσαι) Aug. ἀγκονέουσαι C. ἐγκονιῶσαι Brunckius. 1312. σείονθ'] σείοντ' R Aug. ᾇπερ Brunckius] αἵπερ vel ἅπερ 1313. θυρσαδδωᾶν] θυρσαδδοᾶν R Aug. παδοᾶν (debebat παδωᾶν) Koenius] παδδοᾶν R Aug. παιδδωᾶν BCΔ: quod legit scholiasta, qui per παιζουσῶν explicat. 1316. παραμπύκιδδε (ex schol. qui per σκέπασον explicat) Hermannus] παραμπυκίδδετε χερὶ BCΔ. χειρὶ R Aug. πάδη] πάδδη BC Vat 1317. ἁμᾶ — χορωφελήταν Hermannus] ἅμα — χορωφελέταν 1318. ὕμνη Hermannus] ὕμνει τὰν παμμάχον (πρόμαχον Δ) post ὕμνη separato versu lectum delevi. Ineptum est enim fabulam simplici finiri dipodia iambica, quae nihil aliud esse videtur quam glossema τὴν πάμμαχον (nam hic rectus accentus est) ad τὰν κρατίσταν adscriptum.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ.

---

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΜΝΗΣΙΛΟΧΟΣ, Εὐριπίδου κηδεστής.
ΕΥΡΙΠΙΔΗΣ.
ΘΕΡΑΠΩΝ Ἀγάθωνος.
ΑΓΑΘΩΝ.
ΧΟΡΟΣ Ἀγάθωνος.
ΚΗΡΥΞ.
ΧΟΡΟΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΩΝ.
ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ.
ΚΛΕΙΣΘΕΝΗΣ.
ΠΡΥΤΑΝΙΣ.
ΣΚΥΘΗΣ ΤΟΞΟΤΗΣ.

---

ΜΝΗΣΙΛΟΧΟΣ.

Ὦ Ζεῦ, χελιδὼν ἆρά ποτε φανήσεται;
ἀπολεῖ μ' ἀλοῶν ἅνθρωπος ἐξ ἑωθινοῦ.
οἷόν τε, πρὶν τὸν σπλῆνα κομιδῇ μ' ἐκβαλεῖν,
παρὰ σοῦ πυθέσθαι ποῖ μ' ἄγεις, Εὐριπίδη;

ΕΥΡΙΠΙΔΗΣ.

ἀλλ' οὐκ ἀκούειν δεῖ σε πάνθ' ὅσ' αὐτίκα
ὄψει παρεστώς. ΜΝ. πῶς λέγεις: αὖθις φράσον.
οὐ δεῖ μ' ἀκούειν; ΕΥ. οὐχ ἅ γ' ἂν μέλλῃς ὁρᾶν.
ΜΝ. οὐδ' ἆρ' ὁρᾶν δεῖ μ'; ΕΥ. οὐχ ἅ γ' ἂν ἀκούειν δέῃ.
ΜΝ. πῶς μοι παραινεῖς; δεξιῶς μέντοι λέγεις.
οὐ φῂς σὺ χρῆναί μ' οὔτ' ἀκούειν οὔθ' ὁρᾶν.
ΕΥ. χωρὶς γὰρ αὐτοῖν ἑκατέρου 'στὶν ἡ φύσις.
ΜΝ. τοῦ μήτ' ἀκούειν μήθ' ὁρᾶν; ΕΥ. εὖ ἴσθ' ὅτι.
ΜΝ. πῶς χωρίς; ΕΥ. οὕτω ταῦτα διεκρίθη τότε.
αἰθὴρ γὰρ ὅτε τὰ πρῶτα διεχωρίζετο
καὶ ζῷ' ἐν αὑτῷ ξυνετέκνου κινούμενα,
ᾧ μὲν βλέπειν χρὴ πρῶτ' ἐμηχανήσατο
ὀφθαλμὸν ἀντίμιμον ἡλίου τροχῷ,
δίκην δὲ χοάνης ὦτα διετετρήνατο.
ΜΝ. διὰ τὴν χοάνην οὖν μήτ' ἀκούω μήθ' ὁρῶ;
νὴ τὸν Δί' ἥδομαί γε τουτὶ προσμαθών.
οἷόν τί που 'στὶν αἱ σοφαὶ ξυνουσίαι. [οὖν
ΕΥ. πόλλ' ἂν μάθοις τοιαῦτα παρ' ἐμοῦ. ΜΝ. πῶς ἂν
πρὸς τοῖς ἀγαθοῖς τούτοισιν ἐξεύροις ὅπως
ἔτι προσμάθοιμι χωλὸς εἶναι τὼ σκέλη;
ΕΥ. βάδιζε δευρὶ καὶ πρόσεχε τὸν νοῦν. ΜΝ. ἰδού.
ΕΥ. ὁρᾷς τὸ θύριον τοῦτο; ΜΝ. νὴ τὸν Ἡρακλῆ,
οἶμαί γε. ΕΥ. σίγα νυν. ΜΝ. σιωπῶ τὸ θύριον;
ΕΥ. ἄκου'. ΜΝ. ἀκούω καὶ σιωπῶ τὸ θύριον;
ΕΥ. ἐνταῦθ' Ἀγάθων ὁ κλεινὸς οἰκῶν τυγχάνει,
ὁ τραγῳδοποιός. ΜΝ. ποῖος οὗτος Ἀγάθων;
ΕΥ. ἔστιν τις Ἀγάθων ΜΝ. μῶν ὁ μέλας ὁ καρτερός;
ΕΥ. οὔκ, ἀλλ' ἕτερός τις· οὐχ ἑόρακας πώποτε;
ΜΝ. μῶν ὁ δασυπώγων; ΕΥ. οὐχ ἑόρακας πώποτε;
ΜΝ. μὰ τὸν Δί' οὔπω γ', ὥστε κἀμέ γ' εἰδέναι.
ΕΥ. καὶ μὴν βεβίνηκας σύ γ', ἀλλ' οὐκ οἶσθ' ἴσως.
ἀλλ' ἐκποδὼν πτήξωμεν,· ὡς ἐξέρχεται
θεράπων τις αὐτοῦ, πῦρ ἔχων καὶ μυρρίνας.
[προθυσόμενος ἔοικε τῆς ποιήσεως.]

---

Θεσμοφοριαζουσῶν codices sunt tres, Vaticanus Urbinas, ex quo hanc fabulam et Lysistratam primum edidit Bernardus Iunta Florentiae a. 1515., Ravennas (R) et Augustanus (nunc Monacensis), qui Ravennati tam similis est ut aut ex ipso aut aliquo apographo eius descriptus videatur. Quamobrem solum fere Ravennatem memoravi, notato Urbinatis (cuius scripturam passim se correxisse Iunta in Praefatione dixit) et Augustani dissensu, ubi operae pretium esset, quod perraro accidit. Ὑπόθεσις huius fabulae nulla est in codicibus.

4. Εὐριπίδη D.] ὦ ὑριπίδη 5. πάνθ'] ταῦθ' Hamakerus. 16. πρῶτ' ἐμηχανήσατο Kusterus] πρῶτα μηχανήσατο 18. δίκην Reiskius] ἀκοὴν 21. τί Brunckius] τε. γε lemma scholii. 23. ἐξεύροις Reiskius] ἐξεύροιμ' 24. προσμάθοιμι Wellauerus (quod legit scholiasta, qui annotavit ἵνα μὴ περιπατήσῃ μετ' αὐτοῦ)] προσμάθοι μὴ 26. Ἡρακλῆ D.] Ἡρακλέα 28. ἀκούω Brunckius] ἀκούσω 29. ἐνταῦθ'] Si verum sit quod Invernizius tradit, in R ἐνθάδε δ' esse, ἐνθαδ' coniici posse monet Wellauerus.

30. ὡ 'γάθων (debebat Ἀγάθων) Scaliger] ἀγάθων

31. μέλας, quod scholiasta quoque legit, ex μέγας corruptum videri potest: de quo dixi in Annot. Oxon. p. 704. 32. 33. ἑόρακας Bentleius] ἑώρακας 34. οὔπω Meinekius] οὔτοι 38. ἔοικε] Pro ὡς ἔοικε dictum accepit scholiasta. Seclusi versum, ut videtur, spurium, cuius scriptor ἔοικε cum nominativo participii coniunxit, quod nunquam fecerunt scriptores Attici, saepe fecerunt recentiores, quorum exempla collegit Schaeferus ad Longum p. 367. et ad Dionys. de comp. verb. p. 212.

ΘΕΡΑΠΩΝ.

εὔφημος πᾶς ἔστω λαός,
στόμα συγκλήσας· ἐπιδημεῖ γὰρ
θίασος Μουσῶν ἔνδον μελάθρων
τῶν δεσποσύνων μελοποιῶν.
ἐχέτω δὲ πνοὰς νήνεμος αἰθήρ,
κῦμα δὲ πόντου μὴ κελαδείτω
γλαυκόν· ΜΝ. βομβάξ. ΕΥ. σίγα. ΜΝ. τί λέγει;
ΘΕ. πτηνῶν τε γένη κατακοιμάσθω,
θηρῶν τ' ἀγρίων πόδες ὑλοδρόμων
μὴ λυέσθων. ΜΝ. βομβαλοβομβάξ.
ΘΕ. μέλλει γὰρ ὁ καλλιεπὴς Ἀγάθων,
πρόμος ἡμέτερος, ΜΝ. μῶν βινεῖσθαι;
ΘΕ. τίς ὁ φωνήσας; ΜΝ. νήνεμος αἰθήρ.
ΘΕ. δρυόχους τιθέναι δράματος ἀρχάς.
κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν,
τὰ δὲ τορνεύει, τὰ δὲ κολλομελεῖ,
καὶ γνωμοτυπεῖ κἀντονομάζει
καὶ κηροχυτεῖ καὶ γογγύλλει
καὶ χοανεύει. ΜΝ. καὶ λαικάζει.
ΘΕ. τίς ἀγροιώτας πελάθει θριγκοῖς;
ΜΝ. ὃς ἕτοιμος σοῦ τοῦ τε ποιητοῦ
τοῦ καλλιεποῦς κατὰ τοῦ θριγκοῦ
ξυγγογγύλας καὶ ξυστρέψας
τουτὶ τὸ πέος χοανεῦσαι.
ΘΕ. ἦ που νέος γ' ὢν ἦσθ' ὑβριστής, ὦ γέρον.
ΕΥ. ὦ δαιμόνιε, τοῦτον μὲν ἔα χαίρειν, σὺ δὲ
Ἀγάθωνά μοι δεῦρ' ἐκκάλεσον πάσῃ τέχνῃ.
ΘΕ. μηδὲν ἱκέτευ'· αὐτὸς γὰρ ἔξεισιν τάχα.
καὶ γὰρ μελοποιεῖν ἄρχεται· χειμῶνος οὖν
ὄντος κατακάμπτειν τὰς στροφὰς οὐ ῥᾴδιον,
ἢν μὴ προΐῃ θύραζε πρὸς τὸν ἥλιον.
ΕΥ. τί οὖν ἐγὼ δρῶ; ΘΕ. περίμεν', ὡς ἐξέρχεται.
ΕΥ. ὦ Ζεῦ, τί δρᾶσαι διανοεῖ με τήμερον;
ΜΝ. νὴ τοὺς θεοὺς ἐγὼ πυθέσθαι βούλομαι
τί τὸ πρᾶγμα τουτί. τί στένεις; τί δυσφορεῖς;
οὐ χρῆν σε κρύπτειν ὄντα κηδεστὴν ἐμόν.
ΕΥ. ἔστιν κακόν μοι μέγα τι προπεφυραμένον.
ΜΝ. ποῖόν τι; ΕΥ. τῇδε θἠμέρᾳ κριθήσεται
εἴτ' ἔστ' ἔτι ζῶς εἴτ' ἀπόλωλ' Εὐριπίδης.
ΜΝ. καὶ πῶς; ἐπεὶ νῦν γ' οὔτε τὰ δικαστήρια
μέλλει δικάζειν οὔτε βουλῆς ἐσθ' ἕδρα,
ἐπεὶ τρίτη 'στὶ Θεσμοφορίων ἡ μέση.
ΕΥ. τοῦτ' αὐτὸ γάρ τοι κἀπολεῖν με προσδοκῶ.
αἱ γὰρ γυναῖκες ἐπιβεβουλεύκασί μοι
κἀν Θεσμοφόροιν μέλλουσι περί μου τήμερον
ἐκκλησιάζειν ἐπ' ὀλέθρῳ. ΜΝ. τιὴ τί δή;
ΕΥ. ὁτιὴ τραγῳδῶ καὶ κακῶς αὐτὰς λέγω.
ΜΝ. νὴ τὸν Ποσειδῶ καὶ δίκαιά γ' ἂν πάθοις.
ἀτὰρ τίν' ἐκ τούτων σὺ μηχανὴν ἔχεις;
ΕΥ. Ἀγάθωνα πεῖσαι τὸν τραγῳδοδιδάσκαλον
ἐς Θεσμοφόροιν ἐλθεῖν. ΜΝ. τί δράσοντ'; εἰπέ μοι.
ΕΥ. ἐκκλησιάσοντ' ἐν ταῖς γυναιξὶ χἂν δέῃ
λέξονθ' ὑπὲρ ἐμοῦ. ΜΝ. πότερα φανερῶς, ἢ λάθρα;
ΕΥ. λάθρα, στολὴν γυναικὸς ἠμφιεσμένον.
ΜΝ. τὸ πρᾶγμα κομψὸν καὶ σφόδρ' ἐκ τοῦ σοῦ τρόπου·
τοῦ γὰρ τεχνάζειν ἡμέτερος ὁ πυραμοῦς.
ΕΥ. σίγα. ΜΕ. τί δ' ἔστιν; ΕΥ. Ἁγάθων ἐξέρχεται.
ΜΝ. καὶ ποῦ ποτ' ἐστίν; ΕΥ. οὗτος οὐκκυκλούμενος.
ΜΝ. ἀλλ' ἦ τυφλὸς μέν εἰμ'· ἐγὼ γὰρ οὐχ ὁρῶ
ἄνδρ' οὐδέν' ἐνθάδ' ὄντα, Κυρήνην δ' ὁρῶ.
ΕΥ. σίγα· μελῳδεῖν αὖ παρασκευάζεται.
ΜΝ. μύρμηκος ἀτραπούς, ἢ τί διαμινύρεται;

ΑΓΑΘΩΝ.

ἱερὰν χθονίαις δεξάμεναι λαμπάδα κοῦραι
⏑ ⏑ ⏑́ ⏑ ⏑ ⏑́ – ⏑ χορεύσασθε βοάν.

ΧΟΡΟΣ.

τίνι δὲ δαιμόνων ὁ κῶμος;
λέγε νυν· εὐπιθῶς δὲ τοὐμὸν
δαίμονας ἔχει σεβίσαι.
ΑΓ. ἄγε νυν ὅπλιζε Μοῦσα
χρυσέων ῥύτορα τόξων
Φοῖβον, ὃς ἱδρύσατο χώρας
γύαλα Σιμουντίδι γᾷ.
ΧΟ. χαῖρε καλλίσταις ἀοιδαῖς,
Φοῖβ', ἐν εὐμούσοισι τιμαῖς
γέρας ἱρὸν προφέρων.
ΑΓ. τάν τ' ἐν ὄρεσι δρυογόνοισι
κόραν ἀείσατ' Ἄρτεμιν ἀγροτέραν.
ΧΟ. ἕπομαι κλῄζουσα σεμνὰν
γόνον ὀλβίζουσα Λατοῦς
Ἄρτεμιν ἀπειρολεχῆ.
ΑΓ. Λατώ τε, κρούματά τ' Ἀσιάδος
ποδὶ παρ' εὔρυθμα Φρυγίων Χαρίτων δινεύματα.
ΧΟ. σέβομαι Λατώ τ' ἄνασσαν
κίθαρίν τε ματέρ' ὕμνων
ἄρσενι βοᾷ δόκιμον·
τᾷ φῶς ἔσσυτο δαιμονίοις ὄμμασιν

---

39. λαὸς ex schol. et Suida s. v. εὐφήμει] λεὼς 40. συγκλήσας D.] συγκλείσας 45. ΜΝ. post σίγα addidit Reiskius. λέγει Aug. λέγεις ed. Iunt. et fortasse R. 50. πρόμος Scaliger] πράμος 53. ἁψῖδας Suidas s. v. δρύοχος, λαικάζει et χιανεύει] ἀσπίδας 56. γογγύλλει Porsonus] γογγυλίζει 58. ἀγροιώτας Bentleius] ἀγριώτας 60. κατὰ a m. rec. habet R, om. Aug. 61. συγγογγύλας Engerus] γογγυλίσας. Idem vitium Lys. 975. 64. ἔα] Probabilius ἆ: vid. ad v. 176. 69. θύραζε editio Veneta a. 1538.] θύρασι 74. ἐμόν] ἐμέ Brunckius. 77. ζῶς Meinekius] ζῶν. Vid. ad Av. 1078. 79. δικάζειν] καθίζειν Cobetus. 83. περί μου Brunckius] περὶ ἐμοῦ 86. καὶ δίκαιά γ' ἂν Scaliger] καὶ δι' καὶ ἂν R. καὶ δία δίκαι' ἂν Aug. 87. τούτων Berglerus] ταύτης

90. ἐκκλησιάσοντ'] ἐκκλησιάζοντ' Aug., ut in Eccl. 161. libri ἐκκλησιάζουσα, ubi metrum ἐκκλησιάσουσ' postulat. Fortasse utrobique contracta futuri forma restituenda cum Buttmanno ἐκκλησιῶντ' et ἐκκλησιῶσ'. χἂν Marklandus] κἂν 91. φανερῶς Cobetus] φανερὸν 95. ὡγάθων (debebat Ἁγάθων) Brunckius] ἀγάθων 96. καὶ ποῦ ποτ' ἐστὶν: ΕΥ. οὗτος D. (praeeunte Dobraeo, qui καὶ ποῦ 'στιν; ΕΥ. οὗτος αὐτὸς conieceral)] καὶ ποῖός ἐστιν οὗτος; ΕΥ. 99. αὖ Scaliger ex Av. 226. ubi eadem verba] ἂν 100. διαμινύρεται Dawesius] διαμινυρίζεται, cum Suida s. v. μύρμηξ. 103. ⏑ ⏑ ⏑́ ⏑ ⏑ ⏑́ – ⏑ χορεύσασθε βοάν] ξὺν ἐλευθέρᾳ πατρίδι χορεύσασθαι (χορεύσασθε Bentleius) βοάν, quod interpolatoris commentum est, qui versum defectum illato, qui alienus ab hoc carmine est, trimetro iambico redintegrare conatus est. 104. δὲ addidit Reisigius. 105. νυν· εὐπιθῶς D.] νῦν· εὐπίστως 106. ἔχει Suidas s. v. σεβαστός] ἔχεις 107. ὅπλιζε] ὄλβιζε Bentleius. ὦ κλῇζε Meinekius. 112. καλλίσταις ἀοιδαῖς] καλλίστας ἀοιδᾶς Cobetus. 113. ἱρὸν D.] ἱερὸν 115. ἀείσατ' Kusterus] ἀείσαντ' 116. σεμνὰν D.] σεμνὸν 121. παρ' εὔρυθμα D.] παράρυθμ' εὔρυθμα Φρυγίων] Φρυγίῳ Hermannus. Scholiastae annotatio est τῇ Φρυγίᾳ ἁρμονίᾳ ἡρμοσμένα. Χαρίτων δινεύματα D.] διανεύματα Χαρίτων. δινεύματα restituit Bentleius legitque scholiasta, qui per ὀρχήματα explicat. 125. δόκιμον (quod scholiastam legisse ex verbis eius colligi potest) D.] δοκίμῳ 126. δαιμονίοις ὄμμασι] Verba vitii suspecta. δαιμονίοις θεοῦ οἴμασι Meinekius, δαίμονος ὄμμασι Bothius, δαιμονίοις στόμασιν Hermannus. Scripturam vulgatam scholiasta quoque legit, qui pro δαιμονίοις in interpretatione sua τοῖς σοφοῖς posuit.

ἁμετέρας τε δι' αἰφνιδίου ὀπός·
ὧν χάριν ἄνακτ' ἄγαλλε Φοῖβον [τιμᾷ].
χαῖρ', ὄλβιε παῖ Λατοῦς.
ΜΝ. ὡς ἡδὺ τὸ μέλος, ὦ πότνιαι Γενετυλλίδες,
καὶ θηλυδριῶδες καὶ κατεγλωττισμένον
καὶ μανδαλωτόν, ὥστ' ἐμοῦ γ' ἀκροωμένου
ὑπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε γάργαλος.
καί σ', ὦ νεανίσχ', ὅστις εἶ κατ' Αἰσχύλον
ἐκ τῆς Λυκουργείας ἐρέσθαι βούλομαι,
ποδαπὸς ὁ γύννις; τίς πάτρα; τίς ἡ στολή;
τίς ἡ τάραξις τοῦ βίου; τί βάρβιτος
λαλεῖ κροκωτῷ; τί δὲ λύρα κεκρυφάλῳ;
τί λήκυθος καὶ στρόφιον; ὡς οὐ ξύμφορον.
τίς δαὶ κατόπτρου καὶ ξίφους κοινωνία;
σύ τ' αὐτός, ὦ παῖ, πότερον ὡς ἀνὴρ τρέφει;
καὶ ποῦ πέος; ποῦ χλαῖνα; ποῦ Λακωνικαί;
ἀλλ' ὡς γυνὴ δῆτ'; εἶτα ποῦ τὰ τιτθία;
τί φῄς; τί σιγᾷς; ἀλλὰ δῆτ' ἐκ τοῦ μέλους
ζητῶ σ', ἐπειδή γ' αὐτὸς οὐ βούλει φράσαι;
ΑΓ. ὦ πρέσβυ πρέσβυ, τοῦ φθόνου μὲν τὸν ψόγον
ἤκουσα, τὴν δ' ἄλγησιν οὐ παρεσχόμην·
ἐγὼ δὲ τὴν ἐσθῆθ' ἅμα γνώμῃ φορῶ.
χρὴ γὰρ ποιητὴν ἄνδρα πρὸς τὰ δράματα
ἃ δεῖ ποιεῖν, πρὸς ταῦτα τοὺς τρόπους ἔχειν.
αὐτίκα γυναικεῖ' ἢν ποιῇ τις δράματα,
μετουσίαν δεῖ τῶν τρόπων τὸ σῶμ' ἔχειν.
ΜΝ. οὐκοῦν κελητίζεις, ὅταν Φαίδραν ποιῇς;
ΑΓ. ἀνδρεῖα δ' ἢν ποιῇ τις, ἐν τῷ σώματι
ἔνεσθ' ὑπάρχον τοῦθ'. ἃ δ' οὐ κεκτήμεθα,
μίμησις ἤδη ταῦτα συνθηρεύεται.
ΜΝ. ὅταν σατύρους τοίνυν ποιῇς, καλεῖν ἐμέ,
ἵνα συμποιῶ σοὔπισθεν ἐστυκὼς ἐγώ.
ΑΓ. ἄλλως τ' ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν
ἀγρεῖον ὄντα καὶ δασύν· σκέψαι δ' ὅτι
Ἴβυκος ἐκεῖνος κἀνακρέων ὁ Τήιος
ἀρχαῖος, οἵπερ ἁρμονίαν ἐχύμισαν,
ἐμιτροφόρουν τε καὶ διεκλῶντ' Ἰωνικῶς,
καὶ Φρύνιχος, τοῦτον γὰρ οὖν ἀκήκοας,
αὐτός τε καλὸς ἦν καὶ καλῶς ἠμπίσχετο·
διὰ τοῦτ' ἄρ' αὐτοῦ καὶ τὰ δράματ' ἦν καλά·
ὅμοια γὰρ ποιεῖν ἀνάγκη τῇ φύσει.
ΜΝ. ταῦτ' ἄρ' ὁ Φιλοκλέης αἰσχρὸς ὢν αἰσχρῶς ποιεῖ,
ὁ δὲ Ξενοκλέης ὢν κακὸς κακῶς ποιεῖ,
ὁ δ' αὖ Θέογνις ψυχρὸς ὢν ψυχρῶς ποιεῖ.
ΑΓ. ἅπασ' ἀνάγκη· ταῦτα γάρ τοι γνοὺς ἐγὼ
ἐμαυτὸν ἐθεράπευσα. ΜΝ. πῶς πρὸς τῶν θεῶν;
ΕΥ. παῦσαι βαΰζων· καὶ γὰρ ἐγὼ τοιοῦτος ἦ
ὢν τηλικοῦτος, ἡνίκ' ἠρχόμην ποιεῖν.
ΜΝ. μὰ τὸν Δί', οὐ ζηλῶ σε τῆς παιδεύσεως.
ΕΥ. ἀλλ' ὧνπερ οὕνεκ' ἦλθον ἔα μ' εἰπεῖν. ΑΓ. λέγε.
ΕΥ. Ἀγάθων, σοφοῦ πρὸς ἀνδρός, ὅστις ἐν βραχεῖ
πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους.
ἐγὼ δὲ καινῇ ξυμφορᾷ πεπληγμένος
ἱκέτης ἀφῖγμαι πρὸς σέ. ΑΓ. τοῦ χρείαν ἔχων;
ΕΥ. μέλλουσί μ' αἱ γυναῖκες ἀπολεῖν τήμερον
τοῖς Θεσμοφορίοις, ὅτι κακῶς αὐτὰς λέγω.
ΑΓ. τίς οὖν παρ' ἡμῶν ἐστιν ὠφέλειά σοι;
ΕΥ. ἡ πᾶσ'· ἐὰν γὰρ ἐγκαθεζόμενος λάθρα
ἐν ταῖς γυναιξίν, ὡς δοκῶν εἶναι γυνή,
ὑπεραποκρίνῃ μου, σαφῶς σώσεις ἐμέ.
μόνος γὰρ ἂν λέξειας ἀξίως ἐμοῦ.
ΑΓ. ἔπειτα πῶς οὐκ αὐτὸς ἀπολογεῖ παρών;
ΕΥ. ἐγὼ φράσω σοι. πρῶτα μὲν γιγνώσκομαι·
ἔπειτα πολιός εἰμι καὶ πώγων' ἔχω,
σὺ δ' εὐπρόσωπος, λευκός, ἐξυρημένος,
γυναικόφωνος, ἁπαλός, εὐπρεπὴς ἰδεῖν.
ΑΓ. Εὐριπίδη, ΕΥ. τί ἐστιν; ΑΓ. ἐποίησάς ποτε
"χαίρεις ὁρῶν φῶς, πατέρα δ' οὐ χαίρειν δοκεῖς;"
ΕΥ. ἔγωγε. ΑΓ. μή νυν ἐλπίσῃς τὸ σὸν κακὸν
ἡμᾶς ὑφέξειν. καὶ γὰρ ἂν μαινοίμεθ' ἄν.
ἀλλ' αὐτὸς ὅ γε σόν ἐστιν οἰκείως φέρε.
τὰς ξυμφορὰς γὰρ οὐχὶ τοῖς τεχνάσμασιν
φέρειν δίκαιον, ἀλλὰ τοῖς παθήμασιν.
ΜΝ. καὶ μὴν σύ γ', ὦ κατάπυγον, εὐρύπρωκτος εἶ
οὐ τοῖς λόγοισιν, ἀλλὰ τοῖς παθήμασιν.
ΕΥ. τί δ' ἐστὶν ὅ τι δέδοικας ἐλθεῖν αὐτόσε;
ΑΓ. κάκιον ἀπολοίμην ἂν ἢ σύ. ΕΥ. πῶς; ΑΓ. ὅπως;
δοκῶν γυναικῶν ἔργα νυκτερήσια
κλέπτειν ὑφαρπάζειν τε θήλειαν Κύπριν.
ΜΝ. ἰδού γε κλέπτειν· νὴ Δί, βινεῖσθαι μὲν οὖν.
ἀτὰρ ἡ πρόφασίς γε νὴ Δί' εἰκότως ἔχει.
ΕΥ. τί οὖν; ποιήσεις ταῦτα; ΑΓ. μὴ δόκει γε σύ.
ΕΥ. ὦ τρισκακοδαίμων, ὡς ἀπόλωλ'. ΜΝ. Εὐριπίδη,
ὦ φίλτατ', ὦ κηδεστά, μὴ σαυτὸν προδῷς.
ΕΥ. πῶς οὖν ποιήσω δῆτα; ΜΝ. τοῦτον μὲν μακρὰ
κλάειν κέλευ', ἐμοὶ δ' ὅ τι βούλει χρῶ λαβών.

---

127. ἁμετέρας Meinekius] ἡμετέρας 128. τιμᾷ (ortum, ut videtur, ex glossemate τίμα ad ἄγαλλε adscripto) seclusit D. Pro eo ὕμνῳ addidit Hermannus satis probabiliter, versu trimetro catalectico, quae apta metri forma est. 134. ὅστις editio Veneta a. 1538.] εἴ τις 135. Λυκουργείας Dobraeus] λυκουργίας 139. οὐ ξύμφορον] ἀξύμφορον Suidas s.v. βάρβιτον. 141. γρ. σύ τ' αὐτὸς R.] τίς δ' αὐτὸς 142. καὶ ποῦ πέος] ποῦ δὲ τὸ πέος Suidas s. v. πέος. ποῦ τὸ πέος idem s. v. Λακωνικαί et schol. Vesp. 1153. 150. ἃ δεῖ ποιεῖν] ἃ δὴ ποιεῖ Hermannus. 154. ἢν D.] ἂν 158. ἐστυκώς] ἑστηκώς in excerptis Scaligeri.

162. ἀρχαῖος Hermannus] κἀλκαῖος: quae Aristophanis Byzantii coniectura est, de qua scholiasta, ἐν ἐνίοις δὲ Ἀχαιός γέγραπται, καὶ τὰ παλαιότερα ἀντίγραφα οὕτως εἶχεν. Ἀριστοφάνης δέ ἐστιν ὁ μεταγράψας Ἀλκαῖος: quam coniecturam ab Didymo esse impugnatam, qui tamen alibi κἀλκαῖος ferri posse iudicaverit, si Alcaeus intelligeretur citharoedus, ab Eupolide in Χρυσῷ γένει memoratus, ὦ 'λκαῖε Σικελιῶτα Πελοποννήσιε. οἵπερ — ἐχύμισαν ex Suida s. v. ἐμιτρώσατο et ἐχύμισαν] οἱ περὶ — ἐχύμησαν, ut apud Hesychium quoque in codice scriptum est ἐχύμησαν: ἤρτησαν (i. e. ἤρτυσαν). 163. διεκλῶντ' Toupius] διεκίνων. διεκίνουν Suidas s. v. ἐμιτρώσατο. διέκνων Dorvillius ad Charit. p. 543. 165. ἠμπίσχετο Elmsleius] ἠμπέσχετο 166. καὶ τὰ δράματ' ἦν καλά D.] καὶ καλὰ ἦν τὰ δράματα

168. Φιλοκλέης — Ξενοκλέης Bentleius] Φιλοκλῆς — Ξενοκλῆς 173. βαΰζων] βασανίζων Meinekius. ἦ D.] ἦν. καὶ γὰρ ἡ τοιόσδ' ἐγώ numeris melioribus Elmsleius. 176. ἔα] Hic versus et 64. et Av. 1368. 1495. Lys. 734. in iis sunt ex quibus coniici potest Graecos interdum una syllaba ἆ et ὦ pronunciasse et scripsisse pro ἔα et ἐῶ, videturque veteris scripturae ἆ memoria latere in annotatione scholiastae de qua ad v. 500. dicetur. ἔα igitur glossatoris est, quemadmodum interiectioni ἆ in codicibus ἔα non raro vel adscriptum vel substitutum est. 178. οἷος Suidas s. v. οἷος et σοῦ] οἷον 179. καινῇ Bisetus (quod fortasse legit scholiasta, qui per μεγάλῃ καὶ θαυμαστῇ explicat)] κοινῇ, cum Suida s. v. κοινολογία et σοῦ. 185. δοκῶν] δοκεῖν Kusterus. 194. χαίρεις —] Euripidis versus Alc. 691. 196. ἂν post γὰρ additum ex Suida s. v. ὑφέξειν. Unius syllabae spatium relictum in Aug. μαινοίμεθ' ἄν] μαινοίμεθα Kusterus. 202. ἐλθεῖν] ἐλθὼν Meinekius. 204. νυκτερήσια Dobraeus] νυκτερείσια 206. 240. 640. νὴ Δὶ D.] νὴ Δί'. Vid. Annot. Oxon. ad Eq. 319. 209. γε σύ] σύ γε Hermannus. 210. ἀπόλωλ'. ΜΝ. Εὐριπίδη, | ὦ Elmsleius] ἀπόλωλ' Εὐριπίδης. ΜΝ. ὦ

ΕΥ. ἄγε νυν, ἐπειδὴ σαυτὸν ἐπιδίδως ἐμοί,
ἀπόδυθι τουτὶ θοἰμάτιον. ΜΝ. καὶ δὴ χαμαί.
ἀτὰρ τί μέλλεις δρᾶν μ'; ΕΥ. ἀποξυρεῖν ταδί,
τὰ κάτω δ' ἀφεύειν. ΜΝ. ἀλλὰ πρᾶττ', εἴ σοι δοκεῖ·
ἢ μὴ 'πιδιδόν' ἐμαυτὸν ὤφελόν ποτε.
ΕΥ. Ἀγάθων, σὺ μέντοι ξυροφορεῖς ἑκάστοτε,
χρῆσόν τί νυν ἡμῖν ξυρόν. ΑΓ. αὐτὸς λάμβανε
ἐντεῦθεν ἐκ τῆς ξυροδόκης. ΕΥ. γενναῖος εἶ.
κάθιζε· φύσα τὴν γνάθον τὴν δεξιάν.
ΜΝ. ὤμοι. ΕΥ. τί κέκραγας; ἐμβαλῶ σοι πάτταλον,
ἢν μὴ σιωπᾷς. ΜΝ. ἀτταταῖ ἰατταταῖ.
ΕΥ. οὗτος σὺ ποῖ θεῖς; ΜΝ. ἐς τὸ τῶν σεμνῶν θεῶν·
οὐ γὰρ μὰ τὴν Δήμητρ' ἔτ' ἐνταυθὶ μενῶ
τεμνόμενος. ΕΥ. οὔκουν καταγέλαστος δῆτ' ἔσει
τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων;
ΜΝ. ὀλίγον μέλει μοι. ΕΥ. μηδαμῶς, πρὸς τῶν θεῶν,
προδῷς με. χώρει δεῦρο. ΜΝ. κακοδαίμων ἐγώ.
ΕΥ. ἔχ' ἀτρέμας αὐτοῦ κἀνάκυπτε. ποῖ στρέφει;
ΜΝ. μυμῦ. ΕΥ. τί μύζεις; πάντα πεποίηται καλῶς.
ΜΝ. οἴμοι κακοδαίμων, ψιλὸς αὖ στρατεύσομαι.
ΕΥ. μὴ φροντίσῃς· ὡς εὐπρεπὴς φαίνει πάνυ.
βούλει θεᾶσθαι σαυτόν; ΜΝ. εἰ δοκεῖ, φέρε.
ΕΥ. ὁρᾷς σεαυτόν; ΜΝ. οὐ μὰ Δί', ἀλλὰ Κλεισθένη.
ΕΥ. ἀνίστασ', ἵν' ἀφεύσω σε, κἀγκύψας ἔχε.
ΜΝ. οἴμοι κακοδαίμων, δελφάκιον γενήσομαι.
ΕΥ. ἐνεγκάτω τις ἔνδοθεν δᾷδ' ἢ λύχνον.
ἐπίκυπτε· τὴν κέρκον φυλάττου νυν ἄκραν.
ΜΝ. ἐμοὶ μελήσει νὴ Δί, πλήν γ' ὅτι κάομαι.
οἴμοι τάλας. ὕδωρ ὕδωρ, ὦ γείτονες.
ΕΥ. θάρρει. ΜΝ. τί θαρρῶ καταπεπυρπολημένος;
ΕΥ. ἀλλ' οὐκέτ' οὐδὲν πρᾶγμά σοι· τὰ πλεῖστα γὰρ
ἀποπεπόνηκας. ΜΝ. φῦ, ἰοὺ τῆς ἀσβόλου.
αἰθὸς γεγένημαι πάντα τὰ περὶ τὴν τράμιν.
ΕΥ. μὴ φροντίσῃς· ἕτερος γὰρ αὐτὰ σφογγιεῖ.
ΜΝ. οἰμώξεταἄρ' εἴ τις τὸν ἐμὸν πρωκτὸν πλυνεῖ.
ΕΥ. Ἀγάθων, ἐπειδὴ σαυτὸν ἐπιδοῦναι φθονεῖς,
ἀλλ' ἱμάτιον γοῦν χρῆσον ἡμῖν τουτῳὶ
καὶ στρόφιον· οὐ γὰρ ταὐτά γ' ὡς οὐκ ἔστ' ἐρεῖς.
ΑΓ. λαμβάνετε καὶ χρῆσθ'· οὐ φθονῶ. ΜΝ. τί οὖν λάβω;
ΑΓ. ὅ τι; τὸν κροκωτὸν πρῶτον ἐνδύου λαβών.
ΜΝ. νὴ τὴν Ἀφροδίτην, ἡδύ γ' ὄζει ποσθίου.
ξύζωσον ἀνύσας. αἶρέ νυν στρόφιον. ΕΥ. ἰδού.
ΜΝ. ἴθι νυν κατάστειλόν με τὰ περὶ τὼ σκέλη.
ΕΥ. κεκρυφάλου δεῖ καὶ μίτρας. ΑΓ. ἡδὶ μὲν οὖν,

242. πρὶν ἀντιλαβέσθαι τόν γε πρωκτὸν τῆς φλογός.

κεφαλῇ περίθετον ἣν ἐγὼ νύκτωρ φορῶ.
ΕΥ. νὴ τὸν Δί', ἀλλὰ κἀπιτηδεία πάνυ.
ΜΝ. ἆρ' ἁρμόσει μοι; ΑΓ. νὴ Δί' ἀλλ' ἄριστ' ἔχει.
ΕΥ. φέρ' ἔγκυκλόν τι. ΑΓ. λάμβαν' ἀπὸ τῆς κλινίδος.
ΕΥ. ὑποδημάτων δεῖ. ΑΓ. τἀμὰ ταυτὶ λάμβανε.
ΜΝ. ἆρ' ἁρμόσει μοι; ΕΥ. χαλαρὰ γοῦν χαίρεις φορῶν.
ΑΓ. σὺ τοῦτο γίγνωσκ'· ἀλλ' ἔχεις γὰρ ὧν δέει.
εἴσω τις ὡς τάχιστά μ' ἐσκυκλησάτω.
ΕΥ. ἀνὴρ μὲν ἡμῖν οὑτοσὶ καὶ δὴ γυνὴ
τό γ' εἶδος· ἢν λαλῇς δ', ὅπως τῷ φθέγματι
γυναικιεῖς εὖ καὶ πιθανῶς. ΜΝ. πειράσομαι.
ΕΥ. βάδιζε τοίνυν. ΜΝ. μὰ τὸν Ἀπόλλω οὔκ, ἤν
γε μὴ
ὀμόσῃς ἐμοὶ ΕΥ. τί χρῆμα; ΜΝ. συσσώσειν ἐμὲ
πάσαις τέχναις, ἤν μοί τι περιπίπτῃ κακόν.
ΕΥ. ὄμνυμι τοίνυν αἰθέρ' οἴκησιν Διός.
ΜΝ. τί μᾶλλον ἢ τὴν Ἱπποκράτους ξυνοικίαν;
ΕΥ. ὄμνυμι τοίνυν πάντας ἄρδην τοὺς θεούς.
ΜΝ. μέμνησο τοίνυν ταῦθ', ὅτι ἡ φρὴν ὤμοσεν,
ἡ γλῶττα δ' οὐκ ὀμώμοκ', οὐδ' ὥρκωσ' ἐγώ.
ΕΥ. ἔκσπευδε ταχέως· ὡς τὸ τῆς ἐκκλησίας
σημεῖον ἐν τῷ Θεσμοφορείῳ φαίνεται.
ἐγὼ δ' ἄπειμι. ΜΝ. δεῦρό νυν, ὦ Θρᾷτθ', ἕπου.
ὦ Θρᾷττα, θᾶσαι, καομένων τῶν λαμπάδων
ὅσον τὸ χρῆμ' ἀνέρχεθ' ὑπὸ τῆς λιγνύος.
ἀλλ', ὦ περικαλλῆ Θεσμοφόρω, δέξασθέ με
ἀγαθῇ τύχῃ καὶ δεῦρο καὶ πάλιν οἴκαδε.
ὦ Θρᾷττα, τὴν κίστην κάθελε, κᾆτ' ἔξελε
πόπανον, ὅπως λαβοῦσα θύσω τοῖν θεοῖν.
δέσποινα πολυτίμητε Δήμητερ φίλη
καὶ Φερσέφαττα, πολλὰ πολλάκις μέ σοι
θύειν ἔχουσαν, εἰ δὲ μάλλὰ νῦν λαθεῖν.
καὶ τὸν θυγατέρος χοῖρον ἀνδρός μοι τυχεῖν
πλουτοῦντος, ἄλλως δ' ἠλιθίου κἀβελτέρου,
καὶ ποσθαλίσκον νοῦν ἔχειν μοι καὶ φρένας.
ποῦ ποῦ καθίζωμ' ἐν καλῷ, τῶν ῥητόρων
ἵν' ἐξακούω; σὺ δ' ἄπιθ', ὦ Θρᾷττ', ἐκποδών·
δούλοις γὰρ οὐκ ἔξεστ' ἀκούειν τῶν λόγων.
ΓΥ. εὐφημία 'στω, εὐφημία 'στω. εὔχεσθε τοῖν Θεσμο-
φόροιν, τῇ Δήμητρι καὶ τῇ Κόρῃ, καὶ τῷ Πλούτῳ,

---

216. πρᾶττ', εἴ σοι] πρᾶτθ' ὅ τι Elmsleius. εἴ σοι Iunt. εἴσω R. 217. ἢ] ὡς Hamakerus. 'πιδιδόν' ἐμαυτὸν D.] διδόναι γ' αὑτὸν R et a m. sec. Aug., qui a m. pr. habuit διδόναι γ' ἐμαυτόν. 'πιδιδόναι γ' αὑτὸν Toupius. 'πιδοῦναι 'μαυτὸν (debebat 'πιδοῦν' ἐμαυτὸν) Dawesius. Verbo ἐπιδιδόναι hic opus esse docent v. 213. 249. idemque Lys. 116. restitui pro simplici δοῦναι.
219. νῦν] νυν Meinekius. 222. ὤμοι] Vel οἴμοι.
223. ἀτταταῖ ἰατταταῖ Bentleius (qui male haec ὀξυτόνως scribebat)] αττατα ατταται R. 225. Δήμητρ' ἔτ' Porsonus] δήμητρά γ' ἐνταυθὶ Elmsleius] ἐνταυθοῖ 230. ἀτρέμας αὐτοῦ Dobraeus] ἀτρέμα σαυτὸν 231. μυμῦ D.] μῦ μῦ 233. φαίνει Dobraeus] φανεῖ 234. θεᾶσθαι σαυτὸν Porsonus] θεάσασθαι σεαυτὸν 235. Κλεισθένη D.] Κλεισθένην
242. In versu spurio, quem notavit Cobetus, τόν γε ex coniectura Scaligeri additum est. Simillimum interpolatoris additamentum praebet Pacis v. 273. ἢ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι. 245. φῦ, ἰοὺ (ut Lys. 294. 304.) D.] φεῦ ἰοῦ 247. σφογγιεῖ D.] σπογγιεῖ
248. οἰμώξετ' ἆρ' (debebat οἰμώξεταἄρ') εἴ τις Brunckius] οἰμώζετ' ἆρ' εἰς (εἰ ed. Iunt.)

258. κεφαλῇ περίθετον ἣν Meinekius] κεφαλὴ περίθετος, ἥν: quod Pollux quoque legit 2, 35. 260. ἆρ' ἁρμόσει Kusterus] ἠρ' (vel ἦρ') ἁρμόσῃ 261. ἔγκυκλόν τι. — λάμβαν' Reisigius] ἔγκυκλον. — τουτὶ λάμβαν' 263. γοῦν] γ' οὐ R a. m. pr. et Iunt.
267. τό γ' Kusterus] τόδ' 273. Ἱπποκράτους ex schol.] ὑποκράτους 277. ἔκσπευδε] καὶ σπεῦδε Hamakerus. 278. Θεσμοφορείῳ Meinekius] θεσμοφορίῳ 280. θᾶσαι D.] θέασαι 285. ἀνέρχεθ' ὑπὸ] ἀνέρχεται Reiskius. 283. ἀγαθῇ τύχῃ] Vel τὐχἀγαθῇ: vid. Annot. Oxon. p. 717. καὶ post δεῦρο addidit Bentleius. 284. κάθελε] κατάθου Herwerdenus.
285. πόπανον Hermannus] τὸ πόπανον. τὰ πόπαν' Porsonus. τοῖν θεοῖν Meinekius] ταῖν θεαῖν
288. μάλλὰ D.] μὴ ἀλλὰ 289. τὸν θυγατέρος Scaliger] τὴν θυγατέραν, quod schol. explicat ita ut χοιρίον legisse videri possit, appellatione ὑποκοριστικῇ. τοῦ θυγατρίου Meinekius. 290. δ' Hermannus] τ'
291. ποσθαλίσκον (secundum schol. qui explicat per τὸν παιδαρίσκον) D.] πρὸς θάληκον (accentu in R omisso). 292. καθίζωμ' Brunckius] καθέζωμ'
295—311. 331—351. His versibus in codicibus praescriptum κη. (i. e. Κῆρυξ), cui substitui ΓΥ. (i. e. Γυνή, ὡς ἱερεία). Nam pronunciantur ab muliere quae sacerdotis partes agit, quemadmodum similes preces in Avibus v. 865—887. ab sacerdote pronunciantur. Monuit Beerius p. 76. 295. εὐφημία 'στω Brunckius] εὐφημί' ἔστω bis. τοῖν Meinekius] ταῖν

καὶ τῇ Καλλιγενείᾳ, καὶ τῇ Κουροτρόφῳ, καὶ τῷ Ἑρμῇ, καὶ ταῖς Χάρισιν, ἐκκλησίαν τήνδε καὶ σύνοδον τὴν νῦν κάλλιστα καὶ ἄριστα ποιῆσαι, πολυωφελῶς μὲν πόλει τῇ Ἀθηναίων, τυχηρῶς δ' ἡμῖν αὐταῖς. καὶ τὴν δρῶσαν τήν τ' ἀγορεύουσαν τὰ βέλτιστα περὶ τὸν δῆμον τὸν Ἀθηναίων καὶ τὸν τῶν γυναικῶν, ταύτην νικᾶν. ταῦτ' εὔχεσθε, καὶ ὑμῖν αὐταῖς τἀγαθά. ἰὴ παιών, ἰὴ παιών. χαίρωμεν.

ΧΟ. δεχόμεθα καὶ θεῶν γένος
λιτόμεθα ταῖσδ' ἐπ' εὐχαῖς
φανέντας ἐπιχαρῆναι.
Ζεῦ μεγαλώνυμε χρυσολύρα τε,
Δῆλον ὃς ἔχεις ἱεράν,
καὶ σὺ παγκρατὴς κόρα
γλαυκῶπι χρυσόλογχε, πόλιν
οἰκοῦσα περιμάχητον, ἐλθὲ δεῦρο,
καὶ πολυώνυμε θηροφόνη παῖ,
Λατοῦς χρυσώπιδος ἔρνος,
σύ τε πόντιε σεμνὲ Πόσειδον
ἁλιμέδον, προλιπὼν
μυχὸν ἰχθυόεντ' οἰστροδόνητον,
Νηρέος εἰναλίου τε κόραι,
Νύμφαι τ' ὀρείπλαγκτοι.
χρυσέα τε φόρμιγξ
ἀχήσειεν ἐπ' εὐχαῖς
ἡμετέραις· τελέως δ' ἐκκλησιάσαιμεν Ἀθηνῶν
εὐγενεῖς γυναῖκες.

ΓΥ. εὔχεσθε τοῖς θεοῖσι τοῖς Ὀλυμπίοις
καὶ ταῖς Ὀλυμπίαισι, καὶ τοῖς Πυθίοις
καὶ ταῖσι Πυθίαισι, καὶ τοῖς Δηλίοις
καὶ ταῖσι Δηλίαισι, τοῖς τ' ἄλλοις θεοῖς,
εἴ τις ἐπιβουλεύει τι τῷ δήμῳ κακὸν
τῷ τῶν γυναικῶν, ἢ 'πικηρυκεύεται
Εὐριπίδῃ Μήδοις τ' ἐπὶ βλάβῃ τινὶ
τῇ τῶν γυναικῶν, ἢ τυραννεῖν ἐπινοεῖ,
ἢ τὸν τύραννον ξυγκατάγειν, ἢ παιδίον
ὑποβαλλομένης κατεῖπεν, ἢ δούλη τινὸς
προαγωγὸς οὖσ' ἐνετρύλισεν τῷ δεσπότῃ,
ἢ πεμπομένη τις ἀγγελίας ψευδεῖς φέρει,
ἢ μοιχός εἴ τις ἐξαπατᾷ ψευδῆ λέγων,
καὶ μὴ δίδωσιν ἂν ὑπόσχηταί ποτε,
ἢ δῶρά τις δίδωσι μοιχῷ γραῦς γυνή,
ἢ καὶ δέχεται προδιδοῦσ' ἑταίρα τὸν φίλον,
κεἴ τις κάπηλος ἢ καπηλὶς τοῦ χοὸς
ἢ τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται,
κακῶς ἀπολέσθαι τοῦτον αὐτὸν κῳκίαν
ἀρᾶσθε, ταῖς δ' ἄλλαισιν ὑμῖν τοὺς θεοὺς
εὔχεσθε πάσαις πολλὰ δοῦναι κἀγαθά.

ΧΟ. ξυνευχόμεσθα τέλεα μὲν
πόλει, τέλεα δὲ δήμῳ
τάδ' εὔγματ' ἐκγενέσθαι.
τὰ δ' ἄρισθ' ὅσαις προσήκει
νικᾶν λεγούσας· ὁπόσαι δ'
ἐξαπατῶσιν παραβαίνουσί τε τοὺς
ὅρκους τοὺς νενομισμένους
κερδῶν οὕνεκ' ἐπὶ βλάβῃ,
ἢ ψηφίσματα καὶ νόμον
ζητοῦσ' ἀντιμεθιστάναι,
τἀπόρρητά τε τοῖσιν ἐ-
χθροῖς τοῖς ἡμετέροις λέγουσ',
ἢ Μήδους ἐπάγουσι τῆς
χώρας [οὕνεκ' ἐπὶ βλάβῃ]
ἀσεβοῦσ', ἀδικοῦσί τε τὴν πόλιν.
ἀλλ', ὦ παγκρατὲς
Ζεῦ, ταῦτα κυρώσειας, ὥσθ'
ἡμῖν θεοὺς παραστατεῖν,
καίπερ γυναιξὶν οὔσαις.

ΚΗ. ἄκουε πᾶς. ἔδοξε τῇ βουλῇ τάδε
τῇ τῶν γυναικῶν· Τιμόκλει' ἐπεστάτει·
Λύσιλλ' ἐγραμμάτευεν, εἶπε Σωστράτη·
ἐκκλησίαν ποιεῖν ἕωθεν τῇ μέσῃ
τῶν Θεσμοφορίων, ᾗ μάλισθ' ἡμῖν σχολή,
καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου,
ὅ τι χρὴ παθεῖν ἐκεῖνον· ἀδικεῖν γὰρ δοκεῖ
ἡμῖν ἁπάσαις. τίς ἀγορεύειν βούλεται;

ΓΥΝΗ Α.

ἐγώ. ΚΗ. περίθου νυν τόνδε πρῶτον πρὶν λέγειν. [γὰρ ἤδη,

ΧΟ. σίγα, σιώπα, πρόσεχε τὸν νοῦν· χρέμπτεται
ὅπερ ποιοῦσ' οἱ ῥήτορες. μακρὰν ἔοικε λέξειν.

ΓΥ. Α. φιλοτιμίᾳ μὲν οὐδεμιᾷ, μὰ τὼ θεώ,
λέξουσ' ἀνέστην, ὦ γυναῖκες· ἀλλὰ γὰρ
βαρέως φέρω τάλαινα πολὺν ἤδη χρόνον
προπηλακιζομένας ὁρῶσ' ἡμᾶς ὑπὸ
Εὐριπίδου τοῦ τῆς λαχανοπωλητρίας
καὶ πολλὰ καὶ παντοῖ' ἀκουούσας κακά.
τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν;
ποῦ δ' οὐχὶ διαβέβληχ' ὅπουπερ ἐμβραχὺ
εἰσὶν θεαταὶ καὶ τραγῳδοὶ καὶ χοροί,
τὰς μοιχοτρόπους, τὰς ἀνδρεραστρίας καλῶν,
τὰς οἰνοπότιδας, τὰς προδότιδας, τὰς λάλους,

---

300. Κουροτρόφῳ] τῇ γῇ addunt libri: non legit scholiasta, qui explicat εἴτε τῇ Γῇ εἴτε τῇ Ἑστίᾳ. 301. ταῖς addidit Meinekius. 302. τήνδε] ἤδη Reisigius. 304. πόλει] τῇ πόλει Meinekius. 306. τήν τ' Reiskius. Aberat τ'. καὶ τὴν R a m. rec. 307. δῆμον τὸν D.] δῆμον τῶν 310. τἀγαθά] πολλὰ κἀγαθά (ut v. 351.) D. πάντ' ἀγαθά Meinekius. 311. ἰὴ παιών, ἰὴ παιών] Tertium quod libri addunt ἰὴ παιών delevit D. 312. δεχόμεθα Hermannus] δεχόμεσθα. εὐχόμεσθα ed. Zanetti, quod in Aug. legi ait Brunckius. 313. λιτόμεθα Hermannus] λιτόμεσθα 314. φανέντας ἐπιχαρῆναι] χαρέντας ἐπιφανῆναι Halbertsma. 320. θηροφόνη Hermannus] θηροφόνε 325. εἰναλίου D.] ἐναλίου. εἰνάλιοι Brunckius. 327. ἀχήσειεν D.] ἰαχήσειεν 329. Ἀθηνῶν Reisigius] Ἀθηναίων 334. τοῖς τ' Scaliger] καὶ τοῖς 337. τ' addidit Scaliger. 340. κατεῖπεν Bentleius] κατεῖπέν τις 341. ἐνετρύλισεν D.] ἐνετρύλλισεν 344. ἂν Brunckius] ἃ ἂν ποτε] τότε Hamakerus. 349. κῳκίαν Brunckius] κοικίαν

352. ξυνευχόμεσθα Bothius] ξυνευχόμεθα 354. εὔγματ' ἐκγενέσθαι D.] εὔγματα γενέσθαι 355. ὅσαις — λεγούσας ex schol.] ὅσαι — λεγούσαις 360. οὕνεκ' ex v. 366. Bentleius] ἕνεκ' 364. λέγουσ' Bentleius] λέγουσιν 366. 367. Versus interpolati. οὕνεκ' ἐπὶ βλάβῃ ex v. 360. illatum esse animadvertit Dobraeus. Nec sequentia ἀσεβοῦσιν ἀδικοῦσίν τε τὴν | πόλιν (nam sic libri) hoc modo scripta ab Aristophane videntur. Post χώρας plura exciderunt, in quibus apodosis fuit ad illud ὁπόσαι v. 356. Proxima ἀλλ' ὦ παγκρατὲς exitus sunt versus iambici dimetri. 372. τάδε] ταδὶ Meinekius. 380. 383. ΓΥ. Α. Brunckius] γυνή τις vel γυνή. Conf. ad v. 533. 386. ἡμᾶς Cobetus] ὑμᾶς 389. ἡμᾶς] ἡμῖν Brunckius. 390. ποῦ] πῶς schol. Platonis (ad Theag. p. 127 c.) p. 88. ed. Ruhnk. ἐμβραχὺ] ἐνβραχύ. ἔμβραχυ ap. Suidam s. h. v. et schol. Plat. 391. τραγῳδοὶ καὶ] τραγῳδικοὶ schol. Plat. τραγῳδία καὶ apud Suidam s. v. οἰνοπίπας. 392. μοιχοτρόπους ex Suida] μυχοτρόπους 393. οἰνοπότιδας] Schol. τὰ πλεῖστα οἰνοπίπας ἔχει. et, ὁ Σύμμαχός φησι παρὰ τὸ πιπίζειν τὸν οἶνον. ἐγὼ δὲ οὐχ ὁρῶ τὸ πιπίζειν ἐπὶ ταύτης τῆς ἐννοίας παρὰ τοῖς Ἀττικοῖς κείμενον. οἰνοπότιδας qui restituit recte correxit antiquum codicum vitium.

τὰς οὐδὲν ὑγιές, τὰς μέγ' ἀνδράσιν κακόν.
ὥστ' εὐθὺς εἰσιόντες ἀπὸ τῶν ἰκρίων
ὑποβλέπουσ' ἡμᾶς σκοποῦνταί τ' εὐθέως,
μὴ μοιχὸς ἔνδον ᾖ τις ἀποκεκρυμμένος.
δρᾶσαι δ' ἔθ' ἡμῖν οὐδὲν ὧνπερ καὶ πρὸ τοῦ
ἔξεστι· τοιαῦθ' οὗτος ἐδίδαξεν κακὰ
τοὺς ἄνδρας ἡμῶν· ὥστ', ἐὰν μόνον πλέκῃ
γυνὴ στέφανον, ἐρᾶν δοκεῖ· κἂν ἐκβάλῃ
σκεῦός τι κατὰ τὴν οἰκίαν πλανωμένη,
ἀνὴρ ἐρωτᾷ "τῷ κατέαγεν ἡ χύτρα;
οὐκ ἔσθ' ὅπως οὐ τῷ Κορινθίῳ ξένῳ."
"κάμνει κόρη τις, εὐθὺς ἀδελφὸς λέγει,"
τὸ χρῶμα τοῦτό μ' οὐκ ἀρέσκει τῆς κόρης.
εἶεν· γυνή τις ὑποβαλέσθαι βούλεται,
ἀποροῦσα παίδων, οὐδὲ τοῦτ' ἔστιν λαθεῖν.
ἄνδρες γὰρ ἤδη παρακάθηνται πλησίον·
πρὸς τοὺς γέροντάς θ', οἳ πρὸ τοῦ τὰς μείρακας
ἤγοντο, διαβέβληκεν, ὥστ' οὐδεὶς γέρων
γαμεῖν θέλει γυναῖκα διὰ τοὔπος τοδί
"δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή."
εἶτα διὰ τοῦτον ταῖς γυναικωνίτισιν
σφραγῖδας ἐπιβάλλουσιν ἤδη καὶ μοχλοὺς
τηροῦντες ἡμᾶς, καὶ προσέτι Μολοττικοὺς
τρέφουσι μορμολυκεῖα τοῖς μοιχοῖς κύνας.
καὶ ταῦτα μὲν ξυγγνώσθ'· ἃ δ' ἦν ἡμῖν πρὸ τοῦ
αὐταῖς ταμιευούσαις προαιρούσας λαθεῖν,
ἄλφιτον, ἔλαιον, οἶνον, οὐδὲ ταῦτ' ἔτι
ἔξεστιν. οἱ γὰρ ἄνδρες ἤδη κλῃδία
αὐτοὶ φοροῦσι κρυπτὰ κακοηθέστατα,
Λακωνίκ' ἄττα, τρεῖς ἔχοντα γομφίους.
πρὸ τοῦ μὲν οὖν ἦν ἀλλ' ὑποῖξαι τὴν θύραν
ποιησαμέναισι δακτύλιον τριωβόλου,
νῦν δ' οὗτος αὐτοὺς ᾠκότριψ Εὐριπίδης
ἐδίδαξε θριπήδεστ' ἔχειν σφραγίδια
ἐξαψαμένους. νῦν οὖν ἐμοὶ τούτῳ δοκεῖ
ὄλεθρόν τιν' ἡμᾶς κυρκανᾶν ἀμωσγέπως,
ἢ φαρμάκοισιν, ἢ μιᾷ γέ τῳ τέχνῃ,
ὅπως ἀπολεῖται. ταῦτ' ἐγὼ φανερῶς λέγω·
τὰ δ' ἄλλα μετὰ τῆς γραμματέως ξυγγράψομαι.

ΧΟ. οὔπω ταύτης ἤκουσα
πολυπλοκωτέρας γυναικὸς
οὐδὲ δεινότερα λεγούσης.
πάντα γὰρ λέγει δίκαια,
πάσας δ' ἰδέας ἐξήτασεν,
πάντα δ' ἐβάστασεν φρενί, πυκνῶς τε
ποικίλους λόγους ἀνηῦρεν
εὖ διεζητημένους.
ὥστ' ἂν εἰ λέγοι παρ' αὐτὴν
Ξενοκλέης ὁ Καρκίνου, δο-
κεῖν ἂν αὐτόν, ὡς ἐγᾦμαι,
πᾶσιν ὑμῖν
ἄντικρυς μηδὲν λέγειν.

ΓΥ. Β. ὀλίγων ἕνεκα καὐτὴ παρῆλθον ῥημάτων.
τὰ μὲν γὰρ ἄλλ' αὕτη κατηγόρηκεν εὖ·
ἃ δ' ἐγὼ πέπονθα, ταῦτα λέξαι βούλομαι.
ἐμοὶ γὰρ ἁνὴρ ἀπέθανεν μὲν ἐν Κύπρῳ,
παιδάρια πέντε καταλιπών, ἁγὼ μόλις
στεφανηπλοκοῦσ' ἔβοσκον ἐν ταῖς μυρρίναις.
τέως μὲν οὖν ἀλλ' ἡμικάκως ἐβοσκόμην·
νῦν δ' οὗτος ἐν ταῖσιν τραγῳδίαις ποιῶν
τοὺς ἄνδρας ἀναπέπεικεν οὐκ εἶναι θεούς·
ὥστ' οὐκέτ' ἐμπολῶμεν οὐδ' εἰς ἥμισυ.
νῦν οὖν ἁπάσαισιν παραινῶ καὶ λέγω
τοῦτον κολάσαι τὸν ἄνδρα πολλῶν οὕνεκα·
ἄγρια γὰρ ἡμᾶς, ὦ γυναῖκες, δρᾷ κακά,
ἅτ' ἐν ἀγρίοισι τοῖς λαχάνοις αὐτὸς τραφείς.
ἀλλ' εἰς ἀγορὰν ἄπειμι· δεῖ γὰρ ἀνδράσιν
πλέξαι στεφάνους ξυνθηματιαίους εἴκοσιν.

ΧΟ. ἕτερον αὖ τι λῆμα τοῦτο
κομψότερον ἔτ' ἢ τὸ πρότερον ἀναπέφηνεν.
οἷα κἀστωμύλατο
οὐκ ἄκαιρα, φρένας ἔχουσα,
καὶ πολύπλοκον νόημ', οὐδ' ἀσύνετ', ἀλλὰ
πιθανὰ πάντα. δεῖ δὲ ταύτης [κην.
τῆς ὕβρεος ἡμῖν τὸν ἄνδρα περιφανῶς δοῦναι δί-

ΜΝ. τὸ μέν, ὦ γυναῖκες, ὀξυθυμεῖσθαι σφόδρα
Εὐριπίδῃ τοιαῦτ' ἀκουούσας κακὰ
οὐ θαυμάσιόν ἐστ', οὐδ' ἐπιζεῖν τὴν χολήν.
καὐτὴ γὰρ ἔγωγ', οὕτως ὀναίμην τῶν τέκνων,
μισῶ τὸν ἄνδρ' ἐκεῖνον, εἰ μὴ μαίνομαι.
ὅμως δ' ἐν ἀλλήλαισι χρὴ δοῦναι λόγον·
αὐταὶ γάρ ἐσμεν κοὐδεμί' ἐκφορὰ λόγου.
τί ταῦτ' ἔχουσαι 'κεῖνον αἰτιώμεθα
βαρέως τε φέρομεν, εἰ δύ' ἡμῶν ἢ τρία
κακὰ ξυνειδὼς εἶπε δρώσας μυρία;
ἐγὼ γὰρ αὐτὴ πρῶτον, ἵνα μἄλλην λέγω,
ξύνοιδ' ἐμαυτῇ πολλὰ δείν'· ἐκεῖνο δ' οὖν
δεινότατον, ὅτε νύμφη μὲν ἢ τρεῖς ἡμέρας,
ὁ δ' ἀνὴρ παρ' ἐμοὶ καθηῦδεν· ἦν δ' ἐμοὶ φίλος,
ὅσπερ με διεκόρησεν οὖσαν ἑπτέτιν.
οὗτος πόθῳ μου 'κνυεν ἐλθὼν τὴν θύραν·
κᾆτ' εὐθὺς ἔγνων· εἶτα καταβαίνω λάθρα.
ὁ δ' ἀνὴρ ἐρωτᾷ, ποῖ σὺ καταβαίνεις; — ὅποι;
στρόφος μ' ἔχει τὴν γαστέρ', ὦνερ, κὠδύνη·
ἐς τὸν κοπρῶν' οὖν ἔρχομαι. — βάδιζέ νυν·
κᾆθ' ὁ μὲν ἔτριβε κεδρίδας, ἄννηθον, σφάκον·
ἐγὼ δὲ καταχέασα τοῦ στροφέως ὕδωρ
ἐξῆλθον ὡς τὸν μοιχόν· εἶτ' ἠρειδόμην
παρὰ τὸν 'Αγυιᾶ, κύβδ' ἐχομένη τῆς δάφνης.

433—442. = 520—530.

398. ὧνπερ Kusterus] ὥσπερ 400. ἐὰν μόνον D.] ἐάν τις 419. ταμιευούσαις προαιρούσας Dobraeus] ταμιεύεσθαι προαιρούσαις λαθεῖν Scaliger] λαβεῖν 420. ἄλφιτον, ἔλαιον] ἔλαιον, ἄλφιτ' Meinekius. Scholiasta "ὅτι ἑνικῶς τὸ ἄλφιτον." 421. κλῃδία Meinekius] κλειδία 433. οὔπω D.] οὐπώποτε 435. δεινότερα D. correctione incerta] δεινότερον 437. πάσας δ' εἰδέας (ἰδέας recte Suidas s. v. ἐβάστασεν) ἐξήτασεν, | πάντα — πυκνῶς τε] Versus turpiter interpolati, in quibus vix unum alterumve verbum est quod ab Aristophane scriptum videatur. Duos dimetros trochaicos positos a poeta fuisse ex versibus antistrophicis intelligitur, qui servati sunt integerrimi. 440. αὐτήν Scaliger] αὐτῆς 441. Ξενοκλέης Bentleius] Ξενοκλῆς

443. ΓΥ. Β. Brunckius] ἑτέρα γυνή ἕνεκα καὐτὴ Porsonus] ἕνεκ' αὐτή 453. οὐδ' εἰς ἥμισυ] οὐδὲ θἤμισυ Hamakerus. 456. τοῖς additum ex Plut. Mor. p. 853. et Gellio N. A. 15,20. 461. κἀστωμύλατο D. in ed. a. 1825.] κατεστωμύλατο 463. καὶ πολύπλοκον] καί τι πολύπλοκον Dobraeus. καὶ πολύστροφον Hermannus. 469. ὀναίμην ex Suida s. h. v.] ὀνοίμην 471. ἀλλήλαισι Brunckius] ἀλλήλοισι 472. ἐκφορὰ Valckenarius] ἔκφορος 476. μἄλλην D.] μὴ ἄλλην 477. πολλὰ δείν' Dawesius] πόλλ' 478. ἢ D.] ἦν 479. καθεῦδεν (debebat καθηῦδεν) Brunckius] καθεύδειν 480. διεκόρησεν οὖσαν ἑπτέτιν ex Polluce 3, 42.] διεκόρευσεν ἑπτέτιν οὖσαν 482. κᾆτ' εὐθὺς] κατευθὺς Aug. κατ' εὐθὺς Iunt., quorum alterutrum haud dubie etiam in R est, corruptum, ut videtur, ex κἀγ' εὐθύς, i. e. κἀγὼ εὐθύς, quod coniecit Meinekius. 486. ἄννηθον D.] ἄνηθον 488. ἠρειδόμην Kusterus] ἐρειδόμην

ταῦτ' οὐδεπώποτ' εἶφ', ὁρᾶτ', Εὐριπίδης·
οὐδ' ὡς ὑπὸ τῶν δούλων τε κὠρεωκόμων
σποδούμεθ', ἢν μὴ 'χωμεν ἕτερον, οὐ λέγει·
οὐδ' ὡς, ὅταν μάλισθ' ὑπό του ληκώμεθα
τὴν νύχθ', ἕωθεν σκόροδα διαμασώμεθα,
ἵν' ὀσφρόμενος ἀνὴρ ἀπὸ τείχους εἰσιὼν
μηδὲν κακὸν δρᾶν ὑποτοπῆται. ταῦθ', ὁρᾷς,
οὐπώποτ' εἶπεν. εἰ δὲ Φαίδραν λοιδορεῖ,
ἡμῖν τί τοῦτ' ἔστ'; οὐδ' ἐκεῖν' εἴρηκέ πω,
ὡς ἡ γυνὴ δεικνῦσα τἀνδρὶ τοὔγκυκλον
ὑπ' ὄρθρον οἷόν ἐστιν, ἐγκεκαλυμμένον
τὸν μοιχὸν ἐξέπεμψεν, οὐκ εἴρηκέ πω.
ἑτέραν δ' ἐγῷδ' ἣ 'φασκεν ὠδίνειν γυνὴ
δέχ' ἡμέρας, ἕως ἐπρίατο παιδίον·
ὁ δ' ἀνὴρ περιῄρχετ' ὠκυτόκι' ὠνούμενος·
τὸ δ' εἰσέφερε γραῦς ἐν χύτρᾳ τὸ παιδίον,
ἵνα μὴ βοῴη, κηρίῳ βεβυσμένον·
εἶθ' ὡς ἔνευσεν ἡ φέρουσ', εὐθὺς βοᾷ,
ἄπελθ' ἄπελθ', ἤδη γὰρ ὦνέρ μοι δοκῶ
τέξειν· τὸ γὰρ ἦτρον τῆς χύτρας ἐλάκτισεν.
χὠ μὲν γεγηθὼς ἔτρεχεν, ἡ δ' ἐξέσπασεν
ἐκ τοῦ στόματος τὸ κηρίον, τὸ δ' ἀνέκραγεν.
εἶθ' ἡ μιαρὰ γραῦς, ἣ 'φερεν τὸ παιδίον,
θεῖ μειδιῶσα πρὸς τὸν ἄνδρα καὶ λέγει,
λέων λέων σοι γέγονεν, αὐτέκμαγμα σόν,
τά τ' ἄλλ' ἀπαξάπαντα καὶ τὸ πόσθιον
τῷ σῷ προσόμοιον, στρεβλὸν ὥσπερ κύτταρον.
ταῦτ' οὐ ποιοῦμεν τὰ κακά; νὴ τὴν Ἄρτεμιν,
ἡμεῖς γε. κᾆτ' Εὐριπίδῃ θυμούμεθα,
οὐδὲν παθοῦσαι μεῖζον ἢ δεδράκαμεν;

ΧΟ. τουτὶ μέντοι θαυμαστὸν,
ὁπόθεν ηὑρέθη τὸ χρῆμα,
χἤτις ἐξέθρεψε χώρα
τήνδε τὴν θρασεῖαν οὕτω.
τάδε γὰρ εἰπεῖν τὴν πανοῦργον
κατὰ τὸ φανερὸν ὧδ' ἀναιδῶς
οὐκ ἂν ᾠόμην ἐν ἡμῖν
οὐδὲ τολμῆσαί ποτ' ἄν.
ἀλλὰ πᾶν γένοιτ' ἂν ἤδη·
τὴν παροιμίαν δ' ἐπαινῶ
τὴν παλαιάν· ὑπὸ λίθῳ γὰρ
παντί που χρὴ
μὴ δάκῃ ῥήτωρ ἀθρεῖν.
ἀλλ' οὐ γάρ ἐστι τῶν ἀναισχύντων φύσει γυ-
ναικῶν
οὐδὲν κάκιον εἰς ἅπαντα πλὴν ἄρ' ἢ γυναῖκες

ΓΥ. Α. οὔ τοι μὰ τὴν Ἄγλαυρον, ὦ γυναῖκες, εὖ φρο-
νεῖτε, [ἄλλο,
ἀλλ' ἢ πεφάρμαχθ' ἢ κακόν τι μέγα πεπόνθατ'
ταύτην ἐῶσαι τὴν φθόρον τοιαῦτα περιυβρίζειν
ἡμᾶς ἁπάσας. εἰ μὲν οὖν τις ἔστιν· εἰ δὲ μή,
ἡμεῖς [βοῦσαι
αὐταί γε καὶ τὰ δουλάρια τέφραν ποθὲν λα-
ταύτης ἀποψιλώσομεν τὸν χοῖρον, ἵνα διδαχθῇ
γυνὴ γυναῖκας οὖσα μὴ κακῶς λέγειν τὸ λοιπόν.

ΜΝ. μὴ δῆτα τόν γε χοῖρον, ὦ γυναῖκες. εἰ γὰρ οὔ-
σης
παρρησίας κἀξὸν λέγειν ὅσαι πάρεσμεν ἀσταί,
εἶτ' εἶπον ἁγίγνωσκον ὑπὲρ Εὐριπίδου δίκαια,
διὰ τοῦτο τιλλομένην με δεῖ δοῦναι δίκην ὑφ'
ὑμῶν;

ΓΥ. Α. οὐ γάρ σε δεῖ δοῦναι δίκην; ἥτις μόνη τέτληκας
ὑπὲρ ἀνδρὸς ἀντειπεῖν, ὃς ἡμᾶς πολλὰ κακὰ δέ-
δρακεν
ἐπίτηδες εὑρίσκων λόγους, ὅπου γυνὴ πονηρὰ
ἐγένετο, Μελανίππας ποιῶν Φαίδρας τε· Πηνε-
λόπην δὲ
οὐπώποτ' ἐποίησ', ὅτι γυνὴ σώφρων ἔδοξεν εἶναι.

ΜΝ. ἐγὼ γὰρ οἶδα ταἴτιον. μίαν γὰρ οὐκ ἂν εἴποις
τῶν νῦν γυναικῶν Πηνελόπην, Φαίδρας δ' ἁπαξ-
απάσας.

ΓΥ. Α. ἀκούετ', ὦ γυναῖκες, οἷ' εἴρηκεν ἡ πανοῦργος
ἡμᾶς ἁπάσας αὖθις αὖ. ΜΝ. καὶ νὴ Δί' οὐ-
δέπω γε
εἴρηχ' ὅσα ξύνοιδ'· ἐπεὶ βούλεσθε πλείον' εἴπω;

ΓΥ. Α. ἀλλ' οὐκ ἂν ἔτ' ἔχοις· ὅσα γὰρ ᾔδησθ' ἐξέχεας
ἅπαντα. [μεν.

ΜΝ. μὰ Δί' οὐδέπω τὴν μυριοστὴν μοῖραν ὧν ποιοῦ-
ἐπεὶ τάδ' οὐκ εἴρηχ', ὁρᾷς, ὡς στλεγγίδας λα-
βοῦσαι [βείης.
ἔπειτα σιφωνίζομεν τὸν οἶνον. ΓΥ. Α. ἐπιτρι-

ΜΝ. ὡς τ' αὖ τὰ κρέ' ἐξ Ἀπατουρίων ταῖς μαστρο-
ποῖς διδοῦσαι, [φλυαρεῖς.
ἔπειτα τὴν γαλῆν φαμέν ΓΥ. Α. τάλαιν' ἐγώ,

ΜΝ. οὐδ' ὡς τὸν ἄνδρα τῷ πελέκει γυνὴ κατεσπόδη-
σεν, [ἔμηνεν,
οὐκ εἶπον· οὐδ' ὡς φαρμάκοις ἑτέρα τὸν ἄνδρ'
οὐδ' ὡς ὑπὸ τῇ πυέλῳ κατώρυξέν ποτ' ΓΥ. Α.
ἐξόλοιο.

---

493. ληκώμεθα R pr. et Suidas s. h. v. κινώμεθα R corr. et Aug. Iunt. 494. σκόροδα διαμασώμεθα Bentleius] σκορόδια μασώμεθα 495. ὀσφρόμενος — τείχους Bentleius] ὀσφραινόμενος — τοῦ τείχους 500. ὑπ' αὐγάς libri, quod veteris librarii errore pro ὑπ' ὄρθρον illatum videri dixi in Annot. Oxon. p. 728. Scripturam vulgatam imperite defendit scholiasta, ὅτι καὶ συστολαῖς βιαίοις χρῶνται καὶ ἐκτάσεσι· καὶ ἄνω (v. 176.) "ἀλλ' ὧνπερ οὕνεκ' ἦλθον ἀλλ' εἰπεῖν βούλομαι." quae sic sunt corrigenda "ἀλλ' ὧνπερ οὕνεκ' ἦλθον ἅ μ' εἰπεῖν. λέγε." Nam ita in libro suo scriptum invenisse videtur scholiasta pro ἅ μ' εἰπεῖν, quo factum ut ἅ produci putaret. Similis imperitiae documentum edidit scholiasta Vesp. 902. codicis sui vitio deceptus. βούλομαι autem ab recentiore additum est qui verbum desiderabat ex quo infinitivus εἰπεῖν penderet. 501. μυχὸν Frobenius] μοιχὸν 504. περιῄρχετ'] περιέτρεχ' Hamakerus. περιῄρρεν Elmsleius. ὠκυτόκι' ex Polluce 2, 7.] ὠκυτόκει' 509. τέξειν] τίκτειν Hirschigius. 511. τὸ κηρίον Hirschigius] τοῦ παιδίου 514. αὐτέκμαγμα R. αὐτ' ἔκμαγμα Aug. αὖτ' εἶγμα Iunt. haud dubie ex editoris coniectura. αὖτ' ἔκμαγμα divisim scriptum legerunt Pollux 9, 131. Suidas s. v. κύτταρον, λέων et πόσθιον, et Eustathius p. 462, 59. 1857, 16. 526. ἡμῖν Iunt. ὑμῖν R Aug. 528. ἀλλὰ πᾶν Cobetus] ἀλλ' ἅπαν

532. ἢ] εἰ R. 533—935. Quae in hac parte fabulae mulieres singulae loquuntur inter quinque mulieres, literis Γ. Δ. Ε. Ζ. Η. notatas distribuit Brunckius. Libri simpliciter vel γυνή vel γυνή τις vel γυνὴ μία vel ἄλλη γυνή. Ego Beerium sum secutus (p. 62—77.), qui quae singulae mulieres loquuntur v. 380—935. inter tres distribuenda esse ostendit. 533. Ἄγλαυρον Brunckius] ἄγραυλον 536. τις ἔστιν] ἔστι τις apud schol. Hom. Il. 1, 137. μή, ἡμεῖς] Crasis insolentior. μή, αὐταί | ἡμεῖς Porsonus. 537. γε] τε Reiskius. 546. ἐπίτηδες Bentleius] ἐξεπίτηδες 548. ἐποίησ' Bentleius] ἐποίησεν 549. ταἴτιον] Similis crasis θαἶμα Lys. 205. 553. πλείον' Bentleius] πλεῖον 554. ᾔδησθ' Meinekius] ᾔδεις 555. οὐδέπω Dobraeus] οὐδὲ 556. ἐπεὶ τάδ' (τόδ' Kusterus) D.] ἔπειτά γ' 557. οἶνον a m. sec. R. σῖτον pr. et Aug. Iunt. cum scholiasta et Suida s. v. σιφωνίζομεν. οἶνον legit Pollux 6, 19. 558. ὡς τ' αὖ] οὐδ' ὡς Cobetus. 560. τὸν ἄνδρα τῷ πελέκει γυνὴ κ.] ἑταίρα (i. e. ἑτέρα) τὸν ἄνδρα τῷ πελέκει κ. Suidas s. v. κατεσπόδησεν.

ΜΝ. Ἀχαρνικὴ τὸν πατέρα. ΓΥ. Α. ταῦτα δῆτ' ἀνέκτ'
ἀκούειν; [σαυτῇ
ΜΝ. οὐδ' ὡς σὺ τῆς δούλης τεκούσης ἄρρεν εἶτα
τοῦθ' ὑπεβάλου, τὸ σὸν δὲ θυγάτριον παρῆκας
αὐτῇ.
ΓΥ. Α. οὔ τοι μὰ τὼ θεὼ σὺ καταπροίξει λέγουσα ταυτί,
ἀλλ' ἐκποκιῶ σου τὰς ποκάδας. ΜΝ. οὐ δὴ μὰ
Δία σύ γ' ἅψει.
ΓΥ. Α. καὶ μὴν ἰδού. ΜΝ. καὶ μὴν ἰδού. ΓΥ. Α. λαβὲ
θοἰμάτιον, Φιλίστη. [τί δράσεις;
ΜΝ. πρόσθες μόνον, κἀγώ σε νὴ τὴν Ἄρτεμιν ΓΥ. Α.
ΜΝ. τὸν σησαμοῦνθ' ὃν κατέφαγες, τοῦτον χεσεῖν
ποιήσω.
ΧΟ. παύσασθε λοιδορούμεναι· καὶ γὰρ γυνή τις ἡμῖν
ἐσπουδακυῖα προστρέχει. πρὶν οὖν ὁμοῦ γενέσθαι,
σιγᾶθ', ἵν' αὐτῆς κοσμίως πυθώμεθ' ἅττα λέξει.

ΚΛΕΙΣΘΕΝΗΣ.

φίλαι γυναῖκες, ξυγγενεῖς τοὐμοῦ τρόπου,
ὅτι μὲν φίλος εἴμ' ὑμῖν, ἐπίδηλος ταῖς γνάθοις.
γυναικομανῶ γὰρ προξενῶ θ' ὑμῶν ἀεί.
καὶ νῦν ἀκούσας πρᾶγμα περὶ ὑμῶν μέγα
ὀλίγῳ τι πρότερον κατ' ἀγορὰν λαλούμενον,
ἥκω φράσων τοῦτ' ἀγγελῶν θ' ὑμῖν, ἵνα
σκοπῆτε καὶ τηρῆτε μὴ καὶ προσπέσῃ
ἡμῖν ἀφάρκτοις πρᾶγμα δεινὸν καὶ μέγα.
ΧΟ. τί δ' ἔστιν, ὦ παῖ; παῖδα γάρ σ' εἰκὸς καλεῖν,
ἕως ἂν οὕτως τὰς γνάθους ψιλὰς ἔχῃς.
ΚΛ. Εὐριπίδην φάσ' ἄνδρα κηδεστήν τινα
αὑτοῦ γέροντα δεῦρ' ἀναπέμψαι τήμερον.
ΧΟ. πρὸς ποῖον ἔργον, ἢ τίνος γνώμης χάριν;
ΚΛ. ἵν' ἅττα βουλεύοισθε καὶ μέλλοιτε δρᾶν,
ἐκεῖνος εἴη τῶν λόγων κατάσκοπος.
ΧΟ. καὶ πῶς λέληθεν ἐν γυναιξὶν ὢν ἀνήρ;
ΚΛ. ἀφηῦσεν αὐτὸν κἀπέτιλ' Εὐριπίδης
καὶ τἄλλ' ἅπανθ' ὥσπερ γυναῖκ' ἐσκεύασεν.
ΜΝ. πείθεσθε τούτῳ ταῦτα; τίς δ' οὕτως ἀνὴρ
ἠλίθιος ὅστις τιλλόμενος ἠνείχετ' ἄν;
οὐκ οἴομαι 'γωγ', ὦ πολυτιμήτω θεώ.
ΚΛ. ληρεῖς· ἐγὼ γὰρ οὐκ ἂν ἦλθον ἀγγελῶν,
εἰ μὴ 'πεπύσμην ταῦτα τῶν σάφ' εἰδότων.
ΧΟ. τὸ πρᾶγμα τουτὶ δεινὸν εἰσαγγέλλεται.
ἀλλ', ὦ γυναῖκες, οὐκ ἐλινύειν ἐχρῆν,
ἀλλὰ σκοπεῖν τὸν ἄνδρα καὶ ζητεῖν ὅπου
λέληθεν ἡμᾶς κρυπτὸς ἐγκαθήμενος.
καὶ σὺ ξυνέξευρ' αὐτόν, ὡς ἂν τὴν χάριν
ταύτην τε κἀκείνην ἔχῃς, ὦ πρόξενε.
ΚΛ. φέρ' ἴδω· τίς ἡ πρώτη σύ; ΜΝ. ποῖ τις τρέ-
ψεται;
ΚΛ. ζητητέαι γάρ ἐστε. ΜΝ. κακοδαίμων ἐγώ.
ΓΥ. Α. ἔμ' ἥτις εἴμ' ἤρου; Κλεωνύμου γυνή.
ΚΛ. γιγνώσκεθ' ὑμεῖς ἥτις ἔσθ' ἡδὶ γυνή;
ΧΟ. γιγνώσκομεν δῆτ'. ἀλλὰ τὰς ἄλλας ἄθρει.
ΚΛ. ἡδὶ δὲ δὴ τίς ἐστιν ἡ τὸ παιδίον [μαι.
ἔχουσα; ΓΥ. Α. τιτθὴ νὴ Δί' ἐμή. ΜΝ. διοίχο-
ΚΛ. αὕτη σὺ ποῖ στρέφει; μέν' αὐτοῦ. τί τὸ κακόν;
ΜΝ. ἔασον οὐρῆσαί μ'. ΚΛ. ἀναίσχυντός τις εἶ.
σὺ δ' οὖν ποίει τοῦτ'. ἀναμενῶ γὰρ ἐνθάδε.
ΧΟ. ἀνάμενε δῆτα, καὶ σκόπει γ' αὐτὴν σφόδρα·
μόνην γὰρ αὐτήν, ὦνερ, οὐ γιγνώσκομεν.
ΚΛ. πολύν γε χρόνον οὐρεῖς σύ. ΜΝ. νὴ Δί', ὦ μέλε·
στραγγουριῶ γάρ· ἐχθὲς ἔφαγον κάρδαμα.
ΚΛ. τί καρδαμίζεις; οὐ βαδιεῖ δεῦρ' ὡς ἐμέ;
ΜΝ. τί δῆτά μ' ἕλκεις ἀσθενοῦσαν; ΚΛ. εἰπέ μοι,
τίς ἔστ' ἀνήρ σοι; ΜΝ. τὸν ἐμὸν ἄνδρα πυνθάνει;
τὸν δεῖνα γιγνώσκεις, τὸν ἐκ Κοθωκιδῶν;
ΚΛ. τὸν δεῖνα; ποῖον; ΜΝ. ἔσθ' ὁ δεῖν', ὅς καί ποτε
τὸν δεῖνα τὸν τοῦ δεῖνα ΚΛ. ληρεῖν μοι δοκεῖς.
ἀνῆλθες ἤδη δεῦρο πρότερον; ΜΝ. νὴ Δία,
ὁσέτη γε. ΚΛ. καὶ τίς σοὐστὶ συσκηνήτρια;
ΜΝ. ἡ δεῖν' ἔμοιγ'. οἴμοι τάλας. ΚΛ. οὐδὲν λέγεις.
ΓΥ. Α. ἄπελθ'. ἐγὼ γὰρ βασανιῶ ταύτην καλῶς
ἐκ τῶν ἱερῶν τῶν πέρυσι· σὺ δ' ἀπόστηθί μοι,
ἵνα μὴ 'πακούσῃς ὢν ἀνήρ. σὺ δ' εἰπέ μοι
ὅ τι πρῶτον ἡμῖν τῶν ἱερῶν ἐδείκνυτο.
ΜΝ. φέρ' ἴδω, τί μέντοι πρῶτον ἦν; ἐπίνομεν.
ΓΥ. Α. τί δὲ μετὰ τοῦτο δεύτερον; ΜΝ. προυπίνομεν.
ΓΥ. Α. ταυτὶ μὲν ἤκουσάς τινος σύ· τί δὲ τρίτον;
ΜΝ. σκάφιον Ξένυλλ' ᾔτησεν· οὐ γὰρ ἦν ἀμίς.
ΓΥ. Α. οὐδὲν λέγεις. δεῦρ' ἐλθὲ δεῦρ', ὦ Κλείσθενες·
ὅδ' ἐστὶν ἀνὴρ ὃν λέγεις. ΚΛ. τί οὖν ποιῶ;
ΓΥ. Α. ἀπόδυσον αὐτόν· οὐδὲν ὑγιὲς γὰρ λέγει.
ΜΝ. κἄπειτ' ἀποδύσετ' ἐννέα παίδων μητέρα;
ΚΛ. χάλα ταχέως τὸ στρόφιον, ὦναίσχυντε σύ.
ΓΥ. Α. ὡς καὶ στιβαρά τις φαίνεται καὶ καρτερά·
καὶ νὴ Δί τιτθούς γ' ὥσπερ ἡμεῖς οὐκ ἔχει.
ΜΝ. στερίφη γάρ εἰμι κοὐκ ἐκύησα πώποτε.
ΓΥ. Α. νῦν· τότε δὲ μήτηρ ἦσθα παίδων ἐννέα
ΚΛ. ἀνίστασ' ὀρθός. ποῖ τὸ πέος ὠθεῖς κάτω,
ΓΥ. Α. τοδὶ διέκυψε καὶ μάλ' εὔχρων, ὦ τάλαν.
ΚΛ. καὶ ποῦ 'στιν; ΓΥ. Α. αὖθις ἐς τὸ πρόσθεν οἴ-
χεται.
ΚΛ. οὐκ ἐνγεταυθί. ΓΥ. Α. μἀλλὰ δεῦρ' ἥκει πάλιν.
ΚΛ. ἰσθμόν τιν' ἔχεις, ὤνθρωπ'· ἄνω τε καὶ κάτω
τὸ πέος διέλκεις πυκνότερον Κορινθίων.
ΓΥ. Α. ὢ μιαρὸς οὗτος· ταῦτ' ἄρ' ὑπὲρ Εὐριπίδου
ἡμῖν ἐλοιδορεῖτο. ΜΝ. κακοδαίμων ἐγώ,
εἰς οἷ' ἐμαυτὸν εἰσεκύλισα πράγματα.
ΓΥ. Α. ἄγε δὴ τί δρῶμεν; ΚΛ. τουτονὶ φυλάττετε
καλῶς, ὅπως μὴ διαφυγὼν οἰχήσεται·
ἐγὼ δὲ ταῦτα τοῖς πρυτάνεσιν ἀγγελῶ.
ΧΟ. ἡμᾶς τοίνυν μετὰ τοῦτ' ἤδη τὰς λαμπάδας ἁψα-
μένας χρὴ [δύσας
ξυζωσαμένας εὖ κἀνδρείως τῶν θ' ἱματίων ἀπο-
ζητεῖν, εἴ που κἄλλος τις ἀνὴρ ἀνελήλυθε, καὶ
περιθρέξαι [διαθρῆσαι.
τὴν πύκνα πᾶσαν καὶ τὰς σκηνὰς καὶ τὰς διόδους
εἶα δὴ πρώτιστα μὲν χρὴ κοῦφον ἐξορμᾶν πόδα
καὶ διασκοπεῖν σιωπῇ πανταχῇ· μονον δὲ χρὴ

---

563. Ἀχαρνικὴ Dobraeus] ἀχαρνικὴ ταῦτα Bentleius] ταυτὶ 567. οὐ δὴ Bothius] οὐδὲ 569. πρόσθες] πρόσιθι Cobetus. 580. σκοπῆτε καὶ τηρῆτε Kusterus] σκοπεῖτε καὶ τηρεῖτε μὴ καὶ Porsonus] καὶ μὴ 581. ἀφάρκτοις D.] ἀφράκτοις 590. ἀφηῦσεν Meinekius] ἄφευσεν κἀπέτιλ' Bekkerus] κἀπέτιλλ' 593. ἠνείχετ' ἂν Brunckius] ἠνείχετο 594. οἴομαι 'γωγ' Bentleius] οἴομ' ἔγωγ' 596. 'πεπύσμην ταῦτα Bentleius] πεπύσμην ταυτί, ut v. 563. ταυτὶ pro ταῦτα scriptum in libris. 603. ἡ Aug. εἶ R Iunt. 605. ἥτις ed. Veneta a. 1538.] εἴτις εἴμ' addidit Porsonus. 606. ἡδὶ ed. Brubachiana] ἥδε

611. τις addidit Kusterus. 612. ἀναμενῶ Kusterus] ἀναμένω 616. ἐχθὲς] χθὲς γὰρ Suidas s. v. σταγγουριῶ, omisso, quod servare debebat, praecedente γάρ. 630. μέντοι ex Suida additum s. v. προπίνει. 632. σύ addidit Engerus. νὴ Δί D.] νὴ Δία. Vid. Annot. Oxon. ad Eq. 319. 641. στερίφη Meinekius] στεριφὴ 644. διέκυψε Dobraeus] δὴ ἔκυψε 646. μἀλλὰ Bentleius] ἀλλὰ 651. εἰσεκύλισα ed. Lugd. Bat. a. 1624.] εἰσεκύλησα 653. οἰχήσεται Bentleius] οἴχεται 657. ἀνελήλυθε Fritzschius] εἰσελήλυθεν (ἐσελήλυθε Bentleius). εἰσῆλθεν Elmsleius. 658. διαθρῆσαι Kusterus] ἀθρῆσαι 659. ἡμιχ. in libris praescriptum delevit D. 660. πανταχῇ· μόνον δὲ χρὴ Kusterus] μόνον δὲ χρὴ πανταχῇ

μὴ βραδύνειν, ὡς ὁ καιρός ἐστι μὴ μέλλειν ἔτι,
ἀλλὰ τὴν πρώτην τρέχειν χρῆν ὡς τάχιστ' ἤδη
εἶά νυν ἴχνευε, καὶ μάτευε ταχὺ πάντ' [κύκλῳ.
εἴ τις ἐν τόποις ἑδραῖος ἄλλος αὖ λέληθεν ὤν.
πανταχῇ δὲ ῥῖψον ὄμμα,
καὶ τὰ τῇδε καὶ τὰ δεῦρο πάντ' ἀνασκόπει καλῶς.
ἢν γάρ με λάθῃ δράσας ἀνόσια,
δώσει τε δίκην καὶ πρὸς τούτῳ
τοῖς ἄλλοις ἔσται ἅπασιν
παράδειγμ' ὕβρεως ἀδίκων τ' ἔργων,
ἀθέων τε τρόπων·
φήσει δ' εἶναί τε θεοὺς φανερῶς,
δείξει τ' ἤδη
πᾶσιν ἀνθρώποις σεβίζειν δαίμονας ⏑ ⏑́ ⏑ –
⏑ ⏑́ – ⏑ – ὅσια καὶ νόμιμα
μηδομένους ποιεῖν ὅ τι καλῶς ἔχει.
κἂν μὴ ποιῶσι ταῦτα, τοιάδ' ἔσται·
αὐτῶν ὅταν ληφθῇ τις ἀνόσιόν τι δρῶν,
μανιάσιν φλέγων λύσσαις παράκοπος ⏑⏑́⏑– – –
πᾶσιν ἐμφανὴς ὁρᾶν ἔσται γυναιξὶ καὶ βροτοῖς,
ὅτι τά τε παράνομα τά τ' ἀνόσια παραυτὰ τίνε-
ται θεός.
ἀλλ' ἔοιχ' ἡμῖν ἅπαντά πως διεσκέφθαι καλῶς.
οὐχ ὁρῶμεν γοῦν ἔτ' ἄλλον οὐδέν' ἐγκαθήμενον.
ΓΥ. Α. ἆ, ποῖ σὺ φεύγεις; οὗτος οὗτος, οὐ μενεῖς;
τάλαιν' ἐγὼ τάλαινα, καὶ τὸ παιδίον
ἐξαρπάσας μου φροῦδος ἀπὸ τοῦ τιτθίου.
ΜΝ. κέκραχθι· τοῦτο δ' οὐδέποτε σὺ ψωμιεῖς,
ἢν μή μ' ἀφῆτ'· ἀλλ' ἐνθάδ' ἐπὶ τῶν μηρίων
πληγὲν μαχαίρᾳ τῇδε φοινίας φλέβας
καθαιματώσει βωμόν. ΓΥ. Α. ὢ τάλαιν' ἐγώ.
γυναῖκες, οὐκ ἀρήξετ'; οὐ πολλὴν βοὴν
στήσεσθε καὶ τροπαῖον, ἀλλὰ τοῦ μόνου
τέκνου με περιόψεσθ' ἀποστερουμένην;
ΧΟ. ἔα ἔα. [τέρας;
ὦ πότνιαι Μοῖραι, τί τόδε δέρκομαι νεοχμὸν αὖ
ὡς ἅπαντ' ἄρ' ἐστὶ τόλμης ἔργα κἀναισχυντίας.
οἷον αὖ δέδρακεν ἔργον, οἷον αὖ, φίλαι, τόδε.
ΜΝ. οἷον ὑμῶν ἐξαράξει τὴν ἄγαν αὐθαδίαν.
ΧΟ. ταῦτα δῆτ' οὐ δεινὰ πράγματ' ἐστὶ καὶ περαι-
τέρω; [δίον.
ΓΥ. Α. δεινὰ δῆθ', ὅστις γ' ἔχει μου 'ξαρπάσας τὸ παι-
ΧΟ. τί ἂν οὖν εἴποι πρὸς ταῦτά τις, ὅτε

667—687. = 707—727.

τοιαῦτα ποιῶν ὅδ' ἀναισχυντεῖ;
ΜΝ. κοὔπω μέντοι γε πέπαυμαι.
ΓΥ. Α. ἀλλ' οὖν ἥκεις γ' ὅθεν οὐ φαύλως
ἀποδρὰς λέξεις
οἷον δράσας διέδυς ἔργον,
λήψει δὲ κακόν.
ΜΝ. τοῦτο μέντοι μὴ γένοιτο μηδαμῶς, ἀπεύχομαι.
ΧΟ. τίς ἄν σοι, τίς ἂν ξύμμαχος ἐκ θεῶν
ἀθανάτων ἔλθοι ξὺν ἀδίκοις ἔργοις;
ΜΝ. μάτην λαλεῖτε· τὴν δ' ἐγὼ οὐκ ἀφήσω.
ΧΟ. ἀλλ' οὐ μὰ τὼ θεὼ τάχ' οὐ χαίρων ἴσως [ἔργοις.
ἐνυβριεῖς λόγους λέξεις τ' ἀνοσίους ἐπ' ἀθέοις
καὶ γὰρ ἀνταμειψόμεσθά σ', ὥσπερ εἰκός, ἀντὶ
τῶνδε.
τάχα δὲ μεταβαλοῦσ' ἐπὶ κακὸν ἑτερότροπόν τίς
σ' ἐπέχει τύχη.
ἀλλὰ τάσδε μὲν λαβεῖν χρῆν, ἐκφέρειν τε τῶν
ξύλων,
καὶ καταίθειν τὸν πανοῦργον, πυρπολεῖν θ' ὅσον
ΓΥ. Α. ἴωμεν ἐπὶ τὰς κληματίδας, ὦ Μανία, [τάχος.
κἀγώ σ' ἀποδείξω θυμάλωπα τήμερον.
ΜΝ. ὕφαπτε καὶ κάταιθε· σὺ δὲ τὸ Κρητικὸν
ἀπόδυθι ταχέως· τοῦ θανάτου δ', ὦ παιδίον,
μόνην γυναικῶν αἰτιῶ τὴν μητέρα.
τουτὶ τί ἔστιν; ἀσκὸς ἐγένεθ' ἡ κόρη
οἴνου πλέως, καὶ ταῦτα Περσικὰς ἔχων.
ὦ θερμόταται γυναῖκες, ὦ ποτίσταται,
κἀκ παντὸς ὑμεῖς μηχανώμεναι πιεῖν,
ὦ μέγα καπήλοις ἀγαθόν, ἡμῖν δ' αὖ κακόν,
κακὸν δὲ καὶ τοῖς σκευαρίοις καὶ τῇ κρόκῃ.
ΓΥ. Α. παράβαλλε πολλὰς κληματίδας, ὦ Μανία.
ΜΝ. παράβαλλε δῆτα· σὺ δ' ἀπόκριναί μοι τοδί.
τουτὶ τεκεῖν φῄς; ΓΥ. Α. καὶ δέκα μῆνας αὔτ'
ἐγὼ [τεμιν.
ἤνεγκον. ΜΝ. ἤνεγκας σύ; ΓΥ. Α. νὴ τὴν Ἄρ-
ΜΝ. τρικότυλον, ἢ πῶς; εἰπέ μοι. ΓΥ. Α. τί μ' εἰρ-
ἀπέδυσας ὦναίσχυντέ μου τὸ παιδίον, [γάσω;
τυννοῦτον ὄν. ΜΝ. τυννοῦτο; ΓΥ. Α. μικρὸν
νὴ Δία.
ΜΝ. πόσ' ἔτη δὲ γέγονε; τρεῖς χόας ἢ τέτταρας;
ΓΥ. Α. σχεδὸν τοσοῦτον χὤσον ἐκ Διονυσίων.
ἀλλ' ἀπόδος αὐτό. ΜΝ. μὰ τὸν Ἀπόλλω τουτονί.
ΓΥ. Α. ἐμπρήσομεν τοίνυν σε. ΜΝ. πάνυ γ' ἐμπίμπρατε·
αὕτη δ' ἀποσφαγήσεται μάλ' αὐτίκα.
ΓΥ. Α. μὴ δῆθ', ἱκετεύω σ'· ἀλλ' ἔμ' ὅ τι χρῄζεις ποίει
ὑπέρ γε τούτου. ΜΝ. φιλότεκνός τις εἶ φύσει.
ἀλλ' οὐδὲν ἧττον ἥδ' ἀποσφαγήσεται.
ΓΥ. Α. οἴμοι, τέκνον. δός μοι σφαγεῖον, Μανία,
ἵν' οὖν τό γ' αἷμα τοῦ τέκνου τοὐμοῦ λάβω.

---

662. χρῆν Bentleius] χρὴ 665. δὲ ῥῖψον Hermannus] διάρριψον 667—685. In his versibus plura sunt partim ab librariis partim ab interpolatoribus depravata, quae non videntur coniecturis restitui posse. 667. γάρ με Bergkius] γὰρ μή. ἢν γὰρ ληφθῇ Reisigius. 670. ἔσται ἅπασιν Bothius] ἅπασιν (ἀνδράσιν Beerius) ἔσται 674. Ante vel post δαίμονας quattuor exiderunt syllabae. 675. ⏑ ⏑́ – ⏑ – ὅσια D.] δικαίως τ' ἐφέποντας ὅσια: quod interpolatoris commentum est lacunam explere conati. 679. ἀνόσιόν τι Hermannus] ὅσια 680. μανιάσιν — λύσσαις Meinekius] μανίας — λύσσῃ Post παράκοπος indicavi unius dochmii defectum, sublato interpolatoris supplemento εἴ τι δρῴη. 682. ἔσται Bothius] ἔστιν 684. ὅτι τά — θεός Hermannus coniectura incerta] ὅτι τὰ παράνομα τά τ' ἀνόσια θεὸς | ἀποτίνεται | παραχρῆμά τε τίνεται 689. ἆ Berglerus] ἀὰ 691. μου (ut v. 706.) Hamakerus] μοι 697. καὶ additum ex schol. Pluti v. 453. et Greg. Cor. p. 22. 700. τόδε Dobraeus] δὲ 702. ἅπαντ' ἄρ' ἐστὶ Bentleius] ἅπαν γάρ ἐστιν ἔργα] πλέα in proverbio ap. Suidam s. v. ἅπαντα memorato. 703. τόδε] τοδί Meinekius. 704. ἐξαράξει Bentleius] ἐξάρξω 706. ὅστις Porsonus] ὅτι

710. ἥκεις γ' Suidas s. v. ἥκεις] ἥκεις R. ἥκιστ' Aug. ἥκεις Θ' Iunt. ὅθεν οὐ φαύλως ἀποδρὰς λέξεις Reisigius] ὅθεν ἥκεις | φαύλως τ. ἀποδρὰς οὐ λέξεις 715. ἄν σοι Brunckius] οὖν σοι 716. ξὺν] σοῖς Meinekius. 719. ἐνυβριεῖς Reisigius] ἐνυβρίσεις 720. λέξεις τ' Fritzschius] τε λέξεις ἀνοσίους ἀθέοις ἐπ' (debebat ἐπ' ἀθέοις ut Engerus) ἔργοις. καὶ γὰρ ἀ. Hermannus] ἀνοσίους. ἀθέοις ἔργοις γὰρ ἀ. 722. ἀντὶ τῶνδε si recte legitur, in versu strophico 683. βροτοῖς in βροτοῖσιν erit mutandum. Sed ἀντὶ τῶνδε fortasse ex glossemate irrepsit pro τοῖς ἴσοις. 723. δὲ Fritzschius] δέ σε 724. ἐπὶ κακὸν ἑτερότροπον] Verba ex dochmio corrupta. ἐφ' ἑτερόρροπόν τι σ' ἐπέχει τύχη Meinekius. 725. τίς σ' ἐπέχει τύχη Fritzschius (nisi quod τίς σ' ἔτ')] ἐπέχει τις τύχη 726. χρῆν Engerus] χρῆν σ' 730. τὸ Suidas s.v. Κρητικόν] τόδε 741. καὶ addidit Kusterus. 747. χὤσον Bentleius] καὶ ὅσον. Fort. τοσοῦτον ὁπόσον. 754. μοι Tyrwhittus] μοι τὸ σφαγεῖον Aug. Iunt. σφάγιον R.

ΜΝ. ὕπεχ' αὐτό, χαριοῦμαι γὰρ ἕν γε τοῦτό σοι.
ΓΥ. Α. κακῶς ἀπόλοι'· ὡς φθονερὸς εἶ καὶ δυσμενής.
ΜΝ. τουτὶ τὸ δέρμα τῆς ἱερείας γίγνεται.
ΓΥ. Α. τί τῆς ἱερείας γίγνεται; ΜΝ. τουτὶ λαβέ.
ΓΥ. Γ. ταλαντάτη Μίκα, τίς ἐξεκόρησέ σε;
τίς τὴν ἀγαπητὴν παῖδά σου 'ξαφείλετο;
ΓΥ. Α. ὁ πανοῦργος οὗτος. ἀλλ' ἐπειδήπερ πάρει,
φύλαξον αὐτόν, ἵνα λαβοῦσα Κλεισθένη
τοῖσιν πρυτάνεσιν ἃ πεποίηχ' οὗτος φράσω.
ΜΝ. ἄγε δὴ τίς ἔσται μηχανὴ σωτηρίας;
τίς πεῖρα, τίς ἐπίνοι'; ὁ μὲν γὰρ αἴτιος
κἄμ' ἐσκυλίσας ἐς τοιαυτὶ πράγματα
οὐ φαίνεταί πω. φέρε, τίν' οὖν ἂν ἄγγελον
πέμψαιμ' ἐπ' αὐτόν; οἶδ' ἐγὼ καὶ δὴ πόρον
ἐκ τοῦ Παλαμήδους· ὡς ἐκεῖνος, τὰς πλάτας
ῥίψω γράφων. ἀλλ' οὐ πάρεισί μοι πλάται.
πόθεν οὖν γένοιτ' ἄν μοι πλάτας λαβεῖν; πόθεν;
τί δ' ἄν, εἰ ταδὶ τἀγάλματ' ἀντὶ τῶν πλατῶν
γράφων διαρρίπτοιμι; βέλτιον πολύ.
ξύλον γέ τοι καὶ ταῦτα κἀκεῖν' ἦν ξύλον.
ὦ χεῖρες ἐμαί,
ἐγχειρεῖν χρῆν ἔργῳ πορίμῳ.
ἄγε δὴ πινάκων ξεστῶν δέλτοι,
δέξασθε σμίλης ὁλκούς,
κήρυκας ἐμῶν μόχθων· οἴμοι,
τουτὶ τὸ ῥῶ μοχθηρόν.
χώρει χώρει· ποίαν αὔλακα;
βάσκετ', ἐπείγετε πάσας καθ' ὁδούς,
κείνῃ, ταύτῃ· ταχέως χρή.
ΧΟ. ἡμεῖς τοίνυν ἡμᾶς αὐτὰς εὖ λέξωμεν παραβᾶσαι.
καίτοι πᾶς τις τὸ γυναικεῖον φῦλον κακὰ πόλλ' ἀγορεύει,
[ἅπαντα,
ὡς πᾶν ἐσμὲν κακὸν ἀνθρώποις κἀξ ἡμῶν ἐστιν
ἔριδες, νείκη, στάσις ἀργαλέα, λύπη, πόλεμος.
φέρε δή νυν,
[κακόν ἐσμεν,
εἰ κακόν ἐσμεν, τί γαμεῖθ' ὑμεῖς, εἴπερ ἀληθῶς
κἀπαγορεύετε μήτ' ἐξελθεῖν μήτ' ἐκκύψασαν ἁλῶναι,
ἀλλ' οὑτωσὶ πολλῇ σπουδῇ τὸ κακὸν βούλεσθε φυλάττειν;
[ῥᾳσιν,
κἂν ἐξέλθῃ τὸ γύναιόν ποι, κᾆθ' εὕρητ' αὐτὸ θύ-
μανίας μαίνεσθ', οὓς χρῆν σπένδειν καὶ χαίρειν, εἴπερ ἀληθῶς
[λαμβάνετ' ἔνδον.
ἔνδοθεν ηὕρετε φροῦδον τὸ κακὸν καὶ μὴ κατε-
κἂν καταδάρθωμεν ἐν ἀλλοτρίων παίζουσαι καὶ κοπιῶσαι,
πᾶς τις τὸ κακὸν τοῦτο ζητεῖ περὶ τὰς κλίνας περινοστῶν.
[τεθεᾶσθαι·
κἂν ἐκ θυρίδος παρακύπτωμεν, ζητεῖ τὸ κακὸν
κἂν αἰσχυνθεῖσ' ἀναχωρήσῃ, πολὺ μᾶλλον πᾶς ἐπιθυμεῖ
[ἐπιδήλως
αὖθις τὸ κακὸν παρακῦψαν ἰδεῖν. οὕτως ἡμεῖς
ὑμῶν ἐσμεν πολὺ βελτίους· βάσανός τε πάρεστιν ἰδέσθαι.
βάσανον δῶμεν πότεροι χείρους. ἡμεῖς μὲν γάρ φαμεν ὑμᾶς,
[ἕκαστον,
ὑμεῖς δ' ἡμᾶς. σκεψώμεθα δὴ κἀντιτιθῶμεν πρὸς
παραβάλλουσαι τῆς τε γυναικὸς καὶ τἀνδρὸς τοὔνομ' ἑκάστου.
[δὲ τἄργα.
Ναυσιμάχης μέν γ' ἥττων ἐστὶν Χαρμῖνος· δῆλα
καὶ μὴν δὴ καὶ Κλεοφῶν χείρων πάντως δήπου Σαλαβακχοῦς.
πρὸς Ἀριστομάχην δὲ χρόνου πολλοῦ, πρὸς ἐκείνην τὴν Μαραθῶνι,
[λεμίζειν.
καὶ Στρατονίκην ὑμῶν οὐδεὶς οὐδ' ἐγχειρεῖ πο-
ἀλλ' Εὐβούλης τῶν πέρυσίν τις βουλευτής ἐστιν ἀμείνων,
[γε φήσει.
παραδοὺς ἑτέρῳ τὴν βουλείαν; οὐδ' αὐτὸς τοῦτό
οὕτως ἡμεῖς πολὺ βελτίους τῶν ἀνδρῶν εὐχόμεθ' εἶναι.
[τάλαντα
οὐδ' ἂν κλέψασα γυνὴ ζεύγει κατὰ πεντήκοντα
ἐς πόλιν ἔλθοι τῶν δημοσίων· ἀλλ' ἢν τὰ μέγισθ' ὑφέληται,
[ἀπέδωκεν.
φορμὸν πυρῶν τἀνδρὸς κλέψασ' αὐθημερὸν αὔτ'
ἀλλ' ἡμεῖς ἂν πολλοὺς τούτων
ἀποδείξαιμεν ταῦτα ποιοῦντας,
καὶ πρὸς τούτοις γάστριδας ἡμῶν
ὄντας μᾶλλον καὶ λωποδύτας
καὶ βωμολόχους κἀνδραποδιστάς.
καὶ μὴν δήπου καὶ τὰ πατρῷά γε
χείρους ἡμῶν εἰσιν σώζειν·
ἡμῖν μὲν γὰρ σῶν ἔτι καὶ νῦν
τἀντίον, ὁ κανών, οἱ καλαθίσκοι,
τὸ σκιάδειον·
τοῖς δ' ἡμετέροις ἀνδράσι τούτοις
ἀπόλωλεν μὲν πολλοῖς ὁ κανὼν
ἐκ τῶν οἴκων αὐτῇ λόγχῃ,
πολλοῖς δ' ἑτέροις ἀπὸ τῶν ὤμων
ἐν ταῖς στρατιαῖς
ἔρριπται τὸ σκιάδειον.
[ἂν
πόλλ' ἂν αἱ γυναῖκες ἡμεῖς ἐν δίκῃ μεμψαίμεθ'
τοῖσιν ἀνδράσιν δικαίως, ἓν δ' ὑπερφυέστατον.
χρῆν γάρ, ἡμῶν εἰ τέκοι τις ἄνδρα χρηστὸν τῇ πόλει,
[ταξίαρχον ἢ στρατηγόν, λαμβάνειν τιμήν τινα,]
προεδρίαν αὐτῇ δίδοσθαι Στηνίοισι καὶ Σκίροις
ἔν τε ταῖς ἄλλαις ἑορταῖς αἶσιν ἡμεῖς ἤγομεν·
εἰ δὲ δειλὸν καὶ πονηρὸν ἄνδρα τις τέκοι γυνή,
[ἢ τριήραρχον πονηρόν, ἢ κυβερνήτην κακόν,]
ὑστέραν αὐτὴν καθῆσθαι σκάφιον ἀποκεκαρμένην
[πόλις,
τῆς τὸν ἀνδρεῖον τεκούσης. τῷ γὰρ εἰκός, ὦ
τὴν Ὑπερβόλου καθῆσθαι μητέρ' ἠμφιεσμένην
λευκὰ καὶ κόμας καθεῖσαν πλησίον τῆς Λαμάχου,
καὶ δανείζειν χρήμαθ', ᾗ χρῆν, εἰ δανείσειέν τινι
καὶ τόκον πράττοιτο, διδόναι μηδέν' ἀνθρώπων τόκον,
ἀλλ' ἀφαιρεῖσθαι βίᾳ τὰ χρήματ', εἰπόντας τοδί

---

761. σου 'ξαφείλετο D.] σου 'ξηρήσατο, novitia forma aoristi. 768. φαίνεταί πω Dobraeus] φαίνετ' οὔπω ἂν addidit Porsonus. 771. πάρεισί μοι Brunckius] πάρεισιν αἱ. γάρ εἰσί μοι Dobraeus. 772. ἄν μοι πλάτας λαβεῖν; D. in Annot. Oxon. p. 737.] ἄν μοι πλάται (πλάτα Aug.), omisso λαβεῖν. 774. βέλτιον] βέλτιστον Meinekius. 777. χρῆν Bentleius] χρή 782. χώρει χώρει ed. Lugd. Bat. a. 1624.] χωρεῖ χωρεῖ 784. κείνῃ, ταύτῃ Brunckius] κείνᾳ, ταῦτα 789. ὑμεῖς Dobraeus] ἡμᾶς 790. ἐκκύψασαν Reiskius] ἐγκύψασαν 792. εὕρητ' Porsonus] εὕροιτ' 793. χρῆν Brunckius] χρή 796. κλίνας] σκηνάς Hamakerus. 797. ζητεῖ τὸ κακὸν τεθεᾶσθαι] τὸ κακὸν ζητεῖτε θεᾶσθαι I. Kaye apud Dobraeum. 799. τὸ κακὸν παρακῦψαν ἰδεῖν Porsonus] παρακύψαν (παρακύψασαν R) ἰδεῖν τὸ κακὸν

803. ἑκάστου ed. Brubachii] ἕκαστον 804. γ' addidit Dobraeus. 805. καὶ μὴν Meinekius] καὶ μὲν 809. φήσει Kusterus] φήσεις 813. αὔτ' ἀπέδωκεν] ἀνταπέδωκεν Bentleius. 815. ἀποδείξαιμεν Bentleius] ἀποδείξομεν ποιοῦντας Kusterus] ποθοῦντας 819. καὶ μὴν Bekkerus] καὶ μὲν (ut v. 805.) 832. χρῆν Brunckius] χρή 833. 837. eiecit Hamakerus. 834. αὐτῇ Hamakerus] τ' αὐτῇ. ταύτῃ Meinekius. 836. 842. εἰ Brunckius] ἢν 838. αὐτὴν] ταύτην Meinekius. 844. ἀλλ' ἀφαιρεῖσθαι (ἀφερεῖσθαι R) — τόκου] ἀλλὰ κείρεσθαι — πόκου Meinekius.

"ἀξία γοῦν εἶ τόκου, τεκοῦσα τοιοῦτον τόκον."
ΜΝ. ἰλλὸς γεγένημαι προσδοκῶν, ὁ δ' οὐδέπω.
τί δῆτ' ἂν εἴη τοὐμποδών; οὐκ ἔσθ' ὅπως
οὐ τὸν Παλαμήδην ψυχρὸν ὄντ' αἰσχύνεται.
τῷ δῆτ' ἂν αὐτὸν προσαγαγοίμην δράματι;
ἐγῷδα· τὴν καινὴν Ἑλένην μιμήσομαι.
πάντως δ' ὑπάρχει μοι γυναικεία στολή.
ΓΥ.Γ. τί αὖ σὺ κυκανᾷς, ἢ τί κοικύλλεις ἔχων;
πικρὰν Ἑλένην ὄψει τάχ', εἰ μὴ κοσμίως
ἕξεις, ἕως ἂν τῶν πρυτάνεών τις φανῇ.

ΜΝΗΣΙΛΟΧΟΣ ὡς Ἑλένη.

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς νοτίζει μελανοσύρμαιον λεών.
ΓΥ.Γ. πανοῦργος εἶ, νὴ τὴν Ἑκάτην τὴν φωσφόρον.
ΜΝ. ἐμοὶ δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος, [ὤλεθρε,
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως. ΓΥ. Γ. σοί γ',
πατὴρ ἐκεῖνός ἐστι; Φρυνώνδας μὲν οὖν.
ΜΝ. Ἑλένη δ' ἐκλήθην. ΓΥ.Γ. αὖθις αὖ γίγνει γυνή,
πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην;
ΜΝ. ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίαις
ῥοαῖσιν ἔθανον. ΓΥ.Γ. ὤφελες δὲ καὶ σύ γε.
ΜΝ. κἀγὼ μὲν ἐνθάδ' εἶμ'· ὁ δ' ἄθλιος πόσις
οὑμὸς Μενέλεως οὐδέπω προσέρχεται.
τί οὖν ἔτι ζῶ; ΓΥ. Γ. τῶν κοράκων πονηρίᾳ.
ΜΝ. ἀλλ' ὥσπερ αἰκάλλει τι καρδίαν ἐμήν.
μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἐλπίδος.

ΕΥΡΙΠΙΔΗΣ ὡς Μενέλαος.

τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος,
ὅστις ξένους δέξαιτο ποντίῳ σάλῳ
κάμνοντας ἐν χειμῶνι καὶ ναυαγίαις; [τέως;
ΜΝ. Πρωτέως τάδ' ἐστὶ μέλαθρα. ΕΥ. ποίου Πρω-
ΓΥ.Γ. ὦ τρισκακόδαιμον, ψεύδεται, νὴ τὼ θεώ,
ἐπεὶ τέθνηκε Πρωτέας ἔτη δέκα.
ΕΥ. ποίαν δὲ χώραν εἰσεκέλσαμεν σκάφει;
ΜΝ. Αἴγυπτον. ΕΥ. ὦ δύστηνος, οἷ πεπλώκαμεν.
ΓΥ.Γ. πείθει τι τῷδε τῷ κακῶς ἀπολουμένῳ
ληροῦντι λῆρον; Θεσμοφόρειον τουτογί.
ΕΥ. αὐτὸς δὲ Πρωτεὺς ἔνδον ἔστ', ἢ 'ξώπιος;
ΓΥ.Γ. οὐκ ἔσθ' ὅπως οὐ ναυτιᾷς ἔτ', ὦ ξένε,
ὅστις γ' ἀκούσας ὅτι τέθνηκε Πρωτέας
ἔπειτ' ἐρωτᾷς ἔνδον ἔστ', ἢ 'ξώπιος.
ΕΥ. αἰαῖ, τέθνηκε. ποῦ δ' ἐτυμβεύθη τάφῳ;
ΜΝ. τόδ' ἐστὶν αὐτοῦ σῆμ', ἐφ' ᾧ καθήμεθα.
ΓΥ.Γ. κακὴ κακῶς τἄρ' ἐξόλοιο κἀξολεῖ,
ὅστις γε τολμᾷς σῆμα τὸν βωμὸν καλεῖν.
ΕΥ. τί δὴ σὺ θάσσεις τάσδε τυμβήρεις ἕδρας
φάρει καλυπτός, ὦ ξένη; ΜΝ. βιάζομαι
γάμοισι Πρωτέως παιδὶ συμμῖξαι λέχος.
ΓΥ.Γ. τί, ὦ κακόδαιμον, ἐξαπατᾷς αὖ τὸν ξένον;
οὗτος πανουργῶν δεῦρ' ἀνῆλθεν, ὦ ξένε,
ὡς τὰς γυναῖκας ἐπὶ κλοπῇ τοῦ χρυσίου.
ΜΝ. βάϋζε, τοὐμὸν σῶμα βάλλουσα ψόγῳ.
ΕΥ. ξένη, τίς ἡ γραῦς ἡ κακορροθοῦσά σε;
ΜΝ. αὕτη Θεονόη Πρωτέως. ΓΥ.Γ. μὰ τὼ θεώ,
εἰ μὴ Κρίτυλλά γ' Ἀντιθέου Γαργηττόθεν·
σὺ δ' εἶ πανοῦργος. ΜΝ. ὁπόσα τοι βούλει, λέγε.
οὐ γὰρ γαμοῦμαι σῷ κασιγνήτῳ ποτέ,
προδοῦσα Μενέλεων τὸν ἐμὸν ἐν Τροίᾳ πόσιν.
ΕΥ. γύναι, τί εἶπας; στρέψον ἀνταυγεῖς κόρας.
ΜΝ. αἰσχύνομαί σε τὰς γνάθους ὑβρισμένη.
ΕΥ. τουτὶ τί ἔστιν; ἀφασία τίς τοί μ' ἔχει.
ὦ θεοί, τίν' ὄψιν εἰσορῶ; τίς εἶ, γύναι;
ΜΝ. σὺ δ' εἶ τίς; αὐτὸς γὰρ σὲ κἄμ' ἔχει λόγος.
ΕΥ. Ἑλληνὶς εἶ τις ἢ 'πιχωρία γυνή;
ΜΝ. Ἑλληνίς. ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.
ΕΥ. Ἑλένῃ σ' ὁμοίαν δὴ μάλιστ' εἶδον, γύναι.
ΜΝ. ἐγὼ δὲ Μενέλεῳ σ', ὅσα γ' ἐκ τῶν ἰφύων.
ΕΥ. ἔγνως ἄρ' ὀρθῶς ἄνδρα δυστυχέστατον.
ΜΝ. ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας,
λαβέ με λαβέ με, πόσι, περίβαλε δὲ χέρας.
φέρε, σὲ κύσω. ἄπαγέ μ' ἄπαγ' ἄπαγ' ἄπαγέ με
λαβὼν ταχὺ πάνυ. ΓΥ. Γ. κλαύσετ' ἄρα, νὴ τὼ
ὅστις σ' ἀπάξει τυπτόμενος τῇ λαμπάδι. [θεώ,
ΕΥ. σὺ τὴν ἐμὴν γυναῖκα κωλύεις ἐμέ,
τὴν Τυνδάρειον παῖδ', ἐπὶ Σπάρτην ἄγειν;
ΓΥ.Γ. οἴμ' ὡς πανοῦργος καὐτὸς εἶναί μοι δοκεῖς
καὶ τοῦδέ τις ξύμβουλος. οὐκ ἐτὸς πάλαι
ᾐγυπτιάζετ'. ἀλλ' ὅδε μὲν δώσει δίκην.
προσέρχεται γὰρ ὁ πρύτανις χὠ τοξότης.
ΕΥ. τουτὶ πονηρόν· ἀλλ' ὑπαποκινητέον.
ΜΝ. ἐγὼ δ' ὁ κακοδαίμων τί δρῶ; ΕΥ. μέν' ἥσυχος.
οὐ γὰρ προδώσω οὐδέποτέ σ', ἤνπερ ἐμπνέω,
ἢν μὴ προλίπωσ' αἱ μυρίαι με μηχαναί.
ΜΝ. αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν.

ΠΡΥΤΑΝΙΣ.

ὅδ' ἔσθ' ὁ πανοῦργος ὃν ἔλεγ' ἡμῖν Κλεισθένης;
οὗτος, τί κύπτεις; δῆσον αὐτὸν εἰσάγων,
ὦ τοξότ', ἐν τῇ σανίδι, κἄπειτ' ἐνθαδὶ
στήσας φύλαττε καὶ προσιέναι μηδένα
ἔα πρὸς αὐτόν, ἀλλὰ τὴν μάστιγ' ἔχων [ἀνὴρ
παῖ', ἢν προσίῃ τις. ΓΥ.Γ. νὴ Δί', ὡς νῦν δῆτ'
ὀλίγου μ' ἀφείλετ' αὐτὸν ἱστιορράφος.
ΜΝ. ὦ πρύτανι, πρὸς τῆς δεξιᾶς, ἥνπερ φιλεῖς
κοίλην προτείνειν, ἀργύριον ἤν τις διδῷ,
χάρισαι βραχύ τι μοι, καίπερ ἀποθανουμένῳ.
ΠΡ. τί σοι χαρίσωμαι; ΜΝ. γυμνὸν ἀποδύσαντά με
κέλευε πρὸς τῇ σανίδι δεῖν τὸν τοξότην,
ἵνα μὴ 'ν κροκωτοῖς καὶ μίτραις γέρων ἀνὴρ
γέλωτα παρέχω τοῖς κόραξιν ἑστιῶν.
ΠΡ. ἔχοντα ταῦτ' ἔδοξε τῇ βουλῇ σε δεῖν,
ἵνα τοῖς παριοῦσι δῆλος ᾖς πανοῦργος ὤν.
ΜΝ. ἰατταταιάξ· ὦ κροκώθ', οἷ' εἴργασαι·
κοὐκ ἔστ' ἔτ' ἐλπὶς οὐδεμία σωτηρίας.
ΧΟ. ἄγε νυν ἡμεῖς παίσωμεν ἅπερ νόμος ἐνθάδε ταῖσι
γυναιξίν, [ἅπερ καὶ
ὅταν ὄργια σεμνὰ θεοῖν ἱεραῖς ὥραις ἀνέχωμεν,

---

851. δ' addidit Bentleius. 852. κυκανᾷς Kusterus] κυρκανᾷς 857. μελανοσύρμαιον (ut φιλορώμαιος, non φιλορωμαῖος) D.] μελανοσυρμαῖον 867. Μενέλεως Brunckius] Μενέλαος 872. ξένους Bentleius] ξένος 878. πεπλώκαμεν] πεπλεύκαμεν D. ut ap. Eurip. Hel. 469. est οἷ πέπλευκ' ἄρα. quanquam ibid. 540. πεπλωκότα. 879. τῷδε addidit Bentleius. τούτῳ additum in ed. Brubachii. 880. Θεσμοφόρειον Meinekius] θεσμοφόριον 883. γ' addidit Scaliger. 887. κακὴ addidit Meinekius. κἀξολεῖ Meinekius] κἀξολεῖ γέ τοι 889. δὴ Bentleius] δὲ

901. Μενέλεων Kusterus] Μενέλαον. Μενέλαν Meinekius. ἐμὸν delet Hermannus. 906. ὠὐτὸς (debebat αὑτὸς) Brunckius] αὐτὸς 910. Μενελάῳ (debebat Μενέλεῳ) σ' Kusterus] Μενέλαον (Μενέλεων apud Suidam s. v. ἰφύη) ἰφύων ex schol. et Suida] ἀφύων 912. ἐς χέρας ex Eurip. Hel. 573.] ἐς χάρας (ἐσχάρας Aug.) 914. περίβαλε Bisetus] περίβαλλε 918. κωλύεις] κωλύσεις Cobetus. 926. οὐδέποτέ σ' Elmsleius] σ' οὐδέποτ' 927. προλίπωσ' Scaliger] προλείπωσ' 928. ΜΝ. Brunckius] γυ. 929. ἔλεγ' Aug. ἔλεγεν R Iunt. 939. χαρίσωμαι Porsonus] χαρίσομαι 944. παριοῦσι Brunckius] παροῦσι 945. ἰατταταιάξ Bentleius] ἰαππαπαιάξ. 946. ἔστ' Bentleius] ἔστιν 947. παίσωμεν Zannettus] πέσωμεν ταῖσι Brunckius] ταῖς 948. 950. θεοῖν — αὐτοῖν Meinekius] θεαῖν — αὐταῖν

Παύσων σέβεται καὶ νηστεύει,
πολλάκις αὐτοῖν ἐκ τῶν ὡρῶν
ἐς τὰς ὥρας ξυνεπευχόμενος
τοιαῦτα μέλειν θάμ' ἑαυτῷ.
ὅρμα, χώρει
κοῦφα ποσὶν,ἄγ' ἐς κύκλον,
χειρὶ σύναπτε χεῖρα,
ῥυθμὸν χορείας ὕπαγε πᾶσα· βαῖνε
καρπαλίμοιν ποδοῖν.
ἐπισκοπεῖν δὲ πανταχῇ
κυκλοῦσαν ὄμμα χρὴ χοροῦ κατάστασιν.
ἅμα δὲ καὶ
γένος Ὀλυμπίων θεῶν
μέλπε καὶ γέραιρε φωνῇ πᾶσα χορομανεῖ τρόπῳ.
εἰ δέ τις
προσδοκᾷ κακῶς ἐρεῖν [φρονεῖ.
ἐν ἱερῷ γυναῖκά μ' οὖσαν ἄνδρας, οὐκ ὀρθῶς
ἀλλὰ χρῆν
ὥσπερ ἔργον αὐτίκα
πρῶτον εὐκύκλου χορείας εὐφυᾶ στῆσαι βάσιν.
πρόβαινε ποσὶ τὸν εὐλύραν
μέλπουσα καὶ τὴν τοξοφόρον
Ἄρτεμιν, ἄνασσαν ἁγνήν.
χαῖρ', ὦ Ἑκάεργε,
ὄπαζε δὲ νίκην.
Ἥραν τε τὴν τελείαν
μέλψωμεν ὥσπερ εἰκός,
ἣ πᾶσι τοῖς χοροῖσιν ἐμπαίζει τε καὶ
κλῇδας γάμου φυλάττει.
Ἑρμῆν τε Νόμιον ἄντομαι
καὶ Πᾶνα καὶ Νύμφας φίλας
ἐπιγελάσαι προθύμως
ταῖς ἡμετέραισι
χαρέντα χορείαις.
ἔξαιρε δὴ προθύμως
διπλῆν χάριν χορείας.
παίσωμεν, ὦ γυναῖκες, οἷάπερ νόμος·
νηστεύομεν δὲ πάντως.
ἀλλ' εἶ' ἐπ' ἄλλ' ἀνάστρεφ' εὐρύθμῳ ποδί,
τόρευε πᾶσαν ᾠδήν·
ἡγοῦ δέ γ' ὧδ' αὐτὸς
σὺ κισσοφόρε Βάκχειε
δέσποτ'· ἐγὼ δὲ κώμοις
σὲ φιλοχόροισι μέλψω.
Εὔιον, ὦ Διόνυσε,
Βρόμιε καὶ Σεμέλας παῖ,
χοροῖς τερπόμενος
_ ⏑́ ⏑ _ κατ' ὄρεα Νυμφᾶν ἐρατοῖς ἐν ὕμνοις,
Εὔιον Εὔιον, εὐοῖ
_ ⏑́ ⏑ ⏑ ἀναχορεύων.
ἀμφὶ δὲ σοὶ κτυπεῖται
Κιθαιρώνιος ἠχώ,
μελάμφυλλά τ' ὄρη
δάσκια καὶ νάπαι πετρώδεις ⏑ ⏑ _ βρέμονται·
κύκλῳ δὲ περὶ σὲ κισσὸς
εὐπέταλος ἕλικι θάλλει.

ΤΟΞΟΤΗΣ.

ἐνταῦθα νῦν οἰμῶξι πρὸς τὴν αἰτρίαν.
ΜΝ. ὦ τοξόθ', ἱκετεύω σε. ΤΟ. μή μ' ἱκετεῦσι σύ.
ΜΝ. χάλασον τὸν ἧλον. ΤΟ. ἀλλὰ ταῦτα δρᾶσ' ἐγώ.
ΜΝ. οἴμοι κακοδαίμων, μᾶλλον ἐπικρούεις σύ γε.
ΤΟ. ἔτι μᾶλλο βοῦλι; ΜΝ. ἀτταταῖ ἰατταταῖ·
κακῶς ἀπόλοιο. ΤΟ. σῖγα, κακόδαιμον γέρον.
πέρ' ἐγὼ Ἐενίγκι πορμὸς, ἵνα πυλάξι σοι.
ΜΝ. ταυτὶ τὰ βέλτιστ' ἀπολέλαυκ' Εὐριπίδου.
ἔα· θεοί, Ζεῦ σῶτερ, εἰσὶν ἐλπίδες.
ἀνὴρ ἔοικεν οὐ προδώσειν, ἀλλά μοι
σημεῖον ὑπεδήλωσε Περσεὺς ἐκδραμὼν,
ὅτι δεῖ με γίγνεσθ' Ἀνδρομέδαν· πάντως δέ μοι
τὰ δέσμ' ὑπάρχει. δῆλον οὖν τοῦτ' ἔσθ' ὅτι
ἥξει με σώσων· οὐ γὰρ ἂν παρέπτετο.
φίλαι παρθένοι, φίλαι,
πῶς ἂν ἀπέλθοιμι καὶ
τὸν Σκύθην λάθοιμι;
κλύεις, ὦ πρὸς Αἰδοῦς, σὲ τὰν ἐν ἄντροις
κατάνευσον, ἔασον ὡς
τὴν γυναῖκά μ' ἐλθεῖν.
ἄνοικτος ὅς μ' ἔδησε τὸν
πολυστονώτατον βροτῶν.
μόλις δὲ γραῖαν ἀποφυγὼν
σαπρὰν ἀπωλόμην ὅμως.
ὅδε γὰρ ὁ Σκύθης πάλαι φύλαξ ἐφεστὼς
ὀλοὸν, ἄφιλον ἐκρέμασεν κόραξι δεῖπνον·
ὁρᾷς ἔμ'; οὐ χοροῖσιν οὐδ'
ὑφ' ἡλίκων νεανίδων
κημὸν ⏑ _ ἔστηκ' ἔχουσ',
ἀλλ' ἐν πυκνοῖς δεσμοῖσιν ἐμπεπλεγμένη
κήτει βορὰ Γλαυκέτῃ πρόκειμαι.

959—961. = 962—965. et 966—968.
969—976. = 977—984.
990—994. = 995—1000.

---

952. μέλειν Zanettus] μέλλειν 955. 957. Suspectae metri formae. 966. χρῆν Bothius] χρή 967. ὥσπερ] οἷσπερ Hermannus. αὐτίκα] αὐτὶ (sic Aug. et haud dubie R. αὖ τί Iunt.) καινόν. αὐτίκα hic latere vidit Reiskius, qui nulla metri ratione habita ὥσπερ ἔργων αὐτίκα καινῶν coniecit. 968. εὐφυᾶ Brunckius] εὐφυῆ 975. χοροῖσιν ἐμπαίζει] χοροῖσι συμπαίζει Meinekius. 980. ἡμετέραισι Hermannus] ἡμετέραις 981. ἔξαιρε] ἔξαρχε Meinekius. 982. χάριν Bisetus] χαίρειν 984. νηστεύομεν Bentleius] νηστεύωμεν 986. τόρευε] τόρνευε Bentleius. 987—989. Verba interpolata. ἡγοῦ δέ γ' ὅδ' αὐτὸς | σὺ, κισσοφόρ' ὦναξ | Βάκχει', ἐγὼ δὲ κώμοις Hermannus.

990—992. Versus corrupti et interpolati. Metra, non verba poetae, restituit Hermannus quum coniiceret, ὦ Διόνυσε, χαίρων | μόλοις, ὦ Βρόμι', εὐοῖ, | χοροῖς τερπόμενος | παῖ Σεμέλας κατ' ὄρεα — ὕμνοις.

994. Εὔιον Εὔιον, εὐοῖ | ἀναχορεύων] Haec quoque corrupta et defecta. ὦ Εὔι' Εὔι', εὐοῖ | ὦ Εὔι' ἀναχορεύων Hermannus. 996. Κιθαιρώνιος Zannettus] κιθαρώνιος 998. ⏑ ⏑ _] μεγάλως Hermannus. 1001. 1002. οἰμῶξι — ἱκετεῦσι Brunckius] οἰμώξει — ἱκετεύσῃ 1003. δράσ' Engerus] δρᾷς 1005. μᾶλλο Bentleius] μᾶλλον βοῦλι Engerus] βοῦλις ἰατταταῖ Bentleius] τατταταί 1007. ξενίγκι Bentleius] ξεινίγκι R Iunt. ξυνίγκι Aug. 1013. τοῦτ' addidit Dobraeus. 1014. παρέπτετο Brunckius] παρέπτατο 1015—1021. Praescriptum in libris Εὐριπίδης ὡς Περσεύς delevit Beerius p. 167. 1015. 1016. Dochmios fecit Hermannus φίλαι παρθένοι, φίλαι πῶς ἂν οὖν ἀπέλθοιμι καὶ —. 1016. ἀπέλθοιμι] ὑπέλθοιμι Bentleius. ἐπέλθοιμι Brunckius. 1017. λάθοιμι Brunckius] λάβοιμι 1019. κλύεις] κλύοις Bisetus. ὦ πρὸς Αἰδοῦς, σὲ τὰν Seidlerus] προσαιδούσσαι τὰς 1023. πολυστονώτατον Burgesius] πολυπονώτατον 1026. πάλαι φύλαξ D.] φύλαξ πάλαι ἐφεστὼς Meinekius] ἐφέστηκ' (ortum ex gl. ἐφεστηκώς) 1028. ἐκρέμασεν] ἐκρέμασε libri. 1029. ἔμ' addidit D. 1031. κημὸν ⏑ _ ἔστηκ' D.] ψῆφον (in ψήφων mutatum in editionibus post Iunt.) κημὸν ἔστηκ'. Scholiasta, παρὰ τὴν ξιφοθήκην (corrige ψηφοθήκην). οὐ δικάζω, φησὶν ὁ γέρων.

γαμηλίῳ μὲν οὐ ξὺν
παιῶνι, δεσμίῳ δέ,
γοᾶσθέ μ'. ὦ γυναῖκες, ὡς
μέλεα μὲν πέπονθα μέλεος,
ὢ τάλας ἐγὼ τάλας,
ἀπὸ δὲ συγγόνων τάλαν' ἄνομα πάθεα
φῶτα λιτομέναν,
πολυδάκρυτον Ἀΐδα γόον φλέγουσαν,
αἰαῖ αἰαῖ,
ὃς ἔμ' ἀπεξύρησε πρῶτον,
ὃς ἐμὲ κροκόεν τόδ' ἐνέδυσεν,
ἐπὶ δὲ τοῖσδ' ἐς τόδ' ἀνέπεμψεν
ἱερόν, ἔνθα γυναῖκες.
ἰὼ μοίρας ἄτεγκτε δαῖμον·
ὦ κατάρατος ἐγώ·
τίς ἐμὸν οὐκ ἐπόψεται
πάθος ἀμέγαρτον ἐπὶ κακῶν παρουσίᾳ;
εἴθε με πυρφόρος αἰθέρος ἀστὴρ
τὸν βάρβαρον ἐξολέσειεν.
οὐ γὰρ ἔτ' ἀθανάταν φλόγα λεύσσειν
ἐστὶν ἐμοὶ φίλον, ὡς ἐκρεμάσθην,
λαιμοτόμητ' ἄχη δαιμόνι', αἰόλαν
νέκυσιν ἐπὶ πορείαν.

ΕΥΡΙΠΙΔΗΣ ὡς Ἠχώ.

χαῖρ', ὦ φίλη παῖ· τὸν δὲ πατέρα Κηφέα,
ὅς σ' ἐξέθηκεν, ἀπολέσειαν οἱ θεοί.

ΜΝΗΣΙΛΟΧΟΣ ὡς Ἀνδρομέδα.

σὺ δ' εἶ τίς ἥτις τοὐμὸν ᾤκτειρας πάθος;

ΕΥ. Ἠχώ, λόγων ἀντῳδὸς ἐπικοκκάστρια,
ἥπερ πέρυσιν ἐν τῳδε ταὐτῷ χωρίῳ
Εὐριπίδῃ καὐτὴ ξυνηγωνιζόμην.
ἀλλ', ὦ τέκνον, σὲ μὲν τὸ σαυτῆς χρὴ ποιεῖν,
κλάειν ἐλεινῶς. ΜΝ. σὲ δ' ἐπικλάειν ὕστερον.
ΕΥ. ἐμοὶ μελήσει ταῦτά γ'. ἀλλ' ἄρχου λόγων.
ΜΝ. ὦ Νὺξ ἱερά,
ὡς μακρὸν ἵππευμα διώκεις,
ἀστεροειδέα νῶτα διφρεύουσ'
αἰθέρος ἱρᾶς,
τοῦ σεμνοτάτου δι' Ὀλύμπου.
ΕΥ. δι' Ὀλύμπου.
ΜΝ. τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν
μέρος ἐξέλαχον ΕΥ. μέρος ἐξέλαχον
ΜΝ. θανάτου τλήμων; ΕΥ. θανάτου τλήμων;
ΜΝ. ἀπολεῖς μ', ὦ γραῦ, στωμυλλομένη.
ΕΥ. στωμυλλομένη.
ΜΝ. νὴ Δί', ὀχληρά γ' εἰσήρρηκας
λίαν. ΕΥ. λίαν.
ΜΝ. ὠγάθ', ἔασόν με μονῳδῆσαι,
καὶ χαριεῖ μοι. παῦσαι ΕΥ. παῦσαι.
ΜΝ. βάλλ' ἐς κόρακας. ΕΥ. βάλλ' ἐς κόρακας.
ΜΝ. τί κακόν; ΕΥ. τί κακόν; ΜΝ. ληρεῖς. ΕΥ. ληρεῖς.
ΜΝ. οἴμωζ'. ΕΥ. οἴμωζ'. ΜΝ. ὀτότυζ'. ΕΥ. ὀτότυζ'.
ΤΟ. οὗτος, τί λαλῖς; ΕΥ. οὗτος, τί λαλῖς;
ΤΟ. πρυτάνις καλέσω. ΕΥ. πρυτάνις καλέσω.
ΤΟ. τί κακόν; ΕΥ. τί κακόν;
ΤΟ. πῶτε τὸ πωνή; ΕΥ. πῶτε τὸ πωνή;
ΤΟ. σὺ λαλῖς; ΕΥ. σὺ λαλῖς; ΤΟ. κλαύσει. ΕΥ. κλαύσει.
ΤΟ. κακκάσκις μοι; ΕΥ. κακκάσκις μοι;
ΜΝ. μὰ Δί' ἀλλὰ γυνὴ πλησίον αὕτη.
ΕΥ. πλησίον αὕτη.
ΤΟ. ποῦ 'στ' ἡ μιαρά; καὶ δὴ πεύγει.
ποῖ ποῖ πεύγεις; ΕΥ. ποῖ ποῖ πεύγεις;
ΤΟ. οὐ καιρήσεις. ΕΥ. οὐ καιρήσεις.
ΤΟ. ἔτι γὰρ γρύζεις; ΕΥ. ἔτι γὰρ γρύζεις;
ΤΟ. λαβὲ τὴ μιαρά. ΕΥ. λαβὲ τὴ μιαρά.
ΤΟ. λάλο καὶ κατάρατο γυναῖκο.

ΕΥΡΙΠΙΔΗΣ ὡς Περσεύς.

ὦ θεοί, τίν' ἐς γῆν βαρβάρων ἀφίγμεθα
ταχεῖ πεδίλῳ; διὰ μέσου γὰρ αἰθέρος
τέμνων κέλευθον πόδα τίθημ' ὑπόπτερον
Περσεύς, πρὸς Ἄργος ναυστολῶν, τὸ Γοργόνος
κάρα κομίζων. ΤΟ. τί λέγι; τὴ Γόργος πέρις
τὸ γραμματέο σὺ τὴ κεπαλή; ΕΥ. τὴν Γοργόνος
ἔγωγε φημί. ΤΟ. Γόργο τοι κἀγὼ λέγι.
ΕΥ. ἔα· τίν' ὄχθον τόνδ' ὁρῶ καὶ παρθένον
θεαῖς ὁμοίαν ναῦν ὅπως ὡρμισμένην;
ΜΝ. ὦ ξένε, κατοίκτειρόν με τὴν παναθλίαν,
λῦσόν με δεσμῶν. ΤΟ. οὐκὶ μὴ λαλῆσι σύ.
κατάρατο τολμᾷς ἀποτανουμένη λαλῖς;
ΕΥ. ὦ παρθέν', οἰκτείρω σὲ κρεμαμένην ὁρῶν.
ΤΟ. οὐ παρτέν' ἐστίν, ἀλλ' ἁμαρτωλὴ γέρων,
καὶ κλέπτο καὶ πανοῦργο. ΕΥ. ληρεῖς, ὦ Σκύθα.
αὕτη γάρ ἐστιν Ἀνδρομέδα παῖς Κηφέως.
ΤΟ. σκέψαι τὸ κύστο· μή τι μικκὸ παίνεται;
ΕΥ. φέρε δεῦρό μοι τὴν χεῖρ', ἵν' ἅψωμαι κόρης·
φέρε, Σκύθ'· ἀνθρώποισι γὰρ νοσήματα
ἅπασιν ἔστιν· ἐμὲ δὲ καὐτὸν τῆς κόρης
ταύτης ἔρως εἴληφεν. ΤΟ. οὐ ζηλῶσί σε·
ἀτὰρ εἰ τὸ πρωκτὸ δεῦρο περιεστραμμένον,
οὐκ ἐπτόνησά σ' αὐτὸ πυγίζεις ἄγων.
ΕΥ. τί δ' οὐκ ἐᾷς λύσαντά μ' αὐτήν, ὦ Σκύθα,
πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος;

---

1039. τάλαν' Hermannus] ἀλλ' ἀν' R. ἀλλὰν Aug. ἀλλ' ἂν Iunt. Scholiasta, ἀπὸ κοινοῦ λάβωμεν πέπονθα ἄνομα πάθεα. καὶ ταῦτα ἐξ Ἀνδρομέδας. 1040. φῶτα λιτομέναν] Ante haec verba aliquid excidisse videtur. Nominativum legit scholiasta, qui explicat δεομένη τοῦ βαρβάρου et diversam memorat scripturam φῶτα ἀντομένα. Dochmium confecit Hermannus φῶτά τε λιτομένα, qui supra ἀπό τε scripsit pro ἀπὸ δέ. 1041. φλέγουσαν Musgravius] φεύγουσαν. Qui supra λιτομένα legerunt, hic quoque nominativum legerint necesse est. 1042. αἰαῖ αἰαῖ] ἒ ἒ addunt R Aug., recte eiectum in ed. Iunt. 1044. κροκόεν τόδ' Bergkius] κροκόεντ' 1045. τοῖσδ' ἐς Hermannus] τοῖσδε 1047. ἰὼ Hermannus] ἰώ μοι ἄτεγκτε Zanettus] ἀνέτικτε δαῖμον D.] δαίμων 1051. βάρβαρον] ἄθλιον var. lectio ap. schol. δύσμορον Brunckius 1054. λαιμοτόμητ' D.] λαιμότμητ' δαιμόνι' Fritzschius] δαιμόνων 1064. λόγων] γόων Bentleius. 1066. ὡς] πῶς Meinekius. 1068. ἱρᾶς Hermannus] ἱερᾶς 1073. γραῦ Brunckius] γραῦς

1080. κακόν — κακόν Bentleius] τὸ κακόν — τὸ κακόν 1083. 1085. λαλῖς — λαλῖς ex schol.] λαλεῖς — λαλεῖς 1084. πρυτάνις Meinekius] πρυτάνεις utrobique. 1086. πῶτε τὸ πωνή Tyrwhittus] πωτετοπωνή utrobique. 1087. κλαύσει Brunckius] κλαύσαιμι utrobique. Scholiasta ἀντὶ τοῦ κλαύσαις ἄν. 1089. κακκάσκις Fritzschius] κακκάσκι utrobique. 1092. 'στ' ἡ Brunckius] 'σθ' ἡ πεύγει — πεύγεις — πεύγεις Engerus] φεύγει — φεύγεις — φεύγεις 1096. τὴ μιαρά Bothius] τῇ μιαρᾷ utrobique. 1102. 1103. a pr. m. om. R Aug. 1102. τί λέγι — πέρις] I. e. τί λέγεις; τοῦ Γόργου φέρεις τοῦ γραμματέως σὺ τὴν κεφαλήν. Γόργος Fritzschius ex schol. qui genitivo Γόργου utitur] γοργόνος πέρις D.] πέρι 1103. τὴ κεπαλή Bothius] τῇ κεφαλῇ ΕΥ. ante ἔγωγε φημί positum huc transtulit Thierschius, sublato puncto post Γοργόνος. 1104. Γόργο Engerus] Γοργό 1108. με] δὲ Hermannus. μὴ λαλῆσι Brunckius] μὶ λαλῇς 1109. τολμᾷς Aug. τόλμας R. λαλῖς Bergkius] λαλᾷς 1114. κύστο· μή τι μικκόν (debebat μικκὸ) Scaliger] σκυτομήτι μικτόν 1115. δεῦρο Bentleius] δεῦρο δεῦρο 1119. τὸ πρωκτὸ Kusterus] τῷ πρωκτῷ 1122. ἐς εὐνὴν Kusterus] ἔς τ' εὐνὴν

ΤΟ. εἰ σπόδρ' ἐπιτυμεῖς τὴ γέροντο πύγισο,
τὴ σανίδο τρήσας ἐξόπιστο πρώκτισον.
ΕΥ. μὰ Δί', ἀλλὰ λύσω δεσμά. ΤΟ. μαστιγῶ σ' ἄρα.
ΕΥ. καὶ μὴν ποιήσω τοῦτο. ΤΟ. τὸ κεπαλὴ σ' ἄρα
τὸ ξιπομάκαιραν ἀποκεκόψο τουτψί.
ΕΥ. αἰαῖ· τί δράσω; πρὸς τίνας στρεφθῶ λόγους;
ἀλλ' οὐκ ἂν ἐνδέξαιτο βάρβαρος φύσις.
σκαιοῖσι γάρ τοι καινὰ προσφέρων σοφὰ
μάτην ἀναλίσκοις ἄν. ἀλλ' ἄλλην τινὰ
τούτῳ πρέπουσαν μηχανὴν προσοιστέον.
ΤΟ. μιαρὸς ἀλώπηξ, οἷον ἐπιτήκιζέ μοι.
ΜΝ. μέμνησο Περσεῦ μ' ὡς καταλείπεις ἀθλίαν.
ΤΟ. ἔτι γὰρ σὺ τὴ μάστιγαν ἐπιτυμεῖς λαβεῖν.
ΧΟ. Παλλάδα τὴν φιλόχορον ἐμοὶ
δεῦρο καλεῖν νόμος ἐς χορόν,
παρθένον, ἄζυγα κούρην,
ἣ πόλιν ἡμετέραν ἔχει
καὶ κράτος φανερὸν μόνη,
κληδοῦχός τε καλεῖται.
φάνηθ' ὦ τυράννους στυγοῦσ', ὥσπερ εἰκός.
δῆμός τοί σε καλεῖ γυναι-
κῶν· ἔχουσα δέ μοι μόλοις
εἰρήνην φιλέορτον.
ἥκετ' εὔφρονες ἵλαοι,
πότνιαι, ἄλσος ἐς ὑμέτερον,
ἄνδρας ἵν' οὐ θέμις εἰσορᾶν
ὄργια σεμνὰ θεοῖν, ἵνα λαμπάσι φαίνετον ἄμβρο-
τον ὄψιν.
μόλετον, ἔλθετον, ἀντόμεθ', ὦ
Θεσμοφόρω πολυποτνία.
εἰ καὶ πρότερόν ποτ' ἐπηκόω
ἤλθετε, νῦν ἀφίκεσθ', ἱκετεύομεν, ἐνθάδ' ἡμῖν.
ΕΥ. γυναῖκες, εἰ βούλεσθε τὸν λοιπὸν χρόνον
σπονδὰς ποιήσασθαι πρὸς ἐμέ, νυνὶ πάρα,
ἐφ' ᾧτ' ἀκοῦσαι μηδὲν ὑπ' ἐμοῦ μηδαμὰ
κακὸν τὸ λοιπόν· ταῦτ' ἐπικηρυκεύομαι.
ΧΟ. χρείᾳ δὲ ποίᾳ τόνδ' ἐπεσφέρεις λόγον;
ΕΥ. ὅδ' ἐστὶν, οὑν τῇ σανίδι, κηδεστὴς ἐμός.
ἢν οὖν κομίσωμαι τοῦτον, οὐδὲν μή ποτε
κακῶς ἀκούσεσθ'· ἢν δὲ μὴ πίθησθέ μοι,
ἃ νῦν ὑποικουρεῖτε, τοῖσιν ἀνδράσιν
ἀπὸ τῆς στρατιᾶς παροῦσιν ὑμῶν διαβαλῶ.
ΧΟ. τὰ μὲν παρ' ἡμῶν ἴσθι σοι πεπεισμένα·
τὸν βάρβαρον δὲ τοῦτον αὐτὸς πεῖθε σύ.
ΕΥΡΙΠΙΔΗΣ ὡς γραῦς.
ἐμὸν ἔργον ἐστίν· καὶ σόν, ὦλάφιον, ἅ σοι
καθ' ὁδὸν ἔφραζον, ταῦτα μεμνῆσθαι ποιεῖν.
πρῶτον μὲν οὖν δίελθε κἀνακάλπασον.
σὺ δ', ὦ Τερηδών, ἐπαναφύσα Περσικόν.

1123. 1124. τὴ Bothius] τῇ 1124. ἐξόπιστο Brunckius] ἐξόπισθο 1125. δεσμά Bisetus] δέσμας 1127. τουτψί Engerus] τουτοῖ 1129. ἐνδέξαιτο Kusterus] δέξαιτο 1132. τούτῳ Kusterus] τοῦτο 1133. ἐπιτήκιζε Berglerus] ἐπιτηκίζει 1135. ἔτι γὰρ σὺ τὴ] πληγὰς σὺ τῇ Hamakerus. 1139. κούρην Hermannus] κόρην 1150. ἄνδρας ἵν' οὐ θέμις Hermannus] οὗ δὴ ἀνδράσιν οὐ θεμιτὸν 1151. θεοῖν Meinekius] θεαῖν 1155. ἀντόμεθ', ὦ] ἀντόμεθα Hermannus. 1156. πολυποτνία Hermannus] πολὺ πότνια 1159. ἤλθετε Hermannus] ἤλθετον ἀφίκεσθ' Reisigius] ἀφίκεσθον ἐνθάδ' ἡμῖν] ἐνθάδε χἠμῖν Hermannus. 1162. μηδαμά] μηδαμῇ Brunckius. 1167. ἀκούσεσθ' Hirschigius] ἀκούσαιτ'. ἀκούσητ' Elmsleius. πίθησθε D.] πείθησθε 1170. ἡμῶν] ἡμῖν Hirschigius. 1171. πεῖθε Scaliger] πεῖσαι 1174. κἀνακάλπασον Hermannus] κἀνακόλπασον 1175. Τερηδών] Τερηδὸν duo codices Suidae s. h. v.

ΤΟ. τί τὸ βόμβο τοῦτο; κῶμο τίς ἀνεγεῖρί μοι;
ΕΥ. ἡ παῖς ἔμελλε προμελετᾶν, ὦ τοξότα.
ὀρχησομένη γὰρ ἔρχεθ' ὡς ἄνδρας τινάς.
ΤΟ. ὀρκῆσι καὶ μελετῆσι, οὐ κωλύσ' ἐγώ.
ὡς ἐλαπρός, ὥσπερ ψύλλο κατὰ τὸ κώδιο.
ΕΥ. φέρε θοἰμάτιον ἄνωθεν, ὦ τέκνον, τοδί·
καθιζομένη δ' ἐπὶ τοῖσι γόνασι τοῦ Σκύθου
τὼ πόδε πρότεινον, ἵν' ὑπολύσω. ΤΟ. ναῖκι ναί,
κάτησο κάτησο, ναῖκι ναί, ὦ τυγάτριον.
οἴμ' ὡς στέριπο τὸ τιττί' ὥσπερ γογγύλη.
ΕΥ. αὔλει σὺ θᾶττον· ἔτι δέδοικας τὸν Σκύθην;
ΤΟ. καλό γε τὸ πυγή. κλαῦσί γ' ἢν μὴ 'νδον μένῃς.
εἶεν· καλὴ τὸ σκῆμα περὶ τὸ πόστιον.
ΕΥ. καλῶς ἔχει. λαβὲ θοἰμάτιον· ὥρα 'στὶ νῷν
ἤδη βαδίζειν. ΤΟ. οὐκὶ πιλῆσι πρῶτά με;
ΕΥ. πάνυ γε· φίλησον αὐτόν. ΤΟ. ὠὼ παππαπαῖ,
ὡς γλυκερὸ τὸ γλῶσσ', ὥσπερ Ἀττικὸς μέλις.
τί οὐ κατεύδει παρ' ἐμέ; ΕΥ. χαῖρε, τοξότα·
οὐ γὰρ γένοιτ' ἂν τοῦτο. ΤΟ. ναὶ ναί, γράδιο,
ἐμοὶ κάρισο σὺ τοῦτο. ΕΥ. δώσεις οὖν δραχμήν;
ΤΟ. ναὶ ναῖκι δῶσι. ΕΥ. τἀργύριον τοίνυν φέρε.
ΤΟ. ἀλλ' οὐκ ἔκωδέν, ἀλλὰ τὸ συβίνην λαβέ.
ἔπειτα κομίσι σ' αὐτός. ἀκολούτει, τέκνον.
σὺ δὲ τοῦτο τήρει τὴ γέροντο γράδιο.
ὄνομα δέ σοι τί ἐστίν; ΕΥ. Ἀρτεμισία.
μέμνησο τοίνυν τοὔνομ'. ΤΟ. Ἀρταμουξία.
ΕΥ. Ἑρμῆ δόλιε, ταυτὶ μὲν ἔτι καλῶς ποιεῖς.
σὺ μὲν οὖν ἀπότρεχε, παιδάριον, ταυτὶ λαβών·
ἐγὼ δὲ λύσω τόνδε. σὺ δ' ὅπως ἀνδρικῶς,
ὅταν λυθῇς τάχιστα, φεύξει, καὶ τενεῖς
ὡς τὴν γυναῖκα καὶ τὰ παιδί' οἴκαδε.
ΜΝ. ἐμοὶ μελήσει ταῦτά γ', ἢν ἅπαξ λυθῶ.
ΕΥ. λέλυσο. σὸν ἔργον, φεῦγε, πρὶν τὸν τοξότην
ἥκοντα καταλαβεῖν. ΜΝ. ἐγὼ δὴ τοῦτο δρῶ.
ΤΟ. ὦ γρᾴδι', ὡς καρίεντό σοι τὸ τυγάτριον,
κοὐ δύσκολ', ἀλλὰ πρᾶο. — ποῦ τὸ γρᾴδιο;
οἴμ' ὡς ἀπόλωλο· ποῦ τὸ γέροντ' ἐντευτενί;
ὦ γρᾴδι', ὦ γρᾷ'. οὐκ ἐπαινῶ, γρᾴδιο.
διέβαλέ μ' ὠ γραῦς. ἀπότρεκ' ὡς τάκιστα σύ·
ὀρτῶς δέ τι συβίνη 'στί· καταβινῆσι γάρ.

1182. τοῖσι Bentleius] τοῖς 1184. ὦ addidit Engerus. 1185. γογγύλη] γογγυλί (i. e. γογγυλίς) Engerus. 1187. κλαῦσι Bentleius] κλαυσεῖ ἢν D.] ἂν 1190. οὐκὶ πιλήσει (debebat πιλῆσι ut Porsonus) Brunckius] τί οὐκ ἐπιλήσει (vel ἐπιλήσι) 1191. ὠὼ παππαπαῖ D.] ὃ ὃ ὃ παπαπαπαί 1194. ναὶ alterum addidit Brunckius. γρᾴδιο Bothius] γρᾴδιον. Et sic litera finalis ν in aliis quoque vocabulis abiicienda, quibus in codicibus addita est. 1195. σὺ Brunckius] σου 1196. δῶσι] δῶ σοι Iunt. δῶσο Porsonus. 1197. ἔκωδέν] ἔχω οὐδὲν Photius et Suidas s. v. συβήνη. συβίνην Brunckius] συμβήνην: quod est συβήνην, ut ap. scholiastam, Photium et Suidam s. h. v. legitur. De quo dixi in Thesauro vol. 4. p. 36. τὸ σιβύνη Engerus. 1198. ἔπειτα — αὐτός] ΕΥ. praescriptum in libris delevit Dobraeus. κομίσι σ' Engerus] κομίζεις (κομιεῖς Kusterus) αὐτός Brunckius] αυτοις (sine accentu) R. ἀκολούτει Brunckius] ἀκολούτι 1201. Hunc versum totum τοξότῃ tribuunt libri. Correxit Reiskius et pro μεμνῆσι restituit μέμνησο 1203. ταυτὶ D.] τουτὶ 1208. λέλυσο] λέλυσαι Bentleius. 1213. γρᾷ' Bentleius] γραῖο 1213. Delevi quod post hunc versum legebatur Ἀρταμουξία. 1214. διέβαλε Aug. et Suidas s. h. v. διέβαλλε R. ὠ (debebat ὠ) Brunckius] ὁ (ἡ ap. Suidam) τάκιστα Brunckius] τάχιστα 1215. τι addidit Hermannus. συβίνη Brunckius] συβήνη

οἴμοι,
τί δρᾶσι; ποῖ τὸ γρᾴδι'; 'Αρταμουξία.
ΧΟ. τὴν γραῦν ἐρωτᾷς, ἣ 'φερεν τὰς πηκτίδας;
ΤΟ. ναὶ ναῖκι. εἶδες αὐτό; ΧΟ. ταύτῃ γ' οἴχεται
αὐτή τ' ἐκείνη καὶ γέρων τις εἵπετο.
ΤΟ. κροκῶτ' ἔκοντο τὴ γέροντο; ΧΟ. φήμ' ἐγώ.
ἔτ' ἂν καταλάβοις, εἰ διώκοις ταυτηί.
ΤΟ. ὢ μιαρὸ γρᾶο· πότερα τρέξι τὴν ὁδό;
ΧΟ. ὀρθὴν ἄνω δίωκε. ποῖ θεῖς; οὐ πάλιν
τῃδὶ διώξει; τοὔμπαλιν τρέχεις σύ γε.
ΤΟ. κακόδαιμον· ἄλλα τρέξι. 'Αρταμουξία.
ΧΟ. τρέχε νυν κατὰ τοὺς κόρακας ἐπουρίσας.
ἀλλὰ πέπαισται μετρίως ἡμῖν·
ὥσθ' ὥρα δῆτ' ἐστὶ βαδίζειν
οἴκαδ' ἑκάστῃ.
τὼ Θεσμοφόρω δ' ἡμῖν ἀγαθὴν
τούτων χάριν ἀνταποδοίτην.

---

1216. οἴμοι extra versum posuit Bergkius. τί δρᾶσι Engerus] τί δράσει γρᾴδι' Bergkius] γρᾴδιο (nomine 'Αρταμουξία extra versum posito) 1220. τὴ Bothius] τῇ 1222. γρᾶο Brunckius] γραῦ Quod post hunc versum legebatur 'Αρταμουξία delevit D. 1224. διώξει Elmsleius] διώξεις

1225. ἄλλα Bisetus] ἀλλὰ 1226. τρέχε νυν duplicavit Brunckius. τρέχε in fine versus addere maluit Meinekius. 1227. πέπαισται Bisetus] πέπυσται. In R gl. πέπαικται. 1228. δῆτ' ἐστὶ Bothius] δὴ 'στι 1231. ἀνταποδοίτην Bentleius] ἀνταδοῖτον R Aug. Iunt. ἀνταποδοῖτον ed. Brubachii.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΒΑΤΡΑΧΟΙ.

---

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΞΑΝΘΙΑΣ.
ΔΙΟΝΥΣΟΣ.
ΗΡΑΚΛΗΣ.
ΝΕΚΡΟΣ.
ΧΑΡΩΝ.
ΠΑΡΑΧΟΡΗΓΗΜΑ ΒΑΤΡΑΧΩΝ.
ΧΟΡΟΣ ΜΥΣΤΩΝ.
ΑΙΑΚΟΣ.
ΘΕΡΑΠΑΙΝΑ ΠΕΡΣΕΦΟΝΗΣ.
ΠΑΝΔΟΚΕΥΤΡΙΑΙ ΔΥΟ.
ΕΥΡΙΠΙΔΗΣ.
ΑΙΣΧΥΛΟΣ.
ΠΛΟΥΤΩΝ.

---

## ΥΠΟΘΕΣΙΣ.

Διόνυσός ἐστι μετὰ θεράποντος Ξανθίου κατὰ Εὐριπίδου πόθον εἰς Ἅιδου κατιών· ἔχει δὲ λεοντῆν καὶ ῥόπαλον πρὸς τὸ τοῖς ἐντυγχάνουσιν ἔκπληξιν παρέχειν. ἐλθὼν δὲ ὡς τὸν Ἡρακλέα πρότερον, ἵνα ἐξετάσῃ τὰ κατὰ τὰς ὁδούς, ᾗ καὶ αὐτὸς ἐπὶ τὸν Κέρβερον ᾤχετο, καὶ ὀλίγα ἄττα περὶ τῶν τραγικῶν τούτῳ διαλεχθεὶς ὁρμᾶται πρὸς τὸ προκείμενον. [illegible] δὲ πρὸς τῇ Ἀχερουσίᾳ λίμνῃ γίνεται, ὁ μὲν Ξανθίας, διὰ τὸ μὴ συννεναυμαχηκέναι τὴν [illegible] Ἀργινούσας ναυμαχίαν, ὑπὸ τοῦ Χάρωνος οὐκ ἀναληφθεὶς πεζῇ τὴν [λίμνην] κύκλῳ πο[illegible] ὁ δὲ Διόνυσος δύο ὀβολῶν περαιοῦται, προσπαίζων ἅμα τοῖς κατὰ τὸν πόρον [illegible] βατράχοις καὶ γελωτοποιῶν. μετὰ ταῦτα δ' ἐν Ἅιδου τῶν πραγμάτων ἤδη χειριζομέ[illegible] οἵ τε μύσται χορεύοντες ἐν τῷ προφανεῖ καὶ τὸν Ἴακχον ᾄδοντες ἐν χοροῦ σχήματι [illegible] ὅ τε Διόνυσος μετὰ τοῦ θεράποντος εἰς ταυτὸν ἔρχεται τούτοις. τῶν δὲ προ[illegible] ὑπὸ Ἡρακλέους προσπλεκομένων τῷ Διονύσῳ διὰ τὴν ἐκ τῆς σκευῆς ἄγνοιαν, [illegible] οὐκ ἀγελοίως χειμάζονται, εἶτα μέντοι γε ὡς τὸν Πλούτωνα καὶ τὴν Περ[illegible] [illegible]ντες ἀλεωρῆς τυγχάνουσιν. ἐν δὲ τούτῳ ὁ μὲν τῶν μυστῶν χορὸς περὶ [illegible] ἐξισῶσαι καὶ τοὺς ἀτίμους ἐντίμους ποιῆσαι χἀτέρων τινῶν πρὸς τὴν [illegible] διαλέγεται. τὰ δὲ λοιπὰ τοῦ δράματος μονόκωλον, ἄλλως δὲ τερπνὴν καὶ [illegible] σύστασιν. παρεισάγεται γὰρ Εὐριπίδης Αἰσχύλῳ περὶ τῆς τραγικῆς δια[illegible] [illegible] ἔμπροσθεν Αἰσχύλου παρὰ τῷ Ἅιδῃ βραβεῖον ἔχοντος, τότε δὲ Εὐριπίδου [illegible] τοῦ τραγῳδικοῦ θρόνου ἀντιποιησαμένου. συστήσαντος δὲ τοῦ Πλούτωνος αὐ[illegible] διακούειν ἑκάτερος αὐτοῖν λόγους πολλοὺς καὶ ποικίλους ποιεῖται, καὶ [illegible] ἔλεγχον καὶ πᾶσαν βάσανον οὐκ ἀπιθάνως ἑκατέρου κατὰ τῆς θατέρου ποιή[illegible] κρίνας παρὰ προσδοκίαν ὁ Διόνυσος Αἰσχύλον νικᾶν, ἔχων αὐτὸν ὡς [illegible]

Τὸ δὲ δρᾶμα τῶν εὖ πάνυ καὶ φιλολόγως πεποιημένων. ἐδιδάχθη ἐπὶ Καλλίου τοῦ μετὰ Ἀντιγένη διὰ Φιλωνίδου εἰς Λήναια. πρῶτος ἦν· Φρύνιχος δεύτερος Μούσαις· Πλάτων τρίτος Κλεοφῶντι. οὕτω δὲ ἐθαυμάσθη τὸ δρᾶμα διὰ τὴν ἐν αὐτῷ παράβασιν ὥστε καὶ ἀνεδιδάχθη, ὥς φησι Δικαίαρχος.

---

ΞΑΝΘΙΑΣ.

Εἴπω τι τῶν εἰωθότων, ὦ δέσποτα,
ἐφ' οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι;

ΔΙΟΝΥΣΟΣ.

νὴ τὸν Δί' ὅ τι βούλει γε, πλὴν πιέζομαι,
τοῦτο δὲ φύλαξαι· πάνυ γάρ ἐστ' ἤδη χολή.
ΞΑ. μηδ' ἕτερον ἀστεῖόν τι; ΔΙ. πλήν γ', ὡς θλίβομαι.
ΞΑ. τί δαί; τὸ πάνυ γέλοιον εἴπω; ΔΙ. νὴ Δία
θαρρῶν γ'· ἐκεῖνο μόνον ὅπως μὴ 'ρεῖς, ΞΑ. τὸ τί;
ΔΙ. μεταβαλλόμενος τἀνάφορον ὅτι χεζητιᾷς.
ΞΑ. μηδ' ὅτι τοσοῦτον ἄχθος ἐπ' ἐμαυτῷ φέρων,
εἰ μὴ καθαιρήσει τις, ἀποπαρδήσομαι;
ΔΙ. μὴ δῆθ', ἱκετεύω, πλήν γ' ὅταν μέλλω 'ξεμεῖν.
ΞΑ. τί δῆτ' ἔδει με ταῦτα τὰ σκεύη φέρειν,
εἴπερ ποιήσω μηδὲν ὧνπερ Φρύνιχος
εἴωθε ποιεῖν καὶ Λύκις κἀμειψίας;
ΔΙ. μή νυν ποιήσῃς· ὡς ἐγὼ θεώμενος,
ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω,
πλεῖν ἢ 'νιαυτῷ πρεσβύτερος ἀπέρχομαι.
ΞΑ. ὦ τρισκακοδαίμων ἄρ' ὁ τράχηλος οὑτοσί,
ὅτι θλίβεται μέν, τὸ δὲ γέλοιον οὐκ ἐρῶ.
ΔΙ. εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστὶ καὶ πολλὴ τρυφή,
ὅτ' ἐγὼ μὲν ὢν Διόνυσος, υἱὸς Σταμνίου,
αὐτὸς βαδίζω καὶ πονῶ, τοῦτον δ' ὀχῶ,
ἵνα μὴ ταλαιπωροῖτο μηδ' ἄχθος φέροι;
ΞΑ. οὐ γὰρ φέρω 'γώ; ΔΙ. πῶς φέρεις γὰρ ὅς γ' ὀχεῖ;
ΞΑ. φέρων γε ταυτί. ΔΙ. τίνα τρόπον; ΞΑ. βαρέως πάνυ.
ΔΙ. οὔκουν τὸ βάρος τοῦθ', ὃ σὺ φέρεις, οὕνος φέρει;
ΞΑ. οὐ δῆθ' ὅ γ' ἔχω 'γὼ καὶ φέρω, μὰ τὸν Δί' οὔ.
ΔΙ. πῶς γὰρ φέρεις ὅς γ' αὐτὸς ὑφ' ἑτέρου φέρει;
ΞΑ. οὐκ οἶδ'· ὁ δ' ὦμος οὑτοσὶ πιέζεται.
ΔΙ. σὺ δ' οὖν ἐπειδὴ τὸν ὄνον οὐ φῂς σ' ὠφελεῖν,
ἐν τῷ μέρει σὺ τὸν ὄνον ἀράμενος φέρε.
ΞΑ. οἴμοι κακοδαίμων· τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν;
ἢ τἄν σε κωκύειν ἂν ἐκέλευον μακρά.
ΔΙ. κατάβα, πανοῦργε. καὶ γὰρ ἐγγὺς τῆς θύρας
ἤδη βαδίζων εἰμὶ τῆσδ' οἷ πρῶτά με
ἔδει τραπέσθαι. παιδίον, παῖ, ἠμί, παῖ.

ΗΡΑΚΛΗΣ.

τίς τὴν θύραν ἐπάταξεν; ὡς κενταυρικῶς
ἐνήλαθ' ὅστις· εἰπέ μοι, τουτὶ τί ἦν; [τί;
ΔΙ. ὁ παῖς. ΞΑ. τί ἔστιν; ΔΙ. οὐκ ἐνεθυμήθης; ΞΑ. τὸ
ΔΙ. ὡς σφόδρα μ' ἔδεισε. ΞΑ. νὴ Δί, μὴ μαίνοιό γε.
ΗΡ. οὔ τοι μὰ τὴν Δήμητρα δύναμαι μὴ γελᾶν·
καίτοι δάκνω γ' ἐμαυτόν· ἀλλ' ὅμως γελῶ.
ΔΙ. ὦ δαιμόνιε, πρόσελθε· δέομαι γάρ τί σου.
ΗΡ. ἀλλ' οὐχ οἷός τ' εἴμ' ἀποσοβῆσαι τὸν γέλων,
ὁρῶν λεοντῆν ἐπὶ κροκωτῷ κειμένην.
τίς ὁ νοῦς; τί κόθορνος καὶ ῥόπαλον ξυνηλθέτην;
ποῖ γῆς ἀπεδήμεις; ΔΙ. ἐπεβάτευον Κλεισθένει.
ΗΡ. κἀναυμάχησας; ΔΙ. καὶ κατεδύσαμέν γε ναῦς
τῶν πολεμίων ἢ δώδεκ' ἢ τρισκαίδεκα.
ΗΡ. σφώ; ΔΙ. νὴ τὸν Ἀπόλλω. ΞΑ. κᾆτ' ἔγωγ' ἐξηγρόμην.
ΔΙ. καὶ δῆτ' ἐπὶ τῆς νεὼς ἀναγιγνώσκοντί μοι
τὴν Ἀνδρομέδαν πρὸς ἐμαυτὸν ἐξαίφνης πόθος
τὴν καρδίαν ἐπάταξε πῶς οἴει σφόδρα.
ΗΡ. πόθος; πόσος τις; ΔΙ. μικρός, ἡλίκος Μόλων.
ΗΡ. γυναικός; ΔΙ. οὐ δῆτ'. ΗΡ. ἀλλὰ παιδός; ΔΙ. οὐδαμῶς.
ΗΡ. ἀλλ' ἀνδρός; ΔΙ. ἀτταταῖ. ΗΡ. ξυνεγένου Κλεισθένει;
ΔΙ. μὴ σκῶπτέ μ', ὦδέλφ'· οὐ γὰρ ἀλλ' ἔχω κακῶς·
τοιοῦτος ἵμερός με διαλυμαίνεται.
ΗΡ. ποῖός τις, ὠδελφίδιον; ΔΙ. οὐκ ἔχω φράσαι.
ὅμως γε μέντοι σοι δι' αἰνιγμῶν ἐρῶ.
ἤδη ποτ' ἐπεθύμησας ἐξαίφνης ἔτνους;
ΗΡ. ἔτνους; βαβαιάξ, μυριάκις ἐν τῷ βίῳ.
ΔΙ. ἆρ' ἐκδιδάσκω τὸ σαφές, ἢ 'τέρᾳ φράσω;
ΗΡ. μὴ δῆτα περὶ ἔτνους γε· πάνυ γὰρ μανθάνω.
ΔΙ. τοιουτοσὶ τοίνυν με δαρδάπτει πόθος
Εὐριπίδου, ΗΡ. καὶ ταῦτα τοῦ τεθνηκότος;
ΔΙ. κοὐδείς γέ μ' ἂν πείσειεν ἀνθρώπων τὸ μὴ οὐκ
ἐλθεῖν ἐπ' ἐκεῖνον. ΗΡ. πότερον εἰς Ἅιδου κάτω;
ΔΙ. καὶ νὴ Δί' εἴ τί γ' ἔστιν ἔτι κατωτέρω.
ΗΡ. τί βουλόμενος; ΔΙ. δέομαι ποιητοῦ δεξιοῦ.
οἱ μὲν γὰρ οὐκέτ' εἰσίν, οἱ δ' ὄντες κακοί.
ΗΡ. τί δ'; οὐκ Ἰοφῶν ζῇ; ΔΙ τοῦτο γάρ τοι καὶ μόνον
ἔτ' ἐστὶ λοιπὸν ἀγαθόν, εἰ καὶ τοῦτ' ἄρα·
οὐ γὰρ σάφ' οἶδ' οὐδ' αὐτὸ τοῦθ' ὅπως ἔχει.
ΗΡ. εἶτ' οὐ Σοφοκλέα, πρότερον ὄντ' Εὐριπίδου,
μέλλεις ἀνάγειν, εἴπερ γ' ἐκεῖθεν δεῖ σ' ἄγειν;
ΔΙ. οὔ, πρίν γ' ἂν Ἰοφῶντ', ἀπολαβὼν αὐτὸν μόνον,
ἄνευ Σοφοκλέους ὅ τι ποιεῖ κωδωνίσω.
κἄλλως ὁ μέν γ' Εὐριπίδης, πανοῦργος ὤν,
κἂν ξυναποδρᾶναι δεῦρ' ἐπιχειρήσειέ μοι·
ὁ δ' εὔκολος μὲν ἐνθάδ', εὔκολος δ' ἐκεῖ.
ΗΡ. Ἀγάθων δὲ ποῦ 'στιν; ΔΙ. ἀπολιπὼν ἔμ' οἴχεται,
ἀγαθὸς ποιητὴς καὶ ποθεινὸς τοῖς φίλοις.
ΗΡ. ποῖ γῆς ὁ τλήμων; ΔΙ. ἐς μακάρων εὐωχίαν.
ΗΡ. ὁ δὲ Ξενοκλέης; ΔΙ. ἐξόλοιτο νὴ Δία.
ΗΡ. Πυθάγγελος δέ; ΞΑ. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος
ἐπιτριβομένου τὸν ὦμον οὑτωσὶ σφόδρα.
ΗΡ. οὔκουν ἕτερ' ἔστ' ἐνταῦθα μειρακύλλια
τραγῳδίας ποιοῦντα πλεῖν ἢ μυρίας,
Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα;
ΔΙ. ἐπιφυλλίδες ταῦτ' ἐστὶ καὶ στωμύλματα,

15. σκεύη φέρουσ' ἑκάστοτ' ἐν κωμῳδίᾳ.

---

15. Eiecit D. Scholiasta, τριχῶς λέγεται· ἢ γὰρ σκεύη φοροῦσιν, ἢ σκεύη φέρουσιν, ἢ σκευοφοροῦσιν. De his aliisque deteriorum librorum interpolationibus v. Annot. Oxon. p. 207. 20. ἐρῶ Cobetus] ἐρεῖ 27. οὕνος] ὄνος R. 28. ἔχω 'γώ] ἐγὼ 'χω Meinekius. 41. 164. 863. νὴ Δί D.] νὴ Δί'. Vid. Annot. Oxon. ad Eq. 319. p. 312.

50. τρισκαίδεκα] Sic, non τρεισκαίδεκα, scripsisse veteres testantur Herodianus aliique grammatici indicati in Thesauro vol. 7. p. 2461. 57. ἀτταταῖ (ἀτταταί libri)] ἀππαπαῖ var. lect. ap. schol. et sic Suidas s. h. v. Κλεισθένει Aldus. τῷ Κλεισθένει codices. 67. Verba καὶ ταῦτα τοῦ τεθνηκότος in libris quibusdam Herculi tribui annotavit scholiasta. Huius igitur personae notam, in codicibus nostris omissam, addidi. 76. οὐ Bentleius] οὐχὶ 83. ἔμ' D.] μ' οἴχεται RV. ἀποίχεται alii et Suidas s. v. Ἀγάθων. 90. μυρίας D.] μύρια

χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης,
ἃ φροῦδα θᾶττον, ἢν μόνον χορὸν λάβῃ,
ἅπαξ προσουρήσαντα τῇ τραγῳδίᾳ.
γόνιμον δὲ ποιητὴν ἂν οὐχ εὕροις ἔτι
ζητῶν ἄν, ὅστις ῥῆμα γενναῖον λάκοι.
ΗΡ. πῶς γόνιμον; ΔΙ. ὡδὶ γόνιμον, ὅστις φθέγξεται
τοιουτονί τι παρακεκινδυνευμένον,
αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα,
ἢ φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν,
γλῶτταν δ' ἐπιορκήσασαν ἰδίᾳ τῆς φρενός.
ΗΡ. σὲ δὲ ταῦτ' ἀρέσκει; ΔΙ. μάλλὰ πλεῖν ἢ μαίνομαι.
ΗΡ. ἦ μὴν κόβαλά γ' ἐστίν, ὡς καὶ σοὶ δοκεῖ.
ΔΙ. μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν.
ΗΡ. καὶ μὴν ἀτεχνῶς γε παμπόνηρα φαίνεται.
ΔΙ. δειπνεῖν με δίδασκε. ΞΑ. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος.
ΔΙ. ἀλλ' ὧνπερ ἕνεκα τήνδε τὴν σκευὴν ἔχων
ἦλθον κατὰ σὴν μίμησιν, ἵνα μοι τοὺς ξένους
τοὺς σοὺς φράσειας, εἰ δεοίμην, οἷσι σὺ
ἐχρῶ τόθ', ἡνίκ' ἦλθες ἐπὶ τὸν Κέρβερον,
τούτους φράσον μοι, λιμένας, ἀρτοπώλια,
πορνεῖ', ἀναπαύλας, ἐκτροπάς, κρήνας, ὁδούς,
πόλεις, διαίτας, πανδοκευτρίας, ὅπου
κόρεις ὀλίγιστοι. ΞΑ. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος.
ΗΡ. ὦ σχέτλιε, τολμήσεις γὰρ ἰέναι; ΔΙ. καὶ σύ γε
μηδὲν ἔτι πρὸς ταῦτ', ἀλλὰ φράζε τῶν ὁδῶν
ὅτῳ τάχιστ' ἀφιξόμεθ' εἰς Ἅιδου κάτω·
καὶ μήτε θερμὴν μήτ' ἄγαν ψυχρὰν φράσῃς.
ΗΡ. φέρε δή, τίν' αὐτῶν σοι φράσω πρώτην; τίνα;
μία μὲν γὰρ ἔστιν ἀπὸ κάλω καὶ θρανίου,
κρεμάσαντι σαυτόν. ΔΙ. παῦε, πνιγηρὰν λέγεις.
ΗΡ. ἀλλ' ἔστιν ἀτραπὸς ξύντομος τετριμμένη,
ἡ διὰ θυείας. ΔΙ. ἆρα κώνειον λέγεις;
ΗΡ. μάλιστά γε. ΔΙ. ψυχράν γε καὶ δυσχείμερον·
εὐθὺς γὰρ ἀποπήγνυσι τἀντικνήμια.
ΗΡ. βούλει ταχεῖαν καὶ κατάντη σοι φράσω;
ΔΙ. νὴ τὸν Δί', ὡς ὄντος γε μὴ βαδιστικοῦ.
ΗΡ. καθέρπυσόν νυν ἐς Κεραμεικόν. ΔΙ. εἶτα τί;
ΗΡ. ἀναβὰς ἐπὶ τὸν πύργον τὸν ὑψηλὸν ΔΙ. τί δρῶ;
ΗΡ. ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν θεῶ,
κἄπειτ' ἐπειδὰν φῶσιν οἱ θεώμενοι
εἶναι, τόθ' εἶναι καὶ σὺ σαυτόν. ΔΙ. ποῖ; ΗΡ. κάτω.
ΔΙ. ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύο.
οὐκ ἂν βαδίσαιμι τὴν ὁδὸν ταύτην. ΗΡ. τί δαί;
ΔΙ. ἥνπερ σὺ τότε κατῆλθες. ΗΡ. ἀλλ' ὁ πλοῦς πολύς.
εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ
ἄβυσσον. ΔΙ. εἶτα πῶς περαιωθήσομαι;
ΗΡ. ἐν πλοιαρίῳ τυννουτῳί σ' ἀνὴρ γέρων
ναύτης διάξει δύ' ὀβολὼ μισθὸν λαβών.
ΔΙ. φεῦ, ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ.
πῶς ἠλθέτην κἀκεῖσε; ΗΡ. Θησεὺς ἤγαγεν.
μετὰ ταῦτ' ὄφεις καὶ θηρί' ὄψει μυρία
δεινότατα. ΔΙ. μή μ' ἔκπληττε μηδὲ δειμάτου·
οὐ γάρ μ' ἀποτρέψεις. ΗΡ. εἶτα βόρβορον πολὺν
καὶ σκῶρ ἀείνων· ἐν δὲ τούτῳ κειμένους
εἴ που ξένον τις ἠδίκησε πώποτε,
ἢ παῖδα βινῶν τἀργύριον ὑφείλετο,
ἢ μητέρ' ἠλόησεν, ἢ πατρὸς γνάθον

104. ἢ] καὶ Cobetus. 116. ἰέναι; ΔΙ. καὶ σύ γε μηδὲν Seidlerus] ἰέναι καὶ σύ γε; ΔΙ. μηδὲν 118. ὅπῃ V. cum γρ. ὅπως, quod est in ceteris, et scholio ἀντὶ τοῦ διὰ ποίας ὁδοῦ. Correxi ὅτῳ, ut του et τῳ interdum cum femininis coniuncta sunt, quod ipsius Aristophanis exemplo (Fragm. 90.) docuerunt grammatici. 142. πῶς] πῶς δ' Meinekius. Θησεὺς] Θησεύς σφ' Brunckius. 146. ἀείνων (forma ab Phrynicho annotata in Bekk. Anecd. p. 22, 17.) Elmsleius] ἀεὶ νῶν 148. βινῶν D.] κινῶν 139. ἠλόησεν Suidas] ἠλοίησεν

ἐπάταξεν, ἢ 'πίορκον ὅρκον ὤμοσεν,
ἢ Μορσίμου τις ῥῆσιν ἐξεγράψατο.
ΔΙ. νὴ τοὺς θεοὺς ἐχρῆν γε πρὸς τούτοισι κεἰ
τὴν πυρρίχην τις ἔμαθε τὴν Κινησίου.
ΗΡ. ἐντεῦθεν αὐλῶν τίς σε περίεισιν πνοή,
ὄψει τε φῶς κάλλιστον, ὥσπερ ἐνθάδε,
καὶ μυρρινῶνας καὶ θιάσους εὐδαίμονας
ἀνδρῶν γυναικῶν καὶ κρότον χειρῶν πολύν.
ΔΙ. οὗτοι δὲ δὴ τίνες εἰσίν; ΗΡ. οἱ μεμυημένοι,
ΞΑ. νὴ τὸν Δί' ἐγὼ γοῦν ὄνος ἄγων μυστήρια.
ἀτὰρ οὐ καθέξω ταῦτα τὸν πλείω χρόνον.
ΗΡ. οἵ σοι φράσουσ' ἁπαξάπανθ' ὧν ἂν δέῃ.
οὗτοι γὰρ ἐγγύτατα παρ' αὐτὴν τὴν ὁδὸν
ἐπὶ ταῖσι τοῦ Πλούτωνος οἰκοῦσιν θύραις.
καὶ χαῖρε πόλλ', ὦδελφέ. ΔΙ. νὴ Δὶ καὶ σύ γε
ὑγίαινε. σὺ δὲ τὰ στρώματ' αὖθις λάμβανε.
ΞΑ. πρὶν καὶ καταθέσθαι; ΔΙ. καὶ ταχέως μέντοι πάνυ.
ΞΑ. μὴ δῆθ', ἱκετεύω σ', ἀλλὰ μίσθωσαί τινα
τῶν ἐκφερομένων, ὅστις ἐπὶ τοῦτ' ἔρχεται.
ΔΙ. ἐὰν δὲ μὴ 'χω; ΞΑ. τότ' ἔμ' ἄγειν. ΔΙ. καλῶς
λέγεις.
καὶ γάρ τιν' ἐκφέρουσι τουτονὶ νεκρόν.
οὗτος, σὲ λέγω μέντοι, σὲ τὸν τεθνηκότα·
ἄνθρωπε, βούλει σκευάρι' εἰς Ἅιδου φέρειν;

ΝΕΚΡΟΣ.

[τελεῖς;
πόσ' ἄττα; ΔΙ. ταυτί. ΝΕ. δύο δραχμὰς μισθὸν
ΔΙ. μὰ Δί', ἀλλ' ἔλαττον. ΝΕ. ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ.
ΔΙ. ἀνάμεινον, ὦ δαιμόνι', ἐὰν ξυμβῶ τί σοι.
ΝΕ. εἰ μὴ καταθήσεις δύο δραχμάς, μὴ διαλέγου.
ΔΙ. λάβ' ἐννέ' ὀβολούς. ΝΕ. ἀναβιοίην νυν πάλιν.
ΞΑ. ὡς σεμνὸς ὁ κατάρατος· οὐκ οἰμώξεται;
ἐγὼ βαδιοῦμαι. ΔΙ. χρηστὸς εἶ καὶ γεννάδας.
χωρῶμεν ἐπὶ τὸ πλοῖον.

ΧΑΡΩΝ.

ὠὸπ, παραβαλοῦ.
ΞΑ. τουτὶ τί ἔστι; ΔΙ. τοῦτο; λίμνη νὴ Δία
αὕτη 'στὶν ἣν ἔφραζε, καὶ πλοῖόν γ' ὁρῶ.
ΞΑ. νὴ τὸν Ποσειδῶ, κἄστι γ' ὁ Χάρων οὑτοσί.
ΔΙ. χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων.
ΧΑ. τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων;
τίς ἐς τὸ Λήθης πεδίον, ἢ 'ς ὄνου πόκας,

164. νὴ Δὶ] Vid. ad v. 41. 169. μὴ 'χω scriptura ab schol. memorata] μὴ εὕρω τότ' ἔμ' Bergkius] τότε μ' 170. τιν' ἐκφέρουσι Elmsleius] τινες φέρουσι vel τινες ἐκφέρουσι ἐκφέρουσι τουτονὶ] ἐκφέρουσιν οὑτοιὶ Hamakerus. 175. ἐὰν] ἵν' ἂν V. ἵνα alii nonnulli, quod memorat scholiasta. 177. ἀναβιοίην Cobetus] ἀναβιῴην 181. Scholiasta, τοῦτο λίμνη νὴ Δία: τοῦτο οἱ μὲν τὸν Διόνυσόν φασι λέγειν, οἱ δὲ τὸν Ξανθίαν. Xanthiae qui tribuerunt, praecedens τουτὶ τί ἔστι; Dionyso tribuere debuerunt ut in codicibus nonnullis factum. 186. ἢ 'ς] ἢ εἰς codex Baroccianus, et recte fortasse: de quo dixi in Annot. Oxon. ad Ach. 242. p. 385. ὄνου πόκας] Photius p. 338, 8. ὄνου πόκαι: ἐπὶ τῶν ἀνηνύτων καὶ τῶν μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν Ἀττικῶν. Eodem redeunt paroemiographorum aliorumque grammaticorum interpretationes, quas collegit Leutschius ad Zenob. 5, 38. (ubi ὄνου πόκους ζητεῖς: ἐπὶ τῶν ἀνυπόστατα ζητούντων etc.) Memorabile tamen est quod Photius, postquam similia comparavit proverbia, πλίνθον πλύνειν, ἀσκὸν τίλλειν, χύτραν ποικίλλειν, εἰς κοπρῶνα θυμιᾶν, addit, Ἀρίσταρχος (Ἀριστοφάνης, quem de proverbiis scripsisse novimus, Naberus) δὲ διὰ τὸ Κρατῖνον ὑποθέσθαι (excidisse videtur Ὄκνον) ἐν Ἅιδου σχοινίον πλέκοντα, ὄνον δὲ τὸ πλεκόμενον ἀπεσθίοντα, οἷον ἀποκείραντα (haec duo vocabula delenda). Quibus comparandae aliorum narrationes de Ocni asino, collectae ab Meinekio Com. vol. 2. p. 294. ex quibus col-

ἢ 'ς Κερβερίους, ἢ 'ς κόρακας, ἢ 'πὶ Ταίναρον;
ΔΙ. ἐγώ. ΧΑ. ταχέως ἔμβαινε. ΔΙ. ποῖ σχήσειν δο-
κεῖς; [νεκα.
ἐς κόρακας ὄντως; ΧΑ. ναὶ μὰ Δία, σοῦ γ' οὕ-
ἔσβαινε δή. ΔΙ. παῖ, δεῦρο. ΧΑ. δοῦλον οὐκ ἄγω,
εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν.
ΞΑ. μὰ τὸν Δί', οὐ γὰρ ἀλλ' ἔτυχον ὀφθαλμιῶν.
ΧΑ. οὔκουν περιθρέξει δῆτα τὴν λίμνην κύκλῳ;
ΞΑ. ποῦ δῆτ' ἀναμενῶ; ΧΑ. παρὰ τὸν Αὑαίνου λίθον,
ἐπὶ ταῖς ἀναπαύλαις. ΔΙ. μανθάνεις; ΞΑ. πάνυ
μανθάνω.
οἴμοι κακοδαίμων, τῷ ξυνέτυχον ἐξιών;
ΧΑ. κάθιζ' ἐπὶ κώπην. εἴ τις ἔτι πλεῖ, σπευδέτω.
οὗτος, τί ποιεῖς; ΔΙ. ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
ἵζω 'πὶ κώπην, οἷπερ ἐκέλευσάς με σύ;
ΧΑ. οὔκουν καθεδεῖ δῆτ' ἐνθαδί, γάστρων; ΔΙ. ἰδού.
ΧΑ. οὔκουν προβαλεῖ τὼ χεῖρε κἀκτενεῖς; ΔΙ. ἰδού.
ΧΑ. οὐ μὴ φλυαρήσεις ἔχων, ἀλλ' ἀντιβὰς
ἐλᾷς προθύμως; ΔΙ. κᾆτα πῶς δυνήσομαι,
ἄπειρος, ἀθαλάττωτος, ἀσαλαμίνιος
ὤν, εἶτ' ἐλαύνειν; ΧΑ. ῥᾷστ'· ἀκούσει γὰρ μέλη
κάλλιστ', ἐπειδὰν ἐμβάλῃς ἅπαξ. ΔΙ. τίνων;
ΧΑ. βατράχων κύκνων θαυμαστά. ΔΙ. κατακέλευε δή.
ΧΑ. ὠὸπ ὠόπ.

ΒΑΤΡΑΧΟΙ.

βρεκεκεκὲξ κοὰξ κοάξ,
βρεκεκεκὲξ κοὰξ κοάξ.
λιμναῖα κρηνῶν τέκνα,
ξύναυλον ὕμνων βοὰν
φθεγξώμεθ', εὔγηρυν ἐμὰν ἀοιδάν,
κοὰξ κοάξ,
ἣν ἀμφὶ Νυσήιον
Διὸς Διώνυσον ἐν
Λίμναισιν ἀχήσαμεν,
ἡνίχ' ὁ κραιπαλόκωμος
τοῖς ἱεροῖσι χύτροισι
χωρεῖ κατ' ἐμὸν τέμενος λαῶν ὄχλος.
βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. ἐγὼ δέ γ' ἀλγεῖν ἄρχομαι
τὸν ὄρρον, ὦ κοὰξ κοάξ·
ὑμῖν δ' ἴσως οὐδὲν μέλει.
ΒΑ. βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ·
οὐδὲν γὰρ ἔστ' ἀλλ' ἢ κοάξ.
ΒΑ. εἰκότως γ', ὦ πολλὰ πράτ-
των· ἐμὲ γὰρ ἔστερξαν εὔλυροί τε Μοῦσαι
καὶ κεροβάτας Πάν, ὁ καλαμόφθογγα παίζων·
προσεπιτέρπεται δ' ὁ φορμικτὰς Ἀπόλλων,
ἕνεκα δόνακος, ὃν ὑπολύριον
ἔνυδρον ἐν λίμναις τρέφω.
βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. ἐγὼ δὲ φλυκταίνας γ' ἔχω,
χὠ πρωκτὸς ἰδίει πάλαι,
κᾆτ' αὐτίκ' ἐγκύψας ἐρεῖ
βρεκεκεκὲξ κοὰξ κοάξ.
ἀλλ', ὦ φιλῳδὸν γένος,
παύσασθε. ΒΑ. μᾶλλον μὲν οὖν
φθεγξόμεσθ', εἰ δή ποτ' εὐ-
ηλίοις ἐν ἁμέραισιν
ἡλάμεσθα διὰ κυπείρου
καὶ φλέω, χαίροντες ᾠδῆς
ἐν πολυκολύμβοισι μέλεσιν,
ἢ Διὸς φεύγοντες ὄμβρον
ἔνυδρον ἐν βυθῷ χορείαν
αἰόλαν ἐφθεγξάμεσθα
πομφολυγοπαφλάσμασιν.
βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. βρεκεκεκὲξ κοὰξ κοάξ.
τουτὶ παρ' ὑμῶν λαμβάνω.
ΒΑ. δεινά τἄρα πεισόμεσθα.
ΔΙ. δεινότερα δ' ἔγωγ', ἐλαύνων
εἰ διαρραγήσομαι.
ΒΑ. βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. οἰμώζετ'· οὐ γάρ μοι μέλει.
ΒΑ. ἀλλὰ μὴν κεκραξόμεσθά γ'
ὁπόσον ἡ φάρυγξ ἂν ἡμῶν
χανδάνῃ δι' ἡμέρας
βρεκεκεκὲξ κοὰξ κοάξ.
ΔΙ. βρεκεκεκὲξ κοὰξ κοάξ.
τούτῳ γὰρ οὐ νικήσετε.
ΒΑ. οὐδὲ μὴν ἡμᾶς σὺ πάντως.
ΔΙ. οὐδέποτε· κεκράξομαι γάρ,
κἂν με δῇ δι' ἡμέρας,
βρεκεκὲξ κοὰξ κοάξ,
ἕως ἂν ὑμῶν ἐπικρατήσω τοῦ κοάξ,
βρεκεκεκὲξ κοὰξ κοάξ.
ἔμελλον ἄρα παύσειν ποθ' ὑμᾶς τοῦ κοάξ.
ΧΑ. ὢ παῦε παῦε, παραβαλοῦ τῷ κωπίῳ.
ἔκβαιν', ἀπόδος τὸν ναῦλον. ΔΙ. ἔχε δὴ τὠβολώ.
ΔΙ. ὁ Ξανθίας. ποῦ Ξανθίας; ποῦ Ξανθίας;
ΞΑ. ἰαῦ. ΔΙ. βάδιζε δεῦρο. ΞΑ. χαῖρ', ὦ δέσποτα.
ΔΙ. τί ἐστι τἀνταυθί; ΞΑ. σκότος καὶ βόρβορος.
ΔΙ. κατεῖδες οὖν που τοὺς πατραλοίας αὐτόθι
καὶ τοὺς ἐπιόρκους, οὓς ἔλεγεν ἡμῖν; ΞΑ. σὺ δ' οὔ;
ΔΙ. νὴ τὸν Ποσειδῶ 'γωγε, καὶ νυνί γ' ὁρῶ.
ἄγε δή, τί δρῶμεν; ΞΑ. προϊέναι βέλτιστα νῷν,
ὡς οὗτος ὁ τόπος ἐστὶν οὗ τὰ θηρία
τὰ δείν' ἔφασκ' ἐκεῖνος. ΔΙ. ὡς οἰμώξεται.
ἠλαζονεύεθ', ἵνα φοβηθείην ἐγώ,
εἰδώς με μάχιμον ὄντα, φιλοτιμούμενος.
οὐδὲν γὰρ οὕτω γαῦρόν ἐσθ' ὡς Ἡρακλῆς.
ἐγὼ δέ γ' εὐξαίμην ἂν ἐντυχεῖν τινι,
λαβεῖν τ' ἀγώνισμ' ἄξιόν τι τῆς ὁδοῦ.

---

ligi potest Cratinum Ὄκνου πλοκάς dixisse, quod Aristophani quoque restitui voluit Conzius. Nam quod nunc legitur ὄνου πόκας etiam propterea suspectum est quia πόκοι, non πόκαι dicitur.

190. ἔσβαινε] ἔμβαινε codices deteriores. 191. κρεῶν] νεκρῶν codices nonnulli recentiores. κρεῶν legit Aristarchus, νεκρῶν Demetrius Ixion: de quo vid. scholia et Photius p. 177,4. 193. οὔκουν Beckius] οὐκοῦν κύκλῳ] τρέχων codices deteriores. Schol. ἀντὶ τοῦ τρέχων γρ. καὶ κύκλῳ. 194. ἀναμενῶ] Vel ἀναμένω, modo subiunctivo. 197. ἔτι πλεῖ Kusterus] ἐπιπλεῖ 199. οἷπερ] οὗπερ RV: sed οἷπερ Ioann. Alex. τον. παραγγ. p. 32, 13. ἐκέλευσας (sic etiam Ioann. Alex.)] ἐκέλευες R. 204. ἀθαλάττωτος] ἀθαλάττευτος Kockius. 207. βατράχων κύκνων] βατραχοκύκνων Bothius. 208. ὠὸπ ὠόπ (ut v. 179) D.] ὠὸπ ὄπ ὠὸπ ὄπ vel ὢ ὀπὸπ ὢ ὀπὸπ ὢ ὀπόπ. 209. ΒΑΤΡΑΧΟΙ D.] ΧΟΡΟΣ βρεκεκεκὲξ] βρεκεκὲξ libri aliquot hic et infra, quam formam ponit Ioann. Alex. τον. παραγγ. p. 38, 7. 216. Διώνυσον Hermannus] Διόνυσον 217. ἀχήσαμεν D.] ἰαχήσαμεν

245. ἐν addidit Hermannus. 251. βρεκεκεκὲξ κοὰξ κοάξ ante τουτὶ et v. 262. ante τούτῳ addidit Fritzschius. 259. φάρυγξ] φάρυξ RV et V infra v. 571. 264. οὐδέποτε D.] οὐδὲ μὴν ὑμεῖς ἐμέ. οὐδέποτε. In cod. Par. A interpolatum οὐδὲ μὴν ὑμεῖς γ' ἔμ' οὐδεπώποτε. 265. δῇ RV. Alii δεῖ vel δέῃ. V. Annot. Oxon. p. 222. Proximum βρεκεκεκὲξ κοὰξ κοάξ addidit Reisigius. 270. ἔκβαιν', ἀπόδος] ἔκβαιν' ἀποδοὺς Halbertsma. 271. ποῦ Ξανθίας (in fine versus) D.] ἢ ποῦ ξανθίας R. ἢ ξανθία V. ἢ ξανθίας ceteri. 277. νῷν] νοῖ (i. e. νώ) V. 279. τὰ δείν' ἔφασκ' ἐκεῖνος] εἶναι τὰ δείν' ἔφασκεν Hamakerus.

ΞΑ. νὴ τὸν Δία καὶ μὴν αἰσθάνομαι ψόφου τινός.
ΔΙ. ποῦ ποῦ 'στιν; ΞΑ. ἐξόπισθεν. ΔΙ. ἐξόπισθ' ἴθι.
ΞΑ. ἀλλ' ἐστὶν ἐν τῷ πρόσθε. ΔΙ. πρόσθε νυν ἴθι.
ΞΑ. καὶ μὴν ὁρῶ, νὴ τὸν Δία, θηρίον μέγα.
ΔΙ. ποῖόν τι; ΞΑ. δεινόν· παντοδαπὸν γοῦν γίγνεται·
ποτὲ μέν γε βοῦς, νυνὶ δ' ὀρεύς, ποτὲ δ' αὖ γυνὴ
ὡραιοτάτη τις. ΔΙ. ποῦ 'στι; φέρ' ἐπ' αὐτὴν ἴω.
ΞΑ. ἀλλ' οὐκέτ' αὖ γυνή 'στιν, ἀλλ' ἤδη κύων.
ΔΙ. Ἔμπουσα τοίνυν ἐστί. ΞΑ. πυρὶ γοῦν λάμπεται
ἅπαν τὸ πρόσωπον. ΔΙ. καὶ σκέλος χαλκοῦν ἔχει;
ΞΑ. νὴ τὸν Ποσειδῶ, καὶ βολίτινον θάτερον, [δ' ἐγώ;
σάφ' ἴσθι. ΔΙ. ποῖ δῆτ' ἂν τραποίμην; ΞΑ. ποῖ
ΔΙ. ἱερεῦ, διαφύλαξόν μ', ἵν' ὦ σοι ξυμπότης.
ἀπολούμεθ', ὦναξ Ἡράκλεις. ΔΙ. οὐ μὴ καλεῖς μ',
ὤνθρωφ', ἱκετεύω, μηδὲ κατερεῖς τοὔνομα.
ΞΑ. Διόνυσε τοίνυν. ΔΙ. τοῦτ' ἔθ' ἧττον θατέρου.
ΞΑ. ἴθ' ᾗπερ ἔρχει. δεῦρο δεῦρ', ὦ δέσποτα.
ΔΙ. τί δ' ἔστι; ΞΑ. θάρρει· πάντ' ἀγαθὰ πεπράγαμεν,
ἔξεστί θ' ὥσπερ Ἡγέλοχος ἡμῖν λέγειν
"ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ."
ἥμπουσα φρούδη. ΔΙ. κατόμοσον. ΞΑ. νὴ τὸν Δία.
ΔΙ. καὖθις κατόμοσον. ΞΑ. νὴ Δί'. ΔΙ. ὄμοσον. ΞΑ.
νὴ Δία.
ΔΙ. οἴμοι τάλας, ὡς ὠχρίασ' αὐτὴν ἰδών.
ΞΑ. ὁδὶ δὲ δείσας ὑπερεπυρρίασέ σου.
ΔΙ. οἴμοι, πόθεν μοι τὰ κακὰ ταυτὶ προσέπεσεν;
τίν' αἰτιάσωμαι θεῶν μ' ἀπολλύναι;
ΞΑ. αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα.
οὗτος. ΔΙ. τί ἔστιν; ΞΑ. οὐ κατήκουσας; ΔΙ. τίνος;
ΞΑ. αὐλῶν πνοῆς. ΔΙ. ἔγωγε, καὶ δᾴδων γέ με
αὖρα τις εἰσέπνευσε μυστικωτάτη.
ἀλλ' ἠρεμὶ πτήξαντες ἀκροασώμεθα.

ΧΟΡΟΣ.

Ἴακχ', ὦ Ἴακχε.
Ἴακχ', ὦ Ἴακχε.
ΞΑ. τοῦτ' ἔστ' ἐκεῖν', ὦ δέσποθ', οἱ μεμυημένοι
ἐνταῦθά που παίζουσιν, οὓς ἔφραζε νῷν.
ᾄδουσι γοῦν τὸν Ἴακχον ὅνπερ Διαγόρας.
ΔΙ. κἀμοὶ δοκοῦσιν. ἡσυχίαν τοίνυν ἄγειν
βέλτιστόν ἐστιν, ὡς ἂν εἰδῶμεν σαφῶς.
ΧΟ. Ἴακχ', ὦ πολυτίμοις ἐν ἕδραις ἐνθάδε ναίων,
Ἴακχ', ὦ Ἴακχε,
ἐλθὲ τόνδ' ἀνὰ λειμῶνα χορεύσων
ὁσίους ἐς θιασώτας,
πολύκαρπον μὲν τινάσσων
περὶ κρατὶ σῷ βρύοντα
στέφανον μύρτων· θρασεῖ δ' ἐγκατακρούων

324—336. = 340—353.

ποδὶ τὰν ἀκόλαστον
φιλοπαίγμονα τιμάν,
χαρίτων πλεῖστον ἔχουσαν μέρος, ἁγνάν, ἱερὰν
ὁσίοις μύσταις χορείαν.
ΞΑ. ὦ πότνια πολυτίμητε Δήμητρος κόρη,
ὡς ἡδύ μοι προσέπνευσε χοιρείων κρεῶν.
ΔΙ. οὔκουν ἀτρέμ' ἕξεις, ἤν τι καὶ χορδῆς λάβῃς;
ΧΟ. ἔγειρε φλογέας λαμπάδας ἐν χερσὶ τινάσσων,
Ἴακχ', ὦ Ἴακχε,
νυκτέρου τελετῆς φωσφόρος ἀστήρ.
φλογὶ φέγγεται δὲ λειμών·
γόνυ πάλλεται γερόντων·
ἀποσείονται δὲ λύπας
χρονίους τ' ἐτῶν παλαιῶν ἐνιαυτοὺς
ἱερᾶς ὑπὸ τιμᾶς.
σὺ δὲ λαμπάδι φέγγων
προβάδην ἔξαγ' ἐπ' ἀνθηρὸν ἕλειον δάπεδον
χοροποιόν, μάκαρ, ἥβαν.
εὐφημεῖν χρὴ κἀξίστασθαι τοῖς ἡμετέροισι χοροῖσιν
ὅστις ἄπειρος τοιῶνδε λόγων, ἢ γνώμῃ μὴ καθα-
ρεύει, [σεν,
ἢ γενναίων ὄργια Μουσῶν μήτ' εἶδεν μήτ' ἐχόρευ-
μηδὲ Κρατίνου τοῦ ταυροφάγου γλώττης βακχεῖ'
ἐτελέσθη, [ποιοῦσιν,
ἢ βωμολόχοις ἔπεσιν χαίρει μὴ 'ν καιρῷ τοῦτο
ἢ στάσιν ἐχθρὰν μὴ καταλύει, μηδ' εὔκολός ἐστι
πολίταις,
ἀλλ' ἀνεγείρει καὶ ῥιπίζει, κερδῶν ἰδίων ἐπιθυμῶν,
ἢ τῆς πόλεως χειμαζομένης ἄρχων καταδωροδο-
κεῖται, [πέμπει
ἢ προδίδωσιν φρούριον ἢ ναῦς, ἢ τἀπόρρητ' ἀπο-
ἐξ Αἰγίνης Θωρυκίων ὤν, εἰκοστολόγος κακοδαί-
μων, [δαυρον,
ἀσκώματα καὶ λίνα καὶ πίτταν διαπέμπων εἰς Ἐπί-
ἢ χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶν παρέχειν
τινὰ πείθει, [δων,
ἢ κατατιλᾷ τῶν Ἑκαταίων, κυκλίοισι χοροῖσιν ὑπᾴ-
ἢ τοὺς μισθοὺς τῶν ποιητῶν ῥήτωρ ὢν εἶτ' ἀπο-
τρώγει, [Διονύσου·
κωμῳδηθεὶς ἐν ταῖς πατρίοις τελεταῖς ταῖς τοῦ
τούτοις αὐδῶ καὖθις ἀπαυδῶ καὖθις τὸ τρίτον
μάλ' ἀπαυδῶ [μολπὴν
ἐξίστασθαι μύσταισι χοροῖς· ὑμεῖς δ' ἀνεγείρετε
καὶ παννυχίδας τὰς ἡμετέρας, αἳ τῇδε πρέπουσιν
χώρει νυν πᾶς ἀνδρείως [ἑορτῇ.
ἐς τοὺς εὐανθεῖς κόλπους
λειμώνων ἐγκρούων
κἀπισκώπτων
καὶ παίζων καὶ χλευάζων.
ἠρίστηται δ' ἐξαρκούντως.
ἀλλ' ἔμβα χὤπως ἀρεῖς
τὴν σώτειραν γενναίως

372—376. = 377—381.

---

286. 'στιν duo codices, alii 'στ', om. RV aliique. ἐξόπισθεν R. Ἐξόπισθεν V. ὄπισθεν alii. ἐξόπισθ' ἴθι Dobraeus] ἐξόπισθεν αὖ V. ἐξόπισθε νῦν alii. ἐξόπισθεν, omisso αὖ vel νῦν, R. 300. τοῦτ' ἔθ' D. τοῦτό γ' RV. τοῦτό γ' ἔθ' alii. 304. γαλῆν] γαλὴν R. γαλήν' alii, ut est ap. Eurip. Or. 281., quod γαλῆν pronunciaverat Hegelochus histrio. 308. Xanthiae tribuit Aristarchus ap. schol., Dionyso continuant codices. σου R. μου vel μοι ceteri. 309. προσέπεσεν] προσέπτατο (γρ. προσέμπεσε) V. προσέπτατο qui scripsit recordatus erat versuum tragicorum, velut Aesch. Prom. 644. Soph. Ai. 282. Euripidis Alc. 421. 310. αἰτιάσωμαι D.] αἰτιάσομαι 311. Verba ex v. 100. repetita R aliique nonnulli Xanthiae tribuunt, plerique Dionyso. De prava personarum notatione in versibus proximis, quae est in libris plerisque, vid. Annot. Oxon. p. 225. 324. πολυτίμοις Hermannus] πολυτιμήτοις 329. περὶ RV. ἀμφὶ alii cum Eustathio p. 1715, 62. qui ἐπὶ p. 701, 2.

340. χερσὶ Hermannus] χερσὶ γὰρ ἥκει (ἥκεις codices deteriores) 344. φέγγεται] φλέγεται V aliique nonnulli. 350. φέγγων Bothius] φλέγων 359. γνώμῃ] γνώμην libri aliquot. γνώμῃ Plut. Mor. p. 349b. γλώσσῃ ibid. p. 348d. 363. ὢν om. R. 366. ὑπᾴδων] ἐπᾴδων R aliique nonnulli et schol. ad v. 153. 369. τούτοις αὐδῶ ex Gellio Praef. N. A. p. 11. τούτοις ἀπαυδῶ R. τούτοισιν ἀπαυδῶ alii. τοισίδ' ἀπαυδῶ Meinekius. οἷσιν ἀπαυδῶ Kockius. τοῦτον ἀπαυδῶ Meierus. 371. καὶ — αἳ τῇδε πρέπουσιν] κατὰ — καὶ τῇδε πρέπουσαν Hamakerus. 376. ἠρίστηται] Ex Athen. 11. p. 464f. explicuit Bernhardyus Hist. Lit. Gr. vol. 2. p. 656. 377. ἀρεῖς Scaliger] αἴρεις vel αἴρῃς

τῇ φωνῇ μολπάζων,
ἣ τὴν χώραν
σώσειν φήσ' ἐς τὰς ὥρας,
κἂν Θωρυκίων μὴ βούληται.
ἄγε νυν ἑτέραν ὕμνων ἰδέαν τὴν καρποφόρον βασίλειαν, [κελαδεῖτε.
Δήμητρα θεάν, ἐπικοσμοῦντες ζαθέοις μολπαῖς
Δήμητερ, ἁγνῶν ὀργίων
ἄνασσα, συμπαραστάτει,
καὶ σῶζε τὸν σαυτῆς χορόν·
καί μ' ἀσφαλῶς πανήμερον
παῖσαί τε καὶ χορεῦσαι·
καὶ πολλὰ μὲν γέλοιά μ' εἰ-
πεῖν, πολλὰ δὲ σπουδαῖα, καὶ
τῆς σῆς ἑορτῆς ἀξίως
παίσαντα καὶ σκώψαντα νι-
κήσαντα ταινιοῦσθαι.
ἀλλ' εἶα
νῦν καὶ τὸν ὡραῖον θεὸν παρακαλεῖτε δεῦρο
ᾠδαῖσι, τὸν ξυνέμπορον τῆσδε τῆς χορείας.
Ἴακχε πολυτίμητε, μέλος ἑορτῆς
ἥδιστον εὑρών, δεῦρο συνακολούθει
πρὸς τὴν θεὸν καὶ δεῖξον ὡς
ἄνευ πόνου πολλὴν ὁδὸν περαίνεις.
Ἴακχε φιλοχορευτά, συμπρόπεμπέ με.
σὺ γὰρ κατεσχίσω μὲν ἐπὶ γέλωτι
κἀπ' εὐτελείᾳ τόν τε σανδαλίσκον
καὶ τὸ ῥάκος, κἀξηῦρες ὥστ'
ἀζημίους παίζειν τε καὶ χορεύειν.
Ἴακχε φιλοχορευτά, συμπρόπεμπέ με.
καὶ γὰρ παραβλέψας τι μειρακίσκης
νῦν δὴ κατεῖδον, καὶ μάλ' εὐπροσώπου,
ξυμπαιστρίας χιτωνίου
παραρραγέντος τιτθίον προκύψαν.
Ἴακχε φιλοχορευτά, συμπρόπεμπέ με.

ΞΑ. ἐγὼ δ' ἀεί πως φιλακόλουθός εἰμι καὶ μετ' αὐτῆς
παίζων χορεύειν βούλομαι. ΔΙ. κἄγωγε προσχορεύσω.

ΧΟ. βούλεσθε δῆτα κοινῇ
σκώψωμεν Ἀρχέδημον,
ὃς ἑπτέτης ὢν οὐκ ἔφυσε φράτερας,
νυνὶ δὲ δημαγωγεῖ
ἐν τοῖς ἄνω νεκροῖσι,
κἀστὶν τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας.
τὸν Κλεισθένη δ' ἀκούω
ἐν ταῖς ταφαῖσι πρωκτὸν
τίλλειν ἑαυτοῦ καὶ σπαράττειν τὰς γνάθους·
κἀκόπτετ' ἐγκεκυφώς,
κἀκλαε κἀκεκράγει
Σεβῖνον, ὅστις ἐστὶν Ἀναφλύστιος.
καὶ Καλλίαν γέ φασι
τοῦτον τὸν Ἱπποβίνου
κύσθῳ λεοντῆν ναυμαχεῖν ἐνημμένον.

384—388. = 389—393.
394—397. = 440—443.
414—415. = 444—445.
416—439. octo trinorum versuum systemata paria.

ΔΙ. ἔχοιτ' ἂν οὖν φράσαι νῷν
Πλούτων' ὅπου 'νθάδ' οἰκεῖ;
ξένω γάρ ἐσμεν ἀρτίως ἀφιγμένω.

ΧΟ. μηδὲν μακρὰν ἀπέλθῃς,
μηδ' αὖθις ἐπανέρῃ με,
ἀλλ' ἴσθ' ἐπ' αὐτὴν τὴν θύραν ἀφιγμένος.

ΔΙ. αἴροι' ἂν αὖθις, ὦ παῖ.

ΞΑ. τουτὶ τί ἦν τὸ πρᾶγμα;
ἀλλ' ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασιν.

ΧΟ. χωρεῖτε
νῦν ἱρὸν ἀνὰ κύκλον θεᾶς, ἀνθοφόρον ἀν' ἄλσος
παίζοντες οἷς μετουσία θεοφιλοῦς ἑορτῆς.

ΔΙ. ἐγὼ δὲ σὺν ταῖσιν κόραισιν εἶμι καὶ γυναιξίν,
οὗ παννυχίζουσιν θεᾷ, καὶ φέγγος ἱρὸν οἴσω.

ΧΟ. χωρῶμεν ἐς πολυρρόδους λειμῶνας ἀνθεμώδεις,
τὸν ἡμέτερον τρόπον,
τὸν καλλιχορώτατον,
παίζοντες, ὃν ὄλβιαι
Μοῖραι ξυνάγουσιν.
μόνοις γὰρ ἡμῖν ἥλιος καὶ φέγγος ἱλαρόν ἐστιν,
ὅσοι μεμυήμεθ' εὐ-
σεβῆ τε διήγομεν
τρόπον περὶ τοὺς ξένους
καὶ τοὺς ἰδιώτας.

ΔΙ. ἄγε δὴ τίνα τρόπον τὴν θύραν κόψω; τίνα;
πῶς ἐνθάδ' ἄρα κόπτουσιν οὑπιχώριοι;

ΞΑ. οὐ μὴ διατρίψεις, ἀλλὰ γεύσει τῆς θύρας,
καθ' Ἡρακλέα τὸ σχῆμα καὶ τὸ λῆμ' ἔχων;

ΔΙ. παῖ παῖ.

ΑΙΑΚΟΣ.
τίς οὗτος; ΔΙ. Ἡρακλῆς ὁ καρτερός.

ΑΙ. ὦ βδελυρὲ κἀναίσχυντε καὶ τολμηρὲ σὺ
καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε,
ὃς τὸν κύν' ἡμῶν ἐξελάσας τὸν Κέρβερον
ἀπῇξας ἄγχων κἀποδρὰς ᾤχου λαβών,
ὃν ἐγὼ 'φύλαττον. ἀλλὰ νῦν ἔχει μέσος·
τοία Στυγός σε μελανοκάρδιος πέτρα
Ἀχερόντιός τε σκόπελος αἱματοσταγὴς
φρουροῦσι, Κωκυτοῦ τε περίδρομοι κύνες,
Ἔχιδνά θ' ἑκατογκέφαλος, ἣ τὰ σπλάγχνα σου
διασπαράξει, πλευμόνων τ' ἀνθάψεται
Ταρτησσία μύραινα· τὼ νεφρὼ δέ σου
αὐτοῖσιν ἐντέροισιν ᾑματωμένω
διασπάσονται Γοργόνες Τιθράσιαι,
ἐφ' ἃς ἐγὼ δρομαῖον ὁρμήσω πόδα.

ΞΑ. οὗτος, τί δέδρακας; ΔΙ. ἐγκέχοδα· κάλει θεόν.

ΞΑ. ὦ καταγέλαστ', οὔκουν ἀναστήσει ταχὺ
πρίν τινά σ' ἰδεῖν ἀλλότριον; ΔΙ. ἀλλ' ὡρακιῶ.
ἀλλ' οἶσε πρὸς τὴν καρδίαν μου σφογγιάν.

ΞΑ. ἰδοὺ λαβέ, προσθοῦ. ΔΙ. ποῦ 'στιν; ΞΑ. ὦ χρυσοῖ θεοί,
ἐνταῦθ' ἔχεις τὴν καρδίαν; ΔΙ. δείσασα γὰρ
ἐς τὴν κάτω μου κοιλίαν καθείρπυσεν.

ΞΑ. ὦ δειλότατε θεῶν σὺ κἀνθρώπων. ΔΙ. ἐγώ;
πῶς δειλὸς ὅστις σφογγιὰν ᾔτησά σε;
οὐκ ἂν ἕτερός γ' αὔτ' εἰργάσατ' ἀνήρ. ΞΑ. ἀλλὰ τί;

ΔΙ. κατέκειτ' ἂν ὀσφραινόμενος, εἴπερ δειλὸς ἦν·
ἐγὼ δ' ἀνέστην καὶ προσέτ' ἀπεψησάμην.

448—453. = 454—459.

---

380. σώσειν D.] σώσει V. σώζειν ceteri. 382. ἡμιχ. ἢ ἱερεύς praescriptum in R. 383. ζαθέοις R et Barocc. ζαθέαις ceteri. 394. ἀλλ' Bentleius] ἄγ'. Vid. Annot. Oxon. p. 250. 398. μέλος] τέλος Meinekius. 405. τόν τε Bentleius] τόνδε τὸν 412. παραρραγέντος] διαρραγέντος R. 415. προσχορεύσω D.] πρός 418. φράτερας D.] φράτορας 427. Ἀναφλύστιος Porsonus] ἀναφλύστιος 430. κύσθῳ Fritzschius] κύσθου

441. 447. ἱρὸν D.] ἱερὸν 444. κόραισιν D.] κόραις 445. καὶ addidit D. οἴσω D.] οἴσων 462. γεύσει Elmsleius] γεύσηι R. γεῦσαι ceteri. 475. Ταρτησσία codex unus. Ταρτησία ceteri. 482. 487. σφογγιάν Brunckius] σπογγιάν 483. προσθοῦ D.] πρόσθου 488. οὐκ ἂν V. οὔκουν ceteri. οὐ τἂν Elmsleius. γ' αὔτ' R et Cantabr. unus. ταῦτ' ceteri.

ΞΑ. ἀνδρεῖά γ', ὦ Πόσειδον. ΔΙ. οἶμαι νὴ Δία.
σὺ δ' οὐκ ἔδεισας τὸν ψόφον τῶν ῥημάτων
καὶ τὰς ἀπειλάς; ΞΑ. οὐ μὰ Δί' οὐδ' ἐφρόντισα.
ΔΙ. ἴθι νυν, ἐπειδὴ ληματιᾷς κἀνδρεῖος εἶ,
σὺ μὲν γενοῦ 'γώ, τὸ ῥόπαλον τουτὶ λαβὼν
καὶ τὴν λεοντῆν, εἴπερ ἀφοβόσπλαγχνος εἶ·
ἐγὼ δ' ἔσομαί σοι σκευοφόρος ἐν τῷ μέρει.
ΞΑ. φέρε δὴ ταχέως αὔτ'· οὐ γὰρ ἀλλὰ πειστέον·
καὶ βλέψον ἐς τὸν Ἡρακλειοξανθίαν,
εἰ δειλὸς ἔσομαι καὶ κατὰ σὲ τὸ λῆμ' ἔχων.
ΔΙ. μὰ Δί' ἀλλ' ἀληθῶς οὐκ Μελίτης μαστιγίας.
φέρε νυν, ἐγὼ τὰ στρώματ' ἄρωμαι ταδί.

ΘΕΡΑΠΑΙΝΑ.

ὦ φίλταθ' ἥκεις Ἡράκλεις; δεῦρ' εἴσιθι.
ἡ γὰρ θεός σ' ὡς ἐπύθεθ' ἥκοντ', εὐθέως
ἔπεττεν ἄρτους, ἧψε κατερεικτῶν χύτρας
ἔτνους δύ' ἢ τρεῖς, βοῦν ἀπηνθράκιζ' ὅλον,
πλακοῦντας ὤπτα, κολλάβους. ἀλλ' εἴσιθι. [ἐγὼ
ΞΑ. κάλλιστ', ἐπαινῶ. ΘΕ. μὰ τὸν Ἀπόλλω οὐ μή σ'
περιόψομἀπελθόντ', ἐπεί τοι καὶ κρέα
ἀνέβραττεν ὀρνίθεια, καὶ τραγήματα
ἔφρυγε, κῳνον ἀνεκεράννυ γλυκύτατον.
ἀλλ' εἴσιθ' ἅμ' ἐμοί. ΞΑ. πάνυ καλῶς. ΘΕ. ληρεῖς ἔχων·
οὐ γάρ σ' ἀφήσω. καὶ γὰρ αὐλητρίς γέ σοι
ἤδη 'νδον ἔσθ' ὡραιοτάτη κὠρχηστρίδες
ἕτεραι δύ' ἢ τρεῖς. ΞΑ. πῶς λέγεις; ὀρχηστρίδες;
ΘΕ. ἡβυλλιῶσαι κἄρτι παρατετιλμέναι.
ἀλλ' εἴσιθ', ὡς ὁ μάγειρος ἤδη τὰ τεμάχη
ἔμελλ' ἀφαιρεῖν χἠ τράπεζ' εἰσῄρετο.
ΞΑ. ἴθι νυν, φράσον πρώτιστα ταῖς ὀρχηστρίσιν
ταῖς ἔνδον οὔσαις αὐτὸς ὡς εἰσέρχομαι.
ὁ παῖς, ἀκολούθει δεῦρο τὰ σκεύη φέρων.
ΔΙ. ἐπίσχες οὗτος. οὔ τί που σπουδὴν ποιεῖ,
ὁτιή σε παίζων Ἡρακλέα 'νεσκεύασα;
οὐ μὴ φλυαρήσεις ἔχων, ὦ Ξανθία,
ἀλλ' ἀράμενος οἴσεις πάλιν τὰ στρώματα;
ΞΑ. τί δ' ἔστιν; οὐ δή πού μ' ἀφελέσθαι διανοεῖ
ἅδωκας αὐτός; ΔΙ. οὐ τάχ', ἀλλ' ἤδη ποιῶ.
κατάθου τὸ δέρμα. ΞΑ. ταῦτ' ἐγὼ μαρτύρομαι
καὶ τοῖς θεοῖσιν ἐπιτρέπω. ΔΙ. ποίοις θεοῖς;
τὸ δὲ προσδοκῆσαί σ' οὐκ ἀνόητον καὶ κενὸν
ὡς δοῦλος ὢν καὶ θνητὸς Ἀλκμήνης ἔσει;
ΞΑ. ἀμέλει, καλῶς· ἔχ' αὔτ'. ἴσως γάρ τοί ποτε
ἐμοῦ δεηθείης ἄν, εἰ θεὸς θέλοι.
ΧΟ. ταῦτα μὲν πρὸς ἀνδρός ἐστι
νοῦν ἔχοντος καὶ φρένας καὶ
πολλὰ περιπεπλευκότος,
μετακυλίνδειν αὑτὸν ἀεὶ
πρὸς τὸν εὖ πράττοντα τοῖχον
μᾶλλον ἢ γεγραμμένην
εἰκόν' ἑστάναι, λαβόνθ' ἓν
σχῆμα· τὸ δὲ μεταστρέφεσθαι
πρὸς τὸ μαλθακώτερον
δεξιοῦ πρὸς ἀνδρός ἐστι
καὶ φύσει Θηραμένους.
ΔΙ. οὐ γὰρ ἂν γέλοιον ἦν, εἰ
Ξανθίας μὲν δοῦλος ὢν ἐν
στρώμασιν Μιλησίοις
ἀνατετραμμένος κυνῶν ὀρ-
χηστρίδ', εἶτ' ᾔτησεν ἀμίδ',
γὼ δὲ πρὸς τοῦτον βλέπων
τοὐρεβίνθου 'δραττόμην, οὗ-
τος δ' ἅτ' ὢν αὐτὸς πανοῦργος
εἶδε, κᾆτ' ἐκ τῆς γνάθου
πὺξ πατάξας μοὐξέκοψε
τοὺς χοροὺς τοὺς προσθίους;

534—548. = 590—604.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Α.

ΠλαθάνηΠλαθάνη, δεῦρ' ἔλθ', ὁ πανοῦργος οὑτοσί,
ὃς ἐς τὸ πανδοκεῖον εἰσελθών ποτε
ἑκκαίδεκ' ἄρτους κατέφαγ' ἡμῶν.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ Β.

νὴ Δία,
ἐκεῖνος αὐτὸς δῆτα. ΞΑ. κακὸν ἥκει τινί.
ΠΑΝ. Α. καὶ κρέα γε πρὸς τούτοισιν ἀνάβραστ' εἴκοσιν
ἀν' ἡμιωβολιαῖα. ΞΑ. δώσει τις δίκην.
ΠΑΝ. Α. καὶ τὰ σκόροδα τὰ πολλά. ΔΙ. ληρεῖς, ὦ γύναι,
κοὐκ οἶσθ' ὅ τι λέγεις. ΠΑΝ. Α. οὐ μὲν οὖν με προσεδόκας,
ὁτιὴ κοθόρνους εἶχες, ἂν γνῶναί σ' ἔτι;
τί δαί; τὸ πολὺ τάριχος οὐκ εἴρηκά πω.
ΠΑΝ. Β. μὰ Δί', οὐδὲ τὸν τυρόν γε τὸν χλωρόν, τάλαν,
ὃν οὗτος αὐτοῖς τοῖς ταλάροις κατήσθιεν.
ΠΑΝ. Α. κἄπειτ' ἐπειδὴ τἀργύριον ἐπραττόμην,
ἔβλεψεν ἔς με δριμὺ κἀμυκᾶτό γε.
ΞΑ. τούτου πάνυ τοὔργον, οὗτος ὁ τρόπος πανταχοῦ.
ΠΑΝ. Β. καὶ τὸ ξίφος γ' ἐσπᾶτο, μαίνεσθαι δοκῶν.
ΠΑΝ. Α. νὴ Δία, τάλαινα. νὼ δὲ δεισάσα γέ που
ἐπὶ τὴν κατήλιφ' εὐθὺς ἀνεπηδήσαμεν·
ὁ δ' ᾤχετ' ἐξάξας γε τὰς ψιάθους λαβών.
ΞΑ. καὶ τοῦτο τούτου τοὔργον. ἀλλ' ἐχρῆν τι δρᾶν.
ΠΑΝ. Α. ἴθι δὴ κάλεσον τὸν προστάτην Κλέωνά μοι.
ΠΑΝ. Β. σὺ δ' ἔμοιγ', ἐάνπερ ἐπιτύχῃς, Ὑπέρβολον,
ἵν' αὐτὸν ἐπιτρίψωμεν. ΠΑΝ. Α. ὦ μιαρὰ φάρυγξ,
ὡς ἡδέως ἄν σου λίθῳ τοὺς γομφίους
κόπτοιμ' ἄν, οἷς μου κατέφαγες τὰ φορτία.

---

494. ληματιᾷς] ληματίας var. lectio ap. schol. quod voc. annotarunt Hesychius, Photius et Suidas per φρονηματίας interpretati. 502. ἄρωμαι Cobetus] αἴρωμαι ταδί] τάδε R. 505. κατερεικτῶν codex unus (alii κατερηκτῶν) cum Suida s. v. ἐρεικτόν et schol. Homeri Il. 13, 441. κατερικτῶν ceteri cum Etym. M. p. 387, 14. κατερεικτοῦ codex Mutin. et Diaconus ad Hesiodi scut. 287. 506. βοῦν] τ' addit V, δ' Suidas s. v. ἀπηνθράκιζεν. 508. οὐ delet Elmsleius. 509. περιόψομἀπελθόντ' Porsonus] περιόψομαι ἀπελθόντ' 514. ἤδη 'νδον D.] ἤδ' ἔνδον 518. ἔμελλ' R. ἤμελλ' ceteri. 520. ὡς] ὅτι R et cod. Mutin. ὅτ' V. 523. Ἡρακλέα 'νεσκεύασα Elmsleius] ἡρακλέ' ἐσκεύασα R. ἡρακλέα γ' ἐσκεύασα (ἐσκεύακα V) alii. 531. Ἀλκμήνης D.] ἀλκμήνης

546. αὐτὸς] καὐτὸς Bergkius. 549. Duae in scenam prodeunt πανδοκεύτριαι. Prioris cauponae verbis in libris omnibus πανδοκεύτρια praescriptum est, alterius in libris antiquioribus ἑτέρα πανδοκεύτρια vel ἄλλη πανδοκεύτρια, in recentioribus nonnullis πλαθάνη, quo nomine appellatur v. 549., in aliis simpliciter πανδοκεύτρια. Sermones ipsi in libris aliis aliter inter loquentes sunt distributi, ut videre licet in Annot. Oxon. p. 238., quanquam in hac re librorum auctoritas nulla est. Tantum manifestum est, primarias πανδοκευτρίας α' partes esse, interpositis brevioribus Xanthiae, Dionysi et πανδοκευτρίας β' sermonibus.
557. ἂν γνῶναι Elmsleius] ἀναγνῶναι 562. νὼ δὲ —] His verbis continuatur narratio post verba κἀμυκᾶτό γε v. 562. interrupta, nulla habita verborum interpositorum ratione. Similiter in Thesm. 50. verba μέλλει γὰρ ὁ καλλιεπὴς Ἀγάθων, | πρόμος ἡμέτερος continuantur post verba plura interposita v. 52. δρυόχους τιθέναι δράματος ἀρχάς. Et infra v. 797. 800. δεισάσα RV. δείσασαι ceteri. 567. τὰς ψιάθους] Scholiasta, ἐν τῷ Καλλιστράτου γέγραπται τοὺς ψιάθους, καὶ σεσημείωται τοῦτο, ὅτι ἀρσενικῶς εἶπε. Feminino utitur Lys. 921.

ΠΑΝ. Β. ἐγὼ δ' ἂν ἐς τὸ βάραθρον ἐμβάλοιμί σε.
ΠΑΝ. Α. ἐγὼ δὲ τὸν λάρυγγ' ἂν ἐκτέμοιμί σου
δρέπανον λαβοῦσ', ᾧ τὰς χόλικας κατέσπασας.
ἀλλ' εἶμ' ἐπὶ τὸν Κλέων', ὃς αὐτοῦ τήμερον
ἐκπηνιεῖται ταῦτα προσκαλούμενος.
ΔΙ. κάκιστ' ἀπολοίμην, Ξανθίαν εἰ μὴ φιλῶ.
ΞΑ. οἶδ' οἶδα τὸν νοῦν· παῦε παῦε τοῦ λόγου.
οὐκ ἂν γενοίμην Ἡρακλῆς αὖ. ΔΙ. μηδαμῶς,
ὦ Ξανθίδιον. ΞΑ. καὶ πῶς ἂν Ἀλκμήνης ἐγὼ
υἱὸς γενοίμην, δοῦλος ἅμα καὶ θνητὸς ὤν;
ΔΙ. οἶδ' οἶδ' ὅτι θυμοῖ, καὶ δικαίως αὐτὸ δρᾷς·
κἂν εἴ με τύπτοις, οὐκ ἂν ἀντείποιμί σοι.
ἀλλ' ἤν σε τοῦ λοιποῦ ποτ' ἀφέλωμαι χρόνου,
πρόρριζος αὐτός, ἡ γυνή, τὰ παιδία,
κάκιστ' ἀπολοίμην, κἀρχέδημος ὁ γλάμων.
ΞΑ. δέχομαι τὸν ὅρκον, κἀπὶ τούτοις λαμβάνω.
ΧΟ. νῦν σὸν ἔργον ἔστ', ἐπειδὴ
τὴν στολὴν εἴληφας, ἥνπερ
εἶχες ἐξ ἀρχῆς, πάλιν
ἀνανεάζειν ⏓ ⏑ – ⏑
καὶ βλέπειν αὖθις τὸ δεινόν,
τοῦ θεοῦ μεμνημένον
ᾧπερ εἰκάζεις σεαυτόν.
εἰ δὲ παραληρῶν ἁλώσει
καὶ βαλεῖς τι μαλθακόν,
αὖθις αἴρεσθαί σ' ἀνάγκη
'σται πάλιν τὰ στρώματα.
ΞΑ. οὐ κακῶς, ὦνδρες, παραινεῖτ',
ἀλλὰ καὐτὸς τυγχάνω ταῦτ'
ἄρτι συννοούμενος.
ὅτι μὲν οὖν, ἢν χρηστὸν ᾖ τι,
ταῦτ' ἀφαιρεῖσθαι πάλιν πει-
ράσεταί μ' εὖ οἶδ' ὅτι.
ἀλλ' ὅμως ἐγὼ παρέξω
'μαυτὸν ἀνδρεῖον τὸ λῆμα
καὶ βλέποντ' ὀρίγανον.
δεῖν δ' ἔοικεν, ὡς ἀκούω
τῆς θύρας καὶ δὴ ψόφον.
ΑΙ. ξυνδεῖτε ταχέως τουτονὶ τὸν κυνοκλοπον,
ἵνα δῷ δίκην· ἀνύετον. ΔΙ. ἥκει τῳ κακόν.
ΞΑ. οὐκ ἐς κόρακας; οὐ μὴ πρόσιτον; ΑΙ. εἶεν, μαχεῖ;
ὁ Διτύλας χὡ Σκεβλύας χὡ Παρδόκας
χωρεῖτε δευρὶ καὶ μάχεσθε τουτῳί.
ΔΙ. εἶτ' οὐχὶ δεινὰ ταῦτα, τύπτειν τουτονὶ
κλέπτοντα πρὸς τἀλλότρια; ΞΑ. μᾶλλ' ὑπερφυᾶ.
ΑΙ. σχέτλια μὲν οὖν καὶ δεινά. ΞΑ. καὶ μὴν νὴ Δία,
εἰ πώποτ' ἦλθον δεῦρ', ἐθέλω τεθνηκέναι,
ἢ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.
καί σοι ποιήσω πρᾶγμα γενναῖον πάνυ·
βασάνιζε γὰρ τὸν παῖδα τουτονὶ λαβών,
κἄν ποτέ μ' ἕλῃς ἀδικοῦντ', ἀπόκτεινόν μ' ἄγων.
ΑΙ. καὶ πῶς βασανίσω; ΞΑ. πάντα τρόπον, ἐν κλίμακι
δήσας, κρεμάσας, ὑστριχίδι μαστιγῶν, δέρων,
στρεβλῶν, ἔτι δ' ἐς τὰς ῥῖνας ὄξος ἐγχέων,
πλίνθους ἐπιτιθείς, πάντα τἄλλα, πλὴν πράσῳ
μὴ τύπτε τοῦτον μηδὲ γητείῳ νέῳ.
ΑΙ. δίκαιος ὁ λόγος· κἄν τι πηρώσω γέ σοι
τὸν παῖδα τύπτων, τἀργύριόν σοι κείσεται.
ΞΑ. μὴ δῆτ' ἔμοιγ'. οὕτω δὲ βασάνιζ' ἀπαγαγών.
ΑΙ. αὐτοῦ μὲν οὖν, ἵνα σοὶ κατ' ὀφθαλμοὺς λέγῃ.
κατάθου σὺ τὰ σκεύη ταχέως, χὤπως ἐρεῖς
ἐνταῦθα μηδὲν ψεῦδος. ΔΙ. ἀγορεύω τινὶ
ἐμὲ μὴ βασανίζειν ἀθάνατον ὄντ'· εἰ δὲ μή,
αὐτὸς σεαυτὸν αἰτιῶ. ΑΙ. λέγεις δὲ τί;
ΔΙ. ἀθάνατος εἶναί φημι Διόνυσος Διός,
τοῦτον δὲ δοῦλον. ΑΙ. ταῦτ' ἀκούεις; ΞΑ. φήμ' ἐγώ.
καὶ πολύ γε μᾶλλόν ἐστι μαστιγωτέος·
εἴπερ θεὸς γάρ ἐστιν, οὐκ αἰσθήσεται.
ΔΙ. τί δῆτ', ἐπειδὴ καὶ σὺ φῂς εἶναι θεός,
οὐ καὶ σὺ τύπτει τὰς ἴσας πληγὰς ἐμοί;
ΞΑ. δίκαιος ὁ λόγος· χὠπότερον ἂν νῷν ἴδῃς
κλαύσαντα πρότερον ἢ προτιμήσαντά τι
τυπτόμενον, εἶναι τοῦτον ἡγοῦ μὴ θεόν.
ΑΙ. οὐκ ἔσθ' ὅπως οὐκ εἶ σὺ γεννάδας ἀνήρ·
χωρεῖς γὰρ ἐς τὸ δίκαιον. ἀποδύεσθε δή.
ΞΑ. πῶς οὖν βασανιεῖς νὼ δικαίως; ΑΙ. ῥᾳδίως·
πληγὴν παρὰ πληγὴν ἑκάτερον. ΞΑ. καλῶς λέγεις.
ἰδού, σκόπει νυν ἤν μ' ὑποκινήσαντ' ἴδῃς.
ΑΙ. ἤδη 'πάταξά σ'. ΞΑ. οὐ μὰ Δί', οὐκ ἐμοὶ δοκεῖς.
ΑΙ. ἀλλ' εἶμ' ἐπὶ τονδὶ καὶ πατάξω. ΔΙ. πηνίκα;
ΑΙ. καὶ δὴ 'πάταξα. ΔΙ. κᾆτα πῶς οὐκ ἔπταρον;
ΑΙ. οὐκ οἶδα· τουδὶ δ' αὖθις ἀποπειράσομαι.
ΞΑ. οὔκουν ἀνύσεις; ἰατταταῖ. ΑΙ. τί τατταταῖ;
μῶν ὠδυνήθης; ΞΑ. οὐ μὰ Δί', ἀλλ' ἐφρόντισα
ὁπόθ' Ἡράκλεια τἀν Διομείοις γίγνεται.
ΑΙ. ἄνθρωπος ἱερός· δεῦρο πάλιν βαδιστέον.
ΔΙ. ἰοὺ ἰού. ΑΙ. τί ἔστιν; ΔΙ. ἱππέας ὁρῶ.
ΑΙ. τί δῆτα κλάεις; ΔΙ. κρομμύων ὀσφραίνομαι.
ΑΙ. ἐπεὶ προτιμᾷς γ' οὐδέν. ΔΙ. οὐδέν μοι μέλει.
ΑΙ. βαδιστέον τἄρ' ἐστὶν ἐπὶ τονδὶ πάλιν.
ΞΑ. οἴμοι. ΑΙ. τί ἔστι; ΞΑ. τὴν ἄκανθαν ἔξελε.
ΑΙ. τί τὸ πρᾶγμα τουτί; δεῦρο πάλιν βαδιστέον.
ΔΙ. Ἄπολλον, ὅς που Δῆλον ἢ Πυθῶν' ἔχεις.
ΞΑ. ἤλγησεν· οὐκ ἤκουσας; ΔΙ. οὐκ ἔγωγ', ἐπεὶ
ἴαμβον Ἱππώνακτος ἀνεμιμνησκόμην.
ΞΑ. οὐδὲν ποιεῖς γάρ, ἀλλὰ τὰς λαγόνας σπόδει.
ΑΙ. μὰ τὸν Δί', ἀλλ' ἤδη πάρεχε τὴν γαστέρα.
ΔΙ. Πόσειδον, ΞΑ. ἤλγησέν τις.
ΔΙ. ὃς Αἰγαίου πρῶνας ἢ γλαυκᾶς μέδεις
ἁλὸς ἐν βένθεσιν.
ΑΙ. οὔ τοι μὰ τὴν Δήμητρα δύναμαί πω μαθεῖν
ὁπότερος ὑμῶν ἐστι θεός. ἀλλ' εἴσιτον·
ὁ δεσπότης γὰρ αὐτὸς ὑμᾶς γνώσεται

---

574. Scholiasta, τινές φασι τὸν Διόνυσον λέγειν τοῦτον τὸν στίχον. δ' ἂν ἐς D.] δέ γ' εἰς vel δ' ἐς vel δ' εἰς 576. τὰς Schaeferus secundum Phrynichi praeceptum in Bekk. Anecd. p. 72, 5. χόλικας Schweighaeuserus] κόλικας 581. αὖ Hermannus] ἂν
593. Lacuna in recentioribus codicibus nonnullis expleta verbis ex versu strophico 536. fictis σαυτὸν ἀεί. In Raliisque nonnullis gl. est σεαυτὸν (vel ἑαυτὸν) πρὸς τὸ σοβαρόν: unde Fritzschius ἀνανεάζειν πρὸς τὸ γαῦρον. 595. καὶ βαλεῖς] κἀκβάλῃς V, i. e. κἀκβαλεῖς, ut L. Dindorfius in Thes. vol. 5. p. 553. 597. ἀνάγκη 'σται ('στιν Bentleius) πάλιν Dawesius] ἀνάγκη πάλιν R. ἀνάγκη 'στι πάλιν V. ἀνάγκη τις πάλιν codices aliquot recentes. 600. ταῦτ'] τοῦτ' R. 607. οὐ addidit Elmsleius et καὶ post εἶεν delevit. μαχεῖ D.] μάχει 608. Σκεβλύας] σκεβλίας libri deteriores. 609. δευρὶ] δεῦρο R. 611. μᾶλλ' ex schol.] μάλ' 612. ΑΙ.] ΔΙ. duo codices recentes.

618. βασανίσω V. βασανίζω ceteri. 637. χὠπότερον] γ' addunt RV. 645. οὐκ ἐμοὶ δοκεῖς. ΑΙ. ἀλλ' Kockius] οὐδ' ἐμοὶ δοκεῖς. ἀλλ' 652. ἄνθρωπος D.] ἄνθρωπος
655. ἐπεὶ RV. ἔπειτα alii. 664. ἤλγησεν R. ἤλγησε ceteri plerique. Manifestum est hunc trimetrum compleri verbis inferioribus ἁλὸς ἐν βένθεσιν. Mire vero interposita sunt verba, ut scholiasta annotavit, ex Sophoclis Laocoonte petita ὃς Αἰγαίου πρῶνας (πρωνὸς Scaliger. πρῶνας ἔχεις Bergkius) ἢ γλαυκᾶς μέδεις, omissis quae apud Sophoclem sequebantur verbis εὐανέμου λίμνας ἐφ' ὑψηλαῖς σπιλάδεσσι στομάτων. Unde Kockius verba ὃς Αἰγαίου — μέδεις ex scholiastae annotatione irrepsisse coniecit.

χὴ Φερσέφαττ', ἄτ' ὄντε κἀκείνω θεώ.
ΔΙ. ὀρθῶς λέγεις· ἐβουλόμην δ' ἂν τοῦτό σε
πρότερον ποιῆσαι, πρὶν ἐμὲ τὰς πληγὰς λαβεῖν.
ΧΟ. Μοῦσα χορῶν ἱερῶν ἐπίβηθι καὶ ἔλθ' ἐπὶ τέρψιν
ἀοιδᾶς ἐμᾶς
τὸν πολὺν ὀψομένη λαῶν ὄχλον, οὗ σοφίαι
μυρίαι κάθηνται [φιλάλοις
φιλοτιμότεραι Κλεοφῶντος, ἐφ' οὗ δὴ χείλεσιν ἀμ-
δεινὸν ἐπιβρέμεται
Θρῃκία χελιδών,
ἐπὶ βάρβαρον ἑζομένη πέταλον·
τρύζει δ' ἐπίκλαυτον ἀηδόνιον νόμον, ὡς ἀπολεῖ-
ται, κἂν ἴσαι γένωνται.
τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι χρηστὰ τῇ πόλει
ξυμπαραινεῖν καὶ διδάσκειν. πρῶτον οὖν ἡμῖν δοκεῖ
ἐξισῶσαι τοὺς πολίτας κἀφελεῖν τὰ δείματα.
κεἴ τις ἥμαρτε σφαλείς τι Φρυνίχου παλαίσμασιν,
ἐγγενέσθαι φημὶ χρῆναι τοῖς ὀλισθοῦσιν τότε
αἰτίαν ἐκθεῖσι λῦσαι τὰς πρότερον ἁμαρτίας.
εἶτ' ἄτιμόν φημι χρῆναι μηδέν' εἶν' ἐν τῇ πόλει.
καὶ γὰρ αἰσχρόν ἐστι τοὺς μὲν ναυμαχήσαντας μίαν
καὶ Πλαταιᾶς εὐθὺς εἶναι κἀντὶ δούλων δεσπότας.
κοὐδὲ ταῦτ' ἔγωγ' ἔχοιμ' ἂν μὴ οὐ καλῶς φάσκειν
ἔχειν,
ἀλλ' ἐπαινῶ· μόνα γὰρ αὐτὰ νοῦν ἔχοντ' ἐδράσατε.
πρὸς δὲ τούτοις εἰκὸς ὑμᾶς, οἳ μεθ' ὑμῶν πολλὰ δὴ
χοἰ πατέρες ἐναυμάχησαν καὶ προσήκουσιν γένει,
τὴν μίαν ταύτην παρεῖναι ξυμφορὰν αἰτουμένοις.
ἀλλὰ τῆς ὀργῆς ἀνέντες, ὦ σοφώτατοι φύσει,
πάντας ἀνθρώπους ἑκόντες ξυγγενεῖς κτησώμεθα
κἀπιτίμους καὶ πολίτας, ὅστις ἂν ξυνναυμαχῇ.
εἰ δὲ τοῦτ' ὀγκωσόμεσθα κἀποσεμνυνούμεθα,
τὴν πόλιν καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις,
ὑστέρῳ χρόνῳ ποτ' αὖθις εὖ φρονεῖν οὐ δόξομεν.
εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος ἢ τρόπον ὅστις ἔτ'
οἰμώξεται,
οὐ πολὺν οὐδ' ὁ πίθηκος οὗτος ὁ νῦν ἐνοχλῶν,
Κλειγένης ὁ μικρός, [τέφρου
ὁ πονηρότατος βαλανεὺς ὁπόσοι κρατοῦσι κυκησι-
ψευδολίτρου κονίας
καὶ Κιμωλίας γῆς,
χρόνον ἐνδιατρίψει· ἰδὼν δὲ ταδ' οὐκ
εἰρηνικὸς ἔσθ', ἵνα μή ποτε κἀποδυθῇ μεθύων ἄνευ
ξύλου βαδίζων.
πολλάκις γ' ἡμῖν ἔδοξεν ἡ πόλις πεπονθέναι
ταυτὸν ἔς τε τῶν πολιτῶν τοὺς καλούς τε κἀγαθοὺς,
ἔς τε τἀρχαῖον νόμισμα καὶ τὸ καινὸν χρυσίον.
οὔτε γὰρ τούτοισιν οὖσιν οὐ κεκιβδηλευμένοις,
ἀλλὰ καλλίστοις ἁπάντων, ὡς δοκεῖ, νομισμάτων,
καὶ μόνοις ὀρθῶς κοπεῖσι καὶ κεκωδωνισμένοις
ἔν τε τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροισι πανταχοῦ,
χρώμεθ' οὐδέν, ἀλλὰ τούτοις τοῖς πονηροῖς χαλ-
κίοις,
χθές τε καὶ πρώην κοπεῖσι τῷ κακίστῳ κόμματι,
τῶν πολιτῶν θ' οὓς μὲν ἴσμεν εὐγενεῖς καὶ σώ-
φρονας
ἄνδρας ὄντας καὶ δικαίους καὶ καλούς τε κἀγαθοὺς,
καὶ τραφέντας ἐν παλαίστραις καὶ χοροῖς καὶ μου-
σικῇ, [ρίαις
προυσελοῦμεν, τοῖς δὲ χαλκοῖς καὶ ξένοις καὶ πυρ-
καὶ πονηροῖς κἀκ πονηρῶν εἰς ἅπαντα χρώμεθα
ὑστάτοις ἀφιγμένοισιν, οἷσιν ἡ πόλις πρὸ τοῦ
οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν.
ἀλλὰ καὶ νῦν, ὠνόητοι, μεταβαλόντες τοὺς τρό-
πους [γὰρ
χρῆσθε τοῖς χρηστοῖσιν αὖθις· καὶ κατορθώσασι
εὔλογον· κἄν τι σφαλῆτ', ἐξ ἀξίου γοῦν τοῦ ξύλου,
ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.

675—705. = 706—737.

ΕΙ. νὴ τὸν Δία τὸν σωτῆρα, γεννάδας ἀνὴρ
ὁ δεσπότης σου. ΞΑ. πῶς γὰρ οὐχὶ γεννάδας,
ὅστις γε πίνειν οἶδε καὶ βινεῖν μόνον;
ΑΙ. τὸ δὲ μὴ πατάξαι σ' ἐξελεγχθέντ' ἄντικρυς,
ὅτι δοῦλος ὢν ἔφασκες εἶναι δεσπότης.
ΞΑ. ᾤμωξε μέντἄν. ΑΙ. τοῦτο μέντοι δουλικὸν
εὐθὺς πεποίηκας, ὅπερ ἐγὼ χαίρω ποιῶν.
ΞΑ. χαίρεις, ἱκετεύω; ΑΙ. μάλλ' ἐποπτεύειν δοκῶ,
ὅταν καταράσωμαι λάθρα τῷ δεσπότῃ.
ΞΑ. τί δὲ τονθορύζων, ἡνίκ' ἂν πληγὰς λαβὼν
πολλὰς ἀπίῃς θύραζε; ΑΙ. καὶ τόθ' ἥδομαι.
ΞΑ. τί δὲ πολλὰ πράττων; ΑΙ. ὡς μὰ Δί' οὐδὲν οἶδ' ἐγώ.
ΞΑ. ὁμόγνιε Ζεῦ· καὶ παρακούων δεσποτῶν
ἅττ' ἂν λαλῶσι; ΑΙ. μάλλὰ πλεῖν ἢ μαίνομαι.
ΞΑ. τί δὲ τοῖς θύρασι ταῦτα καταλαλῶν; ΑΙ. ἐγώ;
μὰ Δί', ἀλλ' ὅταν δρῶ τοῦτο, κἀκμιαίνομαι.
ΞΑ. ὦ Φοῖβ' Ἄπολλον, ἔμβαλέ μοι τὴν δεξιάν,
καὶ δὸς κύσαι καὐτὸς κύσον, καί μοι φράσον,
πρὸς Διός, ὃς ἡμῖν ἐστιν ὁμομαστιγίας,
τίς οὗτος οὔνδον ἐστὶ θόρυβος καὶ βοὴ
χὠ λοιδορησμός; ΑΙ. Αἰσχύλου κεὐριπίδου.
ΞΑ. ἆ. ΑΙ. πρᾶγμα πρᾶγμα μέγα κεκίνηται μέγα
ἐν τοῖς νεκροῖσι καὶ στάσις πολλὴ πάνυ.
ΞΑ. ἐκ τοῦ; ΑΙ. νόμος τις ἐνθάδ' ἐστὶ κείμενος
ἀπὸ τῶν τεχνῶν, ὅσαι μεγάλαι καὶ δεξιαί,
τὸν ἄριστον ὄντα τῶν ἑαυτοῦ ξυντέχνων
σίτησιν αὐτὸν ἐν πρυτανείῳ λαμβάνειν,
θρόνον τε τοῦ Πλούτωνος ἑξῆς, ΞΑ. μανθάνω.
ΑΙ. ἕως ἀφίκοιτο τὴν τέχνην σοφώτερος
ἕτερός τις αὐτοῦ· τότε δὲ παραχωρεῖν ἔδει.
ΞΑ. τί δῆτα τουτὶ τεθορύβηκεν Αἰσχύλον;
ΑΙ. ἐκεῖνος εἶχε τὸν τραγῳδικὸν θρόνον,
ὡς ὢν κράτιστος τὴν τέχνην. ΞΑ. νυνὶ δὲ τίς;
ΑΙ. ὅτε δὴ κατῆλθ' Εὐριπίδης, ἐπεδείκνυτο
τοῖς λωποδύταις καὶ τοῖσι βαλλαντιοτόμοις
καὶ τοῖσι πατραλοίαισι καὶ τοιχωρύχοις,
ὅπερ ἔστ' ἐν Ἅιδου πλῆθος, οἱ δ' ἀκροώμενοι
τῶν ἀντιλογιῶν καὶ λυγισμῶν καὶ στροφῶν
ὑπερεμάνησαν, κἀνόμισαν σοφώτατον·
κἄπειτ' ἐπαρθεὶς ἀντελάβετο τοῦ θρόνου,
ἵν' Αἰσχύλος καθῆστο. ΞΑ. κοὐκ ἐβάλλετο;

---

684. τρύζει Fritzschius (ῥύζει coniecerat D.)] κελαρύζει, cum Suida s. v. ἐπίκλαυτον. 691. τὰς] τῆς Bergkius. 695. ταῦτ' Paris. A. τοῦτ' ceteri. 696. μόνα] μάλα Meinekius. 699. αἰτουμένοις] αἰτουμένους R. 712. ψευδολίτρου ex Polluce 7, 39. et Eustathio p. 483, 8.] ψευδονίτρου 714. ἰδὼν Bentleius] εἰδὼς 724. Hic versus non legitur apud Pollucem 9, 90. ubi versus 721—726. afferuntur.

730. προυσελοῦμεν] προυγελοῦμεν ap. Stobaeum Floril. 43, 28. de quo dixi in Annot. Oxon. p. 249. 734. καὶ] κἂν Meinekius. 739—809. ΑΙ.] In cod. Paris. D. hic οἰκέτης Αἰακοῦ, postea semper οἰκέτης. in aliis constanter vel Αἰακός vel οἰκέτης, in aliis modo Αἰακός modo οἰκέτης. 743. ᾤμωξε Brunckius] οἴμωζε (οἴμωξε cod. Paris. E.) 748. ἀπίῃς Kusterus] ἀπῇς τόθ'] τοῦθ' R. 749. οἶδ'] ἀλλ' Reiskius. 752. θύρασι Meinekius] θύραζε 757. καὶ RV. χὴ ceteri. 762. ἀπὸ] ἐπὶ vel περὶ Meinekius. 765. ἑξῆς, ΞΑ. μανθάνω. | ΑΙ. ἕως] ἑξῆς, μανθάνεις; | ἕως Meinekius. 768. τουτὶ] τοῦτο V. 771. δὴ] δὲ duo codices recentes. 772. τοῖσι Par. A. τοῖς ceteri. βαλλαντιοτόμοις Lachmannus] βαλαντιοτόμοις RV. βαλαντιητόμοις ceteri.

ΑΙ. μὰ Δί', ἀλλ' ὁ δῆμος ἀνεβόα κρίσιν ποιεῖν
ὁπότερος εἴη τὴν τέχνην σοφώτερος.
ΞΑ. ὁ τῶν πανούργων; ΑΙ. νὴ Δί', οὐράνιόν γ' ὅσον.
ΞΑ. μετ' Αἰσχύλου δ' οὐκ ἦσαν ἕτεροι ξύμμαχοι;
ΑΙ. ὀλίγον τὸ χρηστόν ἐστιν, ὥσπερ ἐνθάδε.
ΞΑ. τί δῆθ' ὁ Πλούτων δρᾶν παρασκευάζεται;
ΑΙ. ἀγῶνα ποιεῖν αὐτίκα μάλα καὶ κρίσιν
κἄλεγχον αὐτῶν τῆς τέχνης. ΞΑ. κἄπειτα πῶς
οὐ καὶ Σοφοκλέης ἀντελάβετο τοῦ θρόνου;
ΑΙ. μὰ Δί' οὐκ ἐκεῖνος, ἀλλ' ἔκυσε μὲν Αἰσχύλον,
ὅτε δὴ κατῆλθε, κἀνέβαλε τὴν δεξιάν,
κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου·
νυνὶ δ' ἔμελλεν, ὡς ἔφη Κλειδημίδης,
ἔφεδρος καθεδεῖσθαι· κἂν μὲν Αἰσχύλος κρατῇ,
ἕξειν κατὰ χώραν· εἰ δὲ μή, περὶ τῆς τέχνης
διαγωνιεῖσθ' ἔφασκε πρός γ' Εὐριπίδην.
ΞΑ. τὸ χρῆμ' ἄρ' ἔσται; ΑΙ. νὴ Δί', ὀλίγον ὕστερον.
κἀνταῦθα δὴ τὰ δεινὰ κινηθήσεται.
καὶ γὰρ ταλάντῳ μουσικὴ σταθμήσεται,
ΞΑ. τί δέ; μειαγωγήσουσι τὴν τραγῳδίαν;
ΑΙ. καὶ κανόνας ἐξοίσουσι καὶ πήχεις ἐπῶν
καὶ πλαίσια ξύμπηκτα ΞΑ. πλινθεύσουσι γάρ;
ΑΙ. καὶ διαμέτρους καὶ σφῆνας. ὁ γὰρ Εὐριπίδης
κατ' ἔπος βασανιεῖν φησι τὰς τραγῳδίας.
ΞΑ. ἦ που βαρέως οἶμαι τόδ' Αἰσχύλον φέρειν.
ΑΙ. ἔβλεψε γοῦν ταυρηδὸν ἐγκύψας κάτω.
ΞΑ. κρινεῖ δὲ δὴ τίς ταῦτα; ΑΙ. τοῦτ' ἦν δύσκολον·
σοφῶν γὰρ ἀνδρῶν ἀπορίαν ηὑρισκέτην.
οὔτε γὰρ Ἀθηναίοισι συνέβαιν' Αἰσχύλος,
ΞΑ. πολλοὺς ἴσως ἐνόμιζε τοὺς τοιχωρύχους.
ΑΙ. λῆρόν τε τἄλλ' ἡγεῖτο τοῦ γνῶναι πέρι
φύσεις ποιητῶν· εἶτα τῷ σῷ δεσπότῃ
ἐπέτρεψαν, ὁτιὴ τῆς τέχνης ἔμπειρος ἦν.
ἀλλ' εἰσίωμεν· ὡς ὁπόταν οἱ δεσπόται
ἐσπουδάκωσι, κλαύμαθ' ἡμῖν γίγνεται,
ΧΟ. ἦ που δεινὸν ἐριβρεμέτας χόλον ἔνδοθεν ἕξει,
ἡνίκ' ἂν ὀξυλάλου παρίδῃ θήγοντος ὀδόντας
ἀντιτέχνου· τότε δὴ μανίας ὑπὸ δεινῆς
ὄμματα στροβήσεται.
ἔσται δ' ἱππολόφων τε λόγων κορυθαίολα νείκη,
σχινδαλάμων τε παραξόνια, σμιλεύματά τ' ἔργων,
φωτὸς ἀμυνομένου φρενοτέκτονος ἀνδρὸς
ῥήμαθ' ἱπποβάμονα.
φρίξας δ' αὐτοκόμου λοφιᾶς λασιαύχενα χαίτην,
δεινὸν ἐπισκύνιον ξυνάγων βρυχώμενος ἥσει
ῥήματα γομφοπαγῆ πινακηδὸν ἀποσπῶν
γηγενεῖ φυσήματι·
ἔνθεν δὴ στοματουργὸς ἐπῶν βασανίστρια λίσφη
γλῶσσ' ἀνελισσομένη φθονεροὺς κινοῦσα χαλινοὺς
ῥήματα δαιομένη καταλεπτολογήσει
πλευμόνων πολὺν πόνον.

ΕΥΡΙΠΙΔΗΣ.

οὐκ ἂν μεθείμην τοῦ θρόνου, μὴ νουθέτει.
κρείττων γὰρ εἶναί φημι τούτου τὴν τέχνην.
ΔΙ. Αἰσχύλε, τί σιγᾷς; αἰσθάνει γὰρ τοῦ λόγου.
ΕΥ. ἀποσεμνυνεῖται πρῶτον, ἅπερ ἑκάστοτε
ἐν ταῖς τραγῳδίαισιν ἐτερατεύετο.
ΔΙ. ὦ δαιμόνι' ἀνδρῶν, μὴ μεγάλα λίαν λέγε.
ΕΥ. ἐγᾦδα τοῦτον καὶ διέσκεμμαι πάλαι,
ἄνθρωπον ἀγριοποιόν, αὐθαδόστομον,
ἔχοντ' ἀχάλινον ἀκρατὲς ἀθύρωτον στόμα,
ἀπεριλάλητον, κομποφακελορρήμονα.

ΑΙΣΧΥΛΟΣ.

ἄληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ;
σὺ δὴ 'μὲ ταῦτ', ὦ στωμυλιοσυλλεκτάδη
καὶ πτωχοποιὲ καὶ ῥακιοσυρραπτάδη;
ἀλλ' οὔ τι χαίρων αὔτ' ἐρεῖς. ΔΙ. παῦ', Αἰσχύλε,
καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ.
ΑΙ. οὐ δῆτα, πρίν γ' ἂν τοῦτον ἀποφήνω σαφῶς
τὸν χωλοποιὸν οἷος ὢν θρασύνεται.
ΔΙ. ἄρν' ἄρνα μέλαιναν, παῖδες, ἐξενέγκατε·
τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται.
ΑΙ. ὦ Κρητικὰς μὲν ξυλλέγων μονῳδίας,
γάμους δ' ἀνοσίους ἐσφέρων ἐς τὴν τέχνην.
ΔΙ. ἐπίσχες οὗτος, ὦ πολυτίμητ' Αἰσχύλε.
ἀπὸ τῶν χαλαζῶν δ', ὦ πονήρ' Εὐριπίδη,
ἄπαγε σεαυτὸν ἐκποδών, εἰ σωφρονεῖς,
ἵνα μὴ κεφαλαίῳ τὸν κρόταφόν σου ῥήματι
θενὼν ὑπ' ὀργῆς ἐκχέῃ τὸν Τήλεφον·
σὺ δὲ μὴ πρὸς ὀργήν, Αἰσχύλ', ἀλλὰ πρᾳόνως
ἔλεγχ' ἐλέγχου· λοιδορεῖσθαι δ' οὐ θέμις
ἄνδρας ποιητὰς ὥσπερ ἀρτοπώλιδας.
σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς.
ΕΥ. ἕτοιμός εἰμ' ἔγωγε, κοὐκ ἀναδύομαι,
δάκνειν δάκνεσθαι πρότερος, εἰ τούτῳ δοκεῖ,
τἄπη, τὰ μέλη, τὰ νεῦρα τῆς τραγῳδίας,
καὶ νὴ Δί τὸν Πηλέα γε καὶ τὸν Αἴολον
καὶ τὸν Μελέαγρον, κἄτι μάλα τὸν Τήλεφον.
ΔΙ. σὺ δὲ δὴ τί βουλεύει ποιεῖν; λέγ', Αἰσχύλε.
ΑΙ. ἐβουλόμην μὲν οὐκ ἐρίζειν ἐνθάδε·
οὐκ ἐξ ἴσου γάρ ἐστιν ἀγὼν νῷν. ΔΙ. τί δαί;
ΑΙ. ὅτι ἡ ποίησις οὐχὶ συντέθνηκέ μοι,
τούτῳ δὲ συντέθνηκεν, ὥσθ' ἕξει λέγειν.
ὅμως δ' ἐπειδή σοι δοκεῖ, δρᾶν ταῦτα χρή.
ΔΙ. ἴθι νυν λιβανωτὸν δεῦρό τις καὶ πῦρ δότω,
ὅπως ἂν εὔξωμαι πρὸ τῶν σοφισμάτων,
ἀγῶνα κρῖναι τόνδε μουσικώτατα·

814—829. quattuor quaternorum versuum systemata paria.

---

794. γ' om. RV aliique. 797. καὶ γὰρ] ἀλλ' ἦ ap. Pollucem 9, 52. Etym. M. p. 744, 20. Photium et Suidam s. v. τάλαντον et grammat. ms. in Bibl. Coislin. p. 475. σταθμήσεται] κριθήσεται Pollux, Etym. M. et Photius, non Suidas. Post hoc verbum comma ponendum erat: nam Aeacus pergit v. 799., nulla habita Xanthiae ratione. Idem de proximis quae Xanthias interponit verbis dicendum est πλινθεύσουσι γάρ; quae in libris male Aeaco tribuuntur, γάρ in γε (τε RV) corrupto, quos errores correxit Kockius. 800. ξύμπηκτα] Libri partim sic, partim ξύμπτυκτα, σύμπτυκτα, ξύμπυκτα. πλινθεύσουσι] πλινθεύουσι V. 803. τόδ' F. Rankius] τὸν 804. γοῦν] δ' οὖν R. 812. ὁπόταν Meinekius. ὅταν V. ὅταν γ' ceteri. 815. ὀξυλάλου Paris. D. ὀξύλαλον ceteri. παρίδῃ V. περ ἴδῃ ceteri. ὀδόντας] ὀδόντα RV aliique nonnulli, quod librarius aliquis posuisse videtur propter praecedens ὀξύλαλον. Quod Lys. 1226. θάγοντας τὸν ὀδόντα legitur ab metro postulatur, hic vero nihil caussae erat cur singularem numerum plurali praeferret poeta. 818. ἱππολόφων] ὑψιλόφων codices pauci recentes, quod legit scholiasta, qui explicat, τῶν τοῦ Αἰσχύλου· διὰ τὸ ὑψηλόν, τουτέστι μετεώρων, μεγάλων. 819. σχινδαλάμων Porsonus] σκινδαλαμῶν V. σκινδαλμῶν R. Alii σκινδαλάμων vel σκινδάλμων.

822. χαίτην R. χαίταν ceteri. 826. λίσφη D.] λίσπη 829. πλευμόνων RV. πνευμόνων alii. 838. ἀθύρωτον R, Suidas s. v. ἀγριοποιόν et Bekkeri Anecd. p. 352, 11. ἀπύλωτον alii. Utrumque memorat scholiasta, ubi v. quae annotavi vol. 2. p. 105 ἀπύλωτον στόμα dixit Theophylactus Simocatta Histor. p. 122 b. 841. δὴ 'μὲ Meinekius] δή με 855. θενὼν Blomfieldus] θένων 863. νὴ Δί D.] νὴ Δία. Vid. ad v. 164. τὸν Πηλέα] Aut delendum τὸν, aut scribendum Πηλῆ. 866. μὲν] μὲν ἂν Meinekius. 867. τί δαί RV aliique. τιή alii. Hesychius, τί δαί: διὰ τί δή.

ὑμεῖς δὲ ταῖς Μούσαις τι μέλος ὑπᾴσατε.
ΧΟ. ὦ Διὸς ἐννέα παρθένοι ἁγναὶ
Μοῦσαι, λεπτολόγους ξυνετὰς φρένας αἳ καθορᾶτε
ἀνδρῶν γνωμοτύπων, ὅταν εἰς ἔριν ὀξυμερίμνοις
ἔλθωσι στρεβλοῖσι παλαίσμασιν ἀντιλογοῦντες,
ἔλθετ' ἐποψόμεναι δύναμιν
δεινοτάτοιν στομάτοιν πορίσασθαι
ῥήματα καὶ παραπρίσματ' ἐπῶν.
νῦν γὰρ ἀγὼν σοφίας ὁ μέγας χωρεῖ πρὸς ἔργον ἤδη.
ΔΙ. εὔχεσθε δὴ καὶ σφώ τι, πρὶν τἄπη λέγειν.
ΑΙ. Δήμητερ ἡ θρέψασα τὴν ἐμὴν φρένα,
εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.
ΔΙ. ἴθι νυν ἐπίθες δὴ καὶ σὺ λιβανωτόν. ΕΥ. καλῶς·
ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι θεοί.
ΔΙ. ἴδιοί τινές σου, κόμμα καινόν; ΕΥ. καὶ μάλα.
ΔΙ. ἴθι νυν προσεύχου τοῖσιν ἰδιώταις θεοῖς.
ΕΥ. αἰθήρ, ἐμὸν βόσκημα, καὶ γλώττης στρόφιγξ,
καὶ ξύνεσι καὶ μυκτῆρες ὀσφραντήριοι,
ὀρθῶς μ' ἐλέγχειν ὧν ἂν ἅπτωμαι λόγων.
ΧΟ. καὶ μὴν ἡμεῖς ἐπιθυμοῦμεν
παρὰ σοφοῖν ἀνδροῖν ἀκοῦσαι τίνα λόγων
ἔπιτε δαΐαν ὁδόν.
γλῶσσα μὲν γὰρ ἠγρίωται,
λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν,
οὐδ' ἀκίνητοι φρένες.
προσδοκᾶν οὖν εἰκός ἐστι
τὸν μὲν ἀστεῖόν τι λέξειν
καὶ κατερρινημένον,
τὸν δ' ἀνασπῶντ' αὐτοπρέμνοις
τοῖς λόγοισιν
ἐμπεσόντα συσκεδᾶν πολ-
λὰς ἀλινδήθρας ἐπῶν.
ἀλλ' ὡς τάχιστα χρὴ λέγειν· οὕτω δ' ὅπως ἐρεῖτον
ἀστεῖα καὶ μήτ' εἰκόνας μήθ' οἷ' ἂν ἄλλος εἴποι.
ΕΥ. καὶ μὴν ἐμαυτὸν μέν γε τὴν ποίησιν οἷός εἰμι
ἐν τοῖσιν ὑστάτοις φράσω, τοῦτον δὲ πρῶτ' ἐλέγξω,
ὡς ἦν ἀλαζὼν καὶ φέναξ, οἵοις τε τοὺς θεατὰς
ἐξηπάτα, μώρους λαβὼν παρὰ Φρυνίχῳ τραφέντας.
πρώτιστα μὲν γὰρ ἕνα τιν' ἂν καθῖσεν ἐγκαλύψας,
Ἀχιλλέα τιν' ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνύς,
πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί.
ΔΙ. μὰ τὸν Δί' οὐ δῆθ'. ΕΥ. ὁ δὲ χορός γ' ἤρειδεν ὁρ-
μαθοὺς ἂν
μελῶν ἐφεξῆς τέτταρας ξυνεχῶς ἄν· οἱ δ' ἐσίγων.
ΔΙ. ἐγὼ δ' ἔχαιρον τῇ σιωπῇ, καί με τοῦτ' ἔτερπεν
οὐχ ἧττον ἢ νῦν οἱ λαλοῦντες. ΕΥ. ἠλίθιος γὰρ
ἦσθα,

895—904. = 992—1003.

σάφ' ἴσθι. ΔΙ. κἀμαυτῷ δοκῶ. τί δὲ ταῦτ' ἔδρασ'
ὁ δεῖνα;
ΕΥ. ὑπ' ἀλαζονείας, ἵν' ὁ θεατὴς προσδοκῶν κάθοιτο,
ὁπόθ' ἡ Νιόβη τι φθέγξεται· τὸ δρᾶμα δ' ἂν διῄει.
ΔΙ. ὢ παμπόνηρος, οἷ' ἄρ' ἐφενακιζόμην ὑπ' αὐτοῦ.
τί σκορδινᾷ καὶ δυσφορεῖς; ΕΥ. ὅτι αὐτὸν ἐξε-
λέγχω.
κἄπειτ' ἐπειδὴ ταῦτα ληρήσειε καὶ τὸ δρᾶμα
ἤδη μεσοίη, ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν,
ὀφρῦς ἔχοντα καὶ λόφους, δείν' ἄττα μορμορωπά,
ἄγνωτα τοῖς θεωμένοις. ΑΙ. οἴμοι τάλας. ΔΙ.
σιώπα.
ΕΥ. σαφὲς δ' ἂν εἶπεν οὐδεέν, ΔΙ. μὴ πρῖε τοὺς ὀδόν-
τας. [ἐπόντας
ΕΥ. ἀλλ' ἢ Σκαμάνδρους, ἢ τάφρους, ἢ 'π' ἀσπίδων
γρυπαέτους χαλκηλάτους, καὶ ῥήμαθ' ἱππόκρημνα,
ἃ ξυμβαλεῖν οὐ ῥᾴδι' ἦν. ΔΙ. νὴ τοὺς θεούς, ἐγὼ
γοῦν
ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα
τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν τίς ἐστιν ὄρνις.
ΑΙ. σημεῖον ἐν ταῖς ναυσίν, ὠμαθέστατ', ἐνεγέγραπτο.
ΔΙ. ἐγὼ δὲ τὸν Φιλοξένου γ' ᾤμην Ἔρυξιν εἶναι.
ΕΥ. εἶτ' ἐν τραγῳδίαις ἐχρῆν κἀλεκτρυόνα ποιῆσαι;
ΑΙ. σὺ δ', ὦ θεοῖσιν ἐχθρέ, ποῖ' ἄττ' ἐστὶν ἅττ' ἐποίεις;
ΕΥ. οὐχ ἱππαλεκτρυόνας μὰ Δί' οὐδὲ τραγελάφους,
ἅπερ σύ, [σιν·
ἃν τοῖσι παραπετάσμασιν τοῖς Μηδικοῖς γράφου-
ἀλλ' ὡς παρέλαβον τὴν τέχνην παρὰ σοῦ τὸ πρῶ-
τον εὐθὺς
οἰδοῦσαν ὑπὸ κομπασμάτων καὶ ῥημάτων ἐπαχθῶν,
ἴσχνανα μὲν πρώτιστον αὐτὴν καὶ τὸ βάρος ἀφεῖλον
ἐπυλλίοις καὶ περιπάτοις καὶ τευτλίοισι λευκοῖς,
χυλὸν διδοὺς στωμυλμάτων, ἀπὸ βιβλίων ἀπηθῶν·
εἶτ' ἀνέτρεφον μονῳδίαις, Κηφισοφῶντα μιγνύς.
εἶτ' οὐκ ἐλήρουν ὅ τι τύχοιμ', οὐδ' ἐμπεσὼν ἔφυ-
ρον, [θὺς
ἀλλ' οὑξιὼν πρώτιστα μέν μοι τὸ γένος εἶπ' ἂν εὐ-
τοῦ δράματος. ΑΙ. κρεῖττον γὰρ ἦν σοι νὴ Δί' ἢ
τὸ σαυτοῦ. [ἀργόν,
ΕΥ. ἔπειτ' ἀπὸ τῶν πρώτων ἐπῶν οὐδὲν παρῆκ' ἂν
ἀλλ' ἔλεγεν ἡ γυνή τέ μοι χὠ δοῦλος οὐδὲν ἧττον,
χὠ δεσπότης χἠ παρθένος χἠ γραῦς ἄν. ΑΙ. εἶτα
δῆτα
οὐκ ἀποθανεῖν σε ταῦτ' ἐχρῆν τολμῶντα; ΕΥ. μὰ
τὸν Ἀπόλλω· [σον, ὦ τᾶν.
δημοκρατικὸν γὰρ αὔτ' ἔδρων. ΔΙ. τοῦτο μὲν ἔα-
οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου.
ΕΥ. ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα ΑΙ. φημὶ κἀγώ·
ὡς πρὶν διδάξαι γ' ὤφελες μέσος διαρραγῆναι.
ΕΥ. λεπτῶν τε κανόνων ἐσβολὰς ἐπῶν τε γωνιασμούς,
νοεῖν, ὁρᾶν, ξυνιέναι, στρέφειν, ἐρᾶν, τεχνάζειν,
κάχ' ὑποτοπεῖσθαι, περινοεῖν ἅπαντα, ΑΙ. φημὶ
κἀγώ. [σμεν,
ΕΥ. οἰκεῖα πράγματ' εἰσάγων, οἷς χρώμεθ', οἷς ξύνε-
ἐξ ὧν γ' ἂν ἐξηλεγχόμην· ξυνειδότες γὰρ οὗτοι
ἤλεγχον ἄν μου τὴν τέχνην· ἀλλ' οὐκ ἐκομπολά-
κουν [τούς,
ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας, οὐδ' ἐξέπληττον αὐ-

---

880. πορίσασθαι RV. πορίσασθε alii. 881. ῥήματα] ῥήγματα Franckius in libro de Callino p. 81. 884. ὁ D. in Annot. Oxon. p. 257.] ὅδε 888. ἴθι νυν ἐπίθες δὴ καὶ σὺ λιβανωτὸν λαβών. ΕΥ. καλῶς] Legebatur ἐπίθες λαβὼν δὴ καὶ σὺ λιβανωτόν. ΕΥ. καλῶς· omisso ἴθι νυν. In R ἐπίθες καὶ δὴ (δὴ om. Baroccianus) σὺ λιβανωτὸν λαβών. ΕΥ. καλῶς. Apud Suidam s.v. καλῶς, ἐπίθες καὶ σὺ δὴ λιβανωτόν, omisso καλῶς. Ex his colligi potest Aristophanem scripsisse quod ego restitui. Conf. v. 871. 891. 889. θεοί V et Paris. A. θεοῖς ceteri. 890. σου R. σοι ceteri. σοὶ Cobetus.
891. νυν] δὴ RV. 997. λόγων D.] λόγων ἐμμέλειαν. ἐμμέλειαν addidit interpolator vitiosa deceptus scriptura ἐπί τε, quae in libris pluribus reperitur pro ἔπιτε, quod est in aliis, adscripto in nonnullis glossemate ἐπέλθετε. 905. In libris plerisque omnibus praescriptum ΔΙ., quod recte om. codex Cantabr. unus.
911. τιν' ἂν καθῖσεν V. τινὰ κάθισεν ceteri.
914. γ' om. R aliique.

919. κάθοιτο duo codices recentes, ut Buttmannus Gramm. vol. 1. p. 546. καθοῖτο RV et plerique, καθῆτο pauci: unde καθῆτο Dobraeus. 926. ἄγνωτα ex schol. (ubi ἄγνωστα R)] ἀγνῶτα 929. γρυπαέτους Boissonadius] γρυπαιέτους 932. ἱππαλεκτρυόνα] ἱππαλεκτρυῶ Porsonus et v. 937. ἱππαλεκτρυοῦς: quae si probentur, etiam κἀλεκτρυῶ scribi poterit v. 935. ἱππαλέκτορα et ἱππαλέκτορας Bothius.

Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώ-
λους. [τάς.
γνώσει δὲ τοὺς τούτου τε κἀμοὺς ἑκατέρου μαθη-
τουτουμενὶ Φορμίσιος Μεγαίνετός θ' ὁ Μανῆς,
σαλπιγγολογχυπηνάδαι, σαρκασμοπιτυοκάμπται,
οὑμοὶ δὲ Κλειτοφῶν τε καὶ Θηραμένης ὁ κομψός.
ΔΙ. Θηραμένης; σοφός γ' ἀνὴρ καὶ δεινὸς ἐς τὰ πάντα,
ὃς ἢν κακοῖς που περιπέσῃ καὶ πλησίον παραστῇ,
πέπτωκεν ἔξω τῶν κακῶν, οὐ Χῖος, ἀλλὰ Κεῖος.
ΕΥ. τοιαῦτα μέντοὐγὼ φρονεῖν
τούτοισιν εἰσηγησάμην,
λογισμὸν ἐνθεὶς τῇ τέχνῃ
καὶ σκέψιν, ὥστ' ἤδη νοεῖν
ἅπαντα καὶ διειδέναι
τά τ' ἄλλα καὶ τὰς οἰκίας
οἰκεῖν ἄμεινον ἢ πρὸ τοῦ,
κἀνασκοπεῖν πῶς τοῦτ' ἔχει;
ποῦ μοι τοδί; τίς τοῦτ' ἔλαβε;
ΔΙ. νὴ τοὺς θεούς, νῦν γοῦν 'Αθη-
ναίων ἅπας τις εἰσιὼν
κέκραγε πρὸς τοὺς οἰκέτας
ζητεῖ τε, ποῦ 'στιν ἡ χύτρα;
τίς τὴν κεφαλὴν ἀπεδήδοκεν
τῆς μαινίδος; τὸ τρύβλιον
τὸ περυσινὸν τέθνηκέ μοι·
ποῦ τὸ σκόροδον τὸ χθιζινόν;
τίς τῆς ἐλάας παρέτραγεν;
τέως δ' ἀβελτερώτατοι,
κεχηνότες Μαμμάκυθοι,
Μελητίδαι καθῆντο.
ΧΟ. τάδε μὲν λεύσσεις, φαίδιμ' 'Αχιλλεῦ·
σὺ δὲ τί, φέρε πρὸς ταῦτα λέξεις; μόνον ὅπως
μή σ' ὁ θυμὸς ἁρπάσας
ἐκτὸς οἴσει τῶν ἐλαῶν·
δεινὰ γὰρ κατηγόρηκεν.
ἀλλ' ὅπως, ὦ γεννάδα,
μὴ πρὸς ὀργὴν ἀντιλέξεις,
ἀλλὰ συστείλας, ἄκροισι
χρώμενος τοῖς ἱστίοις,
εἶτα μᾶλλον μᾶλλον ἄξεις,
καὶ φυλάξεις,
ἡνίκ' ἂν τὸ πνεῦμα λεῖον
καὶ καθεστηκὸς λάβῃς.
ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα
σεμνὰ [ἀφίει.
καὶ κοσμήσας τραγικὸν λῆρον, θαρρῶν τὸν κρουνὸν
ΑΙ. θυμοῦμαι μὲν τῇ ξυντυχίᾳ, καί μου τὰ σπλάγχν'
ἀγανακτεῖ, [δ' ἀπορεῖν με,
εἰ πρὸς τοῦτον δεῖ μ' ἀντιλέγειν· ἵνα μὴ φάσκῃ
ἀπόκριναί μοι, τίνος οὕνεκα χρὴ θαυμάζειν ἄνδρα
ποιητήν;
ΕΥ. δεξιότητος καὶ νουθεσίας, ὅτι βελτίους τε ποιοῦμεν
τοὺς ἀνθρώπους ἐν ταῖς πόλεσιν. ΑΙ. τοῦτ' οὖν εἰ
μὴ πεποίηκας,
ἀλλ' ἐκ χρηστῶν καὶ γενναίων μοχθηροτάτους ἀπέ-
δειξας, [τοῦτον ἐρώτα.
τί παθεῖν φήσεις ἄξιος εἶναι; ΔΙ. τεθνάναι· μὴ
ΑΙ. σκέψαι τοίνυν οἵους αὐτοὺς παρ' ἐμοῦ παρεδέξατο
πρῶτον, [λίτας,
εἰ γενναίους καὶ τετραπήχεις, καὶ μὴ διαδρασιπο-
μηδ' ἀγοραίους μηδὲ κοβάλους, ὥσπερ νῦν, μηδὲ
πανούργους, [τρυφαλείας
ἀλλὰ πνέοντας δόρυ καὶ λόγχας καὶ λευκολόφους
καὶ πήληκας καὶ κνημῖδας καὶ θυμοὺς ἑπταβοείους.
ΕΥ. καὶ δὴ χωρεῖ τουτὶ τὸ κακόν· κρανοποιῶν αὖ μ'
ἐπιτρίψει.
ΔΙ. καὶ τί σὺ δράσας οὕτως αὐτοὺς γενναίους ἐξεδίδα-
ξας; [παινε.
Αἰσχύλε, λέξον, μηδ' αὐθαδῶς σεμνυνόμενος χαλέ-
ΑΙ. δρᾶμα ποιήσας Ἄρεως μεστόν. ΔΙ. ποῖον; ΑΙ.
τοὺς ἕπτ' ἐπὶ Θήβας·
ὃ θεασάμενος πᾶς ἄν τις ἀνὴρ ἠράσθη δάϊος εἶναι.
ΔΙ. τουτὶ μέν σοι κακὸν εἴργασται· Θηβαίους γὰρ πε-
ποίηκας [νεκα τύπτου.
ἀνδρειοτέρους ἐς τὸν πόλεμον· καὶ τούτου γ' οὕ-
ΑΙ. ἀλλ' ὑμῖν αὔτ' ἐξῆν ἀσκεῖν, ἀλλ' οὐκ ἐπὶ τοῦτ'
ἐτράπεσθε. [δαξα
εἶτα διδάξας Πέρσας μετὰ τοῦτ' ἐπιθυμεῖν ἐξεδί-
νικᾶν ἀεὶ τοὺς ἀντιπάλους, κοσμήσας ἔργον ἄριστον.
ΔΙ. ἐχάρην γοῦν, ἡνίκα φάσμ' ἐφάνη Δαρείου τοῦ τε-
θνεῶτος, [ἰαυοῖ.
ὁ χορὸς δ' εὐθὺς τὼ χεῖρ' ὡδὶ ξυγκρούσας εἶπεν
ΑΙ. ταῦτα γὰρ ἄνδρας χρὴ ποιητὰς ἀσκεῖν. σκέψαι γὰρ
ἀπ' ἀρχῆς
ὡς ὠφέλιμοι τῶν ποιητῶν οἱ γενναῖοι γεγένηνται.
'Ορφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε φόνων
τ' ἀπέχεσθαι, [Ἡσίοδος δὲ
Μουσαῖος δ' ἐξακέσεις τε νόσων καὶ χρησμούς,
γῆς ἐργασίας, καρπῶν ὥρας, ἀρότους· ὁ δὲ θεῖος
Ὅμηρος
ἀπὸ τοῦ τιμὴν καὶ κλέος ἔσχεν πλὴν τοῦδ' ὅτι
χρήστ' ἐδίδαξε, [Παντακλέα γε
τάξεις, ἀρετάς, ὁπλίσεις ἀνδρῶν; ΔΙ. καὶ μὴν οὐ
ἐδίδαξεν ὅμως τὸν σκαιότατον· πρώην γοῦν, ἡνίκ'
ἔπεμπεν, [ἐπιδήσειν.
τὸ κράνος πρῶτον περιδησάμενος τὸν λόφον ἤμελλ'
ΑΙ. ἀλλ' ἄλλους τοι πολλοὺς ἀγαθούς, ὧν ἦν καὶ Λά-
μαχος ἥρως· [ησεν,
ὅθεν ἡμὴ φρὴν ἀπομαξαμένη πολλὰς ἀρετὰς ἐποί-
Πατρόκλων, Τεύκρων θυμολεόντων, ἵν' ἐπαίροιμ'
ἄνδρα πολίτην [ἀκούσῃ.
ἀντεκτείνειν αὑτὸν τούτοις, ὁπόταν σάλπιγγος
ἀλλ' οὐ μὰ Δί' οὐ Φαίδρας ἐποίουν πόρνας οὐδὲ
Σθενεβοίας, [ναῖκα.
οὐδ' οἶδ' οὐδεὶς ἥντιν' ἐρῶσαν πώποτ' ἐποίησα γυ-
ΕΥ. μὰ Δί', οὐδὲ γὰρ ἦν τῆς 'Αφροδίτης οὐδέν σοι. ΑΙ.
μηδέ γ' ἐπείη.

---

964. κἀμοὺς Dobraeus] κἀμοῦ R. κἀμοῦ γ' ceteri. 965. μανὴς (i. e. μανῆς) RV. μάνης alii praeter Paris. A, qui μάγνης. 970. Κεῖος V. κῖος ceteri. Κῷος Aristarchus ap. schol. Vid. Annot. Oxon. p. 263. 971. μέντοὐγὼ φρονεῖν D.] μέντοι σωφρονεῖν RV. μέντοι 'γὼ φρονεῖν ceteri. 987. χθιζινόν Lobeckius] χθεσινόν 991. Μελητίδαι Gaisfordus] Μελιτίδαι καθῆντο] κάθηνται duo codices et Suidas s. v. ἀβελτερώτατος. 993. δὲ Bentleius] δὴ

1021. Ἄρεως RV. Ἄρεος ceteri. 1026. ἐξεδίδαξα Bentleius] ἐδίδαξα 1028. ἡνίκα φάσμ' ἐφάνη Δαρείου τοῦ τεθνεῶτος D.] ἡνίκ' ἤκουσα περὶ Δαρείου (τοῦ additum in ed. Ald.) τεθνεῶτος. Quod in cod. Paris. D. et in marg. Florentini unius legitur ἡνίκ' ἀπηγγέλθη περὶ Δαρείου recentis correctoris inventum est, fictum ex annotatione scholiastae, ἐν τοῖς φερομένοις Αἰσχύλου Πέρσαις οὔτε Δαρείου θάνατος ἀπαγγέλλεται οὔτε ὁ χορὸς τὰς χεῖρας συγκρούσας λέγει ἰαυοῖ, ὅ ἐστιν ἐπιφώνημα πρὸς τὸν Διόνυσον λεγόμενον χαρᾶς ἐπελθούσης. De emendatione ab me facta et de interiectione comica ἰαυοῖ, quam tragicae, qua Aeschylus usus esse videtur, ἰωά, Aristophanes substituit risus excitandi caussa, pluribus dixi in Leutschii Philologo vol. 13. p. 484. 485. 1035. τοῦδ' Bentleius] τοῦθ' 1038. ἐπιδήσειν] ἐπιθήσειν Bergkius. 1045. οὐδὲ γὰρ ἦν R. οὐ γὰρ ἐπῆν ceteri, nisi quod nonnulli οὐδὲ pro οὐ.

ἀλλ' ἐπί τοι σοὶ καὶ τοῖς σοῖσιν πολλὴ πολλοῦ 'πι-
καθῆτο, [Δία τοῦτό γέ τοι δή.
ὥστε γε καὐτόν σε κατ' οὖν ἔβαλεν. ΔΙ. νὴ τὸν
ἃ γὰρ ἐς τὰς ἀλλοτρίας ἐποίεις, αὐτὸς τούτοισιν
ἐπλήγης. [ἅμαὶ Σθενέβοιαι;
ΕΥ. καὶ τί βλάπτουσ', ὦ σχέτλι' ἀνδρῶν, τὴν πόλιν
ΑΙ. ὅτι γενναίας καὶ γενναίων ἀνδρῶν ἀλόχους ἀνέ-
πεισας [φόντας.
κώνεια πιεῖν, αἰσχυνθείσας διὰ τοὺς σοὺς Βελλερο-
ΕΥ. πότερον δ' οὐκ ὄντα λόγον τοῦτον περὶ τῆς Φαί-
δρας ξυνέθηκα; [ρὸν τόν γε ποιητήν,
ΑΙ. μὰ Δί', ἀλλ' ὄντ'· ἀλλ' ἀποκρύπτειν χρὴ τὸ πονη-
καὶ μὴ παράγειν μηδὲ διδάσκειν. τοῖς μὲν γὰρ παι-
δαρίοισιν [ταί.
ἔστι διδάσκαλος ὅστις φράζει, τοῖς ἡβῶσιν δὲ ποιη-
πάνυ δὴ δεῖ χρηστὰ λέγειν ἡμᾶς. ΕΥ. ἢν οὖν σὺ
λέγῃς Λυκαβηττοὺς [διδάσκειν,
καὶ Παρνασῶν ἡμῖν μεγέθη, τοῦτ' ἐστὶ τὸ χρηστὰ
ὃν χρῆν φράζειν ἀνθρωπείως; ΑΙ. ἀλλ', ὦ κακό-
δαιμον, ἀνάγκη [τίκτειν.
μεγάλων γνωμῶν καὶ διανοιῶν ἴσα καὶ τὰ ῥήματα
κἄλλως εἰκὸς τοὺς ἡμιθέους τοῖς ῥήμασι μείζοσι
χρῆσθαι·
καὶ γὰρ τοῖς ἱματίοις ἡμῶν χρῶνται πολὺ σεμνοτέ-
ροισιν. [τί δράσας;
ἁμοῦ χρηστῶς καταδείξαντος διελυμήνω σύ. ΕΥ.
ΑΙ. πρῶτον μὲν τοὺς βασιλεύοντας ῥάκι' ἀμπισχὼν, ἵν'
ἐλεινοὶ [ἔβλαψα τί δράσας;
τοῖς ἀνθρώποις φαίνοιντ' εἶναι. ΕΥ. τοῦτ' οὖν
ΑΙ. οὔκουν ἐθέλει γε τριηραρχεῖν πλουτῶν οὐδεὶς διὰ
ταῦτα,
ἀλλὰ ῥακίοις περιιλάμενος κλάει καὶ φησὶ πένεσθαι.
ΔΙ. νὴ τὴν Δήμητρα, χιτῶνά γ' ἔχων οὔλων ἐρίων
ὑπένερθεν· [κυψεν.
κἂν ταῦτα λέγων ἐξαπατήσῃ, παρὰ τοὺς ἰχθῦς ἀνέ-
ΑΙ. εἶτ' αὖ λαλιὰν ἐπιτηδεῦσαι καὶ στωμυλίαν ἐδίδαξας,
ἣ 'ξεκένωσεν τάς τε παλαίστρας καὶ τὰς πυγὰς ἐνέ-
τριψε [λους ἀνέπεισεν
τῶν μειρακίων στωμυλλομένων, καὶ τοὺς παρά-
ἀνταγορεύειν τοῖς ἄρχουσιν. καίτοι τότε γ', ἡνίκ'
ἐγὼ 'ζων, [εἰπεῖν.
οὐκ ἠπίσταντ' ἀλλ' ἢ μᾶζαν καλέσαι καὶ ῥυππαπαῖ
ΔΙ. νὴ τὸν Ἀπόλλω, καὶ προσπαρδεῖν γ' ἐς τὸ στόμα
τῷ θαλάμακι, [τῆσαι·
καὶ μινθῶσαι τὸν ξύσσιτον, κἀκβάς τινα λωποδυ-
νῦν δ' ἀντιλέγει κοὐκέτ' ἐλαύνων πλεῖ δευρὶ καὖθις
ΑΙ. ποίων δὲ κακῶν οὐκ αἴτιός ἐστ'; [ἐκεῖσε
οὐ προαγωγοὺς κατέδειξ' οὗτος,
καὶ τικτούσας ἐν τοῖς ἱεροῖς,
καὶ μιγνυμένας τοῖσιν ἀδελφοῖς,
καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν;
κᾆτ' ἐκ τούτων ἡ πόλις ἡμῶν
ὑπογραμματέων ἀνεμεστώθη
καὶ βωμολόχων δημοπιθήκων,
ἐξαπατώντων τὸν δῆμον ἀεί·
λαμπάδα δ' οὐδεὶς οἷός τε φέρειν
ὑπ' ἀγυμνασίας ἔτι νυνί.
ΔΙ. μὰ Δί' οὐ δῆθ', ὥστ' ἐπιφηυάνθην
Παναθηναίοισι γελῶν, ὅτε δὴ
βραδὺς ἄνθρωπός τις ἔθει κύψας
λευκὸς, πίων, ὑπολειπόμενος
καὶ δεινὰ ποιῶν· κᾆθ' οἱ Κεραμῆς
ἐν ταῖσι πύλαις παίουσ' αὐτοῦ
γαστέρα, πλευράς, λαγόνας, πυγήν,
ὁ δὲ τυπτόμενος ταῖσι πλατείαις
ὑποπερδόμενος
φυσῶν τὴν λαμπάδ' ἔφευγε. [ἔρχεται.
ΧΟ. μέγα τὸ πρᾶγμα, πολὺ τὸ νεῖκος, ἁδρὸς ὁ πόλεμος
χαλεπὸν οὖν ἔργον διαιρεῖν,
ὅταν ὁ μὲν τείνῃ βιαίως,
ὁ δ' ἐπαναστρέφειν δύνηται κἀπερείδεσθαι τορῶς.
ἀλλὰ μὴ 'ν ταὐτῷ καθῆσθον·
ἐσβολαὶ γάρ εἰσι πολλαὶ χἄτεραι σοφισμάτων.
ὅ τι περ οὖν ἔχετον ἐρίζειν,
λέγετον, ἔπιτον, ἀναδέρεσθον,
τά τε παλαιὰ καὶ τὰ καινά,
κἀποκινδυνεύετον λεπτόν τι καὶ σοφὸν λέγειν.
εἰ δὲ τοῦτο καταφοβεῖσθον, μή τις ἀμαθία προσῇ
τοῖς θεωμένοισιν, ὡς τὰ
λεπτὰ μὴ γνῶναι λεγόντοιν,
μηδὲν ὀρρωδεῖτε τοῦθ'· ὡς οὐκέθ' οὕτω ταῦτ' ἔχει.
ἐστρατευμένοι γάρ εἰσι,
βιβλίον τ' ἔχων ἕκαστος μανθάνει τὰ δεξιά·
αἱ φύσεις τ' ἄλλως κράτισται,
νῦν δὲ καὶ παρηκόνηνται.
μηδὲν οὖν δείσητον, ἀλλὰ
πάντ' ἐπέξιτον, θεατῶν γ' οὕνεχ' ὡς ὄντων σοφῶν.
ΕΥ. καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σου τρέψομαι,
ὅπως τὸ πρῶτον τῆς τραγῳδίας μέρος
πρώτιστον αὐτοῦ βασανιῶ τοῦ δεξιοῦ.
ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.
ΔΙ. καὶ ποῖον αὐτοῦ βασανιεῖς; ΕΥ. πολλοὺς πάνυ.
πρῶτον δέ μοι τὸν ἐξ Ὀρεστείας λέγε.
ΔΙ. ἄγε δὴ σιώπα πᾶς ἀνήρ. λέγ', Αἰσχύλε.
ΑΙ. "Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη,
σωτὴρ γενοῦ μοι ξύμμαχός τ' αἰτουμένῳ.
ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι."
ΔΙ. τούτων ἔχεις ψέγειν τι; ΕΥ. πλεῖν ἢ δώδεκα.
ΔΙ. ἀλλ' οὐδὲ πάντα ταῦτά γ' ἔστ' ἀλλ' ἢ τρία.
ΕΥ. ἔχει δ' ἕκαστον εἰκοσίν γ' ἁμαρτίας.
ΔΙ. Αἰσχύλε, παραινῶ σοι σιωπᾶν· εἰ δὲ μή,
πρὸς τρισὶν ἰαμβείοισι προσοφείλων φανεῖ.

1099—1108. = 1109—1118.

---

1046. τοι σοὶ D.] σοί τοι 'πικαθῆτο] 'πικαθοῖτο RV et plerique. 1047. κατ' οὖν ἔβαλεν] κατουνέβαλεν (αι above) R aliique. 1049. ἅμαὶ Elmsleius] αἱ 'μαὶ (ἐμαὶ R) 1055. τοῖς ἡβῶσιν δὲ Bentleius] τοῖσιν δ' ἡβῶσι R. τοῖς δ' ἡβῶσι alii. 1057. Παρνασῶν] Παρνασσῶν RV aliique. Παρνήθων Bentleius. 1058. χρῆν Fritzschius] χρὴ 1062. ἀμπισχὼν D.] ἀμπίσχων ἐλεινοὶ Brunckius] ἐλεεινοὶ 1066. περιιλάμενος (collata Photii glossa περιειλάμενος: περιειλησάμενος) Cobetus Var. Lect. p. 361.] περιειλλόμενος R. περιιλλόμενος V. περιειλόμενος alii. 1067. ὑπένερθεν D. in Thesauro s. h. v.] ὑπένερθε. 1070. ἐνέτριψε] συνέτριψε Meinekius. 1075. κἀκβάς (κἀκβᾶσι R) τινα] κἀκβάντες Cobetus. 1076. ἐλαύνων D.] ἐλαύνει καὶ

1084. ὑπογραμματέων codex Cantabr. unus. ὑπὸ γραμματέων ceteri. 1089. Δί'] διά γ' R. ὥστ' ἐπαφηυάνθην] ὥστ' ἐπαφαυάνθην R et Suidas s. h. v. ὥστ' ἀπαφαυάνθην V et Eustathius p. 1387, 2. ὥστ' ἀπεφαυάνθην alii. ὥστε γ' ἀφηυάνθην Hermannus. 1100. ἔργον] ἔχθραν Nauckius collato Phrynicho in Bekk. Anecd. p. 36, 14. διαιρεῖν ἔχθραν: διαλύειν καὶ διακρίνειν. 1106. ἀναδέρεσθον Brunckius coniectura incerta] ἀναδέρετον 1119. σου] σοι duo codices. 1122. delevit Meinekius. 1126—1128. Χοηφόρων initium. 1129. 1130. ΔΙ.] ΑΙ. Bergkius. 1130. πάντα ταῦτα] ταῦτα πάντα R. ταῦτα πάντ' Barocc.: unde ταῦτα πάντ' ἔπη 'στ' Meinekius. 1131. γ' om. R. 1132—1136. seclusit Meinekius.

ΑΙ. ἐγὼ σιωπῶ τῷδ'; ΔΙ. ἐὰν πίθῃ γ' ἐμοί.
ΕΥ. εὐθὺς γὰρ ἡμάρτηκεν οὐράνιον ὅσον.
ΑΙ. ὁρᾷς ὅτι ληρεῖς; ΔΙ. ἀλλ' ὀλίγον γέ μοι μέλει.
ΑΙ. πῶς φῄς μ' ἁμαρτεῖν; ΕΥ. αὖθις ἐξ ἀρχῆς λέγε.
ΑΙ. "Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη."
ΕΥ. οὔκουν Ὀρέστης τοῦτ' ἐπὶ τῷ τύμβῳ λέγει
τῷ τοῦ πατρὸς τεθνεῶτος; ΑΙ. οὐκ ἄλλως λέγω
ΕΥ. πότερ' οὖν τὸν Ἑρμῆν, ὡς ὁ πατὴρ ἀπώλετο
αὐτοῦ βιαίως ἐκ γυναικείας χερὸς
δόλοις λαθραίοις, ταῦτ' ἐποπτεύειν ἔφη;
ΔΙ. οὐ δῆτ' ἐκεῖνος, ἀλλὰ τὸν Ἐριούνιον
Ἑρμῆν χθόνιον προσεῖπε, κἀδήλου λέγων
ὁτιὴ πατρῷον τοῦτο κέκτηται γέρας.
ΕΥ. ἔτι μεῖζον ἐξήμαρτες ἢ 'γὼ 'βουλόμην·
εἰ γὰρ πατρῷον τὸ χθόνιον ἔχει γέρας,
ΔΙ. οὕτως ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος.
ΑΙ. Διόνυσε, πίνεις οἶνον οὐκ ἀνθοσμίαν.
ΔΙ. λέγ' ἕτερον αὐτῷ· σὺ δ' ἐπιτήρει τὸ βλάβος.
ΑΙ. "σωτὴρ γενοῦ μοι ξύμμαχός τ' αἰτουμένῳ.
ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι."
ΕΥ. δὶς ταυτὸν ἡμῖν εἶπεν ὁ σοφὸς Αἰσχύλος.
ΔΙ. πῶς δίς; ΕΥ σκόπει τὸ ῥῆμ'· ἐγὼ δέ σοι φράσω.
ἥκω γὰρ ἐς γῆν, φησί, καὶ κατέρχομαι·
ἥκω δὲ ταυτόν ἐστι τῷ κατέρχομαι.
ΔΙ. νὴ τὸν Δί', ὥσπερ γ' εἴ τις εἴποι γείτονι,
χρῆσον σὺ μάκτραν, εἰ δὲ βούλει, κάρδοπον.
ΑΙ. οὐ δῆτα τοῦτό γ', ὦ κατεστωμυλμένε
ἄνθρωπε, ταὔτ' ἔστ', ἀλλ' ἄριστ' ἐπῶν ἔχον.
ΔΙ. πῶς δή; δίδαξον γάρ με καθ' ὅ τι δὴ λέγεις.
ΑΙ. ἐλθεῖν μὲν ἐς γῆν ἔσθ' ὅτῳ μετῇ πάτρας·
χωρὶς γὰρ ἄλλης ξυμφορᾶς ἐλήλυθεν·
φεύγων δ' ἀνὴρ ἥκει τε καὶ κατέρχεται.
ΔΙ. εὖ νὴ τὸν Ἀπόλλω. τί σὺ λέγεις, Εὐριπίδη;
ΕΥ. οὔ φημι τὸν Ὀρέστην κατελθεῖν οἴκαδε·
λάθρα γὰρ ἦλθεν, οὐ πιθὼν τοὺς κυρίους.
ΔΙ. εὖ νὴ τὸν Ἑρμῆν· ὅ τι λέγεις δ' οὐ μανθάνω.
ΕΥ. πέραινε τοίνυν ἕτερον. ΔΙ. ἴθι πέραινε σύ,
Αἰσχύλ', ἀνύσας· σὺ δ' ἐς τὸ κακὸν ἀπόβλεπε.
ΑΙ. "τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρὶ
κλύειν, ἀκοῦσαι." ΕΥ. τοῦθ' ἕτερον αὖ δὶς λέγει,
κλύειν, ἀκοῦσαι, ταυτὸν ὂν σαφέστατα.
ΔΙ. τεθνηκόσιν γὰρ ἔλεγεν, ὦ μοχθηρὲ σύ,
οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα.
ΑΙ. σὺ δὲ πῶς ἐποίεις τοὺς προλόγους; ΕΥ. ἐγὼ φράσω·
κἄν που δὶς εἴπω ταυτόν, ἢ στοιβὴν ἴδῃς
ἐνοῦσαν ἔξω τοῦ λόγου, κατάπτυσον.
ΔΙ. ἴθι δὴ λέγ'· οὐ γάρ μοὔστιν ἀλλ' ἀκουστέα
τῶν σῶν προλόγων τῆς ὀρθότητος τῶν ἐπῶν.
ΕΥ. "ἦν Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνήρ."
ΑΙ. μὰ τὸν Δί' οὐ δῆτ', ἀλλὰ κακοδαίμων φύσει,
ὅντινά γε, πρὶν φῦναι μέν, Ἀπόλλων ἔφη
ἀποκτενεῖν τὸν πατέρα, πρὶν καὶ γεγονέναι,
πῶς οὗτος ἦν τὸ πρῶτον εὐδαίμων ἀνήρ;
ΕΥ. "εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν."
ΑΙ. μὰ τὸν Δί' οὐ δῆτ', οὐ μὲν οὖν ἐπαύσατο.
πῶς γάρ; ὅτε δὴ πρῶτον μὲν αὐτὸν γενόμενον
χειμῶνος ὄντος ἐξέθεσαν ἐν ὀστράκῳ,
ἵνα μὴ 'κτραφεὶς γένοιτο τοῦ πατρὸς φονεύς.
εἶθ' ὡς Πόλυβον ἤρρησεν οἰδῶν τὼ πόδε·
ἔπειτα γραῦν ἔγημεν αὐτὸς ὢν νέος,
καὶ πρός γε τούτοις τὴν ἑαυτοῦ μητέρα·
εἶτ' ἐξετύφλωσεν αὑτόν. ΔΙ. εὐδαίμων ἄρ' ἦν,
εἰ κἀστρατήγησέν γε μετ' Ἐρασινίδου.
ΕΥ. ληρεῖς· ἐγὼ δὲ τοὺς προλόγους καλῶς ποιῶ.
ΑΙ. καὶ μὴν μὰ τὸν Δί' οὐ κατ' ἔπος γέ σου κνίσω
τὸ ῥῆμ' ἕκαστον, ἀλλὰ σὺν τοῖσιν θεοῖς
ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ.
ΕΥ. ἀπὸ ληκυθίου σὺ τοὺς ἐμούς; ΑΙ. ἑνὸς μόνου.
ποιεῖς γὰρ οὕτως ὥστ' ἐναρμόττειν ἅπαν,
καὶ κῳδάριον καὶ ληκύθιον καὶ θυλάκιον
ἐν τοῖς ἰαμβείοισι. δείξω δ' αὐτίκα.
ΕΥ. ἰδού, σὺ δείξεις; ΑΙ. φημί. ΔΙ. καὶ δὴ χρὴ λέγειν.
ΕΥ. "Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,
ξὺν παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ
Ἄργος κατασχὼν" ΑΙ. ληκύθιον ἀπώλεσεν.
ΕΥ. τουτὶ τί ἦν τὸ ληκύθιον; οὐ κλαύσεται;
ΔΙ. λέγ' ἕτερον αὐτῷ πρόλογον, ἵνα καὶ γνῶ πάλιν.
ΕΥ. "Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
πηδᾷ χορεύων," ΑΙ. ληκύθιον ἀπώλεσεν.
ΔΙ. οἴμοι πεπλήγμεθ' αὖθις ὑπὸ τῆς ληκύθου.
ΕΥ. ἀλλ' οὐδὲν ἔσται πρᾶγμα· πρὸς γὰρ τουτονὶ
τὸν πρόλογον οὐχ ἕξει προσάψαι λήκυθον.
"οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον,
ἢ δυσγενὴς ὤν" ΑΙ. ληκύθιον ἀπώλεσεν.
ΔΙ. Εὐριπίδη, ΕΥ. τί ἔσθ'; ΔΙ. ὑφέσθαι μοι δοκεῖ.
τὸ ληκύθιον γὰρ τοῦτο πνεύσεται πολύ.
ΕΥ. οὐδ' ἂν μὰ τὴν Δήμητρα φροντίσαιμί γε·
νυνὶ γὰρ αὐτοῦ τοῦτό γ' ἐκκεκόψεται.
ΔΙ. ἴθι δὴ λέγ' ἕτερον κἀπέχου τῆς ληκύθου.
ΕΥ. "Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπὼν
Ἀγήνορος παῖς" ΑΙ. ληκύθιον ἀπώλεσεν.
ΔΙ. ὦ δαιμόνι' ἀνδρῶν, ἀποπρίω τὴν λήκυθον,
ἵνα μὴ διακναίσῃ τοὺς προλόγους ἡμῶν. ΕΥ. τὸ τί;
ἐγὼ πρίωμαι τῷδ'; ΔΙ. ἐὰν πίθῃ γ' ἐμοί.
ΕΥ. οὐ δῆτ', ἐπεὶ πολλοὺς προλόγους ἔχω λέγειν
ἵν' οὗτος οὐχ ἕξει προσάψαι λήκυθον.
"Πέλοψ ὁ Ταντάλειος ἐς Πῖσαν μολὼν
θοαῖσιν ἵπποις" ΔΙ. ληκύθιον ἀπώλεσεν.
ΔΙ. ὁρᾷς, προσῆψεν αὖθις αὖ τὴν λήκυθον.
ἀλλ', ὠγάθ', ἔτι καὶ νῦν ἀπόδου πάσῃ τέχνῃ·
λήψει γὰρ ὀβολοῦ πάνυ καλήν τε κἀγαθήν.
ΕΥ. μὰ τὸν Δί' οὔπω γ'· ἔτι γὰρ εἰσί μοι συχνοί.
"Οἰνεύς ποτ' ἐκ γῆς" ΑΙ. ληκύθιον ἀπώλεσεν.
ΕΥ. ἔασον εἰπεῖν πρῶθ' ὅλον με τὸν στίχον.
"Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν,
θύων ἀπαρχὰς" ΑΙ. ληκύθιον ἀπώλεσεν.
ΔΙ. μεταξὺ θύων; καὶ τίς αὔθ' ὑφείλετο;
ΕΥ. ἔασον, ὦ τᾶν· πρὸς τοδὶ γὰρ εἰπάτω.
"Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,"
ΔΙ. ἀπολεῖ σ'· ἐρεῖ γάρ, ληκύθιον ἀπώλεσεν.
τὸ ληκύθιον γὰρ τοῦτ' ἐπὶ τοῖς προλόγοισί σου
ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ.
ἀλλ' ἐς τὰ μέλη πρὸς τῶν θεῶν αὐτοῦ τραποῦ.
ΕΥ. καὶ μὴν ἔχω γ' οἷς αὐτὸν ἀποδείξω κακὸν
μελοποιὸν ὄντα καὶ ποιοῦντα ταὔτ' ἀεί.
ΧΟ. τί ποτε πρᾶγμα γενήσεται;
φροντίζειν γὰρ ἔγωγ' ἔχω,

---

1134. 1229. πίθῃ D.] πείθῃ 1135. γ' post οὐράνιον delevit Hermannus. 1163. ἐλθεῖν] ἥκειν Hirschigius. μετῇ] μετὴν Meinekius. 1173. αὖ δὶς Bakius] αὖθις 1182. Antigonae Euripidis initium. 1184. Ἀπόλλων] ὠ 'πόλλων Vat. ἀπόλλων ceteri.

1206. Archelai initium. 1211. Hypsipylae initium. 1212. Παρνασὸν] Παρνασσὸν libri nonnulli. 1217. Stheneboeae initium. 1220. ἔσθ' Meinekius] ἐστιν δοκεῖ Kusterus] δοκεῖς 1221. πνεύσεται D.] πνευσεῖται 1225. Phrixi alterius initium. 1229. πρίωμαι] 'ποπρίωμαι Meinekius. 1230. ἔχω Meinekius] ἕξω 1232. Iphigeniae Tauricae initium. 1235. ἀπόδου V et Par. A. ἀπόδος ceteri. 1238. Ex prologo Meleagri. 1244. Melanippae initium. 1249. οἷς Hamakerus] ὡς

τίν' ἄρα μέμψιν ἐποίσει
ἀνδρὶ τῷ πολὺ πλεῖστα δὴ
καὶ κάλλιστα μέλη ποιή-
σαντι τῶν ἔτι νυνί.
θαυμάζω γὰρ ἔγωγ' ὅπη
μέμψεταί ποτε τοῦτον
τὸν βακχεῖον ἄνακτα,
καὶ δέδοιχ' ὑπὲρ αὐτοῦ.

ΕΥ. πάνυ γε μέλη θαυμαστά. δείξει δὴ τάχα.
εἰς ἓν γὰρ αὐτοῦ πάντα τὰ μέλη ξυντεμῶ.
ΔΙ. καὶ μὴν λογιοῦμαί γ' αὐτὰ τῶν ψήφων λαβών.
ΕΥ. "Φθιῶτ' Ἀχιλλεῦ, τί ποτ' ἀνδροδάϊκτον ἀκούων
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν,
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;"
ΔΙ. δύο σοὶ κόπω, Αἰσχύλε, τούτω. [μου παῖ.
ΕΥ. "κύδιστ' Ἀχαιῶν Ἀτρέως πολυκοίρανε μάνθανέ
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;"
ΔΙ. τρίτος, Αἰσχύλε, σοὶ κόπος οὗτος. [οἴγειν.
ΕΥ. "εὐφαμεῖτε μελισσονόμοι δόμον Ἀρτέμιδος πέλας
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν.
ἰὴ κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;"
ΔΙ. ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν κόπων ὅσον.
ἐγὼ μὲν οὖν ἐς τὸ βαλανεῖον βούλομαι·
ὑπὸ τῶν κόπων γὰρ τὼ νεφρὼ βουβωνιῶ.
ΕΥ. μή, πρίν γ' ἂν ἀκούσῃς χἀτέραν στάσιν μελῶν
ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργασμένην.
ΔΙ. ἴθι δὴ πέραινε, καὶ κόπον μὴ προστίθει.
ΕΥ. "ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας,
φλαττοθραττοφλαττόθρατ,
Σφίγγα δυσαμεριᾶν πρύτανιν κύνα πέμπει,
φλαττοθραττοφλαττόθρατ,
ξὺν δορὶ καὶ χερὶ πράκτορι θούριος ὄρνις,
φλαττοθραττοφλαττόθρατ,
κυρεῖν παρασχὼν ἰταμαῖς κυσὶν ἀεροφοίτοις,
φλαττοθραττοφλαττόθρατ,
τὸ συγκλινές τ' ἐπ' Αἴαντι,
φλαττοθραττοφλαττόθρατ."
ΔΙ. τί τὸ φλαττόθρατ τοῦτ' ἐστίν; ἐκ Μαραθῶνος, ἢ
πόθεν ξυνέλεξας ἱμονιοστρόφου μέλη;
ΑΙ. ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ
ἤνεγκον αὔθ', ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ
λειμῶνα Μουσῶν ἱερὸν ὀφθείην δρέπων·
οὗτος δ' ἀπὸ πάντων μὲν φέρει, πορνιδίων,
σκολίων Μελήτου, Καρικῶν αὐλημάτων,
θρήνων, χορείων. τάχα δὲ δηλωθήσεται.
ἐνεγκάτω τις τὸ λύριον. καίτοι τί δεῖ
λύρας ἐπὶ τοῦτον; ποῦ 'στιν ἡ τοῖς ὀστράκοις
αὕτη κροτοῦσα; δεῦρο, Μοῦσ' Εὐριπίδου,
πρὸς ἥνπερ ἐπιτήδεια τάδ' ἔστ' ᾄδειν μέλη.
ΔΙ. αὕτη ποθ' ἡ Μοῦσ' οὐκ ἐλεσβίαζεν, οὔ.
ΑΙ. ἀλκυόνες, αἳ παρ' ἀενάοις θαλάσσας
κύμασι στωμύλλετε,
τέγγουσαι νοτίαις πτερῶν
ῥανίσι χρόα δροσιζόμεναι·
αἵ θ' ὑπωρόφιοι κατὰ γωνίας
εἱειειειειλίσσετε δακτύλοις φάλαγγες
ἱστότονα πηνίσματα,
κερκίδος ἀοιδοῦ μελέτας,
ἵν' ὁ φίλαυλος ἔπαλλε δελ-
φὶς πρῴραις κυανεμβόλοις
μαντεῖα καὶ σταδίους.
οἰνάνθας γάνος ἀμπέλου,
βότρυος ἕλικα παυσίπονον.
περίβαλλ', ὦ τέκνον, ὠλένας.
ὁρᾷς τὸν πόδα τοῦτον; ΔΙ. ὁρῶ.
ΑΙ. τί δαί; τοῦτον ὁρᾷς; ΔΙ. ὁρῶ.
ΑΙ. τοιαυτὶ μέντοι σὺ ποιῶν
τολμᾷς τἀμὰ μέλη ψέγειν,
ἀνὰ τὸ δωδεκαμήχανον
Κυρήνης μελοποιῶν;
τὰ μὲν μέλη σου ταῦτα· βούλομαι δ' ἔτι
τὸν τῶν μονῳδιῶν διεξελθεῖν τρόπον.
ὦ Νυκτὸς κελαινοφαὴς
ὄρφνα, τίνα μοι
δύστανον ὄνειρον
πέμπεις ἐξ ἀφανοῦς,
Ἀΐδα πρόπολον,
ψυχὰν ἄψυχον ἔχοντα,
Νυκτὸς παῖδα μελαίνας,
φρικώδη δεινὰν ὄψιν,
μελανονεκυείμονα,
φόνια φόνια δερκόμενον,
μεγάλους ὄνυχας ἔχοντα.
ἀλλά μοι ἀμφίπολοι λύχνον ἅψατε [ὕδωρ,
κάλπισί τ' ἐκ ποταμῶν δρόσον ἄρατε, θέρμετε δ'
ὡς ἂν θεῖον ὄνειρον ἀποκλύσω.
ἰὼ πόντιε δαῖμον,
τοῦτ' ἐκεῖν'· ἰὼ ξύνοικοι.
τάδε τέρα θεᾶσθε.
τὸν ἀλεκτρυόνα μου ξυναρπάσασα
φρούδη Γλύκη.
Νύμφαι ὀρεσσίγονοι.
ὦ Μανία, ξύλλαβε.
ἐγὼ δ' ἁ τάλαινα προσέχουσ' ἔτυχον ἐμαυτῆς ἔργοις

---

1256. τῶν ἔτι νυνί Bentleius] τῶν ἔτι νῦν ὄντων. τῶν μέχρι νυνὶ Meinekius. 1260. καὶ] κοὐ Meinekius, qui v. 1257—1260. eiecit. 1263. γ' αὐτὰ Dobraeus] ταῦτα 1264—1274. Versus ex pluribus Aeschyli fabulis collecti, de quibus vid. scholiastae annotatio. 1266. ἰὴ κόπον hic et infra Heathius] ἰήκοπον, quod defendit Lobeckius ad Soph. Ai. p. 228. 1276. ὅδιον] ὅσιον (ὃς δῖον R). Correctum ex Aeschyli Agam. 104. 1281. ἂν addidit Elmsleius. 1285. Ex Aeschyli Agam. 109. ἥβας RV aliique. ἥβαν alii, ut apud Aeschylum. 1286. 1288. 1290. 1292. 1295. φλαττοθραττοφλαττόθρατ D.] τὸ φλαττόθρατ τὸ φλαττόθρατ libri plerique, τὸ ex v. 1296. illato. In R v. 1286. φλαττοθράττο φλάττοθράτ et v. 1288. φλάττοθράττοφλάττοθράτ. 1287. δυσαμεριᾶν D.] δυσαμερίαν 1289. Ex Aeschyli Agam. 111. πράκτορι] Aeschylus πράκτωρ scripserat: de quo dixi in Praefat. editionis Lipsiensis quintae p. LXXXII. 1291. Fortasse ex Sphinge. 1294. τ' om. libri deteriores. Scholiasta, τὸ συγκλινὲς ἐπ' Αἴαντι; Τιμαχίδας φησὶ τοῦτο ἐν ἐνίοις μὴ γράφεσθαι. Ἀπολλώνιος δέ φησιν ἐκ Θρησσῶν αὐτὸ εἶναι. Suspectum vocabulum συγκλινές. 1301. μὲν φέρει πορνιδίων] πορνιδίων μέλη φέρει Porsonus.

1303. τάχα] ταχὺ Reiskius. 1305. τοῦτον] τούτων duo codices recentes. 1307. τάδ' (τάγ' R) ἔστ' ᾄδειν R Barocc. et Vat. ταῦτ' ἔστ' ᾄδειν V. ταῦτ' ᾄδειν alii. 1309—1321. et 1331—1363. Versus non inter se cohaerentes, sed ex diversis canticis Euripidis collecti. 1309. θαλάσσας Meinekius] θαλάσσαις R. θαλάσσης ceteri. 1311. νοτίοις R. νοτεροῖς V. Alii νοτίαις, νοτεραῖς, νοτερῆς. 1315. ἱστότονα] ἱστόπονα R. 1317. 1318. Ex Electra Eurip. 438. 1322. περίβαλλ'] περίβαλ' codices aliquot. 1333. πρόπολον] πρόμολον RV aliique. Nonnulli πρόσπολον.

1332. Νυκτὸς παῖδα μελαίνας D.] μελαίνας Νυκτὸς παῖδα 1342. τάδε τέρα θεᾶσθε L. Dindorfius in Thesauro vol. 7. p. 2023.] τάδ' ἕτερα (sic R: τάδε τέρατα ceteri) θεάσασθε 1346. ἔργοις Hermannus] ἔργοισι

λίνου μεστὸν ἄτρακτον
ειειειειειειλίσσουσα χεροῖν,
κλωστῆρα ποιοῦσ', ὅπως
κνεφαῖος εἰς ἀγορὰν
φέρουσ' ἀποδοίμαν· [ρύγων ἀκμαῖς·
ὁ δ' ἀνέπτατ' ἀνέπτατ' ἐς αἰθέρα κουφοτάταις πτε-
ἐμοὶ δ' ἄχε' ἄχεα κατέλιπε,
δάκρυα δάκρυά τ' ἀπ' ὀμμάτων
ἔβαλον ἔβαλον ἁ τλάμων.
ἀλλ', ὦ Κρῆτες, Ἴδας τέκνα,
τὰ τόξα λαβόντες ἐπαμύνατε,
τὰ κῶλά τ' ἀμπάλλετε, κυκλούμενοι τὴν οἰκίαν.
ἅμα δὲ Δίκτυννα παῖς Ἄρτεμις καλὰ
τὰς κυνίσκας ἔχουσ' ἐλθέτω διὰ δόμων πανταχῇ.
σὺ δ', ὦ Διὸς διπύρους ἀνέχουσα
λαμπάδας ὀξυτάταιν χεροῖν Ἑκάτα, παράφηνον
ἐς Γλύκης, ὅπως ἂν
εἰσελθοῦσα φωράσω.
ΔΙ. παύσασθον ἤδη τῶν μελῶν. ΑΙ. κἄμοιγ' ἅλις.
ἐπὶ τὸν σταθμὸν γὰρ αὐτὸν ἀγαγεῖν βούλομαι,
ὅπερ ἐξελέγξει τὴν ποίησιν νῷν μόνον·
τὸ γὰρ βάρος νῷν βασανιεῖ τῶν ῥημάτων.
ΔΙ. ἴτε δεῦρό νυν, εἴπερ γε δεῖ καὶ τοῦτό με
ἀνδρῶν ποιητῶν τυροπωλῆσαι τέχνην.
ΧΟ. ἐπίπονοί γ' οἱ δεξιοί.
τόδε γὰρ ἕτερον αὖ τέρας
νεοχμὸν ἀτοπίας πλέων,
ὃ τίς ἂν ἐπενόησεν ἄλλος;
⏑ – ⏑ – ⏑ –
μὰ τόν, ἐγὼ μὲν οὐδ' ἂν εἴ τις
ἔλεγέ μοι τῶν ἐπιτυχόντων,
ἐπιθόμην, ἀλλ' ᾠόμην ἂν
αὐτὸν αὐτὰ ληρεῖν. [ΕΥ. ἰδού.
ΔΙ. ἴθι νυν παρίστασθον παρὰ τὼ πλάστιγγ', ΑΙ. καὶ
ΔΙ. καὶ λαβομένω τὸ ῥῆμ' ἑκάτερος εἴπατον,
καὶ μὴ μεθῆσθον, πρὶν ἂν ἐγὼ σφῷν κοκκύσω.
ΑΙ. καὶ ΕΥ. ἐχόμεθα. ΔΙ. τοὔπος νῦν λέγετον ἐς τὸν σταθμόν.
ΕΥ. "εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος"
ΑΙ. "Σπερχειὲ ποταμὲ βουνόμοι τ' ἐπιστροφαί."
ΔΙ. κόκκυ, μέθεσθε· καὶ πολύ γε κατωτέρω
χωρεῖ τὸ τοῦδε. ΕΥ. καὶ τί ποτ' ἐστὶ ταἴτιον;
ΔΙ. ὅτι εἰσέθηκε ποταμόν, ἐριοπωλικῶς
ὑγρὸν ποιήσας τοὔπος ὥσπερ τἄρια,
σὺ δ' εἰσέθηκας τοὔπος ἐπτερωμένον.
ΕΥ. ἀλλ' ἕτερον εἰπάτω τι κἀντιστησάτω.
ΔΙ. λάβεσθε τοίνυν αὖθις. ΑΙ. καὶ ΕΥ. ἢν ἰδού. ΔΙ. λέγε.
ΕΜ. "οὐκ ἔστι Πειθοῦς ἱρὸν ἄλλο πλὴν λόγος."
ΑΙ. "μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ."
ΔΙ. μέθεσθε μέθεσθε· καὶ τὸ τοῦδέ γ' αὖ ῥέπει·
θάνατον γὰρ εἰσέθηκε βαρύτατον κακῶν.
ΕΥ. ἐγὼ δὲ πειθώ γ', ἔπος ἄριστ' εἰρημένον.
ΔΙ πειθὼ δὲ κοῦφόν ἐστι καὶ νοῦν οὐκ ἔχον.
ἀλλ' ἕτερον αὖ ζήτει τι τῶν βαρυστάθμων,
ὅ τι σοι καθέλξει, καρτερόν τε καὶ μέγα.
ΕΥ. φέρε ποῦ τοιοῦτον δῆτά μοὐστί; ποῦ; ΔΙ. φράσω·
"βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα."
λέγοιτ' ἄν, ὡς αὕτη 'στὶ λοιπὴ σφῷν στάσις.
ΕΥ. "σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον."
ΑΙ. "ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῷ νεκρός."
ΔΙ. ἐξηπάτηκεν αὖ σὲ καὶ νῦν. ΕΥ. τῷ τρόπῳ;
ΔΙ. δύ' ἅρματ' εἰσήνεγκε καὶ νεκρὼ δύο,
οὓς οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι.
ΑΙ. καὶ μηκέτ' ἔμοιγε κατ' ἔπος, ἀλλ' ἐς τὸν σταθμὸν
αὐτός, τὰ παιδί', ἡ γυνή, Κηφισοφῶν,
ἐμβὰς καθήσθω ξυλλαβὼν τὰ βιβλία·
ἐγὼ δὲ δύ' ἔπη τῶν ἐμῶν ἐρῶ μόνον.
ΔΙ. ἄνδρες φίλοι, κἀγὼ μὲν αὐτοὺς οὐ κρινῶ.
οὐ γὰρ δι' ἔχθρας οὐδετέρῳ γενήσομαι.
τὸν μὲν γὰρ ἡγοῦμαι σοφόν, τῷ δ' ἥδομαι.
ΠΛ. οὐδὲν ἄρα πράξεις ὧνπερ ἦλθες οὕνεκα;
ΔΙ. ἐὰν δὲ κρίνω; ΠΛ. τὸν ἕτερον λαβὼν ἄπει,
ὁπότερον ἂν κρίνῃς, ἵν' ἔλθῃς μὴ μάτην.
ΔΙ. εὐδαιμονοίης. φέρε, πύθεσθέ μου ταδί.
ἐγὼ κατῆλθον ἐπὶ ποιητήν. ΕΥ. τοῦ χάριν;
ΔΙ. ἵν' ἡ πόλις σωθεῖσα τοὺς χοροὺς ἄγῃ.
ὁπότερος οὖν ἂν τῇ πόλει παραινέσειν
μέλλῃ τι χρηστόν, τοῦτον ἄξειν μοι δοκῶ.
πρῶτον μὲν οὖν περὶ Ἀλκιβιάδου τίν' ἔχετον
γνώμην ἑκάτερος; ἡ πόλις γὰρ δυστοκεῖ.
ΕΥ. ἔχει δὲ περὶ αὐτοῦ τίνα γνώμην; ΔΙ. τίνα;
ποθεῖ μὲν ἐχθαίρει δέ, βούλεται δ' ἔχειν.
ἀλλ' ὅ τι νοεῖτον, εἴπατον τούτου πέρι.
ΕΥ. μισῶ πολίτην, ὅστις ὠφελεῖν πάτραν
βραδὺς φανεῖται, μεγάλα δὲ βλάπτειν ταχύς,
καὶ πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον.
ΔΙ. εὖ γ', ὦ Πόσειδον· σὺ δὲ τίνα γνώμην ἔχεις;
ΑΙ. μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν,
ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.
ΔΙ. νὴ τὸν Δία τὸν σωτῆρα, δυσκρίτως γ' ἔχω·
ὁ μὲν σοφῶς γὰρ εἶπεν, ὁ δ' ἕτερος σαφῶς.
ἀλλ' ἔτι μίαν γνώμην ἑκάτερος εἴπατον
περὶ τῆς πόλεως ἥντιν' ἔχετον σωτηρίαν.
ΕΥ. ἐγὼ μὲν οἶδα, καὶ θέλω φράζειν. ΔΙ. λέγε.
ΕΥ. ὅταν τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα,
τὰ δ' ὄντα πίστ' ἄπιστα. ΔΙ. πῶς: οὐ μανθάνω.
ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον.

1370—1377. = 1482—1490. = 1491—1499.

1430b. ΑΙ. οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν.

1437. ΕΥ. εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ,
αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα.
ΔΙ. γέλοιον ἂν φαίνοιτο· νοῦν δ' ἔχει τίνα;
ΕΥ. εἰ ναυμαχοῖεν, κᾆτ' ἔχοντες ὀξίδας
ῥαίνοιεν ἐς τὰ βλέφαρα τῶν ἐναντίων.

---

1362. ὀξυτάταιν] ὀξυτάτας RV aliique. 1373. Unius versus defectum indicavit D. 1378. νυν] δὴ RV. 1380. σφῷν om. R. 1382. Euripidis Medeae initium. 1383. Aeschyli Philoctetae initium. 1384. μέθεσθε Porsonus] μεθεῖτε 1391. Ex Antigona Euripidis. ἱρὸν D.] ἱερὸν 1392. Ex Niobe Aeschyli. 1393. μέθεσθε μέθεσθε Porsonus] μεθεῖτε μεθεῖτε 1394. κακῶν] κακόν RV. 1399. ΔΙ. ante βέβληκ' lectum (sed omissum in R) huc transtulit Seidlerus.

1400. Ex Telepho Euripidis. 1401. ΔΙ. praescriptum in R. 1402. Ex Meleagro Euripidis. τ' delet Meinekius. 1403. Ex Aeschyli Glauco Potniensi.

1410. Post hunc versum unum vel duo Plutonis versus excidisse coniecit Fritzschius. 1411. φίλοι R aliique. σοφοὶ alii. 1414. Scholiasta, Ἀπολλώνιος τοῦ Πλούτωνος εἶναί φησι τοῦτο, καὶ γίνεται πρόσωπα ἐν τῇ σκηνῇ δ'. τινὲς δὲ τοῦ χοροῦ. Choro si haec tribuuntur, etiam proxima verba v. 1415. τὸν — μάτην et infra v. 1467. κρίνοις ἂν non Plutoni, sed choro erunt tribuenda. 1416. delet Hamakerus. 1430—1454. Duplicis hic in libris coaluerunt recensionis exempla, quorum prius Aristophanis, alterum haud dubie histrionis alicuius est: de quo pluribus dixi in Prolegomenis ad Fragmenta vol. 2. p. 515—522. ed. Oxon.

1430b. eiecit D. 1432. ἐκτραφῇ] ἐκτρέφῃ Plutarchus V. Alcib. c. 16. p. 199a. 1437—1441. Versus spurios notarunt Aristarchus et Apollonius, ut refert scholiasta.

ΕΥ. εἰ τῶν πολιτῶν οἷσι νῦν πιστεύομεν,
τούτοις ἀπιστήσαιμεν, οἷς δ' οὐ χρώμεθα,
τούτοισι χρησαίμεσθ', ἴσως σωθεῖμεν ἄν.
ΔΙ. τί δαὶ λέγεις σύ; ΑΙ. τὴν πόλιν νῦν μοι φράσον
πρῶτον τίσι χρῆται· πότερα τοῖς χρηστοῖς; ΔΙ. πόθεν;
μισεῖ κάκιστα. ΑΙ. τοῖς πονηροῖς δ' ἥδεται;
ΔΙ. οὐ δῆτ' ἐκείνη γ', ἀλλὰ χρῆται πρὸς βίαν.
ΑΙ. πῶς οὖν τις ἂν σώσειε τοιαύτην πόλιν,
ᾗ μήτε χλαῖνα μήτε σισύρα συμφέρει;
ΔΙ. εὕρισκε νὴ Δί' ἥπερ ἀναδύσει πάλιν.
ΑΙ. ἐκεῖ φράσαιμ' ἄν· ἐνθαδὶ δ' οὐ βούλομαι.
ΔΙ. μὴ δῆτα σύ γ', ἀλλ' ἐνθένδ' ἀνίει τἀγαθά.
ΑΙ. τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων
εἶναι σφετέραν, τὴν δὲ σφετέραν τῶν πολεμίων,
πόρον δὲ τὰς ναῦς, ἀπορίαν δὲ τὸν πόρον.
ΔΙ. εὖ, πλήν γ' ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος.
ΠΛ. κρίνοις ἄν. ΔΙ. αὕτη σφῷν κρίσις γενήσεται.
αἱρήσομαι γὰρ ὅνπερ ἡ ψυχὴ θέλει.
ΕΥ. μεμνημένος νυν τῶν θεῶν οὓς ὤμοσας,
ἦ μὴν ἀπάξειν μ' οἴκαδ', αἱροῦ τοὺς φίλους.
ΔΙ. ἡ γλῶττ' ὀμώμοκ', Αἰσχύλον δ' αἱρήσομαι.
ΕΥ. τί δέδρακας, ὦ μιαρώτατ' ἀνθρώπων; ΔΙ. ἐγώ;
ἔκρινα νικᾶν Αἰσχύλον. τιὴ γὰρ οὔ;
ΕΥ. αἴσχιστον ἔργον προσβλέπεις μ' εἰργασμένος;
ΔΙ. τί δ' αἰσχρόν, ἢν μὴ τοῖς θεωμένοις δοκῇ;
ΕΥ. ὦ σχέτλιε, περιόψει με δὴ τεθνηκότα;
ΔΙ. τίς οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ πνεῖν δὲ δειπνεῖν, τὸ δὲ καθεύδειν κῴδιον;
ΠΛ. χωρεῖτε τοίνυν, ὦ Διόνυσ', εἴσω. ΔΙ. τί δαί;
ΠΛ. ἵνα ξενίσω σφὼ πρὶν ἀποπλεῖν. ΔΙ. εὖ τοι λέγεις
νὴ τὸν Δί'· οὐ γὰρ ἄχθομαι τῷ πράγματι.
ΧΟ. μακάριός γ' ἀνὴρ ἔχων
ξύνεσιν ἠκριβωμένην.
πάρα δὲ πολλοῖσιν μαθεῖν.
ὅδε γὰρ εὖ φρονεῖν δοκήσας

1449. εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς
τἀναντί' ἂν πράξαντες οὐ σωζοίμεθ' ἄν;
ΔΙ. εὖ γ', ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις.
ταυτὶ πότερ' αὐτὸς ηὗρες ἢ Κηφισοφῶν;
1453. ΕΥ. ἐγὼ μόνος· τὰς δ' ὀξίδας Κηφισοφῶν.
πάλιν ἄπεισιν οἴκαδ' αὖ,

---

1448. χρησαίμεσθ', ἴσως σωθεῖμεν ἄν] χρησαίμεσθα σωθείημεν ἄν R et Suidas s. v. σαφέστερον. 1449. 1450. eiecit D. Versus non veteris, sed recentioris interpolatoris. 1450. τἀναντί' ἂν Dobraeus] τἀναντία.

1451—1453. eiecit D. Schol. ad v. 1452. (vol. 2. p. 152, 14.) συναθετεῖται τοῖς ἄνω καὶ οὗτος: qui tres potius versus (1451—1453.) dicere debebat. 1454. τί δαὶ λέγεις σύ;] τί δαὶ σὺ τί λέγεις R. 1460. ἥπερ Seagerus] εἴπερ 1463. ὅταν] ὁπόταν V. 1474. ἔργον προσβλέπεις μ' εἰργασμένος] ἔργον (μ' ἔργον V) εἰργασμένος προσβλέπεις RV: unde coniici potest ἔργον μ' ἐργασάμενος προσβλέπεις. 1480. τοι addidit Brunckius, recte, nisi ξενίσω in ξενίσω σι mutandum cum Hermanno in Annalibus Vindob· vol. 110. a. 1845. p. 67. qui verba χωρεῖτε — εἴσω et ἵνα — ἀποπλεῖν pariterque superiora v. 1414. 1415. 1467. choro tribuit. 1486. αὖ D.] αὖθις

ἐπ' ἀγαθῷ μὲν τοῖς πολίταις,
ἐπ' ἀγαθῷ δὲ τοῖς ἑαυτοῦ
ξυγγενέσι τε καὶ φίλοισι,
διὰ τὸ συνετὸς εἶναι.
χάριεν οὖν μὴ Σωκράτει •
παρακαθήμενον λαλεῖν,
ἀποβαλόντα μουσικὴν,
τά τε μέγιστα παραλιπόντα
τῆς τραγῳδικῆς τέχνης.
τὸ δ' ἐπὶ σεμνοῖσιν λόγοισι
καὶ σκαριφησμοῖσι λήρων
διατριβὴν ἀργὸν ποιεῖσθαι
παραφρονοῦντος ἀνδρός.
ΠΛ. ἄγε δὴ χαίρων, Αἰσχύλε, χωρει,
καὶ σῶζε πόλιν τὴν ἡμετέραν
γνώμαις ἀγαθαῖς, καὶ παίδευσον
τοὺς ἀνοήτους· πολλοὶ δ' εἰσίν·
καὶ δὸς τουτὶ Κλεοφῶντι φέρων,
καὶ τουτουσὶ τοῖσι ποριστaῖς,
Μύρμηκί θ' ὁμοῦ καὶ Νικομάχῳ·
τόδε δ' Ἀρχενόμῳ·
καὶ φράζ' αὐτοῖς ταχέως ἥκειν
ὡς ἐμὲ δευρὶ καὶ μὴ μέλλειν·
κἂν μὴ ταχέως ἥκωσιν, ἐγὼ
νὴ τὸν Ἀπόλλω στίξας αὐτοὺς
καὶ ξυμποδίσας
μετ' Ἀδειμάντου τοῦ Λευκολόφου
κατὰ γῆς ταχέως ἀποπέμψω.
ΑΙ. ταῦτα ποιήσω· σὺ δὲ τὸν θᾶκον
τὸν ἐμὸν παράδος Σοφοκλεῖ τηρεῖν
κἀμοὶ σώζειν, ἢν ἄρ' ἐγὼ ποτε
δεῦρ' ἀφίκωμαι. τοῦτον γὰρ ἐγὼ
σοφίᾳ κρίνω δεύτερον εἶναι.
μέμνησο δ', ὅπως ὁ πανοῦργος ἀνὴρ
καὶ ψευδολόγος καὶ βωμολόχος
μηδέποτ' ἐς τὸν θᾶκον τὸν ἐμὸν
μηδ' ἄκων ἐγκαθεδεῖται.
ΠΛ. φαίνετε τοίνυν ὑμεῖς τούτῳ
λαμπάδας ἱράς, χἄμα προπέμπετε
τοῖσιν τούτου τοῦτον μέλεσιν
καὶ μολπαῖσιν κελαδοῦντες.
ΧΟ. πρῶτα μὲν εὐοδίαν ἀγαθὴν ἀπιόντι ποιητῇ
ἐς φάος ὀρνυμένῳ δότε, δαίμονες οἱ κατὰ γαίας,
τῇ δὲ πόλει μεγάλων ἀγαθῶν ἀγαθὰς ἐπινοίας.
πάγχυ γὰρ ἐκ μεγάλων ἀχέων παυσαίμεθ' ἂν οὕτως
ἀργαλέων τ' ἐν ὅπλοις ξυνόδων. Κλεοφῶν δὲ μαχέσθω
κἄλλος ὁ βουλόμενος τούτων πατρίοις ἐν ἀρούραις.

---

1489. φίλοισι D.] φίλοις 1491. χάριεν R. χαρίεν ceteri. 1497. σκαριφησμοῖσι R et Mut. σκαριφισμοῖσι ceteri cum Suida s. h. v. σκαριφηθμοῖς apud Numenium Euseb. Praep. Ev. 14. p. 728 b. 1504. τουτὶ — τουτουσὶ — τόδε] Id est ξίφος, βρόχους, κώνειον: v. Suidam s. v. τὰ τρία τῶν εἰς θάνατον. 1505. τουτουσὶ Bergkius] τοῦτο R et Suidas s. v. Πλούτων. τουτοῖ V. τουτὶ alii. 1515. θᾶκον Bentleius] θῶκον Vat. θρόνον ceteri. 1517. κἀμοὶ Porsonus] καί: unde καὶ διασώζειν Brunckius. 1518. ἀφίκωμαι] αὖ ἵκωμαι Meinekius. 1525. ἱράς D.] ἱεράς

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

| | |
|---|---|
| ΠΡΑΞΑΓΟΡΑ. | ΚΗΡΥΞ. |
| ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ. | ΓΡΑΕΣ ΤΙΝΕΣ. |
| ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ. | ΝΕΑΝΙΣ. |
| ΒΛΕΠΥΡΟΣ. | ΝΕΑΝΙΑΣ. |
| ΑΝΗΡ ΤΙΣ. | ΘΕΡΑΠΑΙΝΑ. |
| ΧΡΕΜΗΣ. | ΔΕΣΠΟΤΗΣ. |

## ΥΠΟΘΕΣΙΣ.

Αἱ γυναῖκες συνέθεντο πάντα μηχανήσασθαι εἰς τὸ δόξαι ἄνδρες εἶναι καὶ ἐκκλησιάσασαι πεῖσαι παραδοῦναι σφίσι τὴν πόλιν, δημηγορησάσης μιᾶς ἐξ αὐτῶν. αἱ δὲ μηχαναὶ τοῦ δόξαι αὐτὰς ἄνδρας εἶναι τοιαῦται. πώγωνας περιθέτους καὶ ἀνδρείαν ἀναλαμβάνουσι στολήν, προνοήσασαι καὶ προασκήσασαι τὸ σῶμα αὐτῶν, ὡς ὅτι μάλιστα ἀνδρικὸν εἶναι δόξαι· μία δὲ ἐξ αὐτῶν Πραξαγόρα λύχνον ἔχουσα προέρχεται κατὰ τὰς συνθήκας καὶ φησὶν "ὦ λαμπρὸν ὄμμα."

ΠΡΑΞΑΓΟΡΑ.

Ὦ λαμπρὸν ὄμμα τοῦ τροχηλάτου λύχνου
κάλλιστ' ἐν εὐσκόποισιν ἐξηρτημένον,
γονάς τε γὰρ σὰς καὶ τύχας δηλώσομεν·
τροχῷ γὰρ ἐλαθεὶς κεραμικῆς ῥύμης ἄπο
μυκτῆρσι λαμπρὰς ἡλίου τιμὰς ἔχεις·
ὅρμα φλογὸς σημεῖα τὰ ξυγκείμενα.
σοὶ γὰρ μόνῳ δηλοῦμεν, εἰκότως, ἐπεὶ
κἀν τοῖσι δωματίοισιν Ἀφροδίτης τρόπων
πειρωμέναισι πλησίον παραστατεῖς,
λορδουμένων τε σωμάτων ἐπιστάτην
ὀφθαλμὸν οὐδεὶς τὸν σὸν ἐξείργει δόμων.
μόνος δὲ μηρῶν εἰς ἀπορρήτους μυχοὺς
λάμπεις, ἀφεύων τὴν ἐπανθοῦσαν τρίχα·
στοάς τε καρποῦ βακχίου τε νάματος
πλήρεις ὑποιγνύσαισι συμπαραστατεῖς·
καὶ ταῦτα συνδρῶν οὐ λαλεῖς τοῖς πλησίον.
ἀνθ' ὧν ξυνείσει καὶ τὰ νῦν βουλεύματα,
ὅσα Σκίροις ἔδοξε ταῖς ἐμαῖς φίλαις.
ἀλλ' οὐδεμία πάρεστιν ἃς ἥκειν ἐχρῆν.
καίτοι πρὸς ὄρθρον γ' ἐστίν· ἡ δ' ἐκκλησία
αὐτίκα μάλ' ἔσται· καταλαβεῖν δ' ἡμᾶς ἕδρας,
ἃς Φυρόμαχός ποτ' εἶπεν, εἰ μέμνησθ' ἔτι,
δεῖ τὰς ἑτέρας πως κἀγκαθεζομένας λαθεῖν.
τί δῆτ' ἂν εἴη; πότερον οὐκ ἐρραμμένους

2. εὐσκόποισιν] εὐστόχοισιν R, quod videtur legisse scholiasta, qui interpretetur κάλλιστα τοῖς σοφοῖς εὑρημένον. Sed quod additur τοῖς εὖ σκεπτομένοις melius alteri scripturae convenit. ἐξηρτημένον Palmerius] ἐξητημένον 4. ἄπο] ὕπο Bergkius.
9. πλησίον] πλησίως R. πλησίος Flor. Γ.

16. συνδρῶν] συνορῶν Meinekius. 17. συνείσει Bisetus] συνοίσει 22. Φυρόμαχος Berglerus] Σφυρόμαχος 23. ἑτέρας ed. Iuntina a. 1515.] ἑταίρας πως κἀγκαθεζομένας Bentleius] πως κωλαθιζομένας R. καθαγιαζομένας ΑΒΓ. κἀγαθιζομένας, omisso πως, Ald. Verae scripturae vestigia servata sunt in scholio obscuro ad v. 1. Πραξαγόρα λύχνον ἔχουσα προέρχεται. ὑποπτεύεται δὲ ὁ ἴαμβος ἢ τοῦ Ἀγάθωνος ἢ τοῦ Δικαιογένους διὰ τὰς ἑταίρας (ἑτέρας ?) ἐγκαθιζομένας. πρὸς ὃ οὐδὲν εἶπεν, ἀλλὰ μόνον ὅτι τὰς ἑταίρας (ἑτέρας?) δεῖ πως. βούλεται δὲ εἰπεῖν ὅτι τοὺς ἄνδρας προλάβωμεν εἰς τὴν ἐκκλησίαν.

ἔχουσι τοὺς πώγωνας, οὓς εἴρητ' ἔχειν;
ἢ θαἰμάτια τἀνδρεῖα κλεψάσαις λαθεῖν
ἦν χαλεπὸν αὐταῖς; ἀλλ' ὁρῶ τονδὶ λύχνον
προσιόντα. φέρε νυν ἐπαναχωρήσω πάλιν,
μὴ καί τις ὢν ἀνὴρ ὁ προσιὼν τυγχάνῃ.

ΓΥΝΗ Α.

ὥρα βαδίζειν, ὡς ὁ κῆρυξ ἀρτίως
ἡμῶν προσιόντων δεύτερον κεκόκκυκεν.
ΠΡ. ἐγὼ δέ γ' ὑμᾶς προσδοκῶσ' ἐγρηγόρη
τὴν νύκτα πᾶσαν. ἀλλὰ φερε τὴν γείτονα
τήνδ' ἐκκαλέσωμαι, τρυγονῶσα τὴν θύραν.
δεῖ γὰρ τὸν ἄνδρ' αὐτῆς λαθεῖν. ΓΥ.Β. ἤκουσά τοι
ὑποδουμένη τὸ κνῦμά σου τῶν δακτύλων,
ἅτ' οὐ καταδαρθοῦσ'. ὁ γὰρ ἀνήρ, ὦ φιλτάτη,
Σαλαμίνιος γάρ ἐστιν ᾧ ξύνειμ' ἐγώ,
τὴν νύχθ' ὅλην ἤλαυνέ μ' ἐν τοῖς στρώμασιν,
ὥστ' ἄρτι τουτὶ θοἰμάτιον αὐτοῦ λαβεῖν.
ΓΥ.Α. καὶ μὴν ὁρῶ καὶ Κλειναρέτην καὶ Σωστράτην
παριοῦσαν ἤδη τήνδε καὶ Φιλαινέτην.
ΠΡ. οὔκουν ἐπείξεσθ'; ὡς Γλύκη κατώμοσεν
τὴν ὑστάτην ἥκουσαν οἴνου τρεῖς χόας
ἡμῶν ἀποτίσειν κἀρεβίνθων χοίνικα.
ΓΥ.Α. τὴν Σμικυθίωνος δ' οὐχ ὁρᾷς Μελιστίχην
σπεύδουσαν εν ταῖς ἐμβάσιν; καί μοι δοκεῖ
κατὰ σχολὴν παρὰ τἀνδρὸς ἐξελθεῖν μόνη.
ΓΥ.Β. τὴν τοῦ καπήλου δ' οὐχ ὁρᾷς Γευσιστράτην,
ἔχουσαν ἐν τῇ δεξιᾷ τὴν λαμπάδα,
καὶ τὴν Φιλοδωρήτου τε καὶ Χαιρητάδου;
ΠΡ. ὁρῶ προσιούσας χἀτέρας πολλὰς πάνυ
γυναῖκας, ὅ τι πέρ ἐστ' ὄφελος ἐν τῇ πόλει.
ΓΥ.Β. καὶ πάνυ ταλαιπώρως ἔγωγ', ὦ φιλτάτη,
ἐκδρᾶσα παρέδυν. ὁ γὰρ ἀνὴρ τὴν νύχθ' ὅλην
ἔβηττε τριχίδων ἑσπέρας ἐμπλήμενος.
ΠΡ. κάθησθε τοίνυν, ὡς ἂν ἀνέρωμαι τάδε
ὑμᾶς, ἐπειδὴ ξυλλελεγμένας ὁρῶ,
ὅσα Σκίροις ἔδοξεν εἰ δεδράκατε.
ΓΥ.Α. ἔγωγε. πρῶτον μέν γ' ἔχω τὰς μασχάλας
λόχμης δασυτέρας, καθάπερ ἦν ξυγκείμενον·
ἔπειθ' ὁπόθ' ἀνὴρ εἰς ἀγορὰν οἴχοιτό μου,
ἀλειψαμένη τὸ σῶμ' ὅλον δι' ἡμέρας

29. τυγχάνῃ] τυγχάνεις (i. e. τυγχάνει) RAΓ 30—279. Post versum 29. plures in scenam, alia post aliam, prodeunt mulieres, quarum nonnullae nominibus suis nominantur (v. 41—51.) Harum mulierum sermonibus in libris vel simplex γυ., vel ἀλ. (i. e. ἄλλη γυνή) est praescriptum, interdum sola lineola (ut saepius in R), qua in codicibus poetarum scenicorum antiquioribus vices personarum non raro indicantur. Brunckius novem loqui mulieres credidit, quas literis A usque ad I distinxit. Recte vero Beerius p. 103—105. et Hermannus in Annal. Vindob. a. 1845. vol. 110. p. 74. 75. iudicarunt maiorem quidem mulierum numerum in scena apparuisse, sed praeter Praxagoram, personam primariam, duas tantum verba fecisse, γυναῖκα A, quae fortasse chori κορυφαία fuerit, et γυναῖκα B: quam ad normam ego personarum vices notavi. Ceteras mulieres mutas adstitisse etiam ex v. 72. colligi potest, ubi Praxagorae quaerenti ὑμεῖς δὲ τί φατέ; ab alia muliere (ΓΥ. A.) respondetur φασί· κατανεύουσι γάρ. 32. ἐγρηγόρη Porsonus] ἐγρηγορεῖν 34. τρυγονῶσα BΓ et Suidas s. h. v. τρυγανῶσα A. θρυγονῶσα R et Theognostus Can. p. 20, 23. Verbum θρυγανᾷ apud Hesychium. 42. παριοῦσαν R. παροῦσαν Γ. προσιοῦσαν ceteri. 44. χόας] χοᾶς libri. 45. ἡμῶν] ἦ μὴν Meinekius. 47. καί μοι] καίτοι Cobetus. 51. Lineola praescripta in R. 56. ἂν ἀνέρωμαι Dawesius] ἀνείρωμαι 61. καθάπερ] ὥσπερ Suidas s. v. λόχμας.

ἐχραινόμην ἑστῶσα πρὸς τὸν ἥλιον.
ΓΥ.Β. κἄγωγε· τὸ ξυρὸν δέ γ' ἐκ τῆς οἰκίας
ἔρριψα πρῶτον, ἵνα δασυνθείην ὅλη
καὶ μηδὲν εἴην ἔτι γυναικὶ προσφερής.
ΠΡ. ἔχετε δὲ τοὺς πώγωνας, οὓς εἴρητ' ἔχειν
πάσαισιν ἡμῖν, ὁπότε συλλεγοίμεθα;
ΓΥ.Α. νὴ τὴν Ἑκάτην, καλόν γ' ἔγωγε τουτονί.
ΓΥ.Β. κἄγωγ' Ἐπικράτους οὐκ ὀλίγῳ καλλίονα.
ΠΡ. ὑμεῖς δὲ τί φατέ; ΓΥ.Α. φασί· κατανεύουσι γάρ.
ΠΡ. καὶ μὴν τά γ' ἄλλ' ὑμῖν ὁρῶ πεπραγμένα.
Λακωνικὰς γὰρ ἔχετε καὶ βακτηρίας
καὶ θαἰμάτια τἀνδρεῖα, καθάπερ εἴπομεν.
ΓΥ.Α. ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην
τὸ τοῦ Λαμίου τουτὶ καθεύδοντος λάθρα.
ΓΥ.Β. τοῦτ' ἔστ' ἐκείνων τῶν σκυτάλων ὧν πέρδεται.
ΠΡ. νὴ τὸν Δία τὸν σωτῆρ' ἐπιτήδειός γ' ἂν ἦν
τὴν τοῦ Πανόπτου διφθέραν ἐνημμένος
εἴπερ τις ἄλλος βουκολεῖν τὸ δήμιον.
ΠΡ. ἀλλ' ἄγεθ' ὅπως καὶ τἀπὶ τούτοις δράσομεν,
ἕως ἔτ' ἐστὶ τἄστρα κατὰ τὸν οὐρανόν·
ἡκκλησία δ', εἰς ἣν παρεσκευάσμεθα
ἡμεῖς βαδίζειν, ἐξ ἕω γενήσεται.
ΓΥ.Α. νὴ τὸν Δί', ὥστε δεῖ σε καταλαβεῖν ἕδρας
ὑπὸ τῷ λίθῳ τῶν πρυτάνεων καταντικρύ.
ΓΥ.Β. ταυτί γέ τοι νὴ τὸν Δί' ἐφερόμην, ἵνα
πληρουμένης ξαίνοιμι τῆς ἐκκλησίας.
ΠΡ. πληρουμένης, τάλαινα; ΓΥ.Β. νὴ τὴν Ἄρτεμιν,
ἔγωγε. τί γὰρ ἂν χεῖρον ἀκροῴμην ἅμα
ξαίνουσα; γυμνὰ δ' ἐστί μοι τὰ παιδία.
ΠΡ. ἰδού γέ σε ξαίνουσαν, ἣν τοῦ σώματος
οὐδὲν παραφῆναι τοῖς καθημένοις ἔδει.
οὐκοῦν καλά γ' ἂν πάθοιμεν, εἰ πλήρης τύχοι
ὁ δῆμος ὤν, κἄπειθ' ὑπερβαίνουσά τις
ἀναβαλλομένη δείξειε τὸν Φορμίσιον.
ἢν δ' ἐγκαθεζώμεσθα πρότεραι, λήσομεν
ξυστειλάμεναι θαἰμάτια· τὸν πώγωνά τε
ὅταν καθῶμεν, ὃν περιδησόμεσθ' ἐκεῖ,
τίς οὐκ ἂν ἡμᾶς ἄνδρας ἡγήσαιθ' ὁρῶν;
ΓΥ.Α. Ἀγύρριος γοῦν τὸν Προνόμου πώγων' ἔχων
λέληθε· καίτοι πρότερον ἦν οὗτος γυνή·
νυνὶ δ', ὁρᾷς, πράττει τὰ μέγιστ' ἐν τῇ πόλει.
ΠΡ. τούτου γε τοίνυν τὴν ἐπιοῦσαν ἡμέραν
τόλμημα τολμῶμεν τοσοῦτον οὕνεκα,
ἤν πως παραλαβεῖν τῆς πόλεως τὰ πράγματα
δυνώμεθ', ὥστ' ἀγαθόν τι πρᾶξαι τὴν πόλιν·
νῦν μὲν γὰρ οὔτε θέομεν οὔτ' ἐλαύνομεν.
ΓΥ.Α. καὶ πῶς γυναικῶν θηλύφρων ξυνουσία
δημηγορήσει; ΠΡ. πολὺ μὲν οὖν ἄριστά που.
λέγουσι γὰρ καὶ τῶν νεανίσκων ὅσοι
πλεῖστα σποδοῦνται, δεινοτάτους εἶναι λέγειν·
ἡμῖν δ' ὑπάρχει τοῦτο κατὰ τύχην τινά.
ΓΥ.Α. οὐκ οἶδα· δεινὸν δ' ἐστὶν ἡ μὴ 'μπειρία.
ΠΡ. οὐκοῦν ἐπίτηδες ξυνελέγημεν ἐνθάδε,
ὅπως προμελετήσαιμεν ἁκεῖ δεῖ λέγειν.

64. ἐχραινόμην (collato Phrynicho in Bekk. Anecd. p. 72, 28.) Bergkius] ἐχλιαινόμην. 66. πρῶτον] πρῴην Meinekius. 75. εἴπαμεν R. εἴπομεν ceteri. 78. ἐκείνων ex Suida s. v. σκύταλον] ἐκεῖνο 81. τὸ Bothius] τὸν 82. ἀλλ' ἄγεθ' D. γεθ' R. λέγεθ' cetere. 83. ἐστὶ τἄστρα Cobetus] ἐστὶν ἄστρα 86. σε] γε Meinekius. 91. ἅμα Dobraeus] ἄρα 92. μοι R. μου ceteri. 98. ἐγκαθεζώμεσθα D.] ἐγκαθιζώμεσθα (ἐκαθεζόμεσθα Flor. Γ) 105. τοίνυν Bothius] τοι νὴ 115. δ' om. R aliique et Suidas s. v. ἡ μὴ 'μπειρία, et poterat omitti. 117. προμελετήσαιμεν Kiddius ad Dawes. Miscell. p. 137.] προμελετήσωμεν

οὐκ ἂν φθάνοις τὸ γένειον ἂν περιδουμένη,
ἄλλαι θ' ὅσαι λαλεῖν μεμελετήκασί που;
ΓΥ. Α. τίς δ', ὦ μέλ', ἡμῶν οὐ λαλεῖν ἐπίσταται;
ΠΡ. ἴθι δὴ σὺ περιδοῦ καὶ ταχέως ἀνὴρ γενοῦ·
ἐγὼ δὲ θεῖσα τοὺς στεφάνους περιδήσομαι
καὐτὴ μεθ' ὑμῶν, ἤν τί μοι δόξῃ λέγειν.
ΓΥ. Α. δεῦρ', ὦ γλυκυτάτη Πραξαγόρα, σκέψαι, τάλαν,
ὡς καὶ καταγέλαστον τὸ πρᾶγμα φαίνεται.
ΠΡ. πῶς καταγέλαστον; ΓΥ. Α. ὥσπερ εἴ τις σηπίαις
πώγωνα περιδήσειεν ἐσταθευμέναις.
ΠΡ. ὁ περιστίαρχος, περιφέρειν χρὴ τὴν γαλῆν,
πάριθ' ἐς τὸ πρόσθεν. Ἀρίφραδες, παῦσαι λαλῶν.
κάθιζ' ὁ παριών. τίς ἀγορεύειν βούλεται;
ΓΥ. Α. ἐγώ. ΠΡ. περίθου δὴ τὸν στέφανον τύχἀγαθῇ.
ΓΥ. Α. ἰδού. ΠΡ. λέγοις ἄν. ΓΥ. Α. εἶτα πρὶν πιεῖν λέγω;
ΠΡ. ἰδοὺ πιεῖν. ΓΥ. Α. τί γάρ, ὦ μέλ', ἐστεφανωσάμην;
ΠΡ. ἄπιθ' ἐκποδών· τοιαῦτ' ἂν ἡμᾶς εἰργάσω
κἀκεῖ. ΓΥ. Α. τί δ'; οὐ πίνουσι κἀν τἠκκλησίᾳ;
ΠΡ. ἰδού γε σοὶ πίνουσι. ΓΥ. Α. νὴ τὴν Ἄρτεμιν,
καὶ ταῦτά γ' εὔζωρον. τὰ γοῦν βουλεύματα
αὐτῶν ὅσ' ἂν πράξωσιν ἐνθυμουμένοις
ὥσπερ μεθυόντων ἐστὶ παραπεπληγμένα.
καὶ νὴ Δία σπένδουσί γ'· ἢ τίνος χάριν
τοσαῦτ' ἂν ηὔχοντ', εἴπερ οἶνος μὴ παρῆν;
καὶ λοιδοροῦνταί γ' ὥσπερ ἐμπεπωκότες,
καὶ τὸν παροινοῦντ' ἐκφέρουσ' οἱ τοξόται.
ΠΡ. σὺ μὲν βάδιζε καὶ κάθησ'· οὐδὲν γὰρ εἶ.
ΓΥ. Α. νὴ τὸν Δί', ἦ μοι μὴ γενειᾶν κρεῖττον ἦν·
δίψῃ γάρ, ὡς ἔοικ', ἀφαυανθήσομαι.
ΠΡ. ἔσθ' ἥτις ἑτέρα βούλεται λέγειν; ΓΥ. Β. ἐγώ.
ΠΡ. ἴθι δὴ στεφανοῦ· καὶ γὰρ τὸ χρῆμ' ἐργάζεται.
ἄγε νυν ὅπως ἀνδριστὶ καὶ καλῶς ἐρεῖς,
διερεισαμένη τὸ σχῆμα τῇ βακτηρίᾳ.
ΓΥ. Β. ἐβουλόμην μὲν ἂν ἕτερον τῶν ἠθάδων
λέγειν τὰ βέλτισθ', ἵν' ἐκαθήμην ἥσυχος·
νῦν δ' οὐκ ἐάσω, κατά γε τὴν ἐμήν, μίαν
ἐν τοῖς καπηλείοισι λάκκους ἐμποιεῖν
ὕδατος. ἐμοὶ μὲν οὐ δοκεῖ μὰ τὼ θεώ.
ΠΡ. μὰ τὼ θεώ; τάλαινα, ποῦ τὸν νοῦν ἔχεις;
ΓΥ. Β. τί δ' ἔστιν; οὐ γὰρ δὴ πιεῖν γ' ᾔτησά σε.
ΠΡ. μὰ Δί', ἀλλ' ἀνὴρ ὢν τὼ θεὼ κατώμοσας,
καίτοι τά γ' ἄλλ' εἰποῦσα δεξιώτατα.
ΓΥ. Β. ὢ νὴ τὸν Ἀπόλλω. ΠΡ. παῦε τοίνυν, ὡς ἐγὼ
ἐκκλησιάσουσ' οὐκ ἂν προβαίην τὸν πόδα
τὸν ἕτερον, εἰ μὴ ταῦτ' ἀκριβωθήσεται.
ΓΥ. Β. φέρε τὸν στέφανον· ἐγὼ γὰρ αὖ λέξω πάλιν.
οἶμαι γὰρ ἤδη μεμελετηκέναι καλῶς.
ἐμοὶ γάρ, ὦ γυναῖκες αἱ καθήμεναι,
ΠΡ. γυναῖκας αὖ, δύστηνε, τοὺς ἄνδρας λέγεις;
ΓΥ. Β. δι' Ἐπίγονόν γ' ἐκεινονί· βλέψασα γὰρ
ἐκεῖσε πρὸς γυναῖκας ᾠόμην λέγειν.
ΓΥ. ἄπερρε καὶ σὺ καὶ κάθησ' ἐντευθενί·
αὐτὴ γὰρ ὑμῶν ἕνεκά μοι λέξειν δοκῶ,
τονδὶ λαβοῦσα. τοῖς θεοῖς μὲν εὔχομαι
τυχεῖν κατορθώσασα τὰ βεβουλευμένα.
ἐμοὶ δ' ἴσον μὲν τῆσδε τῆς χώρας μέτα
ὅσονπερ ὑμῖν· ἄχθομαι δὲ καὶ φέρω
τὰ τῆς πόλεως ἅπαντα βαρέως πράγματα.
ὁρῶ γὰρ αὐτὴν προστάταισι χρωμένην
ἀεὶ πονηροῖς· κἄν τις ἡμέραν μίαν
χρηστὸς γένηται, δέκα πονηρὸς γίγνεται.
ἐπέτρεψας ἑτέρῳ· πλείον' ἔτι δράσει κακά.
χαλεπὸν μὲν οὖν ἄνδρας δυσαρέστους νουθετεῖν,
οἳ τοὺς φιλεῖν μὲν βουλομένους δεδοίκατε,
τοὺς δ' οὐκ ἐθέλοντας ἀντιβολεῖθ' ἑκάστοτε.
ἐκκλησίαισιν ἦν ὅτ' οὐκ ἐχρώμεθα
οὐδὲν τὸ παράπαν· ἀλλὰ τόν γ' Ἀγύρριον
πονηρὸν ἡγούμεσθα· νῦν δὲ χρωμένων
ὁ μὲν λαβὼν ἀργύριον ὑπερεπῄνεσεν,
ὁ δ' οὐ λαβὼν εἶναι θανάτου φήσ' ἀξίους
τοὺς μισθοφορεῖν ζητοῦντας ἐν τἠκκλησίᾳ.
ΓΥ. Α. νὴ τὴν Ἀφροδίτην, εὖ γε ταυταγὶ λέγεις.
ΠΡ. τάλαιν', Ἀφροδίτην ὤμοσας; χαρίεντά γ' ἂν
ἔδρασας, εἰ τοῦτ' εἶπας ἐν τἠκκλησίᾳ.
ΓΥ. Α. ἀλλ' οὐκ ἂν εἶπον. ΠΡ. μηδ' ἐθίζου νῦν λέγειν.
τὸ ξυμμαχικὸν αὖ τοῦθ', ὅτ' ἐσκοπούμεθα,
εἰ μὴ γένοιτ', ἀπολεῖν ἔφασκον τὴν πόλιν·
ὅτε δὴ δ' ἐγένετ', ἤχθοντο, τῶν δὲ ῥητόρων
ὁ τοῦτ' ἀναπείσας εὐθὺς ἀποδρὰς ᾤχετο.
ναῦς δεῖ καθέλκειν· τῷ πένητι μὲν δοκεῖ,
τοῖς πλουσίοις δὲ καὶ γεωργοῖς οὐ δοκεῖ.
Κορινθίοις ἤχθεσθε, κἀκεῖνοί γέ σοι·
νῦν δ' εἰσὶ χρηστοί, καὶ σὺ νῦν χρηστὸς γενοῦ.
Ἀργεῖος ἀμαθής, ἀλλ' Ἱερώνυμος σοφός·
σωτηρία παρέκυψεν, ἀλλ' οὐ ῥύσεται
Θρασύβουλος αὐτὸς οὐχὶ παρακαλούμενος.
ΓΥ. Α. ὡς ξυνετὸς ἀνήρ. ΠΡ. νῦν καλῶς ἐπῄνεσας.
ὑμεῖς γάρ ἐστ', ὦ δῆμε, τούτων αἴτιοι.
τὰ δημόσια γὰρ μισθοφοροῦντες χρήματα
ἰδίᾳ σκοπεῖσθ' ἕκαστος ὅ τι τις κερδανεῖ·
τὸ δὲ κοινὸν ὥσπερ Αἴσιμος κυλίνδεται.
ἢν οὖν ἐμοὶ πίθησθε, σωθήσεσθ' ἔτι.
ταῖς γὰρ γυναιξί φημι χρῆναι τὴν πόλιν
ἡμᾶς παραδοῦναι· καὶ γὰρ ἐν ταῖς οἰκίαις
ταύταις ἐπιτρόποις καὶ ταμίαισι χρώμεθα.
ΓΥ. Α. εὖ γ', εὖ γε νὴ Δί', εὖ γε· λέγε λέγ', ὤγαθέ.
ΠΡ. ὡς δ' εἰσὶν ἡμῶν τοὺς τρόπους βελτίονες
ἐγὼ διδάξω. πρῶτα μὲν γὰρ τἄρια
βάπτουσι θερμῷ κατὰ τὸν ἀρχαῖον νόμον
ἁπαξάπασαι, κοὐχὶ μεταπειρωμένας
ἴδοις ἂν αὐτάς. ἡ δ' Ἀθηναίων πόλις,
εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσῴζετο,
εἰ μή τι καινὸν ἄλλο περιειργάζετο;
καθήμεναι φρύγουσιν ὥσπερ καὶ πρὸ τοῦ·
ἐπὶ τῆς κεφαλῆς φέρουσιν ὥσπερ καὶ πρὸ τοῦ·
τὰ Θεσμοφόρι' ἄγουσιν ὥσπερ καὶ πρὸ τοῦ·
πέττουσι τοὺς πλακοῦντας ὥσπερ καὶ πρὸ τοῦ·
τοὺς ἄνδρας ἐπιτρίβουσιν ὥσπερ καὶ πρὸ τοῦ·
μοιχοὺς ἔχουσιν ἔνδον ὥσπερ καὶ πρὸ τοῦ·
αὑταῖς παροψωνοῦσιν ὥσπερ καὶ πρὸ τοῦ·

119. ἄλλαι] ἄλλαι Meinekius. 122. τοὺς στεφάνους] τὸν στέφανον Cobetus. 128. χρὴ] χρῆν Cobetus. 129. πάριθ' Faber] πάριτ' 130. κάθιζ' ὁ Meinekius] κάθιζε 141. τοσαῦτ' ἂν D. in ed. a. 1826.] τοσαῦτ' Γ. τοσαῦτά γ' ceteri. ηὔχοντ' Meinekius] εὔχοντ' (εὔχοντο R) 144. κάθησ' R. κάθιζ' ceteri. 150. διερεισαμένη Schaeferus (quod legisse videtur scholiasta qui explicat per διαταξαμένη, ἀσφαλισαμένη)] διερεισμένη 151. ἂν ἕτερον Γ. ἕτερον ἂν ceteri. 157. γ' ᾔτησά σε] ᾔτησά γε Cobetus. 161. ἐκκλησιάσουσ' Kusterus] ἐκκλησιάζουσα. ἐκκλησιῶσ' Buttmannus: vid. ad Thesm. 90. 167. ἐκεινονί· βλέψασα Elmsleius] ἐκεῖνον· ἐπιβλέψασα

190. ὤμοσας Bentleius] ὠνόμασας 197. δεῖ R. δὴ ceteri. 199. ἤχθεσθε Reiskius] ἄχθεσθε 202. οὐ ῥύσεται Bothius] ὀρίζεται (ὀρείζεται R.) In A interpolatum οὐχ ὁρίζεται, in B οὐ χρῄζετε. Recepi Bothii coniecturam, incertam quidem, sed probabiliorem quam aliae aliorum. 205. γάρ] ἄρ' Meinekius. 209. πίθησθε Cobetus] πείθησθε 219. εἰ τοῦτο] εἴ πού τι Dobraeus. ἂν ἐσῴζετο] ἐσῴζετ' ἂν Elmsleius. 222. φέρουσιν] φοροῦσιν Bisschop ad Xenoph. Anab. p. 95. 223b. πέττουσι —] Hunc versum solus habet R. 226. αὑταῖς Bothius] αὐταῖς

εὐζωρότερον φιλοῦσιν ὥσπερ καὶ πρὸ τοῦ·
βινούμεναι χαίρουσιν ὥσπερ καὶ πρὸ τοῦ.
ταύταισιν οὖν, ὦνδρες, παραδόντες τὴν πόλιν
μὴ περιλαλῶμεν, μηδὲ πυνθανώμεθα
τί ποτ' ἄρα δρᾶν μέλλουσιν, ἀλλ' ἁπλῷ τρόπῳ
ἐῶμεν ἄρχειν, σκεψάμενοι ταυτὶ μόνα,
ὡς τοὺς στρατιώτας πρῶτον οὖσαι μητέρες
σῴζειν ἐπιθυμήσουσιν· εἶτα σιτία
τίς τῆς τεκούσης θᾶττον ἐπιπέμψειεν ἄν;
χρήματα πορίζειν εὐπορώτατον γυνή,
ἄρχουσά τ' οὐκ ἂν ἐξαπατηθείη ποτέ.
αὐταὶ γὰρ εἰσιν ἐξαπατᾶν εἰθισμέναι.
τὰ δ' ἄλλ' ἐάσω· ταῦτα δ' ἢν πίθησθέ μοι,
εὐδαιμονοῦντες τὸν βίον διάξετε.
ΓΥ. Α. εὖ γ', ὦ γλυκυτάτη Πραξαγόρα, καὶ δεξιῶς.
πόθεν, ὦ τάλαινα, ταῦτ' ἔμαθες οὕτω καλῶς;
ΠΡ. ἐν ταῖς φυγαῖς μετὰ τἀνδρὸς ᾤκησ' ἐν πυκνί,
ἐκεῖ τ' ἀκούουσ' ἐξέμαθον τῶν ῥητόρων.
ΓΥ. Α. οὐκ ἐτὸς ἄρ', ὦ μέλ', ἦσθα δεινὴ καὶ σοφή·
καί σε στρατηγὸν αἱ γυναῖκες αὐτόθεν
αἱρούμεθ', ἢν ταῦθ' ἁπινοεῖς κατεργάσῃ.
ἀτὰρ ἢν Κέφαλός σοι λοιδορῆται προσφθαρείς,
πῶς ἀντερεῖς πρὸς αὐτὸν ἐν τήκκλησίᾳ;
ΠΡ. φήσω παραφρονεῖν αὐτόν. ΓΥ. Α. ἀλλὰ τοῦτό γε
ἴσασι πάντες. ΠΡ. ἀλλὰ καὶ μελαγχολᾶν.
ΓΥ. Α. καὶ τοῦτ' ἴσασιν. ΠΡ. ἀλλὰ καὶ τὰ τρύβλια
κακῶς κεραμεύειν, τὴν δὲ πόλιν εὖ καὶ καλῶς.
ΓΥ. Α. τί δ', ἢν Νεοκλείδης ὁ γλάμων σε λοιδορῇ;
ΠΡ. τούτῳ μὲν εἶπον ἐς κυνὸς πυγὴν ὁρᾶν.
ΓΥ. Α. τί δ', ἢν ὑποκρούωσίν σε; ΠΡ. προσκινήσομαι,
ἅτ' οὐκ ἄπειρος οὖσα πολλῶν κρουμάτων.
ΓΥ. Α. ἐκεῖνο μόνον ἄσκεπτον, ἢν σ' οἱ τοξόται
ἕλκωσιν, ὅ τι δράσεις ποτ'. ΠΡ. ἐξαγκωνιῶ
ὡδί· μέση γὰρ οὐδέποτε ληφθήσομαι.
ΓΥ. Β. ἡμεῖς δέ γ', ἢν αἴρωσ', ἐᾶν κελεύσομεν.
ΓΥ. Α. ταυτὶ μὲν ἡμῖν ἐντεθύμηται καλῶς,
ἐκεῖνο δ' οὐ πεφροντίκαμεν, ὅτῳ τρόπῳ
τὰς χεῖρας αἴρειν μνημονεύσομεν τότε·
εἰθισμέναι γὰρ ἐσμεν αἴρειν τὼ σκέλη.
ΠΡ. χαλεπὸν τὸ πρᾶγμ'· ὅμως δὲ χειροτονητέον
ἐξωμισάσαις τὸν ἕτερον βραχίονα.
ἄγε νυν ἀναστέλλεσθ' ἄνω τὰ χιτώνια·
ὑποδεῖσθε δ' ὡς τάχιστα τὰς Λακωνικάς,
ὥσπερ τὸν ἄνδρ' ἐθεᾶσθ', ὅτ' εἰς ἐκκλησίαν
μέλλοι βαδίζειν ἢ θύραζ' ἑκάστοτε.
ἔπειτ' ἐπειδὰν ταῦτα πάντ' ἔχῃ καλῶς,
περιδεῖσθε τοὺς πώγωνας. ἡνίκ' ἂν δέ γε
τούτους ἀκριβῶς ἦτε περιηρμοσμέναι,
καὶ θαἰμάτια τἀνδρεῖά γ' ἅπερ ἐκλέψατε
ἐπαναβάλεσθε, κᾆτα ταῖς βακτηρίαις
ἐπερειδόμεναι βαδίζετ', ᾄδουσαι μέλος
πρεσβυτικόν τι, τὸν τρόπον μιμούμεναι
τὸν τῶν ἀγροίκων. ΓΥ. Β. εὖ λέγεις· ἡμεῖς δέ γε
προΐωμεν αὐτῶν. καὶ γὰρ ἑτέρας οἴομαι
ἐκ τῶν ἀγρῶν ἐς τὴν πύκν' ἥξειν ἄντικρυς
γυναῖκας. ΠΡ. ἀλλὰ σπεύσαθ', ὡς εἴωθ' ἐκεῖ
τοῖς μὴ παροῦσιν ὀρθρίοις ἐς τὴν πύκνα
ὑπαποτρέχειν ἔχουσι μηδὲ πάτταλον.
ΧΟ. ὥρα προβαίνειν, ὦνδρες, ἡμῖν ἐστι· τοῦτο γὰρ χρὴ
μεμνημένας ἀεὶ λέγειν, μὴ καί ποτ' ἐξολίσθῃ,
ἡμᾶς· ὁ κίνδυνος γὰρ οὐχὶ μικρός, ἢν ἁλῶμεν
ἐνδυόμεναι κατὰ σκότον τόλμημα τηλικοῦτον.
χωρῶμεν εἰς ἐκκλησίαν ὦνδρες· ἠπείλησε γὰρ
ὁ θεσμοθέτης, ὃς ἂν
μὴ πρῴ πάνυ τοῦ κνέφους
ἥκῃ κεκονιμένος,
στέργων σκοροδάλμῃ,
βλέπων ὑπότριμμα, μὴ
δώσειν τὸ τριώβολον.
ἀλλ', ὦ Χαριτιμίδη
καὶ Σμίκυθε καὶ Δράκης,
ἕπου κατεπείγων,
σαυτῷ προσέχων ὅπως
μηδὲν παραχορδιεῖς
ὧν δεῖ σ' ἀποδεῖξαι·
ὅπως δὲ τὸ σύμβολον
λαβόντες ἔπειτα πλη-
σίον καθεδούμεθ', ὡς
ἂν χειροτονῶμεν
ἅπανθ' ὁπόσ' ἂν δέῃ
τὰς ἡμετέρας φίλας.
καίτοι τί λέγω; φίλους
γὰρ χρῆν μ' ὀνομάζειν.
ὅρα δ' ὅπως ὠθήσομεν τούσδε τοὺς ἐξ ἄστεως
ἥκοντας, ὅσοι πρὸ τοῦ
μέν, ἡνίκ' ἔδει λαβεῖν
ἐλθόντ' ὀβολὸν μόνον,
καθῆντο λαλοῦντες
ἐν τοῖς στεφανώμασιν,
νυνὶ δ' ἐνοχλοῦσ' ἄγαν.
ἀλλ' οὐχί, Μυρωνίδης
ὅτ' ἦρχεν ὁ γεννάδας,
οὐδεὶς ἂν ἐτόλμα
τὰ τῆς πόλεως διοι-
κεῖν ἀργύριον λαβών·
ἀλλ' ἧκεν ἕκαστος
ἐν ἀσκιδίῳ φέρων
πιεῖν ἅμα τ' ἄρτον ἂν
καὶ πρὸς δύο κρομμύω
καὶ τρεῖς ἂν ἐλάας.
νυνὶ δὲ τριώβολον
ζητοῦσι λαβεῖν ὅταν

289—299. — 300—310.

227. εὐζωρότερον (quod ex Aristophane memorat Phrynichus p. 145. ed. Lob.) D.] τὸν οἶνον εὔζωρον φιλοῦσιν Flor. Γ. φιλοῦσ' ceteri. ὥσπερ καὶ RΓ. καὶ om. ceteri. 231. τρόπῳ] λόγῳ Nauckius (*Mélanges Gréco-Romains* vol. 6. p. 30.) 235. θᾶττον ex Suida s. h. v.] μᾶλλον 239. δ' ἂν (debebat ἢν) Brunckius] κἂν πίθησθε Cobetus] πείθησθε 244. ἐκεῖ τ' D] ἔπειτ' 255. εἶπον] εἴποιμ' B ex coniectura correctoris. In εἶπον consentiunt schol. Acharn. 863. et Suidas s. v. τούτῳ μέν. 256. ὑποκρούωσιν R et Suidas s. v. ὑποκρούουσιν. ὑποκρούσωσιν ceteri. 270. ἄνδρ' ἐθεᾶσθ' RΓ ἄνδρα θεᾶσθ' ceteri, quod si recte legeretur, μέλλει pro μέλλοι scribendum foret cum Schaefero Meletem. crit. p. 88. 274. ἀκριβῶς ἦτε Bisschopius ad Xenoph. Anab. p. 95.] ἀκριβώσητε 275. γ' ἅπερ Toupius] τ' ἅπερ R. τἄπερ ed. Ald. θ' ἅπερ AB. ἃ παρεκλέψατε Hirschigius.

282. εἴωθ' ἐκεῖ] Mire dictum pro ἔθος ἔστ' ἐκεῖ. 286. μὴ καὶ Dobraeus] ὡς μή 288. ἐνδυόμεναι Faber] ἐνδούμεναι 290—310. Horum versuum bini quique in unum sunt coniuncti in libris. 290. et 300. ἡμιχ. praescriptum in libris. 291. στέργων σκοροδάλμῃ, βλέπων ὑπότριμμα Porsonus] βλέπων ὑπότριμμα, στέργων σκοροδάλμῃ libri et Suidas s. v, ὑπότριμμα. 293. ἀλλ', ὦ] σὺ δ', ὦ Porsonus. 297. πλησίον Brunckius] πλησίοι 301. ἔδει λαβεῖν ἐλθόντ' Dawesius] ἐλθόντ' (ἐλθόντας ABRΓ) ἔδει λαβεῖν 302. καθῆντο Brunckius] κάθηντο ἐν τοῖς στεφανώμασιν] Hic versus in solo legitur R. 305. λαβὼν Brunckius] φέρων 307. ἄρτον ἂν Dawesius] ἄρτον αὖ R. αὖ om. ABΓ. καὶ πρὸς δύο Porsonus] καὶ δύο

πράττωσί τι κοινὸν ὥσ-
περ πηλοφοροῦντες.

ΒΛΕΠΥΡΟΣ.

τί τὸ πρᾶγμα; ποῖ ποθ' ἡ γυνὴ φρούδη 'στί μοι;
ἐπεὶ πρὸς ἕω νῦν γ' ἔστιν, ἡ δ' οὐ φαίνεται.
ἐγὼ δὲ κατάκειμαι πάλαι χεζητιῶν,
τὰς ἐμβάδας ζητῶν λαβεῖν ἐν τῷ σκότῳ
καὶ θοἰμάτιον· ὅτε δὴ δ' ἐκεῖνο ψηλαφῶν
οὐκ ἐδυνάμην εὑρεῖν, ὁ δ' ἤδη τὴν θύραν
ἐπεῖχε κρούων ὁ κοπρεαῖος, λαμβάνω
τουτὶ τὸ τῆς γυναικὸς ἡμιδιπλοΐδιον,
καὶ τὰς ἐκείνης Περσικὰς ὑφέλκομαι.
ἀλλ' ἐν καθαρῷ ποῦ ποῦ τις ἂν χέσας τύχοι;
ἢ πανταχοῦ τοι νυκτός ἐστιν ἐν καλῷ;
οὐ γάρ με νῦν χέζοντά γ' οὐδεὶς ὄψεται.
οἴμοι κακοδαίμων, ὅτι γέρων ὢν ἠγόμην
γυναῖχ'· ὅσας εἴμ' ἄξιος πληγὰς λαβεῖν.
οὐ γάρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθεν
δράσουσ'. ὅμως δ' οὖν ἐστιν ἀποπατητέον.

ΑΝΗΡ.

τίς ἔστιν; οὐ δήπου Βλέπυρος ὁ γειτνιῶν;
νὴ τὸν Δί' αὐτὸς δῆτ' ἐκεῖνος. εἰπέ μοι,
τί τοῦτό σοι τὸ πυρρόν ἐστιν; οὔ τί που
Κινησίας σου κατατετίληκέν ποθεν;
ΒΛ. οὔκ, ἀλλὰ τῆς γυναικὸς ἐξελήλυθα
τὸ κροκωτίδιον ἀμπισχόμενος οὐνδύεται.
ΑΝ. τὸ δ' ἱμάτιόν σου ποῦ 'στιν; ΒΛ. οὐκ ἔχω φράσαι.
ζητῶν γὰρ αὔτ' οὐχ ηὗρον ἐν τοῖς στρώμασιν.
ΑΝ. εἶτ' οὐδὲ τὴν γυναῖκ' ἐκέλευσάς σοι φράσαι;
ΒΛ. μὰ τὸν Δί'· οὐ γὰρ ἔνδον οὖσα τυγχάνει,
ἀλλ' ἐκτετρύπηκεν λαθοῦσά μ' ἔνδοθεν·
ὃ καὶ δέδοικα μή τι δρᾷ νεώτερον.
ΑΝ. νὴ τὸν Ποσειδῶ, ταὐτὰ τοίνυν ἄντικρυς
ἐμοὶ πέπονθας. καὶ γὰρ ᾗ ξύνειμ' ἐγὼ
φρούδη 'στ', ἔχουσα θοἰμάτιον οὑγὼ 'φόρουν,
κοὐ τοῦτο λυπεῖ μ', ἀλλὰ καὶ τὰς ἐμβάδας.
οὔκουν λαβεῖν γ' αὐτὰς ἐδυνάμην οὐδαμοῦ.
ΒΛ. μὰ τὸν Διόνυσον, οὐδ' ἐγὼ γὰρ τὰς ἐμὰς
Λακωνικάς, ἀλλ' ὡς ἔτυχον χεζητιῶν,
ἐς τὼ κοθόρνω τὼ πόδ' ἐνθεὶς ἵεμαι,
ἵνα μὴ 'γχέσαιμ' ἐς τὴν σισύραν· φανὴ γὰρ ἦν.
ΑΝ. τί δῆτ' ἂν εἴη; μῶν ἐπ' ἄριστον γυνὴ
κέκληκεν αὐτὴν τῶν φίλων; ΒΛ. γνώμην γ' ἐμήν.
οὔκουν πονηρά γ' ἐστὶν ὅ τι κἄμ' εἰδέναι.
ΑΝ. ἀλλὰ σὺ μὲν ἱμονιάν τιν' ἀποπατεῖς, ἐμοὶ δ'
ὥρα βαδίζειν ἐστὶν εἰς ἐκκλησίαν,
ἤνπερ λάβω θοἰμάτιον, ὅπερ ἦν μοι μόνον.
ΒΛ. κἄγωγ', ἐπειδὰν ἀποπατήσω· νῦν δέ μοι
ἀχράς τις ἐγκλήσασ' ἔχει τὰ σιτία.
ΑΝ. μῶν ἣν Θρασύβουλος εἶπε τοῖς Λακωνικοῖς;
ΒΛ. νὴ τὸν Διόνυσον, ἐνέχεται γοῦν μοι σφόδρα.
ἀτὰρ τί δράσω; καὶ γὰρ οὐδὲ τοῦτό με
μόνον τὸ λυποῦν ἐστιν, ἀλλ' ὅταν φάγω,
ὅποι βαδιεῖταί μοι τὸ λοιπὸν ἡ κόπρος.
νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν,
ὅστις ποτ' ἔστ' ἄνθρωπος Ἀχραδούσιος.
τίς ἂν οὖν ἰατρόν μοι μετέλθοι καὶ τίνα;
τίς τῶν καταπρώκτων δεινός ἐστι τὴν τέχνην;
ἆρ' οἶδ' Ἀμύνων; ἀλλ' ἴσως ἀρνήσεται.
Ἀντισθένη τις καλεσάτω πάσῃ τέχνῃ.
οὗτος γὰρ ἀνὴρ ἕνεκά γε στεναγμάτων
οἶδεν τί πρωκτὸς βούλεται χεζητιῶν.
ὦ πότνι' Εἰλείθυια, μή με περιίδῃς
διαρραγέντα μηδὲ βεβαλανωμένον,
ἵνα μὴ γένωμαι σκωραμὶς κωμῳδική.

ΧΡΕΜΗΣ.

οὗτος, τί ποιεῖς; οὔ τί που χέζεις; ΒΛ. ἐγώ·
οὐ δῆτ' ἔτι γε μὰ τὸν Δί', ἀλλ' ἀνίσταμαι.
ΧΡ. τὸ τῆς γυναικὸς δ' ἀμπέχει χιτώνιον;
ΒΛ. ἐν τῷ σκότῳ γὰρ τοῦτ' ἔτυχον ἔνδον λαβών.
ἀτὰρ πόθεν ἥκεις ἐτεόν; ΧΡ. ἐξ ἐκκλησίας.
ΒΛ. ἤδη λέλυται γάρ; ΧΡ. νὴ Δί', ὄρθριον μὲν οὖν.
καὶ δῆτα πολὺν ἡ μίλτος, ὦ Ζεῦ φίλτατε,
γέλων παρέσχεν, ἣν προσέρραινον κύκλῳ.
ΒΛ. τὸ τριώβολον δῆτ' ἔλαβες; ΧΡ. εἰ γὰρ ὤφελον.
ἀλλ' ὕστερος νῦν ἦλθον, ὥστ' αἰσχύνομαι,
ἔχων μὰ Δί' οὐδὲν ἄλλο γ' ἢ τὸν θύλακον.
ΒΛ. τὸ δ' αἴτιον τί; ΧΡ. πλεῖστος ἀνθρώπων ὄχλος,
ὅσος οὐδεπώποτ' ἦλθεν ἀθρόως ἐς πύκνα.
καὶ δῆτα πάντας σκυτοτόμοις ᾐκάζομεν
ὁρῶντες αὐτούς. οὐ γὰρ ἀλλ' ὑπερφυῶς
ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡκκλησία·
ὥστ' οὐκ ἔλαβον οὔτ' αὐτὸς οὔτ' ἄλλοι συχνοί.
ΒΛ. οὐδ' ἄρ' ἂν ἐγὼ λάβοιμι νῦν ἐλθών; ΧΡ. πόθεν;
οὐδὲ μὰ Δί' εἰ τότ' ἦλθες, ὅτε τὸ δεύτερον
ἀλεκτρυὼν ἐφθέγγετ'. ΒΛ. οἴμοι δείλαιος.
Ἀντίλοχ', ἀποίμωξόν με τοῦ τριωβόλου
τὸν ζῶντα μᾶλλον. τἀμὰ γὰρ διοίχεται.
ἀτὰρ τί τὸ πρᾶγμ' ἦν, ὅτι τοσοῦτον χρῆμ' ὄχλου
οὕτως ἐν ὥρᾳ ξυνελέγη; ΧΡ. τί δ' ἄλλο γ' ἢ
ἔδοξε τοῖς πρυτάνεσι περὶ σωτηρίας
γνώμας καθεῖναι τῆς πόλεως; κᾆτ' εὐθέως
πρῶτος Νεοκλείδης ὁ γλάμων παρείρπυσεν.
κἄπειθ' ὁ δῆμος ἀναβοᾷ πόσον δοκεῖς,
οὐ δεινὰ τολμᾶν τουτονὶ δημηγορεῖν,
καὶ ταῦτα περὶ σωτηρίας προκειμένου,
ὃς αὐτὸς αὑτῷ βλεφαρίδ' οὐκ ἐσώσατο;
ὁ δ' ἀναβοήσας καὶ περιβλέψας ἔφη, [ὀπῷ
τί δαί μ' ἐχρῆν δρᾶν; ΒΛ. σκόροδ' ὁμοῦ τρίψαντ'
τιθύμαλλον ἐμβαλόντα τοῦ Λακωνικοῦ
σαυτοῦ παραλείφειν τὰ βλέφαρα τῆς ἑσπέρας,
ἔγωγ' ἂν εἶπον, εἰ παρὼν ἐτύγχανον.
ΧΡ. μετὰ τοῦτον Εὐαίων ὁ δεξιώτατος
παρῆλθε γυμνός, ὡς ἐδόκει τοῖς πλείοσιν·
αὐτός γε μέντοὔφασκεν ἱμάτιον ἔχειν,
κἄπειτ' ἔλεξε δημοτικωτάτους λόγους
"ὁρᾶτε μέν με δεόμενον σωτηρίας
τετραστατήρου καὐτόν· ἀλλ' ὅμως ἐρῶ
ὡς τὴν πόλιν καὶ τοὺς πολίτας σώσετε.
ἢν γὰρ παρέχωσι τοῖς δεομένοις οἱ κναφῆς
χλαίνας, ἐπειδὰν πρῶτον ἥλιος τραπῇ,
πλευρῖτις ἡμῶν οὐδέν' ἂν λάβοι ποτέ.
ὅσοις δὲ κλίνη μὴ 'στι μηδὲ στρώματα,
ἰέναι καθευδήσοντας ἀπονενιμμένους

---

330. ποθεν. ΒΛ. οὐκ Brunckius] ΒΛ. πόθεν; οὐκ 332. κροκωτίδιον Arnaldus] κροκώτιον R. κροκώπιον ceteri. 333. σου] σοι Γ. 342. ἀλλὰ] ἀλλ' ὅτι Meinekius. 354. μοι Meinekius] μου 355. ἐγκλήσασ' D.] ἐγκλείσασ' 362. Ἀχραδούσιος D.] ἀχραδούσιος 364. καταπρώκτων] κατὰ πρωκτῶν A. κατὰ πρωκτὸν B, quod περὶ πρωκτὸν potius dicendum fuisset.

381. νῦν] νὴ δί' R. 382. ἔχων addidit Brunckius. Δί' Brunckius] τὸν Δί' ἄλλο γ' ἢ Brunckius] ἄλλο ἢ AB. ἄλλον ἢ R Ald. 384. ἦλθεν ἀθρόως R Ald. ἦλθεν ἀθρόος A. ἦλθ' ἀθρόος B. πύκνα Meinekius] τὴν πύκνα 390. οὐδὲ μὰ Δί' εἰ Meinekius] οὐδ' εἰ μὰ Δία 397. καθεῖναι] προθεῖναι Schoemannus de comit. Athen. p. 104. 404. μ' ἐχρῆν Brunckius] με χρὴ RΓ. με χρῆν ceteri. 405. τοῦ Λακωνικοῦ] τῶν Λακωνικῶν Dobraeus. 414. ὡς] πῶς Meinekius.

ες τῶν σκυλοδεψῶν· ἢν δ' ἀποκλῄῃ τῇ θύρᾳ
χειμῶνος ὄντος, τρεῖς σισύρας ὀφειλέτω.
ΒΛ. νὴ τὸν Διόνυσον, χρηστά γ'· εἰ δ' ἐκεῖνά γε
προσέθηκεν, οὐδεὶς ἀντεχειροτόνησεν ἄν,
τοὺς ἀλφιταμοιβοὺς τοῖς ἀπόροις τρεῖς χοίνικας
δεῖπνον παρέχειν ἅπασιν, ἢ κλάειν μακρά,
ἵνα τοῦτ' ἀπέλαυσαν Ναυσικύδους τἀγαθόν.
ΧΡ. μετὰ τοῦτο τοίνυν εὐπρεπὴς νεανίας
λευκός τις ἀνεπήδησ', ὅμοιος Νικίᾳ,
δημηγορήσων, κἀπεχείρησεν λέγειν
ὡς χρὴ παραδοῦναι ταῖς γυναιξὶ τὴν πόλιν.
εἶτ' ἐθορύβησαν κἀνέκραγον ὡς εὖ λέγοι,
τὸ σκυτοτομικὸν πλῆθος· οἱ δ' ἐκ τῶν ἀγρῶν
ἀνεβορβόρυξαν. ΒΛ. νοῦν γὰρ εἶχον νὴ Δία.
ΧΡ. ἀλλ' ἦσαν ἥττους· ὁ δὲ κατεῖχε τῇ βοῇ,
τὰς μὲν γυναῖκας πόλλ' ἀγαθὰ λέγων, σὲ δὲ
πολλὰ κακά. ΒΛ. καὶ τί εἶπε; ΧΡ. πρῶτον μέν
σ' ἔφη [ἔρη.
εἶναι πανοῦργον. ΒΛ. καὶ σέ; ΧΡ. μή πω τοῦτ'
κἄπειτα κλέπτην. ΒΛ. ἐμὲ μόνον; ΧΡ. καὶ νὴ Δία
καὶ συκοφάντην. ΒΛ. ἐμὲ μόνον; ΧΡ. καὶ νὴ Δία
τωνδὶ τὸ πλῆθος. ΒΛ. τίς δὲ τοῦτ' ἄλλως λέγει;
ΧΡ. γυναῖκα δ' εἶναι πρᾶγμ' ἔφη νουβυστικὸν
καὶ χρηματοποιόν· κοὔτε τἀπόρρητ' ἔφη
ἐκ Θεσμοφόροιν ἑκάστοτ' αὐτὰς ἐκφέρειν,
σὲ δὲ κἀμὲ βουλεύοντε τοῦτο δρᾶν ἀεί.
ΒΛ. καὶ νὴ τὸν Ἑρμῆν τοῦτό γ' οὐκ ἐψεύσατο.
ΧΡ. ἔπειτα συμβάλλειν πρὸς ἀλλήλας ἔφη
ἱμάτια, χρυσί', ἀργύριον, ἐκπώματα,
μόνας μόναις κοὐ μαρτύρων ἐναντίον,
καὶ ταῦτ' ἀποφέρειν πάντα κοὐκ ἀποστερεῖν,
ἡμῶν δὲ τοὺς πολλοὺς ἔφασκε τοῦτο δρᾶν.
ΒΛ. νὴ τὸν Ποσειδῶ, μαρτύρων γ' ἐναντίον.
ΧΡ. οὐ συκοφαντεῖν, οὐ διώκειν, οὐδὲ τὸν
δῆμον καταλύειν, ἀλλὰ πολλὰ κἀγαθά,
ἕτερά τε πλεῖστα τὰς γυναῖκας ηὐλόγει.
ΒΛ. τί δῆτ' ἔδοξεν; ΧΡ. ἐπιτρέπειν γε τὴν πόλιν
ταύταις. ἐδόκει γὰρ τοῦτο μόνον ἐν τῇ πόλει
οὔπω γεγενῆσθαι. ΒΛ. καὶ δέδοκται; ΧΡ. φήμ' ἐγώ.
ΒΛ. ἅπαντ' ἄρ' αὐταῖς ἐστι προστεταγμένα
ἃ τοῖσιν ἀστοῖς ἔμελεν; ΧΡ. οὕτω ταῦτ' ἔχει.
ΒΛ. οὐδ' ἐς δικαστήριον ἄρ' εἶμ', ἀλλ' ἡ γυνή;
ΧΡ. οὐδ' ἔτι σὺ θρέψεις οὓς ἔχεις, ἀλλ' ἡ γυνή.
ΒΛ. οὐδὲ στένειν τὸν ὄρθρον ἔτι πρᾶγμ' ἆρά μοι;
ΧΡ. μὰ Δί', ἀλλὰ ταῖς γυναιξὶ ταῦτ' ἤδη μέλει·
σὺ δ' ἀστενακτὶ περδόμενος οἴκοι μενεῖς.
ΒΛ. ἐκεῖνο δεινὸν τοῖσιν ἡλίκοισι νῷν,
μὴ παραλαβοῦσαι τῆς πόλεως τὰς ἡνίας
ἔπειτ' ἀναγκάζωσι πρὸς βίαν ΧΡ. τί δρᾶν;
ΒΛ. βινεῖν ἑαυτάς. ΧΡ. ἢν δὲ μὴ δυνώμεθα;
ΒΛ. ἄριστον οὐ δώσουσι. ΧΡ. σὺ δέ γε νὴ Δία
δρᾶ ταῦθ', ἵν' ἀριστᾷς τε καὶ βινῇς ἅμα.
ΒΛ. τὸ πρὸς βίαν δεινότατον. ΧΡ. ἀλλ' εἰ τῇ πόλει
τοῦτο ξυνοίσει, ταῦτα χρὴ πάντ' ἄνδρα δρᾶν.
λόγος γέ τοί τις ἐστι τῶν γεραιτέρων,
ὅσ' ἂν ἀνόητ' ἢ μῶρα βουλευσώμεθα,
ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν.
καὶ ξυμφέροι γ', ὦ πότνια Παλλὰς καὶ θεοί.
ἀλλ' εἶμι· σὺ δ' ὑγίαινε. ΒΛ. καὶ σύ γ', ὦ Χρέμης.
ΧΟ. ἔμβα χώρει.
ἆρ' ἔστι τῶν ἀνδρῶν τις ἡμῖν ὅστις ἐπακολουθεῖ;
στρέφου, σκόπει,
φύλαττε σαυτὴν ἀσφαλῶς, πολλοὶ γὰρ οἱ πανοῦργοι,
μή πού τις ἐκ τοὔπισθεν ὢν τὸ σχῆμα καταφυλάξῃ·
ἀλλ' ὡς μάλιστα τοῖν ποδοῖν ἐπικτυπῶν βάδιζε·
ἡμῖν δ' ἂν αἰσχύνην φέροι
πάσαισι παρὰ τοῖς ἀνδράσιν τὸ πρᾶγμα τοῦτ' ἐλεγ-
χθέν.
πρὸς ταῦτα συστέλλου σεαυ-
τὴν καὶ περισκοπουμένη
⏑ ⏑́ ⏑ – τἀκεῖσε καὶ
τἀκ δεξιᾶς, μὴ ξυμφορὰ γενήσεται τὸ πρᾶγμα.
ἀλλ' ἐγκονῶμεν· τοῦ τόπου γὰρ ἐγγύς ἐσμεν ἤδη
ὅθενπερ εἰς ἐκκλησίαν ὡρμώμεθ', ἡνίκ' ᾖμεν·
τὴν δ' οἰκίαν ἔξεσθ' ὁρᾶν ὅθενπερ ἡ στρατηγὸς
ἔσθ' ἡ τὸ πρᾶγμ' εὑροῦσ' ὃ νῦν ἔδοξε τοῖς πολίταις.
ὥστ' εἰκὸς ἡμᾶς μὴ βραδύνειν ἔστ' ἐπαναμενούσας,
πώγωνας ἐξηρτημένας,
μή καί τις ἡμᾶς ὄψεται χἠμῶν ἴσως κατείπῃ.
ἀλλ' εἶα δεῦρ' ἐπὶ σκιᾶς
ἐλθοῦσα πρὸς τὸ τειχίον,
παραβλέπουσα θατέρῳ,
πάλιν μετασκεύαζε σαυτὴν αὖθις ἧπερ ἦσθα,
καὶ μὴ βράδυν'· ὡς τήνδε καὶ δὴ τὴν στρατηγὸν
ἡμῶν
χωροῦσαν ἐξ ἐκκλησίας ὁρῶμεν. ἀλλ' ἐπείγου
ἅπασα καὶ μίσει σάκον πρὸς τοῖν γνάθοιν ἔχουσα·
χαὖται γὰρ ἥκουσιν πάλαι τὸ σχῆμα τοῦτ' ἔχουσαι.
ΠΡ. ταυτὶ μέν, ὦ γυναῖκες, ἡμῖν εὐτυχῶς
τὰ πράγματ' ἐκβέβηκεν ἁβουλεύσαμεν.
ἀλλ' ὡς τάχιστα, πρίν τιν' ἀνθρώπων ἰδεῖν,
ῥιπτεῖτε χλαίνας, ἐμβὰς ἐκ ποδῶν ἴτω,
χάλα ξυναπτοὺς ἡνίας Λακωνικάς,
βακτηρίας ἄφεσθε· καὶ μέντοι σὺ μὲν
ταύτας κατευτρέπιζ'· ἐγὼ δὲ βούλομαι
εἴσω παρερπύσασα, πρὶν τὸν ἄνδρα με
ἰδεῖν, καταθέσθαι θοἰμάτιον αὐτοῦ πάλιν
ὅθενπερ ἔλαβον τἄλλα θ' ἁξηνεγκάμην.
ΧΟ. κατάκειται δὴ πάνθ' ἅπερ εἶπας· σὸν δ' ἔργον
τἄλλα διδάσκειν,
ὅ τι σοι δρῶσαι ξύμφορον ἡμεῖς δόξομεν ὀρθῶς
ὑπακούειν.
οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ' οἶδα γυναικί.
ΠΡ. περιμείνατέ νυν, ἵνα τῆς ἀρχῆς, ἣν ἄρτι κεχειρο-
τόνημαι, [μοι
ξυμβούλοισιν πάσαις ὑμῖν χρήσωμαι. καὶ γὰρ ἐκεῖ

483—492. = 493—503.

420. ἀποκλείῃ (debebat ἀποκλῄῃ) τῇ θύρᾳ Abreschius Lection. Aristaen. 2. p. 270.] ἀποκλίνῃ τῇ θύρᾳ, cum Suida s. v. τετραστατήρου. ἀποκλίνῃ τὴν θύραν A et Suidas s. v. ἀλφιταμοιβός. 433. γὰρ] ἄρ' Dobraeus. 436. τί] τί μ' F. Rankius. 448. κοὐ μαρτύρων Meinekius. γ' οὐ μαρτύρων ΒΓ. οὐ μαρτύρων γ' ceteri. 451. γ' R. τ' ceteri. 454. ηὐλόγει Meinekius] εὐλόγει 455. γε B. σε ceteri. δεῖν Cobetus. 458. ἅπαντ' ἄρ' Cobetus] ἅπαντά τ' 462. ἆρα Kusterus] ἄρα (ἐστι B) 465. νῷν] νὼ Dobraeus. 468. 470. βινεῖν — βινῇς D.] κινεῖν — κινῇς

473—475. Blepyro tribuit Meinekius. 473. γε Suidas s. v. γεραίτερος et μῶρα] τε 474. ὅσ' ἂν ἀνόητ' ἢ μῶρα Bentleius] ὅσ' ἂν ἀνοηταχὴμῶρα R. ὅσ' ἀνόητα χ' ἡ μῶρα Suidas s.v. γεραίτερος. ὅσ' ἀνόητα χὴ μῶρα idem s. v. μῶρα. ἀνόηθ' ὅσ' ἂν καὶ μῶρα B. ὅσ' ἂν ἀνόητα καὶ μῶρα Ald. 482. τοὔπισθεν ὢν] τοὔπισθ' ἰὼν Meinekius. καταφυλάξῃ] φυλάξῃ ΒΓ. παραφυλάξῃ Meinekius. 487. ⏑ ⏑́ ⏑ –] τὰ δεῦρο καὶ Kiehlius. τἀκεῖσε Faber] κἀκεῖσε 490. ὡρμώμεθ' Portus] ὁρμώμεθ' 495. ἡμᾶς ὄψεται Hermannus] ὄψεθ' ἡμᾶς 496. σκιᾶς] σκιᾷ ΒΓ. 502. τοῖν Meinekius] ταῖν 507. ἐκ ποδῶν Meinekius] ἐκποδὼν 514. κατάκειται D.] κεῖται. κεῖται καὶ δὴ Dobraeus.

ἐν τῷ θορύβῳ καὶ τοῖς δεινοῖς ἀνδρειόταται γεγέ-
νησθε.
ΒΛ. αὕτη, πόθεν ἥκεις, Πραξαγόρα; ΠΡ. τί δ', ὦ μέλε,
σοὶ τοῦθ'; ΒΛ. ὅ τί μοι τοῦτ' ἔστιν; ὡς εὐηθικῶς.
ΠΡ. οὔ τοι παρὰ τοῦ μοιχοῦ γε φήσεις. ΒΛ. οὐκ ἴσως
ἑνός γε. ΠΡ. καὶ μὴν βασανίσαι τουτί γέ σοι
ἔξεστι. ΒΛ. πῶς; ΠΡ. εἰ τῆς κεφαλῆς ὄζω μύρου.
ΒΛ. τί δ'; οὐχὶ βινεῖται γυνὴ κἄνευ μύρου;
ΠΡ. οὐ δὴ τάλαιν' ἔγωγε. ΒΛ. πῶς οὖν ὀρθρία
ᾤχου σιωπῇ θοἰμάτιον λαβοῦσά μου;
ΠΡ. γυνή μέ τις νύκτωρ ἑταίρα καὶ φίλη
μετεπέμψατ' ὠδίνουσα. ΒΛ. κᾆτ' οὐκ ἦν ἐμοὶ
φράσασαν ἰέναι; ΠΡ. τῆς λεχοῦς δ' οὐ φροντίσαι
οὕτως ἐχούσης, ὦνερ; ΒΛ. εἰποῦσάν γέ μοι.
ἀλλ' ἔστιν ἐνταῦθά τι κακόν. ΠΡ. μὰ τὼ θεώ,
ἀλλ' ὥσπερ εἶχον ᾠχόμην· ἐδεῖτο δὲ
ἥπερ μεθῆκέ μ' ἐξιέναι πάσῃ τέχνῃ.
ΒΛ. εἶτ' οὐ τὸ σαυτῆς ἱμάτιον ἐχρῆν σ' ἔχειν;
ἀλλ' ἔμ' ἀποδύσασ', ἐπιβαλοῦσα τοὔγκυκλον,
ᾤχου καταλιποῦσ' ὡσπερεὶ προκείμενον,
μόνον οὐ στεφανώσασ' οὐδ' ἐπιθεῖσα λήκυθον.
ΠΡ. ψῦχος γὰρ ἦν, ἐγὼ δὲ λεπτὴ κἀσθενής·
ἔπειθ' ἵν' ἀλεαίνοιμι, τοῦτ' ἠμπεσχόμην·
σὲ δ' ἐν ἀλέᾳ κατακείμενον καὶ στρώμασιν
κατέλιπον, ὦνερ. ΒΛ. αἱ δὲ δὴ Λακωνικαὶ
ᾤχοντο μετὰ σοῦ κατὰ τί χἠ βακτηρία;
ΠΡ. ἵνα θοἰμάτιον σώσαιμι, μεθυπεδησάμην
μιμουμένη σε καὶ κτυποῦσα τοῖν ποδοῖν
καὶ τοὺς λίθους παίουσα τῇ βακτηρίᾳ.
ΒΛ. οἶσθ' οὖν ἀπολωλεκυῖα πυρῶν ἑκτέα,
ὃν χρῆν ἔμ' ἐξ ἐκκλησίας εἰληφέναι;
ΠΡ. μὴ φροντίσῃς· ἄρρεν γὰρ ἔτεκε παιδίον.
ΒΛ. ἡκκλησία; ΠΡ. μὰ Δί', ἀλλ' ἐφ' ἣν ἐγᾠχόμην.
ἀτὰρ γεγένηται; ΒΛ. ναὶ μὰ Δί'. οὐκ ᾔδησθά με
φράσαντά σοι χθές; ΠΡ. ἄρτι γ' ἀναμιμνῄσκομαι.
ΒΛ. οὐδ' ἄρα τὰ δόξαντ' οἶσθα; ΠΡ. μὰ Δί' ἐγὼ μὲν οὔ.
ΒΛ. κάθησο τοίνυν σηπίας μασωμένη.
ὑμῖν δέ φασι παραδεδόσθαι τὴν πόλιν.
ΠΡ. τί δρᾶν; ὑφαίνειν; ΒΛ. οὐ μὰ Δί', ἀλλ' ἄρχειν.
ΠΡ. τίνων;
ΒΛ. ἁπαξαπάντων τῶν κατὰ πόλιν πραγμάτων.
ΠΡ. νὴ τὴν Ἀφροδίτην, μακαρία γὰρ ἡ πόλις
ἔσται τὸ λοιπόν. ΒΛ. κατὰ τί; ΠΡ. πολλῶν οὕνεκα.
οὐ γὰρ ἔτι τοῖς τολμῶσιν αὐτὴν αἰσχρὰ δρᾶν
ἔσται τὸ λοιπόν, οὐδαμοῦ δὲ μαρτυρεῖν,
οὐ συκοφαντεῖν, ΒΛ. μηδαμῶς πρὸς τῶν θεῶν
τουτὶ ποιήσῃς μηδ' ἀφέλῃ μου τὸν βίον.
ΑΝ. ὦ δαιμόνι' ἀνδρῶν, τὴν γυναῖκ' ἔα λέγειν.
ΠΡ. μὴ λωποδυτῆσαι, μὴ φθονεῖν τοῖς πλησίον,
μὴ γυμνὸν εἶναι, μὴ πένητα μηδένα,
μὴ λοιδορεῖσθαι, μὴ 'νεχυραζόμενον φέρειν.
ΑΝ. νὴ τὸν Ποσειδῶ, μεγάλα γ', εἰ μὴ ψεύσεται.
ΠΡ. ἀλλ' ἀποφανῶ τοῦθ', ὥστε σέ τέ μοι μαρτυρεῖν
καὶ τοῦτον αὐτὸν μηδὲν ἀντειπεῖν ἐμοί.
ΧΟ. νῦν δὴ δεῖ σε πυκνὴν φρένα καὶ φιλόδημον ἐγείρειν
φροντίδ' ἐπισταμένην ταῖς σαῖσι φίλαισιν ἀμύνειν.
κοινῇ γὰρ ἐπ' εὐτυχίαισιν
ἔρχεται γνώμης ἐπίνοια, πολίτην
δῆμον ἐπαγλαϊοῦσα
μυρίαισιν ὠφελίαισι βίου, δηλοῦσ' ὅ τί περ δύναται.
καιρὸς δέ· δεῖται γάρ τι σοφοῦ τινὸς ἐξευρήματος
ἀλλὰ πέραινε μόνον [ἡ πόλις ἡμῶν.
μήτε δεδραμένα μήτ' εἰρημένα πω πρότερον·
μισοῦσι γὰρ ἢν τὰ παλαιὰ πολλάκις θεῶνται.
ἀλλ' οὐ μέλλειν, ἀλλ' ἅπτεσθαι καὶ δὴ χρὴ ταῖς δια-
νοίαις, [τοῖσι θεαταῖς.
ὡς τὸ ταχύνειν χαρίτων μετέχει πλεῖστον παρὰ
ΠΡ. καὶ μὴν ὅτι μὲν χρηστὰ διδάξω πιστεύω· τοὺς δὲ
θεατάς,
εἰ καινοτομεῖν ἐθελήσουσιν καὶ μὴ τοῖς ἠθάσι λίαν
τοῖς ἀρχαίοις ἐνδιατρίβειν, τοῦτ' ἔσθ' ὃ μάλιστα δέ-
δοικα.
ΒΛ. περὶ μὲν τοίνυν τοῦ καινοτομεῖν μὴ δείσῃς· τοῦτο
γὰρ ἡμῖν [λῆσαι.
δρᾶν ἀντ' ἄλλης ἀρχῆς ἐστιν, τῶν δ' ἀρχαίων ἀμε-
ΠΡ. μή νυν πρότερον μηδεὶς ὑμῶν ἀντείπῃ μηδ' ὑπο-
κρούσῃ, [ἀκοῦσαι.
πρὶν ἐπίστασθαι τὴν ἐπίνοιαν καὶ τοῦ φράζοντος
κοινωνεῖν γὰρ πάντας φήσω χρῆναι πάντων μετέ-
χοντας
κἀκ ταὐτοῦ ζῆν καὶ μὴ τὸν μὲν πλουτεῖν, τὸν δ'
ἄθλιον εἶναι, [ταφῆναι·
μηδὲ γεωργεῖν τὸν μὲν πολλήν, τῷ δ' εἶναι μηδὲ
μηδ' ἀνδραπόδοις τὸν μὲν χρῆσθαι πολλοῖς, τὸν
δ' οὐδ' ἀκολούθῳ· [ὅμοιον.
ἀλλ' ἕνα ποιῶ κοινὸν πᾶσιν βίοτον καὶ τοῦτον
ΒΛ. πῶς οὖν ἔσται κοινὸς πᾶσιν; ΠΡ. κατέδει πέλε-
θον πρότερός μου. [ἔφθης μ' ὑποκρούσας.
ΒΛ. καὶ τῶν πελέθων κοινωνοῦμεν; ΠΡ. μὰ Δί', ἀλλ'
τοῦτο γὰρ ἤμελλον ἐγὼ λέξειν· τὴν γῆν πρώτιστα
ποιήσω [ἑκάστῳ.
κοινὴν πάντων καὶ τἀργύριον καὶ τἄλλ' ὁπόσ' ἐστὶν
εἶτ' ἀπὸ τούτων κοινῶν ὄντων ἡμεῖς βοσκήσομεν
ὑμᾶς [προσέχουσαι.
ταμιευόμεναι καὶ φειδόμεναι καὶ τὴν γνώμην
ΒΛ. πῶς οὖν ὅστις μὴ κέκτηται γῆν ἡμῶν, ἀργύριον δὲ
καὶ Δαρεικούς, ἀφανῆ πλοῦτον; ΠΡ. τοῦτ' ἐς τὸ
μέσον καταθήσει, [διὰ τοῦτο.
καὶ μὴ καταθεὶς ψευδορκήσει. ΒΛ. κἀκτήσατο γὰρ
ΠΡ. ἀλλ' οὐδέν τοι χρήσιμον ἔσται πάντως αὐτῷ. ΒΛ.
κατὰ δὴ τί; [ἅπαντες,
ΠΡ. οὐδεὶς οὐδὲν πενίᾳ δράσει πάντα γὰρ ἕξουσιν
ἄρτους, τεμάχη, μάζας, χλαίνας, οἶνον, στεφάνους,
ἐρεβίνθους. [ἀπόδειξον.
ὥστε τί κέρδος μὴ καταθεῖναι; σὺ γὰρ ἐξευρὼν
ΒΛ. οὔκουν καὶ νῦν οὗτοι μᾶλλον κλέπτουσ', οἷς ταῦτα
πάρεστιν; [τοῖς προτέροισιν·
ΠΡ. πρότερόν γ', ὦταῖρ', ὅτε τοῖσι νόμοις διεχρώμεθα
νῦν δ', ἔσται γὰρ βίος ἐκ κοινοῦ, τί τὸ κέρδος μὴ
καταθεῖναι;
ΒΛ. ἢν μεῖραξ ἰδὼν ἐπιθυμήσῃ καὶ βούληται σκαλα-
θῦραι, [θέξει
ἕξει τούτων ἀφελὼν δοῦναι, τῶν ἐκ κοινοῦ δὲ με-

---

522. οὔτοι παρὰ τοῦ μοιχοῦ] οὔταρα παρὰ μοιχοῦ Cobetus. 526. ὀρθρία Cobetus] ὄρθριον 540. ἠμπεσχόμην Bekkeri Anecd. p. 381, 15., non Suidas s. v. ἀλεαίνομι] ἠμπισχόμην 551. ᾔδησθα Brunckius] ᾔδεισθα 565. μὴ λωποδυτῆσαι—] Continuat sermonem post οὐ συκοφαντεῖν v. 562. interruptum nulla habita versuum interpositorum ratione: de quo conf. quae ad Ran. v. 549. diximus. 569. τε Bergkius] γε

570. ἐμοί] ἔτι Cobetus. Poterat etiam ἔχειν coniici, si quid mutandum esset. 571. φιλόδημον D.] φιλόσοφον. φιλόδημον dicit chorus ad commoda respiciens ab Praxagora supra enumerata v. 560—567.

572. ταῖς σαῖσι D.] ταῖσι 574. γνώμης Marklandus ad Eurip. Suppl. 547.] γλώττης 576. δηλοῦσ' D.] δηλοῦν δύναται. καιρὸς δέ· δεῖται Hermannus] δύναται καιρός. δεῖται 577. τι ed Aldina. τοι BΓ. τοί γε R. 595. πᾶσιν D.] ἅπασιν κατέδει Brunckius] κατεδεῖ 595. 596. πέλεθον — πελέθων Bothius] σπέλεθον — σπελέθων 602. τοῦτ'] ταῦτ' Brunckius.

[illegible] ΠΡ. ἀλλ' ἐξέσται προῖκ' αὐτῷ
[illegible] [κεῖσθαι
[illegible] κοινὰς ποιῶ τοῖς ἀνδράσι συγκατα-
[illegible] τῷ βουλομένῳ. ΒΛ. πῶς οὖν οὐ
[illegible] [δειν;
[illegible] αὐτῶν καὶ ζητήσουσιν ἐρεί-
[illegible] καὶ σιμότεραι παρὰ τὰς σεμνὰς κα-
[illegible] [κρούσει.
[illegible] ἐπιθυμήσῃ, τὴν αἰσχρὰν πρῶθ' ὑπο-
[illegible] τοὺς πρεσβύτας, ἣν ταῖς αἰσχραῖσι
[illegible] [ἀφικέσθαι;
[illegible] τὸ πέος πρότερον πρὶν ἐκεῖσ' οἷ φῄς
[illegible] ΒΛ. περὶ τοῦ; ΠΡ. θάρρει, μὴ
[illegible] οὐχὶ μαχοῦνται. [τοιοῦτον ὑπάρχει.
[illegible] ΠΡ. τοῦ μὴ ξυγκαταδαρθεῖν. καὶ σοὶ
[illegible] ὑμέτερον γνώμην τιν' ἔχει· προβεβούλευται
γὰρ ὅπως ἂν ποιήσει;
μηδεμιᾶς ἢ τρύπημα κενόν· τὸ δὲ τῶν ἀνδρῶν τί
φεύξονται γὰρ τοὺς αἰσχίους, ἐπὶ τοὺς δὲ καλοὺς
βαδιοῦνται. [όντας
ΠΡ. ἀλλὰ φυλάξουσ' οἱ φαυλότεροι τοὺς καλλίους ἀπι-
ἀπὸ τοῦ δείπνου καὶ τηρήσουσ' ἐπὶ τοῖσιν δημοσίοι-
σιν [καταδαρθεῖν
κοὐκ ἐξέσται παρὰ τοῖσι καλοῖς καὶ τοῖς μεγάλοις
ταῖσι γυναιξὶν πρὶν τοῖς αἰσχροῖς καὶ τοῖς μικροῖς
χαρίσωνται. [νήσει.
ΒΛ. ἡ Λυσικράτους ἄρα νυνὶ ῥὶς ἴσα τοῖσι καλοῖσι φρο-
ΠΡ. νὴ τὸν Ἀπόλλω, καὶ δημοτική γ' ἡ γνώμη καὶ κα-
ταχήνη [ἐχόντων,
τῶν σεμνοτέρων ἔσται πολλὴ καὶ τῶν σφραγῖδας
ὅταν ἐμβάδ' ἔχων εἴπῃ, πρότερος παραχώρει, κᾆτ'
ἐπιτήρει, [ζειν.
ὅταν ἤδη 'γὼ διαπραξάμενος παραδῶ σοι δευτεριά-
ΒΛ. πῶς οὖν οὕτω ζώντων ἡμῶν τοὺς αὑτοῦ παῖδας
ἕκαστος
ἔσται δυνατὸς διαγιγνώσκειν; ΠΡ. τί δὲ δεῖ; πα-
τέρας γὰρ ἅπαντας [νομιοῦσιν.
τοὺς πρεσβυτέρους αὐτῶν εἶναι τοῖσι χρόνοισιν
ΒΛ. οὐκοῦν ἄγξουσ' εὖ καὶ χρηστῶς ἑξῆς τὸν πάντα γέ-
ροντα [ὄντα
διὰ τὴν ἄγνοιαν, ἐπεὶ καὶ νῦν γιγνώσκοντες πατέρ'
ἄγχουσι. τί δῆθ' ὅταν ἀγνὼς ᾖ; πῶς οὐ τότε κἀπι-
χεσοῦνται;
ΠΡ. ἀλλ' ὁ παρεστὼς οὐκ ἐπιτρέψει· τότε δ' αὐτοῖς οὐκ
ἔμελ' οὐδὲν [τος ἀκούσῃ,
τῶν ἀλλοτρίων, ὅστις τύπτοι· νῦν δ' ἢν πληγέν-
μὴ αὐτὸν ἐκεῖνον τύπτῃ δεδιώς, τοῖς δρῶσιν τοῦτο
μαχεῖται. [Ἐπίκουρος,
ΒΛ. τὰ μὲν ἄλλα λέγεις οὐδὲν σκαιῶς· εἰ δὲ προσελθὼν
ἢ Λευκολόφας, πάππαν με καλεῖ, τοῦτ' ἤδη δεινὸν
ἀκοῦσαι.
ΠΡ. πολὺ μέντοι δεινότερον τούτου τοῦ πράγματός
ἐστι ΒΛ. τὸ ποῖον; [εἶναι.
ΠΡ. εἴ σε φιλήσειεν Ἀρίστυλλος, φάσκων αὑτοῦ πατέρ'

ΒΛ. οἰμώζοι γ' ἂν καὶ κωκύοι. ΠΡ. σὺ δέ γ' ὄζοις ἂν
καλαμίνθης. [φισμα γενέσθαι,
ἀλλ' οὗτος μὲν πρότερον γέγονεν, πρὶν τὸ ψή-
ὥστ' οὐχὶ δέος μή σε φιλήσῃ. ΒΛ. δεινὸν μένταν
ἐπεπόνθη.
τὴν γῆν δὲ τίς ἔσθ' ὁ γεωργήσων; ΠΡ. οἱ δοῦλοι·
σοὶ δὲ μελήσει, [δεῖπνον.
ὅταν ᾖ δεκάπουν τὸ στοιχεῖνο, λιπαρῷ χωρεῖν ἐπὶ
ΒΛ. περὶ δ' ἱματίων τίς πόρος ἔσται; καὶ γὰρ τοῦτ'
ἔστιν ἐρέσθαι. [ὑφανοῦμεν.
ΠΡ. τὰ μὲν ὄνθ' ὑμῖν πρῶτον ὑπάρξει, τὰ δὲ λοίφ' ἡμεῖς
ΒΛ. ἓν ἔτι ζητῶ· πῶς, ἤν τις ὄφλῃ παρὰ τοῖς ἄρχουσι
δίκην τῳ, [δίκαιον.
πόθεν ἐκτίσει ταύτην; οὐ γὰρ τῶν κοινῶν γ' ἐστὶ
ΠΡ. ἀλλ' οὐδὲ δίκαι πρῶτον ἔσονται. ΒΛ. τουτὶ δὲ πό-
σους ἐπιτρίψει; [νεκ' ἔσονται;
ΠΡ. κἀγὼ ταύτῃ γνώμην ἐθέμην. τοῦ γάρ, τάλαν, οὕ-
ΒΛ. πολλῶν ἕνεκεν, νὴ τὸν Ἀπόλλω· πρῶτον δ' ἑνὸς
οὕνεκα δήπου, [νεισ' ὁ δανείσας
ἤν τις ὀφείλων ἐξαρνῆται. ΠΡ. πόθεν οὖν ἐδά-
ἐν τῷ κοινῷ πάντων ὄντων; κλέπτων δήπου 'στ'
ἐπίδηλος. [σάτω μοι,
ΒΛ. νὴ τὴν Δήμητρ' εὖ γε διδάσκεις. τουτὶ τοίνυν φρα-
τῆς αἰκίας οἱ τύπτοντες πόθεν ἐκτίσουσιν, ἐπειδὰν
εὐωχηθέντες ὑβρίζωσιν; τοῦτο γὰρ οἶμαί σ' ἀπο-
ρήσειν. [ἀφαιρῇ,
ΠΡ. ἀπὸ τῆς μάζης ἧς σιτεῖται· ταύτην γὰρ ὅταν τις
οὐχ ὑβριεῖται φαύλως οὕτως αὖθις τῇ γαστρὶ κολα-
σθείς. [ψει μετὸν αὐτῷ;
ΒΛ. οὐδ' αὖ κλέπτης οὐδεὶς ἔσται; ΠΡ. πῶς γὰρ κλέ-
ΒΛ. οὐδ' ἀποδύσουσ' ἄρα τῶν νυκτῶν; ΠΡ. οὐκ, ἢν
οἴκοι γε καθεύδῃς, [πᾶσιν ὑπάρξει.
οὐδ' ἤν γε θύρασ', ὥσπερ πρότερον· βίοτος γὰρ
ἢν δ' ἀποδύῃ γ', αὐτὸς δώσεις. τί γὰρ αὐτῷ πρά-
γμα μάχεσθαι; [μιεῖ τι.
ἕτερον γὰρ ἰὼν ἐκ τοῦ κοινοῦ κρεῖττον ἐκείνου κο-
ΒΛ. οὐδὲ κυβεύσουσ' ἄρ' ἄνθρωποι; ΠΡ. περὶ τοῦ
γὰρ τοῦτο ποιήσει; [τὸ γὰρ ἄστυ
ΒΛ. τὴν δὲ δίαιταν τίνα ποιήσεις; ΠΡ. κοινὴν πᾶσιν.
μίαν οἴκησίν φημι ποιήσειν ξυρρήξασ' εἰς ἓν ἅπαντα,
ὥστε βαδίζειν εἰς ἀλλήλων. ΒΛ. τὸ δὲ δεῖπνον ποῦ
παραθήσεις; [ήσω.
ΠΡ. τὰ δικαστήρια καὶ τὰς στοιὰς ἀνδρῶνας πάντα ποι-
ΒΛ. τὸ δὲ βῆμα τί σοι χρήσιμον ἔσται; ΠΡ. τοὺς κρα-
τῆρας καταθήσω [σιν
καὶ τὰς ὑδρίας, καὶ ῥαψῳδεῖν ἔσται τοῖς παιδαρίοι-
τοὺς ἀνδρείους ἐν τῷ πολέμῳ, κεἴ τις δειλὸς γεγέ-
νηται, [λω χάριέν γε.
ἵνα μὴ δειπνῶσ' αἰσχυνόμενοι. ΒΛ. νὴ τὸν Ἀπόλ-

628. οἱ φαυλότεροι ante κοὐκ ἐξέσται lectum delevit et καὶ τοῖς μεγάλοις post τοῖσι καλοῖς addidit Tyrwhittus. 629. χαρίσωνται] χαρίσονται R. χαρίσασθαι Porsonus. μικροῖς] σιμοῖς Lennepius. 633. ἐμβάδ' ἔχων R. ἐμβάδι γ' ceteri. Ἐμβαδίων Bothius, praeeunte Heinsio in annotatione ad glossam corruptam Hesychii Ἐμβάδιον: παίζει ἐπὶ τούτου. Ἐμβάδας a Theopompo comico dictus est Meletus: vid. schol. Platonis Clarkian. p. 170. ed. Gaisf. (330. Bekk.) πρότερος] προτέρῳ Faber. 636. γὰρ addidit Faber. ἅπαντας] ἅπαντες Meinekius. 643. ἐκεῖνον] ἐκεῖνος Bergkius. 645. πάππαν Brunckius] πάπαν 647. αὑτοῦ] σ' αὐτοῦ Mehlerus.

648. γ' ἂν] τἂν Cobetus. 650. ἐπεπόνθη Suidas s. h. v.] ἐπεπόνθειν R. ἐπεπόνθην alii. 652. λιπαρῷ Bentleius] λιπαρῶς (λιπαρὸν B) 656. τῶν κοινῶν γ' ἐστὶ] δὴ 'κ τῶν κοινῶν γε Cobetus. 658. τουτὶ δὲ πόσους Faber. τουτὶ τ' οὔπος R. τουτὶ ποσσ' Γ. τουτὶ πόσους Ald. 658. ταύτῃ Toupius (γνώμην male in γνώμῃ γ' mutans)] ταύτην 659. οὕνεκα Brunckius] εἵνεκα 662. ΒΛ] ΧΟ. R. 663. τῆς αἰκίας (αἰκείας R)] τὴν αἰκίας Dobraeus. τὰς αἰκίας Sanctamandus. 665. ταύτης R. ταύτην ceteri. 667. κλέψει Brunckius] κλέψαι, cum Suida s. v. μετόν. 669. οὐδ'—πρότερον; Blepyro tribuit Dobraeus. θύρασ' Meinekius (ut ὥρασ', eliso iota, ab me restitutum est Lys. 1037.)] θύραζ' 670. δώσεις Bergkius] δώσει 671. ἐκείνου κομιεῖ τι Bergkius (ut πημανεῖ τι pro πημανεῖται Acharn. 842. restituit L. Dindorfius)] ἐκείνου κομιεῖται RΓ. κομιεῖται ἐκείνου ceteri. 672. ἄνθρωποι D.] ἄνθρωποι 675. ἀλλήλων D.] ἀλλήλους

τὰ δὲ κληρωτήρια ποῖ τρέψεις; ΠΡ. ἐς τὴν ἀγο-
ρὰν καταθήσω· [ἕως ἂν
κᾆτα στήσασα παρ' Ἁρμοδίῳ κληρώσω πάντας,
εἰδὼς ὁ λαχὼν ἀπίῃ χαίρων ἐν ὁποίῳ γράμματι
δειπνεῖ· [λουθεῖν
καὶ κηρύξει τοὺς ἐκ τοῦ βῆτ' ἐπὶ τὴν στοιὰν ἀκο-
τὴν βασίλειον δειπνήσοντας· τὸ δὲ θῆτ' ἐς τὴν
παρὰ ταύτην, [φιτόπωλιν.
τοὺς δ' ἐκ τοῦ κάππ' ἐς τὴν στοιὰν χωρεῖν τὴν ἀλ-
ΒΛ. ἵνα κάπτωσιν; ΠΡ. μὰ Δί', ἀλλ' ἵν' ἐκεῖ δειπνῶ-
σιν. ΒΛ. ὅτῳ δὲ τὸ γράμμα [ἅπαντες.
μὴ 'ξελκυσθῇ καθ' ὃ δειπνήσει, τούτους ἀπελῶσιν
ΠΡ. ἀλλ' οὐκ ἔσται τοῦτο παρ' ἡμῖν·
πᾶσι γὰρ ἄφθονα πάντα παρέξομεν,
ὥστε μεθυσθεὶς αὐτῷ στεφάνῳ
πᾶς τις ἄπεισιν τὴν δᾷδα λαβών.
αἱ δὲ γυναῖκες κατὰ τὰς διόδους
προσπίπτουσαι τοῖς ἀπὸ δείπνου
τάδε λέξουσιν, δεῦρο παρ' ἡμᾶς·
ἐνθάδε μεῖράξ ἐσθ' ὡραία.
παρ' ἐμοὶ δ', ἑτέρα
φήσει τις ἄνωθ' ἐξ ὑπερῴου,
καὶ καλλίστη καὶ λευκοτάτη·
πρότερον μέντοι δεῖ σε καθεύδειν
αὐτῆς παρ' ἐμοί.
τοῖς εὐπρεπέσιν δ' ἀκολουθοῦντες
καὶ μειρακίοις οἱ φαυλότεροι
τοιάδ' ἐροῦσιν, ποῖ θεῖς οὗτος;
πάντως οὐδὲν δράσεις ἐλθών·
τοῖς γὰρ σιμοῖς καὶ τοῖς αἰσχροῖς
ἐψήφισται προτέροις βινεῖν,
ὑμᾶς δὲ τέως θρῖα λαβόντας
διφόρου συκῆς
ἐν τοῖς προθύροισι δέφεσθαι. [πάνυ.
φέρε νυν, φράσον μοι, ταῦτ' ἀρέσκει σφῷν; ΒΛ.
ΠΡ. βαδιστέον τἄρ' ἐστὶν εἰς ἀγορὰν ἐμοί,
ἵν' ἀποδέχωμαι τὰ προσιόντα χρήματα,
λαβοῦσα κηρύκαιναν εὔφωνόν τινα.
ἐμὲ γὰρ ἀνάγκη ταῦτα δρᾶν ᾑρημένην
ἄρχειν, καταστῆσαί τε τὰ ξυσσίτια,
ὅπως ἂν εὐωχῆσθε πρῶτον τήμερον.
ΒΛ. ἤδη γὰρ εὐωχησόμεσθα; ΠΡ. φήμ' ἐγώ.
ἔπειτα τὰς πόρνας καταπαῦσαι βούλομαι
ἀπαξαπάσας. ΒΛ. ἵνα τί; ΠΡ. δῆλον τουτογί·
ἵνα τῶν νέων ἔχωσιν αὗται τὰς ἀκμάς.
καὶ τάς γε δούλας οὐχὶ δεῖ κοσμουμένας
τὴν τῶν ἐλευθέρων ὑφαρπάζειν Κύπριν,
ἀλλὰ παρὰ τοῖς δούλοισι κοιμᾶσθαι μόνον
κατωνάκην τὸν χοῖρον ἀποτετιλμένας.
ΒΛ. φέρε νυν ἐγώ σοι παρακολουθῶ πλησίον,
ἵν' ἀποβλέπωμαι καὶ λέγωσί μοι ταδί,
τὸν τῆς στρατηγοῦ τοῦτον οὐ θαυμάζετε;

(ΧΟΡΟΥ.)
* * * * * *

ΑΝΗΡ Α.
ἐγὼ δ', ἵν' εἰς ἀγοράν γε τὰ σκεύη φέρω,
προχειριοῦμαι κἀξετάσω τὴν οὐσίαν.
χώρει σὺ δεῦρο κιναχύρα καλὴ καλῶς
τῶν χρημάτων θύραζε πρώτη τῶν ἐμῶν,
ὅπως ἂν ἐντετριμμένη κανηφορῇς,
πολλοὺς κάτω δὴ θυλάκους τρέψασ' ἐμούς.
ποῦ 'σθ' ἡ διφροφόρος; ἡ χύτρα δεῦρ' ἔξιθι,
νὴ Δία μέλαινά γ', οὐδ' ἂν εἰ τὸ φάρμακον
ἕψουσ' ἔτυχες ᾧ Λυσικράτης μελαίνεται.
ἵστω παρ' αὐτήν, δεῦρ' ἴθ' ἡ κομμώτρια.
φέρε δεῦρο ταύτην τὴν ὑδρίαν, ὑδριαφόρε,
ἐνταῦθα· σὺ δὲ δεῦρ' ἡ κιθαρῳδὸς ἔξιθι,
πολλάκις ἀναστήσασά μ' εἰς ἐκκλησίαν
ἀωρὶ νύκτωρ διὰ τὸν ὄρθριον νόμον.
ὁ τὴν σκάφην λαβὼν προΐτω, τὰ κηρία
κόμιζε, τοὺς θαλλοὺς καθίστη πλησίον,
καὶ τὼ τρίποδ' ἐξένεγκε καὶ τὴν λήκυθον·
τὰ χυτρίδι' ἤδη καὶ τὸν ὄχλον ἀφίετε.

ΑΝΗΡ Β.
ἐγὼ καταθήσω τἀμά; κακοδαίμων ἄρα
ἀνὴρ ἔσομαι καὶ νοῦν ὀλίγον κεκτημένος.
μὰ τὸν Ποσειδῶ οὐδέποτέ γ', ἀλλὰ βασανιῶ
πρώτιστον αὐτὰ πολλάκις καὶ σκέψομαι.
οὐ γὰρ τὸν ἐμὸν ἱδρῶτα καὶ φειδωλίαν
οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ,
πρὶν ἂν ἐκπύθωμαι πᾶν τὸ πρᾶγμ' ὅπως ἔχει.
οὗτος, τί τὰ σκευάρια ταυτὶ βούλεται;
πότερον μετοικιζόμενος ἐξενήνοχας
αὔτ', ἢ φέρεις ἐνέχυρα θήσων; ΑΝ.Α. οὐδαμῶς.
ΑΝ.Β. τί δῆτ' ἐπὶ στοίχου 'στὶν οὕτως; οὔ τί που
Ἱέρωνι τῷ κήρυκι πομπὴν πέμπετε;
ΑΝ.Α. μὰ Δί', ἀλλ' ἀποφέρειν αὐτὰ μέλλω τῇ πόλει
ἐς τὴν ἀγορὰν κατὰ τοὺς δεδογμένους νόμους.
ΑΝ.Β. μέλλεις ἀποφέρειν; ΑΝ.Α. πάνυ γε. ΑΝ.Β. κα-
κοδαίμων ἄρ' εἶ, [ῥᾳδίως.
νὴ τὸν Δία τὸν σωτῆρα. ΑΝ.Α. πῶς; ΑΝ.Β. πῶς;
ΑΝ.Α. τί δ'; οὐχὶ πειθαρχεῖν με τοῖς νόμοισι δεῖ;
ΑΝ.Β. ποίοισιν, ὦ δύστηνε; ΑΝ.Α. τοῖς δεδογμένοις.
ΑΝ.Β. δεδογμένοισιν; ὡς ἀνόητος ἦσθ' ἄρα.
ΑΝ.Α. ἀνόητος; ΑΝ.Β. οὐ γάρ; ἠλιθιώτατος μὲν οὖν
ἁπαξαπάντων. ΑΝ.Α. ὅτι τὸ ταττόμενον ποιῶ;
ΑΝ.Β. τὸ ταττόμενον γὰρ δεῖ ποιεῖν τὸν σώφρονα;
ΑΝ.Α. μάλιστα πάντων. ΑΝ.Β. τὸν μὲν οὖν ἀβέλτερον.
ΑΝ.Α. σὺ δ' οὐ καταθεῖναι διανοεῖ; ΑΝ.Β. φυλάξομαι,
πρὶν ἄν γ' ἴδω τὸ πλῆθος ὅ τι βουλεύεται.

---

702. εὐπρεπέσιν δ' Bentleius] δ' εὐπρεπέσιν 716. τήμερον Brunckius] σήμερον 718—724. Hos Praxagorae versus post v. 710. transponit Meinekius. 719. τουτογί Bentleius] τουτοτί R. τοῦτο τί ceteri. 720. αὗται] ἀσταὶ Elmsleius. 721—724. alii personae tribuit R. 721. οὐχὶ] οὐκέτι Herwerdenus. 724. κατωνάκην Dobraeus] κατωνάκῃ 727. Post hunc versum παρεπιγραφὴν ΧΟΡΟΥ posui, servatam in R, etsi male post v. 729. collocatam. Desideratur enim chori canticum non a poeta omissum (ut in Pluti locis pluribus factum, de quo dixi in Annotationibus Oxon. p. 23.), sed vitio codicis antiqui uno folio defecti, ex quo codices superstites sunt derivati. Nec solum illud canticum excidit, sed tota prope scena (in qua κηρύκαινα ab Praxagora v. 713. memorata prodierat), cuius extrema tantum pars (v. 728 seqq.) superest, de quo pluribus dixit Beerius p. 107 seqq. Idem virum qui hic loquitur Blepyri vicinum esse probabiliter coniecit. 729. κἀξετάσω] κἀξετῶ Cobetus. 733. κάτω δὴ] περὶ κάτω Cobetus. τρέψασ' Cobetus] στρέψασ' 735. οὐδ' ἂν εἰ] Id est ὥστ' οὐκ ἂν εἴης μελαντέρα, οὐδ' ἂν εἰ —, mira et incredibili ellipsi, quae Dobraeum movit ut aliquid excidisse putaret. Minus probabiliter ὡς ἂν εἰ corrigit Halbertsma et οἵ' ἂν εἰ Meinekius. 741. νύκτωρ R et Suidas s. v. ὄρθριος νόμος. νυκτῶν ceteri: de quo v. Annot. Oxon. p. 684. 742. λαβὼν] λαχὼν Meinekius. 746. ΑΝΗΡ Β.] Hunc virum Chremetem esse (quocum Blepyrus collocutus erat v. 372 seqq.) coniecit Beerius p. 111. In R praescriptum ἄλλος φειδωλός. 748. οὐδέποτέ γ' Porsonus] οὐδέποτ' 752. ἂν addidit Porsonus. 756. οὔ τί που Brunckius] οὔ τι μὴ cum Prisciano vol. 2. p. 340. ed. Hertz. 758. ἀλλ' ἀποφέρειν] ἀλλὰ φέρειν RΓ. 761. πῶς alterum pro ὅπως dictum: vid. ad Av. v. 608.

[illegible] ἐπιθόμην.
[illegible] λέξουσι γάρ.
[illegible] Β. φήσουσι γάρ.
[illegible] Β. ἀπιστήσουσι γάρ.
[illegible] Ν.Β. ἐπιτρίψουσι γάρ.
[illegible]ῶν νοῦν ἔχει;
[illegible] ἀλλὰ λαμβάνειν
[illegible] θεοί·
[illegible] ἀγαλμάτων·
[illegible]
[illegible]τιαν,
[illegible] λήψεται.
[illegible]ούργου τι δρᾶν.
[illegible]σθ' ἱμάς;
[illegible] μὰ Δία, καὶ δὴ
[illegible]
[illegible] ΑΝ. Β. τῆς μωρίας,
[illegible] ἄλλους ὅ τι
[illegible] ΑΝ. Α. τί δρᾶν;
[illegible]θειν ἔτι.
[illegible] εἰ γένοιτο πολλάκις,
[illegible]ξειεν γαλῆ,
[illegible]ντες, ὠμβρόντητε σύ.
[illegible] ἄν, εἰ μὴ 'χοιμ' ὅποι
[illegible] ΑΝ.Β. μὴ γὰρ οὐ λάβοις ὅποι.
[illegible] κἂν ἕνης ἔλθῃς. ΑΝ.Α. τιή;
[illegible]ροτονοῦντας μὲν ταχὺ,
[illegible] ταῦτα πάλιν ἀρνουμένους.
[illegible] ΑΝ.Β. ἢν δὲ μὴ κομίσωσι, τί;
[illegible]ιν. ΑΝ.Β. ἢν δὲ κωλύσωσι, τί;
[illegible]τοῖς. ΑΝ.Β. ἢν δὲ κρείττους ὦσι, τί;
[illegible] ΑΝ.Β. ἢν δὲ πωλῶσ' αὐτά, τί;
[illegible] ΑΝ.Β. ἢν διαρραγῶ δέ, τί;
[illegible]ήσεις. ΑΝ.Β. σὺ δ' ἐπιθυμήσεις φέρειν;
[illegible] καὶ γὰρ τοὺς ἐμαυτοῦ γείτονας
[illegible]οντας. ΑΝ.Β. πάνυ γ' ἂν οὖν Ἀντισθένης
[illegible] εἰσενέγκοι· πολὺ γὰρ ἐμμελέστερον
[illegible]τερον χέσαι πλεῖν ἢ τριάκονθ' ἡμέρας.
[illegible] ΑΝ.Β. Καλλίμαχος δ' ὁ χοροδιδάσκαλος
αὐτοῖσιν εἰσοίσει τι; ΑΝ.Α. πλείω Καλλίου.
[illegible] ἄνθρωπος οὗτος ἀποβαλεῖ τὴν οὐσίαν. [ὁρῶν
[illegible] δεινά γε λέγεις. ΑΝ.Β. τί δεινόν; ὥσπερ οὐχ
ἀεὶ τοιαῦτα γιγνόμενα ψηφίσματα.
οὐκ οἶσθ' ἐκεῖν' οὔδοξε, τὸ περὶ τῶν ἁλῶν;
ΑΝ.Α. ἔγωγε. ΑΝ.Β. τοὺς χαλκοῦς δ' ἐκείνους ἡνίκα
ἐψηφισάμεθ', οὐκ οἶσθα; ΑΝ.Α. καὶ κακόν γέ μοι
τὸ κόμμ' ἐγένετ' ἐκεῖνο. πωλῶν γὰρ βότρυς
μεστὴν ἀπῆρα τὴν γνάθον χαλκῶν ἔχων,
κἄπειτ' ἐχώρουν εἰς ἀγορὰν ἐπ' ἄλφιτα.
ἔπειθ' ὑπέχοντος ἄρτι μου τὸν θύλακον,
ἀνέκραγ' ὁ κῆρυξ μὴ δέχεσθαι μηδένα
χαλκὸν τὸ λοιπόν· ἀργύρῳ γὰρ χρώμεθα.
ΑΝ.Β. τὸ δ' ἔναγχος οὐχ ἅπαντες ἡμεῖς ὤμνυμεν
τάλαντ' ἔσεσθαι πεντακόσια τῇ πόλει
τῆς τετταρακοστῆς, ἣν ἐπόρισ' Εὐριπίδης;
κεὐθὺς κατεχρύσου πᾶς ἀνὴρ Εὐριπίδην·
ὅτε δὴ δ' ἀνασκοπουμένοις ἐφαίνετο
ὁ Διὸς Κόρινθος καὶ τὸ πρᾶγμ' οὐκ ἤρεσεν,
πάλιν κατεπίττου πᾶς ἀνὴρ Εὐριπίδην.
ΑΝ.Α. οὐ ταὐτόν, ὦ τᾶν. τότε μὲν ἡμεῖς ἤρχομεν,
νῦν δ' αἱ γυναῖκες. ΑΝ.Β. ἃς ἐγὼ φυλάξομαι,
νὴ τὸν Ποσειδῶ, μὴ κατουρήσωσί μου.
ΑΝ.Α. οὐκ οἶδ' ὅ τι ληρεῖς. φέρε σὺ τἀνάφορον ὁ παῖς.

ΚΗΡΥΞ.

ὦ πάντες ἀστοί, νῦν γὰρ οὕτω ταῦτ' ἔχει,
χωρεῖτ', ἐπείγεσθ' εὐθὺ τῆς στρατηγίδος,
ὅπως ἂν ὑμῖν ἡ τύχη κληρουμένοις
φράσῃ καθ' ἕκαστον ἄνδρ' ὅπου δειπνήσετε·
ὡς αἱ τράπεζαί γ' εἰσὶν ἐπινενημέναι
ἀγαθῶν ἁπάντων καὶ παρεσκευασμέναι,
κλῖναί τε σισυρῶν καὶ δαπίδων νεναγμέναι.
κρατῆρας ἐγκιρνᾶσιν, αἱ μυροπώλιδες
ἑστᾶσ' ἐφεξῆς, τὰ τεμάχη ῥιπίζεται,
λαγῷ' ἀναπηγνύασι, πόπανα πέττεται,
στέφανοι πλέκονται, φρύγεται τραγήματα,
χύτρας ἔτνους ἕψουσιν αἱ νεώταται·
Σμοῖος δ' ἐν αὐταῖς ἱππικὴν στολὴν ἔχων
τὰ τῶν γυναικῶν διακαθαίρει τρύβλια.
Γέρων δὲ χωρεῖ χλανίδα καὶ κονίποδε
ἔχων, καχάζων μεθ' ἑτέρου νεανίου·
ἐμβὰς δὲ κεῖται καὶ τρίβων ἐρριμμένος.
πρὸς ταῦτα χωρεῖθ', ὡς ὁ τὴν μᾶζαν φέρων
ἕστηκεν· ἀλλὰ τὰς γνάθους διοίγνυτε.
ΑΝ.Β. οὐκοῦν βαδιοῦμαι δῆτα. τί γὰρ ἕστηκ' ἔχων
ἐνταῦθ', ἐπειδὴ ταῦτα τῇ πόλει δοκεῖ;
ΑΝ.Α. καὶ ποῖ βαδιεῖ σὺ μὴ καταθεὶς τὴν οὐσίαν;
ΑΝ.Β. ἐπὶ δεῖπνον. ΑΝ.Α. οὐ δῆτ', ἤν γ' ἐκείναις νοῦς
ἐνῇ, [πρηνίκα;
πρὶν ἂν ἀπενέγκῃς. ΑΝ.Β. ἀλλ' ἀποίσω. ΑΝ.Α.
ΑΝ.Β. οὐ τοὐμόν, ὦ τᾶν, ἐμποδὼν ἔσται. ΑΝ.Α. τί δή;
ΑΝ.Β. ἑτέρους ἀποίσειν φήμ' ἔθ' ὑστέρους ἐμοῦ.
ΑΝ.Α. βαδιεῖ δὲ δειπνήσων ὅμως; ΑΝ.Β. τί γὰρ πάθω;
τὰ δυνατὰ γὰρ δεῖ τῇ πόλει ξυλλαμβάνειν
τοὺς εὖ φρονοῦντας. ΑΝ.Α. ἢν δὲ κωλύσωσι, τί;
ΑΝ.Β. ὁμόσ' εἶμι κύψας. ΑΝ.Α. ἢν δὲ μαστιγῶσι, τί;
ΑΝ.Β. καλοῦμεθ' αὐτάς. ΑΝ.Α. ἢν δὲ καταγελῶσι, τί;
ΑΝ.Β. ἐπὶ ταῖς θύραις ἑστὼς ΑΝ.Α. τί δράσεις; εἰπέ μοι.
ΑΝ.Β. τῶν ἐσφερόντων ἁρπάσομαι τὰ σιτία.
ΑΝ.Α. βάδιζε τοίνυν ὕστερος· σὺ δ', ὦ Σίκων
καὶ Παρμένων, αἴρεσθε τὴν παμπησίαν.
ΑΝ.Β. φέρε νυν ἐγώ σοι ξυμφέρω. ΑΝ.Α. μή, μηδαμῶς.
δέδοικα γὰρ μὴ καὶ παρὰ τῇ στρατηγίδι,

---

772. ἰδὼν ἂν ἐπιθόμην Brunckius] ἰδὼν ἐπειθόμην 779. νὴ Δί D.] νὴ Δία 780. γε Reiskius] τε 784. ἔα] Probabilius ἆ: vid. ad Thesm. 176. 795. καταθείην Brunckius] καταθείμην λάβοις] λάβῃς Heindorf. ad Platon. Phaedon. p.36. 797. ταχὺ R et Suidas s. v. ἕνη. ταχεῖς ceteri. 800. κωλύσωσι Dobraeus] μὴ κομίσωσι 811. ἄνθρωπος D.] ὤνθρωπος
812. δεινά γε] δεινόν γε Reisigius. δεινὸν Cobetus.
822. χαλκὸν ex Polluce 7, 93.] χαλκοῦν cum Suida s. v. ὑπέχοντος. 825. τετταρακοστῆς Brunckius] τεσσαρακοστῆς

826. κεὐθὺς Kusterus] καὐθὺς 828. ἤρεσεν Scaliger] ἤρκεσεν 832. κατουρήσωσι] κατουρήσουσι RΒΓ. 834. ΚΗΡΥΞ] ΚΗΡΥΚΑΙΝΑ Bothius. 836. ὑμῖν Faber] ἡμῖν 837. ὅπου Brunckius] ὅποι
838. ἐπινενημέναι] ἐπινενασμέναι, cum Suida s. h. v. Correxi ex Phrynicho in Bekk. Anecd. p. 13, 24. ἀγαθῶν πάντων ἐπινένηται ἡ τράπεζα: ἀντὶ τοῦ ἐπισεσώρευται, μεμέστωται. ut Nub. 1203. νενημένοι pro νενησμένοι vel νενασμένοι scribendum erat.
840. νεναγμέναι D.] νενασμέναι. σεσαγμέναι Meinekius. 841. κρατῆρας ἐγκιρνᾶσιν Dawesius] κρατῆρα συγκιρνᾶσιν 843. πόπανα] Athenaeus 3. p. 110a. memoriae errore, ut videtur, μνημονεύει δὲ τοῦ λαγάνου Ἀ. ἐν Ἐκκλησιαζούσαις φάσκων "λάγανα πέττεται". 845. νεώταται] νεώτεραι Bothius. 846. Σμοῖος Brunckius] Σμοιός, cum Suida s.h.v. 848. Γέρων] Huius nominis exemplum est in inscr. apud Boeckh. vol. 1. p. 490. Olim conieceram Γέρης (ex v. 932.). κονίποδε D.] κονίποδα. κονίποδας Brunckius. 857. πρὶν ἂν D.] πρίν γ' ἂν Β. πρίν γ' ceteri. πρὶν ἄν γ' Porsonus.

ὅταν κατατιθῶ, προσποιῇ τῶν χρημάτων.
ΑΝ.Β. νὴ τὸν Δία δεῖ γοῦν μηχανήματός τινος,
ὅπως τὰ μὲν ὄντα χρήμαθ' ἕξω, τοισδεδὶ
τῶν ματτομένων κοινῇ μεθέξω πως ἐγώ.
ὀρθῶς ἔμοιγε φαίνεται· βαδιστέον
ὁμόσ' ἐστὶ δειπνήσοντα κοὐ μελλητέον.

ΓΡΑΥΣ Α.

τί ποθ' ἄνδρες οὐχ ἥκουσιν; ὥρα δ' ἦν πάλαι·
ἐγὼ δὲ καταπεπλασμένη ψιμυθίῳ
ἕστηκα καὶ κροκωτὸν ἠμφιεσμένη,
ἀργός, μινυρομένη τι πρὸς ἐμαυτὴν μέλος,
παίζουσ', ὅπως ἂν περιλάβοιμ' αὐτῶν τινὰ
παριόντα. Μοῦσαι, δεῦρ' ἴτ' ἐπὶ τοὐμὸν στόμα,
μελύδριον εὑροῦσαί τι τῶν Ἰωνικῶν.

ΝΕΑΝΙΣ.

νῦν μέν με παρακύψασα προὔφθης, ὦ σαπρά.
ᾤου δ' ἐρήμας οὐ παρούσης ἐνθάδε
ἐμοῦ τρυγήσειν καὶ προσάξεσθαί τινα
ᾄδουσ'· ἐγὼ δ', ἢν τοῦτο δρᾷς, ἀντᾴσομαι.
κεἰ γὰρ δι' ὄχλου τοῦτ' ἐστὶ τοῖς θεωμένοις,
ὅμως ἔχει τερπνόν τι καὶ κωμῳδικόν.
ΓΡ.Α. τούτῳ διαλέγου κἀποχώρησον· σὺ δέ,
φιλοττάριον αὐλητά, τοὺς αὐλοὺς λαβὼν
ἄξιον ἐμοῦ καὶ σοῦ προσαύλησον μέλος.
εἴ τις ἀγαθὸν βούλεται πα-
θεῖν τι, παρ' ἐμοὶ χρὴ καθεύδειν.
οὐ γὰρ ἐν νέαις τὸ σοφὸν ἔν-
εστιν, ἀλλ' ἐν ταῖς πεπείραις·
οὐδέ τις στέργειν ἂν ἐθέλοι
μᾶλλον ἢ 'γὼ
τῶν φίλων ᾧπερ ξυνείην,
ἀλλ' ἐφ' ἕτερον ἂν πέτοιτο.
ΝΕ. μὴ φθόνει ταῖς νέαισι.
τὸ τρυφερὸν γὰρ ἐμπέφυκε
τοῖς ἁπαλοῖσι μηροῖς,
κἀπὶ τοῖς μήλοις ἐπαν-
θεῖ· σὺ δ', ὦ γραῦ, παραλέλεξαι κἀντέτριψαι,
τῷ θανάτῳ μέλημα.
ΓΡ.Α. ἐκπέσοι σου τὸ τρῆμα,
τό τ' ἐπίκλιντρον ἀποβάλοιο
βουλομένη σποδεῖσθαι,
κἀπὶ τῆς κλίνης ὄφιν
_ ᴗ εὕροις _ ᴗ καὶ προσελκύσαιο
βουλομένη φιλῆσαι.
ΝΕ. αἰαῖ, τί ποτε πείσομαι,
οὐχ ἥκει μοὐταῖρος· μόνη δ' αὐτοῦ λείπομ'· ἡ
γάρ μοι μήτηρ ἄλλῃ βέβηκε,

900—905. = 906—911.

912—917. = 918—923.

καὶ τἄλλα γ' οὐδὲν τὰ μετὰ ταῦτα δεῖ λέγειν.
ἀλλ', ὦ μαῖ', ἱκετεύομαι, κά-
λει τὸν Ὀρθαγόραν, ὅπως
σαυτῆς ἂν κατόναι', ἀντιβολῶ σε.
ΓΡ.Α. ἤδη τὸν ἀπ' Ἰωνίας
τρόπον τάλαινα κνησιᾷς·
δοκεῖς δέ μοι καὶ λάβδα κατὰ τοὺς Λεσβίους.
ἀλλ' οὐκ ἄν ποθ' ὑφαρπάσαιο
τἀμὰ παίγνια· τὴν δ' ἐμὴν
ὥραν οὐκ ἀπολεῖς οὐδ' ἀπολήψει.
ΝΕ. ᾆδ' ὁπόσα βούλει καὶ παράκυφθ' ὥσπερ γαλῆ·
οὐδεὶς γὰρ ὡς σὲ πρότερον εἴσεισ' ἀντ' ἐμοῦ.
ΓΡ.Α. οὔκουν ἐπ' ἐκφοράν γε. ΝΕ. καινόν γ', ὦ σαπρά.
ΓΡ.Α. οὐ δῆτα. ΝΕ. τί γὰρ ἂν γραῒ καινά τις λέγοι;
ΓΡ.Α. οὐ τοὐμὸν ὀδυνήσει σε γῆρας. ΝΕ. ἀλλὰ τί;
ἤγχουσα μᾶλλον καὶ τὸ σὸν ψιμύθιον;
ΓΡ.Α. τί μοι διαλέγει; ΝΕ. σὺ δὲ τί διακύπτεις;
ΓΡ.Α. ἐγώ;
ᾄδω πρὸς ἐμαυτὴν Ἐπιγένει τὠμῷ φίλῳ.
ΝΕ. σοὶ γὰρ φίλος τίς ἐστιν ἄλλος ἢ Γέρης;
ΓΡ.Α. δείξει γε καὶ σοί. τάχα γὰρ εἶσιν ὡς ἐμέ.
ΝΕ. ὁδὶ γὰρ αὐτός ἐστιν. ΓΡ. Α. οὐ σοῦ γ', ὤλεθρε,
δεόμενος οὐδέν. ΝΕ. νὴ Δί', ὦ φθίνυλλα σύ,
δείξει τάχ' αὐτός, ὡς ἔγωγ' ἀπέρχομαι.
ΓΡ.Α. κἄγωγ', ἵνα γνῷς ὡς πολὺ σοῦ μεῖζον φρονῶ.

ΝΕΑΝΙΑΣ.

εἴθ' ἐξῆν παρὰ τῇ νέᾳ καθεύδειν,
καὶ μὴ 'δει πρότερον διασποδῆσαι
ἀνάσιμον ἢ πρεσβυτέραν·
οὐ γὰρ ἀνασχετὸν τοῦτό γ' ἐλευθέρῳ.
ΓΡ.Α. οἰμώζων ἄρα νὴ Δία σποδήσεις.
οὐ γὰρ τἀπὶ Χαριξένης τάδ' ἐστίν.
κατὰ τὸν νόμον ταῦτα ποιεῖν
ἔστι δίκαιον, εἰ δημοκρατούμεθα.
ἀλλ' εἶμι τηρήσουσ' ὅ τι καὶ δράσει ποτέ.
ΝΕΑ. εἴθ', ὦ θεοί, λάβοιμι τὴν καλὴν μόνην,
ἐφ' ἣν πεπωκὼς ἔρχομαι πάλαι ποθῶν.
ΝΕ. ἐξηπάτησα τὸ κατάρατον γρᾴδιον·
φρούδη γάρ ἐστιν οἰομένη μ' ἔνδον μενεῖν.
ΓΡ.Α. ἀλλ' οὑτοσὶ γὰρ αὐτὸς οὗ 'μεμνήμεθα.
δεῦρο δὴ δεῦρο δή,
φίλον ἐμόν, δεῦρό μοι
πρόσελθε καὶ ξύνευνος
τὴν εὐφρόνην φίλος ὅπως τήνδ' ἔσει.
πάνυ γάρ δεινός τις ἔρως με δονεῖ
τῶνδε τῶν σῶν βοστρύχων.

938—941. = 942—945.

952—959. = 960—968.

873. τοισδεδὶ Bergkius (τοῖσδε δὲ Brunckius)] τοῖς δέ γε 877. ποθ' ἄνδρες cum spiritu leni R. ποτ' ἄνδρες ceteri. ἥκουσιν Brunckius] ἥξουσιν 881. παίζουσ', ὅπως] παίζουσα. πῶς Dobraeus. 890. τούτῳ] Suspectum. Mire scholiasta ἡ γραῦς τῷ αἰδοίῳ λέγει. Fort. ἄλλῳ. κἀποχώρησον] κἀπιχώρησον R.
896. πεπείραις R. πεπείροις ceteri et Suidas s. v. πέπειρος. 897. τις Portus] τοι, cum Suida. 898. τῶν φίλων D.] τὸν φίλον 900. ταῖς Reisigius] ταῖσι 901. ἐμπέφυκε] ἐπιπέφυκε Meinekius. 904. παραλέλεξαι] Scholiasta, ἢ τὰς πολιάς σου παραλέλεξαι· ἢ ἐπλέξω τὰς τρίχας μίαν παρὰ μίαν. Altera interpretatio ad παραπέπλεξαι spectare videtur. 907. ἀποβάλοιο Bothius] ἀποβάλοις, cum Suida s. v. ἐπίκλιντρον.
910. Lacunas indicavit D. 912. οὐχ ἥκει — βέβηκε] Verba interpolata, quibus nihil profuerunt criticorum coniecturae. Nisi in antistropha plura exciderunt, unus sufficiet dimeter μόνη γὰρ αὐτοῦ λείπομαι, respondens versui antistrophico 919. τρόπον τάλαινα κνησιᾷς. μοὐταῖρος R. μου τοῦρος ceteri.
914. καὶ τἄλλα γ' Dobraeus] καὶ τἄλλ' οὐδὲν τὰ μετὰ ταῦτα Dobraeus] οὐδὲν μετὰ ταῦτα BΓ et fortasse R. οὐδέν με ταῦτα Ald. οὐδέν μεταταῦτα ed. Iunt. a. 1515. 915. ἱκετεύομαι] ἱκετεύομεν Hermannus. 917. ἂν addidit Hermannus. 923. ἀπολήψει] ἀπολάψει D. 931. Ἐπιγένει] Ἐπιγόνῳ Bothius (ex v. 167.) 933. δείξει] δόξει RΓ. 939. μὴ 'δει Elmsleius] μηδὲν 940. πρεσβυτέραν Bothius] πρεσβύτερον 946. δράσει Brunckius] δράσεις 948. πάλαι ποθῶν] ποθῶν πάλιν BΓ. 950. μενεῖν D.] μένειν. 951. 'μεμνήμεθα Brunckius] μεμνήμεθα
952. ξύνευνος Bothius] ξύνευνός μοι 953. φίλος et τήνδ' addidit Hermannus Elem. doctr. metr. p. 202. Certum videtur τήνδ', incertum vero est φίλος, pro quo etiam aliud quid dici potuit. 954. δεινός addidit D.

[illegible] τις ἐπέγκειται,
[illegible] ἔχει [illegible]
[illegible] σ', Ἔρως,
[illegible] τόνδ' ἐς εὐνὴν
[illegible] ἱκέσθαι.
[illegible] δεῦρο δή,
[illegible] καταδραμοῦ-
[illegible] θύραν ἄνοιξον
[illegible] εἰ δὲ μή, καταπεσὼν κείσομαι.
[illegible] ἀλλὰ πρόσελθ'· ἐν γὰρ τῷ σῷ
[illegible] κόλπῳ πεσὼν
πληκτίζεσθαι μετὰ τῆς πυγῆς.
Κύπρι, τί μ' ἐκμαίνεις ἐπὶ ταύτῃ;
μέθες, ἱκνοῦμαί σ', Ἔρως,
καὶ ποίησον τήνδ' ἐς εὐνὴν
τὴν ἐμὴν ἱκέσθαι.

ΓΡ. Α. καὶ ταῦτα μέντοι μετρίως πρὸς τὴν ἐμὴν ἀνάγκην
εἰρημέν' ἐστίν. σὺ δέ μοι, φίλτατον, ὦ ἱκετεύω,
ἄνοιξον, ἀσπάζου με·
διά τοι σὲ πόνους ἔχω.

ΝΕΑ. ὦ χρυσοδαίδαλτον ἐμὸν μέλημα, Κύπριδος ἔρνος,
μέλιττα Μούσης, Χαρίτων θρέμμα, Τρυφῆς τε
πρόσωπον,
ἄνοιξον, ἀσπάζου με·
διά τοι σὲ πόνους ἔχω.

ΓΡ. Α. οὗτος, τί κόπτεις; μῶν ἐμὲ ζητεῖς; ΝΕΑ. πόθεν;
ΓΡ. Α. καὶ τὴν θύραν γ' ἤραττες. ΝΕΑ. ἀποθάνοιμ' ἄρα.
ΓΡ. Α. τοῦ δαὶ δεόμενος δᾷδ' ἔχων ἐλήλυθας;
ΝΕΑ. Ἀναφλύστιον ζητῶν τιν' ἄνθρωπον. ΓΡ. Α. τίνα;
ΝΕΑ. οὐ τὸν Σεβῖνον, ὃν σὺ προσδοκᾷς ἴσως.
ΓΡ. Α. νὴ τὴν Ἀφροδίτην, ἤν τε βούλῃ γ' ἤν τε μή.
ΝΕΑ. ἀλλ' οὐχὶ νυνὶ τὰς ὑπερεξηκοντέτεις
εἰσάγομεν, ἀλλ' εἰσαῦθις ἀναβεβλήμεθα.
τὰς ἐντὸς εἴκοσιν γὰρ ἐκδικάζομεν.
ΓΡ. Α. ἐπὶ τῆς προτέρας ἀρχῆς γε ταῦτ' ἦν, ὦ γλύκων·
νυνὶ δὲ πρῶτον εἰσάγειν ἡμᾶς δοκεῖ.
ΝΕΑ. τῷ βουλομένῳ γε, κατὰ τὸν ἐν πεττοῖς νόμον.
ΓΡ. Α. ἀλλ' οὐδὲ δειπνεῖς κατὰ τὸν ἐν πεττοῖς νόμον.
ΝΕΑ. οὐκ οἶδ' ὅ τι λέγεις· τηνδεδί μοι κρουστέον.
ΓΡ. Α. ὅταν γε κρούσῃς τὴν ἐμὴν πρῶτον θύραν.
ΝΕΑ. ἀλλ' οὐχὶ νυνὶ κρησέραν αἰτούμεθα.
ΓΡ. Α. οἶδ' ὅτι φιλοῦμαι· νῦν δὲ θαυμάζεις ὅτι
θύρασί μ' ηὗρες· ἀλλὰ πρόσαγε τὸ στόμα.
ΝΕΑ. ἀλλ', ὦ μέλ', ὀρρωδῶ τὸν ἐραστήν σου. ΓΡ. Α. τίνα;
ΝΕΑ. τὸν τῶν γραφέων ἄριστον. ΓΡ. Α. οὗτος δ' ἐστὶ τίς;
ΝΕΑ. ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους.
969—972. = 973—976.
ἀλλ' ἄπιθ', ὅπως μή σ' ἐπὶ θύραισιν ὄψεται.
ΓΡ. Α. οἶδ' οἶδ' ὅ τι βούλει. ΝΕΑ. καὶ γὰρ ἐγώ σε νὴ Δία.
ΓΡ. Α. μὰ τὴν Ἀφροδίτην, ἥ μ' ἔλαχε κληρουμένη,
μὴ 'γώ σ' ἀφήσω. ΝΕΑ. παραφρονεῖς, ὦ γρᾴδιον.
ΓΡ. Α. ληρεῖς· ἐγὼ δ' ἄξω σ' ἐπὶ τἀμὰ στρώματα.
ΝΕΑ. τί δῆτα κρεάγρας τοῖς κάδοις ὠνοίμεθ' ἄν,
ἐξὸν καθέντα γρᾴδιον τοιουτονὶ
ἐκ τῶν φρεάτων τοὺς κάδους ξυλλαμβάνειν;
ΓΡ. Α. μὴ σκῶπτέ μ', ὦ τάλαν, ἀλλ' ἕπου δεῦρ' ὡς ἐμέ.
ΝΕΑ. ἀλλ' οὐκ ἀνάγκη μοὐστίν, εἰ μὴ τῶν ἐτῶν
τὴν πεντακοσιοστὴν κατέθηκας τῇ πόλει.
ΓΡ. Α. νὴ τὴν Ἀφροδίτην, δεῖ γε μέντοι σ'· ὡς ἐγὼ
τοῖς τηλικούτοις ξυγκαθεύδουσ' ἥδομαι.
ΝΕΑ. ἐγὼ δὲ ταῖς γε τηλικαύταις ἄχθομαι,
κοὐκ ἂν πιθοίμην οὐδέποτ'. ΓΡ. Α. ἀλλὰ νὴ Δία
ἀναγκάσει τουτί σε. ΝΕΑ. τοῦτο δ' ἔστι τί;
ΓΡ. Α. ψήφισμα, καθ' ὅ σε δεῖ βαδίζειν ὡς ἐμέ.
ΝΕΑ. λέγ' αὐτὸ τί ποτε κἄστι. ΓΡ. Α. καὶ δή σοι λέγω.
ἔδοξε ταῖς γυναιξίν, ἢν ἀνὴρ νέος
νέας ἐπιθυμῇ, μὴ σποδεῖν αὐτὴν πρὶν ἂν
τὴν γραῦν προκρούσῃ πρῶτον· ἢν δὲ μὴ θέλῃ
πρότερον προκρούειν, ἀλλ' ἐπιθυμῇ τῆς νέας,
ταῖς πρεσβυτέραις γυναιξὶν ἔστω τὸν νέον
ἕλκειν ἀνατὶ λαβομένας τοῦ παττάλου.
ΝΕΑ. οἴμοι· Προκρούστης τήμερον γενήσομαι.
ΓΡ. Α. τοῖς γὰρ νόμοις τοῖς ἡμετέροισι πειστέον.
ΝΕΑ. τί δ', ἢν ἀφαιρῆταί μ' ἀνὴρ τῶν δημοτῶν
ἢ τῶν φίλων ἐλθών τις; ΓΡ. Α. ἀλλ' οὐ κύριος
ὑπὲρ μέδιμνόν ἐστ' ἀνὴρ οὐδεὶς ἔτι.
ΝΕΑ. ἐξωμοσία δ' οὐκ ἔστιν; ΓΡ. Α. οὐ γὰρ δεῖ στροφῆς.
ΝΕΑ. ἀλλ' ἔμπορος εἶναι σκήψομαι. ΓΡ. Α. κλάων γε σύ.
ΝΕΑ. τί δῆτα χρὴ δρᾶν; ΓΡ. Α. δεῦρ' ἀκολουθεῖν ὡς ἐμέ.
ΝΕΑ. καὶ ταῦτ' ἀνάγκη μοὐστί; ΓΡ. Α. Διομήδειά γε.
ΝΕΑ. ὑποστόρεσαί νυν πρῶτα τῆς ὀριγάνου,
καὶ κλήμαθ' ὑπόθου ξυγκλάσασα τέτταρα,
καὶ ταινίωσαι, καὶ παράθου τὰς ληκύθους,
ὕδατός τε κατάθου τοὔστρακον πρὸ τῆς θύρας.
ΓΡ. Α. ἦ μὴν ἔτ' ὠνήσει σὺ καὶ στεφάνην ἐμοί.
ΝΕΑ. νὴ τὸν Δί', ἥνπερ ᾖ γέ που τῶν κηρίνων.
οἶμαι γὰρ ἔνδον διαπεσεῖσθαί σ' αὐτίκα.
ΝΕ. ποῖ τοῦτον ἕλκεις σύ; ΓΡ. Α. τὸν ἐμαυτῆς εἰσάγω.
ΝΕ. οὐ σωφρονοῦσά γ'· οὐ γὰρ ἡλικίαν ἔχει
παρὰ σοὶ καθεύδειν τηλικοῦτος ὤν, ἐπεὶ
μήτηρ ἂν αὐτῷ μᾶλλον εἴης ἢ γυνή.
ὥστ' εἰ καταστήσεσθε τοῦτον τὸν νόμον,
τὴν γῆν ἅπασαν Οἰδιπόδων ἐμπλήσετε.
ΓΡ. Α. ὦ παμβδελυρά, φθονοῦσα τόνδε τὸν λόγον
ἐξηῦρες· ἀλλ' ἐγώ σε τιμωρήσομαι.
ΝΕΑ. νὴ τὸν Δία τὸν σωτῆρα, κεχάρισαί γέ μοι,
ὦ γλυκύτατον, τὴν γραῦν ἀπαλλάξασά μου·
ὥστ' ἀντὶ τούτων τῶν ἀγαθῶν εἰς ἑσπέραν
μεγάλην ἀποδώσω καὶ παχεῖάν σοι χάριν.
ΓΡ. Β. αὕτη σύ, ποῖ παραβᾶσα τόνδε τὸν νόμον

---

956. δὲ πόθος τις ἐπέγκειται D.] δ' ἔγκειταί μοί τις πόθος 957. διακναίσας producta syllaba secunda dictum etsi excusari possit in metro dactylico, tamen multo probabilius videtur διεκκναίσας, licet alia huius compositi exempla non exstent. Post ἔχει participium aliquod vel adverbium excidit, ab litera vocali incipiens. 963. ἀλλὰ πρόσελθ'· ἐν γὰρ τῷ D.] ἀλλ' ἐν τῷ. Verbo πρόσελθε etiam usus erat v. 952. Hic tamen etiam ἀλλ' ἔξελθ' dici poterat. Post κόλπῳ addidi πεσών. Nam hoc vel alio participio aliquo opus est propter verba ἐν τῷ σῷ κόλπῳ, quae non possunt cum πληκτίζεσθαι coniungi. 964. μετὰ] Videtur κατὰ requiri. τῆς D.] τῆς σῆς 971. ἄνοιξον] ἄρηξον Hermannus: vid. Beer. p. 168. 979. οὐ τὸν Σεβῖνον (ex Ran. 427.) Bentleius] οὐ τὸν σὲ βινοῦνθ' R. αὐτὸν σεβινοῦνθ Ald. αὐτόν (αὐτήν B) σε κινοῦνθ ΒΓ. 985. προτέρας] πρότερον B. 987. πεττοῖς R. πετοῖς Γ. παιτοῖς R et Ald. de quo ineptit scholiasta. 988. οὐδὲ δειπνεῖς] οὐδ' ἐδείπνεις Bentleius. πεττοῖς] παιτοῖς hic quoque R et Ald. Totum versum om. ΒΓ. 989. τηνδεδί R. τήνδε δή ceteri.

997. μή σ' ἐπὶ θύραισιν] σε μὴ θύρασιν Halbertsma. 998. ἐγώ σε] ἔγωγε lemma scholii: sed scholiasta ἐγώ σε legit. 1002. ὠνοίμεθ' ἄν] ὠνούμεθα Cobetus. 1003. καθέντα] καθέντας Meinekius. 1005. ὦ τάλαν] ὦ τᾶν Bentleius, ut Nub. 1267. μὴ σκῶπτέ μ', ὦ τᾶν. 1006. οὐκ] οὐδ' R. ἐτῶν Tyrwhittus] ἐμῶν 1008. δεῖ γε μέντοι σ'· ὡς Reisigius] δεῖ γε μέντοι ὡς RΓ, δεῖ σε μέντοι γ' ὡς Ald. 1017. πρῶτον] πρότερον Herwerdenus. 1034. στεφάνην] στέφανον Meinekius. 1035. ἥνπερ] ἥμπερ R. κηρίνων R. κηρίων ceteri. 1037. σύ om. RΓ: unde Meinekius ἕλκεις; ΓΡ. Α. εἰς ἐμαυτῆς εἰσάγω. 1043. λόγον Faber] νόμον 1049. ΓΡ. Α.] ἑτέρα γραῦς praescriptum in R.

ἕλκεις, παρ' ἐμοὶ τῶν γραμμάτων εἰρηκότων
πρότερον καθεύδειν αὐτόν; ΝΕΑ. οἴμοι δείλαιος.
πόθεν ἐξέκυψας, ὦ κάκιστ' ἀπολουμένη;
τοῦτο γὰρ ἐκείνου τὸ κακὸν ἐξωλέστερον.
ΓΡ. Β. βάδιζε δεῦρο. ΝΕΑ. μηδαμῶς με περιίδῃς
ἑλκόμενον ὑπὸ τῆσδ', ἀντιβολῶ σ'. ΓΡ. Β. ἀλλ'
οὐκ ἐγώ, / [πουσά τις
ἀλλ' ὁ νόμος ἕλκει σ'. ΝΕΑ. οὐκ ἐμέ γ', ἀλλ' ἔμ-
ἐξ αἵματος φλύκταιναν ἠμφιεσμένη.
ΓΡ. Β. ἕπου, μαλακίων, δεῦρ' ἀνύσας καὶ μὴ λάλει.
ΝΕΑ. ἴθι νυν ἔασον εἰς ἄφοδον πρώτιστά με
ἐλθόντα θαρρῆσαι πρὸς ἐμαυτόν· εἰ δὲ μή,
αὐτοῦ τι δρῶντα πυρρὸν ὄψει μ' αὐτίκα
ὑπὸ τοῦ δέους. ΓΡ. Β. θάρρει, βάδιζ'· ἔνδον χεσεῖ.
ΝΕΑ. δέδοικα κἀγὼ μὴ πλέον ἤπερ βούλομαι.
ἀλλ' ἐγγυητάς σοι καταστήσω δύο [σύ, ποῖ
ἀξιόχρεως. ΓΡ. Β. μή μοι καθίστη. ΓΡ. Γ. ποῖ
χωρεῖς μετὰ ταύτης; ΝΕΑ. οὐκ ἔγωγ', ἀλλ' ἕλ-
ἀτὰρ ἥτις εἶ γε, πόλλ' ἀγαθὰ γένοιτό σοι, [κομαι.
ὅτι μ' οὐ περιεῖδες ἐπιτριβέντ'. ὦ Ἡράκλεις,
ὦ Πᾶνες, ὦ Κορύβαντες, ὦ Διοσκόρω,
τοῦτ' αὖ πολὺ τούτου τὸ κακὸν ἐξωλέστερον.
ἀτὰρ τί τὸ πρᾶγμ' ἔστ', ἀντιβολῶ, τουτί ποτε;
πότερον πίθηκος ἀνάπλεως ψιμυθίου,
ἢ γραῦς ἀνεστηκυῖα παρὰ τῶν πλειόνων;
ΓΡ. Γ. μὴ σκῶπτέ μ', ἀλλὰ δεῦρ' ἕπου. ΓΡ. Β. δευρὶ
μὲν οὖν.
ΓΡ. Γ. ὡς οὐκ ἀφήσω οὐδέποτέ σ'. ΓΡ. Β. οὐδὲ μὴν ἐγώ.
ΝΕΑ. διασπάσεσθέ μ', ὦ κακῶς ἀπολούμεναι.
ΓΡ. Β. ἐμοὶ γὰρ ἀκολουθεῖν σε δεῖ κατὰ τὸν νόμον.
ΓΡ. Γ. οὔκ, ἢν ἑτέρα γε γραῦς ἔτ' αἰσχίων φανῇ.
ΝΕΑ. ἢν οὖν ὑφ' ὑμῶν πρῶτον ἀπόλωμαι κακῶς,
φέρε πῶς ἐπ' ἐκείνην τὴν καλὴν ἀφίξομαι;
ΓΡ. Γ. αὐτὸς σκόπει σύ· τάδε δέ σοι ποιητέον.
ΝΕΑ. ποτέρας προτέρας οὖν κατελάσας ἀπαλλαγῶ;
ΓΡ. Β. οὐκ οἶσθα; βαδιεῖ δεῦρ'. ΝΕΑ. ἀφέτω νύν μ' αὑτηί.
ΓΡ. Γ. δευρὶ μὲν οὖν ἴθ' ὡς ἔμ'. ΝΕΑ. ἢν ἡδί μ' ἀφῇ.
ΓΡ. Β. ἀλλ' οὐκ ἀφήσω μὰ Δία σ'. ΓΡ. Β. οὐδὲ μὴν ἐγώ.
ΝΕΑ. χαλεπαί γ' ἂν ἦστε γενόμεναι πορθμῆς. ΓΡ. Β. τιή;
ΝΕΑ. ἕλκοντε τοὺς πλωτῆρας ἂν ἀπεκναίετε.
ΓΡ. Β. σιγῇ βάδιζε δεῦρο. ΓΡ. Γ. μὰ Δί' ἀλλ' ὡς ἐμέ.
ΝΕΑ. τουτὶ τὸ πρᾶγμα κατὰ τὸ Καννωνοῦ σαφῶς
ψήφισμα, βινεῖν δεῖ με διαλελημμένον.
πῶς οὖν δικωπεῖν ἀμφοτέρας δυνήσομαι;
ΓΡ. Β. καλῶς, ἐπειδὰν καταφάγῃς βολβῶν χύτραν.
ΝΕΑ. οἴμοι κακοδαίμων, ἐγγὺς ἤδη τῆς θύρας
ἑλκόμενός εἰμ'. ΓΡ. Γ. ἀλλ' οὐδὲν ἔσται σοι πλέον.
ξυνεσπεσοῦμαι γὰρ μετὰ σοῦ. ΝΕΑ. μὴ πρὸς θεῶν·
ἑνὶ γὰρ ξυνέχεσθαι κρεῖττον ἢ δυοῖν κακοῖν.
ΓΡ. Γ. νὴ τὴν Ἑκάτην, ἐάν τε βούλῃ γ' ἤν τε μή.
ΝΕΑ. ὦ τρισκακοδαίμων, εἰ γυναῖκα δεῖ σαπρὰν
βινεῖν ὅλην τὴν νύκτα καὶ τὴν ἡμέραν,
κἄπειτ' ἐπειδὰν τῆσδ' ἀπαλλαγῶ, πάλιν
Φρύνην ἔχουσαν λήκυθον πρὸς ταῖς γνάθοις.
ἆρ' οὐ κακοδαίμων εἰμί; βαρυδαίμων μὲν οὖν
νὴ τὸν Δία τὸν σωτῆρ' ἀνὴρ καὶ δυστυχής,
ὅστις τοιούτοις θηρίοις ξυνείρξομαι.
ὅμως δ' ἐάν τι πολλὰ πολλάκις πάθω
ὑπὸ τοῖνδε τοῖν κασαλβάδοιν δεῦρ' ἐσπλέων,
θάψαι μ' ἐπ' αὐτῷ τῷ στόματι τῆς ἐσβολῆς,
καὶ τήνδ' ἄνωθεν ἐπιπολῆς τοῦ σήματος
ζῶσαν καταπιττώσαντας, εἶτα τὼ πόδε
μολυβδοχοήσαντας κύκλῳ περὶ τὰ σφυρὰ
ἄνω 'πιθεῖναι πρόφασιν ἀντὶ ληκύθου.

ΘΕΡΑΠΑΙΝΑ.

ὦ μακάριος μὲν δῆμος, εὐδαίμων δὲ γῆ,
αὐτή τέ μοι δέσποινα μακαριωτάτη,
ὑμεῖς θ' ὅσαι παρέστατ' ἐπὶ ταῖσιν θύραις,
οἱ γείτονές τε πάντες οἵ τε δημόται,
ἐγώ τε πρὸς τούτοισιν ἡ διάκονος,
ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν
ἀγαθοῖσιν, ὦ Ζεῦ· πολὺ δ' ὑπερπέπαικεν αὖ
τούτων ἁπάντων τὰ Θάσι' ἀμφορείδια.
ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον·
τὰ δ' ἄλλ' ἀπανθήσαντα πάντ' ἀπέπτετο·
ὥστ' ἐστὶ πολὺ βέλτιστα, πολὺ δῆτ', ὦ θεοί.
[κέρασον ἄκρατον, εὐφρανεῖ τὴν νύχθ' ὅλην
ἐκλεγομένας ὅ τι ἂν μάλιστ' ὀσμὴν ἔχῃ.]
ἀλλ', ὦ γυναῖκες, φράσατέ μοι τὸν δεσπότην,
τὸν ἄνδρ', ὅπου 'στί, τῆς ἐμῆς κεκτημένης.
ΧΟ. αὐτοῦ μένουσ' ἡμῖν γ' ἂν ἐξευρεῖν δοκεῖς.
ΘΕ. μάλισθ'· ὁδὶ γὰρ ἐπὶ τὸ δεῖπνον ἔρχεται.
ὦ δέσποτ', ὦ μακάριε καὶ τρισόλβιε.
ΒΑ. ἐγώ; ΘΕ. σὺ μέντοι νὴ Δί' ὥς γ' οὐδεὶς ἀνήρ.
τίς γὰρ γένοιτ' ἂν μᾶλλον ὀλβιώτερος,
ὅστις πολιτῶν πλεῖον ἢ τρισμυρίων
ὄντων τὸ πλῆθος οὐ δεδείπνηκας μόνος;
ΧΟ. εὐδαιμονικόν γ' ἄνθρωπον εἴρηκας σαφῶς.
ΘΕ. ποῖ ποῖ βαδίζεις; ΒΑ. ἐπὶ τὸ δεῖπνον ἔρχομαι.
ΘΕ. νὴ τὴν Ἀφροδίτην, πολύ γ' ἁπάντων ὕστατος.
ὅμως δ' ἐκέλευε ξυλλαβοῦσάν μ' ἡ γυνὴ
ἄγειν σε καὶ τασδὶ μετὰ σοῦ τὰς μείρακας.
οἶνος δὲ Χῖός ἐστι περιλελειμμένος
καὶ τἄλλ' ἀγαθά. πρὸς ταῦτα μὴ βραδύνετε,
καὶ τῶν θεατῶν εἴ τις εὔνους τυγχάνει,
καὶ τῶν κριτῶν εἰ μή τις ἑτέρωσε βλέπει,
ἴτω μεθ' ἡμῶν· πάντα γὰρ παρέξομεν.
ΒΑ. οὔκουν ἅπασι δῆτα γενναίως ἐρεῖς

---

1050. τῶν γραμμάτων] Vide v. 1015—1020. 1056. οὐκ ἐμέ γ'] οὐ μὰ Δί' Halbertsma. 1063. ἤπερ scholiasta] ἢ 1065. ΓΡ. Γ.] ἄλλη γραῦς τρίτη praescriptum in R. 1066. μετὰ ταύτης R. μετ' αὐτῆς ceteri. 1067. γε] σὺ Cobetus. 1075. οὐδέποτέ σ' D.] σ' οὐδέποτε. Similiter transpositum v. 748. 1077. σε δεῖ Cobetus] σ' ἔδει 1080. φέρε πῶς] πῶς ποτ' Cobetus. 1084. ἢν ἡδί μ' ἀφῇ] ἢν ἡδί γ' ἀφῇ R. ἢν νὴ δία γ' ἀφ' (ἀφῇ ed. Iuntina a. 1525.) Ald. ἢν μὰ δία μ' ἀφῇ B. 1086. ἦστε] ἦσθαι R. ἦτε Suidas s. v. πορθμεῖς. 1089. Καννωνοῦ (secundum Theognost. Can. p. 68, 19.) D.] Καννώνου, ut Xenophontis quoque codices H. Gr. 1, 7, 20. et 34. 1091. ἀμφοτέρας] ἀντιβολῶ Meinekius.

1101. ταῖς γνάθοις] τοῖν γνάθοιν Cobetus. 1104. συνείρξομαι Bergkius] συνείξομαι. συννήξομαι Bisetus. 1105. ὅμως] ὑμᾶς (spectatores) Meinekius. 1106. τοῖνδε τοῖν Cobetus] ταῖνδε ταῖν 1108. τήνδ' Berglerus] τὴν B. τῶν ceteri. 1112. δὲ γῆ Dobraeus] δ' ἐγώ 1113. αὐτή Brunckius] αὕτη μοι] μου Meinekius. 1114. θ' D.] δ' 1115. οἵ τε δημόται Brunckius] οἱ τῶν δημοτῶν 1117. μεμύρωμαι] μεμύρισμαι Athenaeus 15. p. 691 b., non Suidas s. v. μεμύρωμαι. 1119. ἀμφορείδια] ἀμφορίδια Pollux 10, 72. 1121. ἀπέπτετο Brunckius] ἀπέπτατο 1123. 1124. Versus aliunde illatos eiecit Meinekius, ἐκλεγομένας (ἐκλεγομένη B) in ἐκλεγόμενος mutato. 1127. γ' ἂν Brunckius] γὰρ ἐξευρεῖν] ἐντυχεῖν Meinekius. 1130. 1135. Blepyro tribuit Vossius: δεσπότης praescriptum in libris. 1132. πλεῖον ἢ] πλεῖν τι ἢ vel πλειόνων scribendum videri dixi in Praefat. ad Aeschyli ed. Lips. quintam p. LXIX. 1135. ποῖ ποῖ] ποῖ ποτε Meinekius. 1139. περιλελειμμένος] παραλελειμμένος R. 1142. μή τις ἑτέρωσε] μὴ 'τέρωσέ τις Cobetus. 1144. 1148. ancillae continuant libri. Correxit Beerius p. 169. 1144. οὔκουν D.] οὐκοῦν

ἄτοπος δέ πόθος τις ἐπέγκειται,
ὅς με διακναίσας ἔχει ⏑ –.
μέθες, ἱκνοῦμαί σ', Ἔρως,
καὶ ποίησον τόνδ' ἐς εὐνὴν
τὴν ἐμὴν ἱκέσθαι.

ΝΕΑ. δεῦρο δὴ δεῦρο δή,
καί σύ μοι καταδραμοῦ-
σα τὴν θύραν ἄνοιξον
τήνδ'· εἰ δὲ μή, καταπεσὼν κείσομαι.
φίλον, ἀλλὰ πρόσελθ'· ἐν γὰρ τῷ σῷ
βούλομαι κόλπῳ πεσὼν
πληκτίζεσθαι μετὰ τῆς πυγῆς.
Κύπρι, τί μ' ἐκμαίνεις ἐπὶ ταύ-
μέθες, ἱκνοῦμαί σ', Ἔρως,
καὶ ποίησον τήνδ' ἐς εὐν-
τὴν ἐμὴν ἱκέσθαι.

ΓΡ. Α. καὶ ταῦτα μέντοι μετ-
εἰρημέν' ἐστίν. σ-
ἄνοιξον, ἀσπάζ-
διά τοι σὲ πό-

ΝΕΑ. ὦ χρυσοδα-
μέλιττα … ῥῆμα δρᾶν,
πρό … κρητικῶς οὖν τὼ πόδε
ἀνα- … ΒΛ. τοῦτο δρῶ. ΧΟ. καὶ τάσδε
δ-

ΓΡ. Α … λαγαρὰς τοῖν σκελίσκοιν τὸν ῥυθμόν.
ΓΡ … ἐπεισ-
… μαχοσελαχογαλεο-

ἀλλ' … ὑδριμυποτριμματο-
ΓΡ. Α. οἱ … μελιτοκατακεχυμενο-
ΓΡ. Α … κοσσυφοφαττοπεριστερα-
… οπτεκεφαλλιοκιγκλοπε-
Γ … λαγῳοσιραιοβαφητραγανοπτερύγων.
… ταῦτ' ἀκροασάμενος ταχὺ καὶ ταχέως λαβὲ
τρύβλιον·
… τα κόνισαι λαβὼν
… κιθον, ἵν' ἐπιδειπνῇς.
… λλὰ λαιμάττουσί που.
… αἴρεσθ' ἄνω, ἰαὶ εὐαί.
δειπνήσομεν, εὐοῖ εὐαί,
εὐαί, ὡς ἐπὶ νίκῃ·
εὐαὶ εὐαὶ εὐαὶ εὐαί.

… παραλείψεις Brunckius] παραλείψῃς … 1146. καλεῖς Cobetus] καλεῖν 1147. ἔστ' ἐπε- … ἐσκευασμένον] ἐστὶν ἐσκευασμένον Cobetus. Phrynichus in Bekkeri Anecd. p. 39, 24. ἐπεσκεύασται τὸ δεῖπνον· … 1150. ἔχω δέ (γε Meinekius) τοι R. ἔχουσά τοι … 1154. σμικρὸν δ' ὑποθέσθαι] σμικρὸν ὑπο- … ceteri. … δὲ πρῶτον Meinekius. 1155. σοφοῖς Scali- ger] σοφοῖσι μεμνημένους] μεμνημένοις R. 1156. τὸ γελᾶν Porsonus] τὸν γέλων 1159. ἅπαντα] ἅπαντας Dobraeus. 1161. τὸν Brunckius] τόν τε R. τόν γε Ald. 1163. ὦ ὦ] ἰὼ ἰὼ Meinekius. 1164. Aberat ὦ, φίλαι ad versum praecedentem relato. 1165. ὑποποκινεῖν Cobetus (quo verbo utitur Aristophanes Av. 1011. Thesm. 954.)] ὑπανακινεῖν (quod nusquam legitur.) 1166. ΒΛ. Meinekius] ἡμιχ. Lacunas post νῦν indicavit Meinekius, et reliqua omnia usque ad finem fabulae choro tribuit. In libris χο. ante καὶ τάσδε (1166.), ἡμιχ. ante ἀλλὰ (1178.), χο. ante αἴρεσθ' (1179.) positum. 1169. Eustathius p. 1277. ubi de vocabulis πολυσυνθέτοις comicorum agit, εὕρηται γοῦν παρὰ τῷ κωμικῷ χωρίον ἔν τινι ἀσυνήθει κωμῳδίᾳ οὕτω συχνοσύνθετον ὥστε ὁ καταρξάμενος αὐτὸ ἀναγνῶναι ἢ οὐ διΐξεται τὸ πᾶν ἀπνευστὶ ἢ ἀλλὰ πνευστιῶν αὐτοῦ ἀπαλλαγήσεται. Manifesta autem in his versibus est, ut Bergkius mo- … in Commentat. de reliquiis comoediae Atticae p. … Philoxeni Cytherii Δείπνου (cuius fragmenta col- … git Meinekius Com. vol. 3. p. 635—646.) imitatio, cuius … numeros et verborum monstra exaggerando aemulatus est Aristophanes. Versus sunt, exceptis trochaicis duobus, dactylici, syllabis nonnullis ab librariis corruptis. In initio quod legitur λοπαδο Fabro λεπαδο scribendum videbatur, Meinekio, quum patinae nomen necessarium videatur, λοπάδιον, ut monstrosum cibi nomen ab τεμαχοσελαχο ordiendum sit. Sed λοπάδιον metro non convenit, cui conveniret τάχα γὰρ ἐποίσει (versus non integer) | λοπάδα—. In R est τεμαχοσσελαχο, duplicato σ, unde Bergkius λοπαδοτέμαχος σελαχογαλεο —.

1171. παραο] Corruptum. Ego olim πράσο conieci. πραο Bergkius l. c. καραβο Meinekius. 1172. κιχλεπι Faber] κινκλεπι κοσσυφοφαττο D.] κοσσυκοφαττο R. κοσσυφο ceteri. 1173. οπτεγκεφαλλιο R. οπτεκεφαλλιο ceteri. "Metro satisfaceret οπτοκεφαλλιο, ut κεφάλλιον ad κέφαλος, quod piscis nomen est, referendum sit." Meinekius. 1176. ταχὺ καὶ aut delendum, aut ταχέως scribendum cum Meinekio. Duplicati ταχέως exemplum est in Pluto v. 644. 1177. κόνισαι λαβὼν R. λαβὼν κόνισαι ceteri. 1180—1182. Suidas (s. v. ἐποποῖ) αἴρεσθ' ἄνω ἰαὶ εὐαί, δειπνήσομεν εὐοῖ. εὐαὶ εὐαί. ὡς ἐπὶ νίκῃ. εὐαὶ εὐαί. εὐά. τέλος τῶν Ἐκκλησιαζουσῶν Ἀριστοφάνους. Similiter in Lysistrate carmen chori finitur v. 1292. αἴρεσθ' ἄνω, ἰαί, | ὡς ἐπὶ νίκῃ, ἰαί. | εὐοῖ εὐοῖ, εὐαὶ εὐαί, ubi scribendum videri αἴρεσθ' ἄνω, ἰαὶ ἰαί, | ἰαί, ὡς ἐπὶ νίκῃ, dixi in annotatione: unde hic quoque scribendum fortasse,

αἴρεσθ' ἄνω, ἰαὶ ἰαί,
δειπνήσομεν, εὐοῖ,
εὐαί, ὡς ἐπὶ νίκῃ·
εὐαὶ εὐαὶ εὐαὶ εὐαί,

vel versu quarto, ut in Lysistrata,

εὐοῖ εὐοῖ, εὐαὶ εὐαί.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΠΛΟΥΤΟΣ.

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΚΑΡΙΩΝ.
ΧΡΕΜΥΛΟΣ.
ΠΛΟΥΤΟΣ.
ΧΟΡΟΣ ΑΓΡΟΙΚΩΝ.
ΒΛΕΨΙΔΗΜΟΣ.
ΠΕΝΙΑ.
ΓΥΝΗ ΧΡΕΜΥΛΟΥ.
ΔΙΚΑΙΟΣ ΑΝΗΡ.
ΣΥΚΟΦΑΝΤΗΣ.
ΓΡΑΥΣ.
ΝΕΑΝΙΑΣ.
ΕΡΜΗΣ.
ΙΕΡΕΥΣ ΔΙΟΣ.

## ΥΠΟΘΕΣΙΣ.

I. Βουλόμενος[a] Ἀριστοφάνης σκῶψαι τοὺς Ἀθηναίους ἀδικίᾳ καὶ συκοφαντίᾳ καὶ τοῖς τοιούτοις συνόντας, καὶ διὰ τοῦτο πλουτοῦντας, πλάττει πρεσβύτην τινὰ γεωργὸν Χρεμύλον τοὔνομα, δίκαιον μὲν ὄντα καὶ τοὺς τρόπους χρηστόν, πένητα δὲ ἄλλως· ὃς μετά τινος αὐτῷ θεράποντος ἐλθὼν εἰς Ἀπόλλω ἐρωτᾷ περὶ τοῦ ἰδίου παιδός, εἰ χρὴ τουτονὶ τρόπων χρηστῶν ἀμελήσαντα ἀδικίας ἀντιποιεῖσθαι καὶ ταὐτὰ τοῖς ἄλλοις ἐπιτηδεύειν, ἐπειδήπερ οἱ μὲν τοιοῦτοι ἐπλούτουν, οἱ δὲ τὰ ἀγαθὰ πράττοντες πένητες ἦσαν, καθάπερ αὐτὸς οὗτος ὁ Χρεμύλος. ἔχρησεν οὖν αὐτῷ ὁ θεὸς σαφὲς μὲν οὐδέν, ὅτῳ δὲ ἐξιὼν ἐντύχοι, τούτῳ ἕπεσθαι. καὶ ὃς γέροντι ἐντυγχάνει τυφλῷ, ἦν δὲ οὗτος ὁ Πλοῦτος, καὶ ἀκολουθεῖ κατὰ τὰς μαντείας, μὴ εἰδὼς ὅτι ὁ Πλοῦτός ἐστι. δυσχεραίνων δὲ ἐπὶ τούτῳ καθ' ἑαυτὸν ὁ θεράπων μόλις αὐτὸν ἐρωτᾷ τίνος ἕνεκα τούτῳ ἀκολουθοῦσι καὶ ὁ Χρεμύλος λέγει αὐτῷ τὴν μαντείαν. ἔπειτα μανθάνουσι παρ' αὐτοῦ τοῦ Πλούτου ὅστις ἐστὶ καὶ ὅτου χάριν τυφλὸς ἐγεγόνει παρὰ τοῦ Διός. οἱ δὲ ἀκούσαντες ἥσθησάν τε καὶ βουλὴν ἐβουλεύσαντο ἀπαγαγεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ καὶ τὴν τῶν ὀφθαλμῶν θεραπεῦσαι πήρωσιν. καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ, τάς τε τοῦ Βλεψιδήμου ἀντιλογίας καὶ τῆς Πενίας αὐτῆς, ἀπήγαγόν τε αὐτὸν ὅ τι τάχιστα καὶ ὑγιᾶ ἐπανήγαγον οἴκαδε, ἐπλούτησάν τε ἱκανῶς οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ ὅσοι βίου χρηστοῦ πρόσθεν ἀντεχόμενοι πένητες ἦσαν. ἐπιγέγραπται δὲ τὸ δρᾶμα Πλοῦτος Ἀριστοφάνους.

[a] Βουλόμενος — Πλοῦτος Ἀριστοφάνους] Omittunt hanc ὑπόθεσιν R (qui Argumentis Pluti omnino caret) et V, Thomae Magistro tribuit Aldus: nam Vitae Aristophanis, quae proxime praecedit, inscriptum est Θωμᾶ τοῦ Μαγίστρου σύνοψις τοῦ τε βίου Ἀριστοφάνους καὶ τῆς τοῦ δράματος ὑποθέσεως. Breviores argumenti expositiones, sed ipsas quoque ab recentibus grammaticis scriptas, vide in scholiorum ed. Oxon. vol. I. p. 46. 47.

καὶ μὴ παραλείψεις μηδέν', ἀλλ' ἐλευθέρως
καλεῖς γέροντα, μειράκιον, παιδίσκον; ὡς
τὸ δεῖπνον αὐτοῖς ἔστ' ἐπεσκευασμένον
ἁπαξάπασιν, ἢν ἀπίωσιν οἴκαδε.
ἐγὼ δὲ πρὸς τὸ δεῖπνον ἤδη 'πείξομαι,
ἔχω δέ τοι καὶ δᾷδα ταυτηνὶ καλῶς.
ΧΟ. τί δῆτα διατρίβεις ἔχων, ἀλλ' οὐκ ἄγεις
τασδὶ λαβών; ἐν ὅσῳ δὲ καταβαίνεις, ἐγὼ
ἐπᾴσομαι μέλος τι μελλοδειπνικόν.
σμικρὸν δ' ὑποθέσθαι τοῖς κριταῖσι βούλομαι·
τοῖς σοφοῖς μὲν τῶν σοφῶν μεμνημένους κρίνειν ἐμέ,
τοῖς γελῶσι δ' ἡδέως διὰ τὸ γέλαν κρίνειν ἐμέ·
σχεδὸν ἅπαντας οὖν κελεύω δηλαδὴ κρίνειν ἐμέ,
μηδὲ τὸν κλῆρον γενέσθαι μηδὲν ἡμῖν αἴτιον,
ὅτι προείληχ'· ἀλλ' ἅπαντα ταῦτα χρὴ μεμν...
νους
μὴ 'πιορκεῖν, ἀλλὰ κρίνειν τοὺς χορούς
μηδὲ ταῖς κακαῖς ἑταίραις τὸν τρόπο...
αἳ μόνον μνήμην ἔχουσι τῶν τελ...
ὢ ὢ ὥρα δή,
ὦ φίλαι γυναῖκες, εἴπερ μέλ...
ἐπὶ τὸ δεῖπνον ὑπαποκιν...
καὶ σὺ κίνει. ΒΛ. τ...
νῦν ⏑ _ ⏑ _
_ ⏑ _ ⏑ _ ⏑ λαγ...
τάχα γὰρ ἐπ...
λοπαδοτε...

1145.
114...
σκευα...
ια Β
χρ...

...ονότην,
...τυφλοῦ,
...ποιεῖν.
...ἡγούμεθα,
...βιάζεται,
...τὸ παράπαν οὐδὲ γρῦ.
...σιγήσομαι,
...ὅπως ἀκολουθοῦμέν ποτε,
...τί ποθ' παρέξω πράγματα.
...στέφανον ἔχοντά γε.

ΧΡΕΜΥΛΟΣ.

...ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τί με,
ΚΑ. λῆρος· οὐ γὰρ παύσομαι
...μοι τίς ποτ' ἐστὶν οὑτοσί·
...σοι πυνθάνομαι πάνυ σφόδρα.
...γὰρ ὢν κρύψω· τῶν ἐμῶν γὰρ οἰκετῶν
...οὐ σε ...ἡγοῦμαί σε καὶ κλεπτίστατον.
ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον καὶ πένης ἦν. ΚΑ. οἶδά τοι.
ΧΡ. ἕτεροι δ' ἐπλούτουν, ἱερόσυλοι, ῥήτορες
καὶ συκοφάνται καὶ πονηροί. ΚΑ. πείθομαι.
ΧΡ. ἐπερησόμενος οὖν ᾠχόμην ὡς τὸν θεόν,
τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον,
τὸν δ' υἱόν, ὅσπερ ὢν μόνος μοι τυγχάνει,
πευσόμενος εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους
εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,
ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας ξυμφέρειν.
ΚΑ. τί δῆτα Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων;
ΧΡ. πεύσει. σαφῶς γὰρ ὁ θεὸς εἶπέ μοι τοδί·
ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιών,
ἐκέλευε τούτου μὴ μεθίεσθαί μ' ἔτι,
πείθειν δ' ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε.
ΚΑ. καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ; ΧΡ. τουτῳί.
ΚΑ. εἶτ' οὐ ξυνίης τὴν ἐπίνοιαν τοῦ θεοῦ,
φράζοντος ὦ σκαιότατέ σοι σαφέστατα
ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον;
ΧΡ. τῷ τοῦτο κρίνεις; ΚΑ. δῆλον ὁτιὴ καὶ τυφλῷ

17. ἀποκρινόμενος Bentleius] ἀποκρινομένῳ R. ἀποκρινομένου ceteri. γρῦ D.] γρύ 32. ὡς] πρὸς R. 40. τοδί] ταδί V. 42. ἐκέλευε] ἐκέλευσε R. 46. φράζοντος Bisschopius ad Xenoph. Anab. p. 93.] φράζουσαν 48. τυφλῷ γνῶναι] τυφλὸς γνῶναι Hemsterhusius. τυφλῷ δῆλον Meinekius.

κρανιολειψανοδριμυποτριμμ... γάρους μὲν Λάκω-
σιλφιοπαραομελιτοκατακε...
κιχλεπικοσσυφοφαττοπ... Πασιφάη. τελευ-
λεκτρυονοπτεκεφαλ... υἱὸν αὐτοῦ συστῆσαι
λειολαγῳοσιραιοβ... ἐκείνου καθῆκε, Κώκαλον
σὺ δὲ ταῦτ' ἀκρ...
τρύβλιον·
εἶτα κόνι...
λέκιθο...
ἀλλ'...

...ναι δοκεῖ τοῦθ', ὡς σφόδρ' ἐστὶ συμφέρον
τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν χρόνῳ.
...οὐκ ἔσθ' ὅπως ὁ χρησμὸς ἐς τοῦτο ῥέπει,
ἀλλ' εἰς ἕτερόν τι μεῖζον. ἢν δ' ἡμῖν φράσῃ
ὅστις ποτ' ἐστὶν οὑτοσὶ καὶ τοῦ χάριν
καὶ τοῦ δεόμενος ἦλθε μετὰ νῷν ἐνθαδί,
πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν ὅ τι νοεῖ.
ΚΑ. ἄγε δή, σὺ πότερον σαυτὸν ὅστις εἶ φράσεις,
ἢ τἀπὶ τούτοις δρῶ; λέγειν χρὴ ταχὺ πάνυ.

ΠΛΟΥΤΟΣ.

ἐγὼ μὲν οἰμώζειν λέγω σοι. ΚΑ. μανθάνεις
ὅς φησιν εἶναι; ΧΡ. σοὶ λέγει τοῦτ', οὐκ ἐμοί.
σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνει.
ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις,
ἐμοὶ φράσον. ΠΛ. κλάειν ἔγωγέ σοι λέγω.
ΚΑ. δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.
ΧΡ. οὔ τοι μὰ τὴν Δήμητρα χαιρήσεις ἔτι.
ΚΑ. εἰ μὴ φράσεις γάρ, ἀπό σ' ὀλῶ κακὸν κακῶς.
ΠΛ. ὦ τᾶν, ἀπαλλάχθητον ἀπ' ἐμοῦ. ΧΡ. πώμαλα.
ΚΑ. καὶ μὴν ὃ λέγω βέλτιστόν ἐστ', ὦ δέσποτα·
ἀπολῶ τὸν ἄνθρωπον κάκιστα τουτονί.
ἀναθεὶς γὰρ ἐπὶ κρημνόν τιν' αὐτὸν καταλιπὼν
ἄπειμ', ἵν' ἐκεῖθεν ἐκτραχηλισθῇ πεσών.
ΧΡ. ἀλλ' αἶρε ταχέως. ΠΛ. μηδαμῶς. ΧΡ. οὔκουν ἐρεῖς;
ΠΛ. ἀλλ' ἢν πύθησθέ μ' ὅστις εἴμ', εὖ οἶδ' ὅτι
κακόν τί μ' ἐργάσεσθε κοὐκ ἀφήσετον.
ΧΡ. νὴ τοὺς θεοὺς ἡμεῖς γ', ἐὰν βούλῃ γε σύ.
ΠΛ. μέθεσθέ νύν μου πρῶτον. ΧΡ. ἤν, μεθίεμεν.
ΠΛ. ἀκούετον δή. δεῖ γὰρ ὡς ἔοικέ με
λέγειν ἃ κρύπτειν ἢ παρεσκευασμένος.
ἐγὼ γάρ εἰμι Πλοῦτος. ΚΑ. ὦ μιαρώτατε
ἀνδρῶν ἁπάντων, εἶτ' ἐσίγας Πλοῦτος ὤν;
ΧΡ. σὺ Πλοῦτος, οὕτως ἀθλίως διακείμενος;
ὦ Φοῖβ' Ἄπολλον καὶ θεοὶ καὶ δαίμονες
καὶ Ζεῦ, τί φῄς; ἐκεῖνος ὄντως εἶ σύ; ΠΛ. ναί.
ΧΡ. ἐκεῖνος αὐτός; ΠΛ. αὐτότατος. ΧΡ. πόθεν οὖν, φράσον,
αὐχμῶν βαδίζεις; ΠΛ. ἐκ Πατροκλέους ἔρχομαι,
ὃς οὐκ ἐλούσατ' ἐξ ὅτουπερ ἐγένετο.
ΧΡ. τουτὶ δὲ τὸ κακὸν πῶς ἔπαθες; κάτειπέ μοι.
ΠΛ. ὁ Ζεύς με ταῦτ' ἔδρασεν ἀνθρώποις φθονῶν.
ἐγὼ γὰρ ὢν μειράκιον ἠπείλησ' ὅτι
ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ κοσμίους
μόνους βαδιοίμην· ὁ δέ μ' ἐποίησεν τυφλόν,
ἵνα μὴ διαγιγνώσκοιμι τούτων μηδένα.
οὕτως ἐκεῖνος τοῖσι χρηστοῖσι φθονεῖ.
ΧΡ. καὶ μὴν διὰ τοὺς χρηστούς γε τιμᾶται μόνους
καὶ τοὺς δικαίους. ΠΛ. ὁμολογῶ σοι. ΧΡ. φέρε, τί οὖν;
εἰ πάλιν ἀναβλέψειας ὥσπερ καὶ πρὸ τοῦ,

49. συμφέρον] σύμφορον Meinekius. 50. χρόνῳ] βίῳ R (ex v. 38.)] ἔτει (γρ. γένει καὶ χρόνῳ V.) 56. πότερον Bentleius] πρότερον φράσεις R. φράσον ceteri. 57. ταχὺ πάνυ] πάνυ ταχύ V. 62. ἔγωγέ σοι] ἐγὼ καὶ σοὶ Cobetus. 65. Carioni tribuit Hemsterhusius, ut postulant v. 67. 68.: Chremylo continuant libri. 75. ἤν] ἠνὶ libri deteriores.

ἂν ἤδη τοὺς πονηρούς; ΠΛ. φήμ' ἐγώ.
ιικαίους δ' ἂν βαδίζοις; ΠΛ. πάνυ μὲν οὖν
ρ αὐτοὺς οὐχ ἑόρακά πω χρόνου.
·' οὐδέν· οὐδ' ἐγὼ γὰρ ὁ βλέπων.
ὖν. ἴστον γὰρ ἤδη τἀπ' ἐμοῦ.
ολλῷ μᾶλλον ἐξόμεσθά σου.
ίτι παρέξειν πράγματα
ΧΡ. καὶ σύ γ', ἀντιβολῶ, πιθοῦ,
ης· οὐ γὰρ εὑρήσεις ἐμοῦ
ούς τρόπους βελτίονα·
ἔστιν ἄλλος πλὴν ἐγώ.
ς ἡνίκ' ἂν δέ μου
νωνται πλούσιοι,
τῇ μοχθηρίᾳ.
ὐ πάντες κακοί.
ντες. ΚΑ. οἰμώξει μακρά.
υσα, παρ' ἡμῖν ἢν μένῃς,
, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.
ιμαι, ξὺν θεῷ δ' εἰρήσεται,
απαλλάξειν σε τῆς ὀφθαλμίας
ψαι ποιήσας. ΠΛ. μηδαμῶς τοῦτ' ἐργάσῃ.
οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι. ΧΡ. τί φῄς;
ΚΑ. ἄνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει.
ΠΛ. ὁ Ζεὺς μὲν οὖν οἶδ' ὡς τὰ τούτων μῶρ' ἔμ' εἰ
πύθοιτ' ἂν ἐπιτρίψειε. ΧΡ. νῦν δ' οὐ τοῦτο δρᾷ,
ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ;
ΠΛ. οὐκ οἶδ'· ἐγὼ δ' ἐκεῖνον ὀρρωδῶ πάνυ.
ΧΡ. ἄληθες, ὦ δειλότατε πάντων δαιμόνων;
οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα
καὶ τοὺς κεραυνοὺς ἀξίους τριωβόλου,
ἐὰν ἀναβλέψῃς σὺ κἂν μικρὸν χρόνον;
ΠΛ. ἆ, μὴ λέγ', ὦ πονηρέ, ταῦτ'. ΧΡ. ἔχ' ἥσυχος.
ἐγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ [ρανόν.
μεῖζον δυνάμενον. ΠΛ. ἐμὲ σύ; ΧΡ. νὴ τὸν οὐ-
αὐτίκα γὰρ ἄρχει διὰ τίν' ὁ Ζεὺς τῶν θεῶν;
ΚΑ. διὰ τἀργύριον· πλεῖστον γάρ ἐστ' αὐτῷ. ΧΡ. φέρε,
τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦτ'; ΚΑ. ὁδί.
ΧΡ. θύουσι δ' αὐτῷ διὰ τίν'; οὐ διὰ τουτονί;
ΚΑ. καὶ νὴ Δί' εὔχονταί γε πλουτεῖν ἄντικρυς.
ΧΡ. οὔκουν ὅδ' ἐστὶν αἴτιος, καὶ ῥᾳδίως
παύσει' ἄν, εἰ βούλοιτο, ταῦθ'; ΠΛ. ὁτιὴ τί δή;
ΧΡ. ὅτι οὐδ' ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι,
οὐ βοῦν ἄν, οὐχὶ ψαιστόν, οὐκ ἄλλ' οὐδὲν, [ὅπως
μὴ βουλομένου σοῦ. ΠΛ. πῶς; ΧΡ. ὅπως; οὐκ ἔσθ'
ὠνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν
αὐτὸς διδῷς τἀργύριον· ὥστε τοῦ Διὸς
τὴν δύναμιν, ἢν λυπῇ τι, καταλύσεις μόνος.
ΠΛ. τί λέγεις; δι' ἐμὲ θύουσιν αὐτῷ; ΧΡ. φήμ' ἐγώ.
καὶ νὴ Δί' εἴ τί γ' ἐστὶ λαμπρὸν καὶ καλὸν
ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίγνεται.
ἅπαντα τῷ πλουτεῖν γὰρ ἔσθ' ὑπήκοα.
ΚΑ. ἔγωγέ τοι διὰ μικρὸν ἀργυρίδιον
δοῦλος γεγένημαι, διὰ τὸ μὴ πλουτεῖν ἴσως.
ΧΡ. καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας,
ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ,
οὐδὲ προσέχειν τὸν νοῦν, ἐὰν δὲ πλούσιος,
τὸν πρωκτὸν αὐτὰς εὐθὺς ὡς τοῦτον τρέπειν.
ΚΑ. καὶ τούς γε παῖδάς φασι ταὐτὸ τοῦτο δρᾶν,
οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.
ΧΡ. οὐ τούς γε χρηστούς, ἀλλὰ τοὺς πόρνους· ἐπεὶ
αἰτοῦσιν οὐκ ἀργύριον οἱ χρηστοί. ΚΑ. τί δαί;
ΧΡ. ὁ μὲν ἵππον ἀγαθόν, ὁ δὲ κύνας θηρευτικάς.
ΚΑ. αἰσχυνόμενοι γὰρ ἀργύριον αἰτεῖν ἴσως
ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.
ΧΡ. τέχναι δὲ πᾶσαι διὰ σὲ καὶ σοφίσματα
ἐν τοῖσιν ἀνθρώποισίν ἐσθ' ηὑρημένα.
ὁ μὲν γὰρ αὐτῶν σκυτοτομεῖ καθήμενος,
ἕτερος δὲ χαλκεύει τις, ὁ δὲ τεκταίνεται,
ὁ δὲ χρυσοχοεῖ γε χρυσίον παρὰ σοῦ λαβών,
ὁ δὲ λωποδυτεῖ γε νὴ Δί', ὁ δὲ τοιχωρυχεῖ,
ὁ δέ τις κναφεύει γ', ὁ δέ γε πλύνει κῴδια,
ὁ δὲ βυρσοδεψεῖ γ', ὁ δέ γε πωλεῖ κρόμμυα,
ὁ δ' ἁλοὺς γε μοιχὸς διὰ σέ που παρατίλλεται.
ΠΛ. οἴμοι τάλας, ταυτί μ' ἐλάνθανεν πάλαι.
ΚΑ. μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ;
ἐκκλησία δ' οὐχὶ διὰ τοῦτον γίγνεται;
τί δέ; τὰς τριήρεις οὐ σὺ πληροῖς; εἰπέ μοι.
τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;
ὁ Πάμφιλος δ' οὐχὶ διὰ τοῦτον κλαύσεται;
ὁ βελονοπώλης δ' οὐχὶ μετὰ τοῦ Παμφίλου;
Ἀγύρριος δ' οὐχὶ διὰ τοῦτον πέρδεται;
Φιλέψιος δ' οὐχ ἕνεκα σοῦ μύθους λέγει;
ἡ ξυμμαχία δ' οὐ διὰ σὲ τοῖς Αἰγυπτίοις;
ἐρᾷ δὲ Ναῒς οὐ διὰ σὲ Φιλωνίδου;
ὁ Τιμοθέου δὲ πύργος ΧΡ. ἐμπέσοι γέ σοι.
τὰ δὲ πράγματ', οὐχὶ διὰ σὲ πάντα πράττεται;
μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος,
καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν, εὖ ἴσθ' ὅτι.
ΚΑ. κρατοῦσι γοῦν κἀν τοῖς πολέμοις ἑκάστοτε
ἐφ' οἷς ἂν οὗτος ἐπικαθέζηται μόνον.
ΠΛ. ἐγὼ τοσαῦτα δυνατός εἰμ' εἷς ὢν ποιεῖν;
ΧΡ. καὶ ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα·
ὥστ' οὐδὲ μεστὸς σοῦ γέγον' οὐδεὶς πώποτε.
τῶν μὲν γὰρ ἄλλων ἐστὶ πάντων πλησμονή·
ἔρωτος ΚΑ. ἄρτων ΧΡ. μουσικῆς ΚΑ. τραγη-
μάτων [δων
ΧΡ. τιμῆς ΚΑ. πλακούντων ΧΡ. ἀνδραγαθίας ΚΑ. ἰσχά-
ΧΡ. φιλοτιμίας ΚΑ. μάζης ΧΡ. στρατηγίας ΚΑ. φακῆς.
ΧΡ. σοῦ δ' ἐγένετ' οὐδεὶς μεστὸς οὐδεπώποτε.
ἀλλ' ἢν τάλαντά τις λάβῃ τριακαίδεκα,
πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα·
κἂν ταῦτ' ἀνύσηται, τετταράκοντα βούλεται,
ἤ φησιν οὐκ εἶναι βιωτὸν τὸν βίον.
ΠΛ. εὖ τοι λέγειν ἔμοιγε φαίνεσθον πάνυ·
πλὴν ἓν μόνον δέδοικα. ΧΡ. φράζε τοῦ πέρι.
ΠΛ. ὅπως ἐγὼ τὴν δύναμιν ἣν ὑμεῖς φατε
ἔχειν με, ταύτης δεσπότης γενήσομαι.
ΧΡ. νὴ τὸν Δί', ἀλλὰ καὶ λέγουσι πάντες ὡς
δειλότατόν ἐσθ' ὁ Πλοῦτος. ΠΛ. ἥκιστ', ἀλλά με
τοιχωρύχος τις διέβαλ'. ἐσδὺς γάρ ποτε

98. ἑόρακα Tyrwhittus] ἑώρακα ἑόρακά πω (που V aliique nonnulli)] ἑόρακ' ἐγὼ Meinekius, praeeunte Dawesio, qui ὅπωπ' ἐγὼ coniecerat. 103. ἐμελλέτην Cobetus] ἐμέλλετον 106. ἐγώ] ἐμοῦ V. Totum versum delet Meinekius. 111. μακρά] μακράν RV. 116. Verba βλέψαι ποιήσας in interrogatione posita Pluto tribuit Meinekius. 119. οἶδ' ὡς margo unius codicis recentis. εἰδὼς ceteri. ἰδὼν Meinekius. 130. τίν'] τί Porsonus. 136. παύσει' ἄν, εἰ βούλοιτο, ταῦθ' D.] παύσειαν εἰ βούλοιτο ταῦτα R. παύσειεν εἰ βούλοιτο ταῦτ' ἂν ceteri. ὁτιὴ duo libri recentes. ὅτι ceteri. 147. διὰ μικρὸν] διὰ σμικρὸν libri multi, et recte, si σμικρὸν δι' scribatur.

157. θηρευτικάς] θηρευτικούς R. 166. τις addidit Brunckius. ὁ δέ γε] γε om. RV aliique. 179. Ναῒς] Λαῒς libri, nomine temporum rationi non conveniente, quod animadvertit Athenaeus 13. p. 592 c. μνημονεύει αὐτῆς (Ναΐδος) καὶ Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ. μήποτε δὲ κἀν τῷ Πλούτῳ, ἐν ᾧ λέγει, ἐρᾷ δὲ Λαῒς οὐ διὰ σε Φιλωνίδου; γραπτέον Ναῒς καὶ οὐ Λαΐς. 185. μόνον R. μόνος ceteri. 186. τοσαῦτα] τοσαυτὶ V. 196. κἂν Brunckius] κἢν ἀνύσηται Dawesius] ἀνύσῃ 197. βιωτὸν Cantabr. unus. βιωτὸν αὐτῷ ceteri.

II. Ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀντιπάτρου, ἀνταγωνιζομένου αὐτῷ Νικοχάρους μὲν Λάκωσιν, Ἀριστομένους δὲ Ἀδμήτῳ, Νικοφῶντος δὲ Ἀδώνιδι, Ἀλκαίου δὲ Πασιφάῃ. τελευταίαν δὲ διδάξας τὴν κωμῳδίαν ταύτην ἐπὶ τῷ ἰδίῳ ὀνόματι, τὸν υἱὸν αὐτοῦ συστῆσαι Ἀραρότα [δι' αὐτῆς] τοῖς θεαταῖς βουλόμενος τὰ ὑπόλοιπα δύο δι' ἐκείνου καθῆκε, Κώκαλον καὶ Αἰολοσίκωνα.

---

ΚΑΡΙΩΝ.

Ὡς ἀργαλέον πρᾶγμ' ἐστίν, ὦ Ζεῦ καὶ θεοί,
δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.
[illegible]

ΧΡΕΜΥΛΟΣ.

[illegible]

γνῶναι δοκεῖ τοῦθ', ὡς σφόδρ' ἐστὶ συμφέρον
τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν χρόνῳ.
ΧΡ. οὐκ ἔσθ' ὅπως ὁ χρησμὸς ἐς τοῦτο ῥέπει,
ἀλλ' εἰς ἕτερόν τι μεῖζον. ἢν δ' ἡμῖν φράσῃ
ὅστις ποτ' ἐστὶν οὑτοσὶ καὶ τοῦ χάριν
καὶ τοῦ δεόμενος ἦλθε μετὰ νῷν ἐνθαδί,
πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν ὅ τι νοεῖ.
ΚΑ. ἄγε δή, σὺ πότερον σαυτὸν ὅστις εἶ φράσεις,
ἢ τἀπὶ τούτοις δρῶ; λέγειν χρὴ ταχὺ πάνυ.

ΠΛΟΥΤΟΣ.

ἐγὼ μὲν οἰμώζειν λέγω σοι. ΚΑ. μανθάνεις
ὅς φησιν εἶναι; ΧΡ. σοὶ λέγει τοῦτ', οὐκ ἐμοί·
[illegible]
ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς [illegible]
ἐμοὶ φράσον. ΠΛ. κλάειν ἔγωγέ σοι λέγω.
ΚΑ. [illegible]
ΧΡ. [illegible]
ΚΑ. [illegible]
ΠΛ. [illegible]

[illegible]

φεύγοις ἂν ἤδη τοὺς πονηρούς; ΠΛ. φήμ' ἐγώ.
ΧΡ. ὡς τοὺς δικαίους δ' ἂν βαδίζοις; ΠΛ. πάνυ μὲν οὖν
πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑόρακά πω χρόνου.
ΧΡ. καὶ θαῦμά γ' οὐδέν· οὐδ' ἐγὼ γὰρ ὁ βλέπων.
ΠΛ. ἄφετόν με νῦν. ἴστον γὰρ ἤδη τἀπ' ἐμοῦ.
ΧΡ. μὰ Δί', ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεσθά σου.
ΠΛ. οὐκ ἠγόρευον ὅτι παρέξειν πράγματα
ἐμελλέτην μοι; ΧΡ. καὶ σύ γ', ἀντιβολῶ, πιθοῦ,
καὶ μή μ' ἀπολίπῃς· οὐ γὰρ εὑρήσεις ἐμοῦ
ζητῶν ἔτ' ἄνδρα τοὺς τρόπους βελτίονα·
μὰ τὸν Δί'· οὐ γὰρ ἔστιν ἄλλος πλὴν ἐγώ.
ΠΛ. ταυτὶ λέγουσι πάντες· ἡνίκ' ἂν δέ μου
τύχωσ' ἀληθῶς καὶ γένωνται πλούσιοι,
ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.
ΧΡ. ἔχει μὲν οὕτως, εἰσὶ δ' οὐ πάντες κακοί.
ΠΛ. μὰ Δί', ἀλλ' ἁπαξάπαντες. ΚΑ. οἰμώξει μακρά.
ΧΡ. σοὶ δ' ὡς ἂν εἰδῇς ὅσα, παρ' ἡμῖν ἢν μένῃς,
γενήσετ' ἀγαθά, πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.
οἶμαι γὰρ οἶμαι, ξὺν θεῷ δ' εἰρήσεται,
ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας
βλέψαι ποιήσας. ΠΛ. μηδαμῶς τοῦτ' ἐργάσῃ.
οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι. ΧΡ. τί φῄς;
ΚΑ. ἄνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει.
ΠΛ. ὁ Ζεὺς μὲν οὖν οἶδ' ὡς τὰ τούτων μῶρ' ἔμ' εἰ
πύθοιτ' ἂν ἐπιτρίψειε. ΧΡ. νῦν δ' οὐ τοῦτο δρᾷ,
ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ;
ΠΛ. οὐκ οἶδ'· ἐγὼ δ' ἐκεῖνον ὀρρωδῶ πάνυ.
ΧΡ. ἄληθες, ὦ δειλότατε πάντων δαιμόνων;
οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα
καὶ τοὺς κεραυνοὺς ἀξίους τριωβόλου,
ἐὰν ἀναβλέψῃς σὺ κἂν μικρὸν χρόνον;
ΠΛ. ἆ, μὴ λέγ', ὦ πονηρέ, ταῦτ'. ΧΡ. ἔχ' ἥσυχος.
ἐγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ [ρανόν.
μεῖζον δυνάμενον. ΠΛ. ἐμὲ σύ; ΧΡ. νὴ τὸν οὐ-
αὐτίκα γὰρ ἄρχει διὰ τίν' ὁ Ζεὺς τῶν θεῶν;
ΚΑ. διὰ τἀργύριον· πλεῖστον γὰρ ἔστ' αὐτῷ. ΧΡ. φέρε,
τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦτ'; ΚΑ. ὁδί.
ΧΡ. θύουσι δ' αὐτῷ διὰ τίν'; οὐ διὰ τουτονί;
ΚΑ. καὶ νὴ Δί' εὔχονταί γε πλουτεῖν ἄντικρυς.
ΧΡ. οὔκουν ὅδ' ἐστὶν αἴτιος, καὶ ῥᾳδίως
παύσει' ἄν, εἰ βούλοιτο, ταῦθ'; ΠΛ. ὁτιὴ τί δή;
ΧΡ. ὅτι οὐδ' ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι,
οὐ βοῦν ἄν, οὐχὶ ψαιστόν, οὐκ ἄλλ' οὐδεέν, [ὅπως
μὴ βουλομένου σοῦ. ΠΛ. πῶς; ΧΡ. ὅπως; οὐκ ἔσθ'
ὠνήσεται δήπουθεν, ἢν σὺ μὴ παρὼν
αὐτὸς διδῷς τἀργύριον· ὥστε τοῦ Διὸς
τὴν δύναμιν, ἢν λυπῇ τι, καταλύσεις μόνος.
ΠΛ. τί λέγεις; δι' ἐμὲ θύουσιν αὐτῷ; ΧΡ. φήμ' ἐγώ.
καὶ νὴ Δί' εἴ τί γ' ἐστὶ λαμπρὸν καὶ καλὸν
ἢ χάριεν ἀνθρώποισι, διὰ σὲ γίγνεται.
ἅπαντα τῷ πλουτεῖν γὰρ ἔσθ' ὑπήκοα.
ΚΑ. ἔγωγέ τοι διὰ μικρὸν ἀργυρίδιον
δοῦλος γεγένημαι, διὰ τὸ μὴ πλουτεῖν ἴσως.
ΧΡ. καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας,
ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ,
οὐδὲ προσέχειν τὸν νοῦν, ἐὰν δὲ πλούσιος,
τὸν πρωκτὸν αὐτὰς εὐθὺς ὡς τοῦτον τρέπειν.
ΚΑ. καὶ τούς γε παῖδάς φασι ταὐτὸ τοῦτο δρᾶν,
οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.
ΧΡ. οὐ τούς γε χρηστούς, ἀλλὰ τοὺς πόρνους· ἐπεὶ
αἰτοῦσιν οὐκ ἀργύριον οἱ χρηστοί. ΚΑ. τί δαί;
ΧΡ. ὁ μὲν ἵππον ἀγαθόν, ὁ δὲ κύνας θηρευτικάς.
ΚΑ. αἰσχυνόμενοι γὰρ ἀργύριον αἰτεῖν ἴσως
ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.
ΧΡ. τέχναι δὲ πᾶσαι διὰ σὲ καὶ σοφίσματα,
ἐν τοῖσιν ἀνθρώποισίν ἐσθ' ηὑρημένα.
ὁ μὲν γὰρ αὐτῶν σκυτοτομεῖ καθήμενος,
ἕτερος δὲ χαλκεύει τις, ὁ δὲ τεκταίνεται,
ὁ δὲ χρυσοχοεῖ γε χρυσίον παρὰ σοῦ λαβών,
ὁ δὲ λωποδυτεῖ γε νὴ Δί', ὁ δὲ τοιχωρυχεῖ,
ὁ δέ τις κναφεύει γ', ὁ δέ γε πλύνει κῴδια,
ὁ δὲ βυρσοδεψεῖ γ', ὁ δέ γε πωλεῖ κρόμμυα,
ὁ δ' ἁλούς γε μοιχὸς διὰ σέ που παρατίλλεται.
ΠΛ. οἴμοι τάλας, ταυτί μ' ἐλάνθανεν πάλαι.
ΚΑ. μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ;
ἐκκλησία δ' οὐχὶ διὰ τοῦτον γίγνεται;
τί δέ; τὰς τριήρεις οὐ σὺ πληροῖς; εἰπέ μοι.
τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;
ὁ Πάμφιλος δ' οὐχὶ διὰ τοῦτον κλαύσεται;
ὁ βελονοπώλης δ' οὐχὶ μετὰ τοῦ Παμφίλου;
'Αγύρριος δ' οὐχὶ διὰ τοῦτον πέρδεται;
Φιλέψιος δ' οὐχ ἕνεκα σοῦ μύθους λέγει;
ἡ ξυμμαχία δ' οὐ διὰ σὲ τοῖς Αἰγυπτίοις;
ἐρᾷ δὲ Ναῒς οὐ διὰ σὲ Φιλωνίδου;
ὁ Τιμοθέου δὲ πύργος ΧΡ. ἐμπέσοι γέ σοι.
τὰ δὲ πράγματ, οὐχὶ διὰ σὲ πάντα πράττεται;
μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος,
καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν, εὖ ἴσθ' ὅτι.
ΚΑ. κρατοῦσι γοῦν κἀν τοῖς πολέμοις ἑκάστοτε
ἐφ' οἷς ἂν οὗτος ἐπικαθέζηται μόνον.
ΠΛ. ἐγὼ τοσαῦτα δυνατός εἰμ' εἷς ὢν ποιεῖν;
ΧΡ. καὶ ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα·
ὥστ' οὐδὲ μεστὸς σοῦ γέγον' οὐδεὶς πώποτε.
τῶν μὲν γὰρ ἄλλων ἐστὶ πάντων πλησμονή·
ἔρωτος ΚΑ. ἄρτων ΧΡ. μουσικῆς ΚΑ. τραγη-
μάτων [δων
ΧΡ. τιμῆς ΚΑ. πλακούντων ΧΡ. ἀνδραγαθίας ΚΑ. ἰσχά-
ΧΡ. φιλοτιμίας ΚΑ. μάζης ΧΡ. στρατηγίας ΚΑ. φακῆς.
ΧΡ. σοῦ δ' ἐγένετ' οὐδεὶς μεστὸς οὐδεπώποτε.
ἀλλ' ἢν τάλαντά τις λάβῃ τριακαίδεκα,
πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα·
κἂν ταῦτ' ἀνύσηται, τετταράκοντα βούλεται,
ἤ φησιν οὐκ εἶναι βιωτὸν τὸν βίον.
ΠΛ. εὖ τοι λέγειν ἔμοιγε φαίνεσθον πάνυ·
πλὴν ἓν μόνον δέδοικα. ΧΡ. φράζε τοῦ πέρι.
ΠΛ. ὅπως ἐγὼ τὴν δύναμιν ἣν ὑμεῖς φατε
ἔχειν με, ταύτης δεσπότης γενήσομαι.
ΧΡ. νὴ τὸν Δί', ἀλλὰ καὶ λέγουσι πάντες ὡς
δειλότατόν ἐσθ' ὁ Πλοῦτος. ΠΛ. ἥκιστ', ἀλλά με
τοιχωρύχος τις διέβαλ'. ἐσδὺς γάρ ποτε

---

98. ἑόρακα Tyrwhittus] ἑώρακα ἑόρακά πω (που V aliique nonnulli)] ἑόρακ' ἐγὼ Meinekius, praeeunte Dawesio, qui ὅπωπ' ἐγὼ coniecerat. 103. ἐμελλέτην Cobetus] ἐμέλλετον 106. ἐγώ] ἐμοῦ V. Totum versum delet Meinekius. 111. μακρά] μακράν RV. 116. Verba βλέψαι ποιήσας in interrogatione posita Pluto tribuit Meinekius. 119. οἶδ' ὡς margo unius codicis recentis. εἰδὼς ceteri. ἰδὼν Meinekius. 130. τίν'] τί Porsonus. 136. παύσει' ἄν, εἰ βούλοιτο, ταῦθ' D.] παύσειαν εἰ βούλοιτο ταῦτα R. παύσειεν εἰ βούλοιτο ταῦτ' ἂν ceteri. ὁτιὴ duo libri recentes. ὅτι ceteri. 147. διὰ μικρὸν] διὰ σμικρὸν libri multi, et recte, si σμικρὸν δι' scribatur.

157. θηρευτικάς] θηρευτικούς R. 166. τις addidit Brunckius. ὁ δέ γε] γε om. RV aliique. 179. Ναῒς] Λαῒς libri, nomine temporum rationi non conveniente, quod animadvertit Athenaeus 13. p. 592 c. μνημονεύει αὐτῆς (Ναΐδος) καὶ 'Αριστοφάνης ἐν τῷ Γηρυτάδῃ. μήποτε δὲ κἀν τῷ Πλούτῳ, ἐν ᾧ λέγει, ἐρᾷ δὲ Λαῒς οὐ διὰ σε Φιλωνίδου; γραπτέον Ναῒς καὶ οὐ Λαΐς. 185. μόνον R. μόνος ceteri. 186. τοσαῦτα] τοσαυτὶ V. 196. κἂν Brunckius] κἢν ἀνύσηται Dawesius] ἀνύσῃ 197. βιωτὸν Cantabr. unus. βιωτὸν αὐτῷ ceteri.

οὐκ εἶχεν ἐς τὴν οἰκίαν οὐδὲν λαβεῖν,
εὑρὼν ἁπαξάπαντα κατακεκλῃμένα·
εἶτ' ὠνόμασέ μου τὴν πρόνοιαν δειλίαν.
ΧΡ. μή νυν μελέτω σοι μηδέν· ὡς, ἐὰν γένῃ
ἀνὴρ πρόθυμος αὐτὸς ἐς τὰ πράγματα,
βλέποντ' ἀποδείξω σ' ὀξύτερον τοῦ Λυγκέως.
ΠΛ. πῶς οὖν δυνήσει τοῦτο δρᾶσαι θνητὸς ὤν;
ΧΡ. ἔχω τιν' ἀγαθὴν ἐλπίδ' ἐξ ὧν εἶπέ μοι
ὁ Φοῖβος αὐτὸς Πυθικὴν σείσας δάφνην.
ΠΛ. κἀκεῖνος οὖν ξύνοιδε ταῦτα; ΧΡ. φήμ' ἐγώ.
ΠΛ. ὁρᾶτε. ΧΡ. μὴ φρόντιζε μηδέν, ὦγαθέ.
ἐγὼ γάρ, εὖ τοῦτ' ἴσθι, κἂν δῇ μ' ἀποθανεῖν,
αὐτὸς διαπράξω ταῦτα. ΚΑ. κἂν βούλῃ γ', ἐγώ.
ΧΡ. πολλοὶ δ' ἔσονται χἄτεροι νῷν ξύμμαχοι,
ὅσοις δικαίοις οὖσιν οὐκ ἦν ἄλφιτα.
ΠΛ. παπαῖ, πονηρούς γ' εἶπας ἡμῖν ξυμμάχους.
ΧΡ. οὔκ, ἤν γε πλουτήσωσιν ἐξ ἀρχῆς πάλιν.
ἀλλ' ἴθι σὺ μὲν ταχέως δραμὼν ΚΑ. τί δρῶ; λέγε.
ΧΡ. τοὺς ξυγγεώργους κάλεσον, εὑρήσεις δ' ἴσως
ἐν τοῖς ἀγροῖς αὐτοὺς ταλαιπωρουμένους,
ὅπως ἂν ἴσον ἕκαστος ἐνταυθὶ παρὼν
ἡμῖν μετάσχῃ τοῦδε τοῦ Πλούτου μέρος.
ΚΑ. καὶ δὴ βαδίζω· τουτοδὶ τὸ κρεᾴδιον
τῶν ἔνδοθέν τις εἰσενεγκάτω λαβών.
ΧΡ. ἐμοὶ μελήσει τοῦτό γ'· ἀλλ' ἀνύσας τρέχε.
σὺ δ', ὦ κράτιστε Πλοῦτε πάντων δαιμόνων,
εἴσω μετ' ἐμοῦ δεῦρ' εἴσιθ'· ἡ γὰρ οἰκία
αὕτη 'στὶν ἣν δεῖ χρημάτων σε τήμερον
μεστὴν ποιῆσαι καὶ δικαίως κἀδίκως.
ΠΛ. ἀλλ' ἄχθομαι μὲν εἰσιὼν νὴ τοὺς θεοὺς
εἰς οἰκίαν ἑκάστοτ' ἀλλοτρίαν πάνυ·
ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε.
ἢν μὲν γὰρ ὡς φειδωλὸν εἰσελθὼν τύχω,
εὐθὺς κατώρυξέν με κατὰ τῆς γῆς κάτω·
κἄν τις προσέλθῃ χρηστὸς ἄνθρωπος φίλος
αἰτῶν λαβεῖν τι σμικρὸν ἀργυρίδιον,
ἔξαρνός ἐστι μηδ' ἰδεῖν με πώποτε.
ἢν δ' ὡς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχω,
πόρναισι καὶ κύβοισι παραβεβλημένος
γυμνὸς θύραζ' ἐξέπεσον ἐν ἀκαρεῖ χρόνου.
ΧΡ. μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπέτυχες πώποτε.
ἐγὼ δὲ τούτου τοῦ τρόπου πώς εἰμ' ἀεί.
χαίρω τε γὰρ φειδόμενος ὡς οὐδεὶς ἀνὴρ
πάλιν τ' ἀναλῶν, ἡνίκ' ἂν τούτου δέῃ.
ἀλλ' εἰσίωμεν, ὡς ἰδεῖν σε βούλομαι
καὶ τὴν γυναῖκα καὶ τὸν υἱὸν τὸν μόνον,
ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ. ΠΛ. πείθομαι.
ΧΡ. τί γὰρ ἄν τις οὐχὶ πρὸς σὲ τἀληθῆ λέγοι;
ΚΑ. ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταυτὸν θύμον φαγόντες,
ἄνδρες φίλοι καὶ δημόται καὶ τοῦ πονεῖν ἐρασταί,
ἴτ' ἐγκονεῖτε, σπεύδεθ', ὡς ὁ καιρὸς οὐχὶ μέλλειν,
ἀλλ' ἔστ' ἐπ' αὐτῆς τῆς ἀκμῆς, ᾗ δεῖ παρόντ' ἀμύνειν.

ΧΟΡΟΣ.

οὔκουν ὁρᾷς ὁρμωμένους ἡμᾶς πάλαι προθύμως,
ὡς εἰκός ἐστιν ἀσθενεῖς γέροντας ἄνδρας ἤδη; [μοι
σὺ δ' ἀξιοῖς ἴσως με θεῖν, καὶ ταῦτα πρὶν φράσαι
ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο.
ΚΑ. οὔκουν πάλαι δήπου λέγω; σὺ δ' αὐτὸς οὐκ ἀκούεις.
ὁ δεσπότης γάρ φησιν ὑμᾶς ἡδέως ἅπαντας
ψυχροῦ βίου καὶ δυσκόλου ζήσειν ἀπαλλαγέντας.
ΧΟ. ἔστιν δὲ δὴ τί καὶ πόθεν τὸ πρᾶγμα τοῦθ' ὅ φησιν;
ΚΑ. ἔχων ἀφῖκται δεῦρο πρεσβύτην τιν', ὦ πονηροί,
ῥυπῶντα, κυφόν, ἄθλιον, ῥυσόν, μαδῶντα, νωδόν·
οἶμαι δὲ νὴ τὸν οὐρανὸν καὶ ψωλὸν αὐτὸν εἶναι.
ΧΟ. ὦ χρυσὸν ἀγγείλας ἐπῶν, πῶς φῄς; πάλιν φράσον μοι.
δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.
ΚΑ. πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ' ἔχοντα σωρόν.
ΧΟ. μῶν ἀξιοῖς φενακίσας ἡμᾶς ἀπαλλαγῆναι
ἀζήμιος, καὶ ταῦτ' ἐμοῦ βακτηρίαν ἔχοντος;
ΚΑ. πάντως γὰρ ἄνθρωπον φύσει τοιοῦτον ἐς τὰ πάντα
ἡγεῖσθέ μ' εἶναι κοὐδὲν ἂν νομίζεθ' ὑγιὲς εἰπεῖν;
ΧΟ. ὡς σεμνὸς οὑπίτριπτος· αἱ κνῆμαι δέ σου βοῶσιν
ἰοὺ ἰού, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.
ΚΑ. ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου δικάζειν,
σὺ δ' οὐ βαδίζεις; ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν.
ΧΟ. διαρραγείης. ὡς μόθων εἶ καὶ φύσει κόβαλος,
ὅστις φενακίζεις, φράσαι δ' οὔπω τέτληκας ἡμῖν
ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο·
οἳ πολλὰ μοχθήσαντες, οὐκ οὔσης σχολῆς, προθύμως
δεῦρ' ἤλθομεν, πολλῶν θύμων ῥίζας διεκπερῶντες.
ΚΑ. ἀλλ' οὐκέτ' ἂν κρύψαιμι. τὸν Πλοῦτον γάρ, ὦνδρες, ἥκει
ἄγων ὁ δεσπότης, ὃς ὑμᾶς πλουσίους ποιήσει.
ΧΟ. ὄντως γὰρ ἔστι πλουσίοις ἡμῖν ἅπασιν εἶναι;
ΚΑ. νὴ τοὺς θεούς, Μίδαις μὲν οὖν, ἢν ὦτ' ὄνου λάβητε.
ΧΟ. ὡς ἥδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι
ὑφ' ἡδονῆς, εἴπερ λέγεις ὄντως σὺ ταῦτ' ἀληθῆ.
ΚΑ. καὶ μὴν ἐγὼ βουλήσομαι θρεττανελὸ τὸν Κύκλωπα
μιμούμενος καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων
ὑμᾶς ἄγειν. ἀλλ' εἷα τέκεα θαμίν' ἐπαναβοῶντες
βληχώμενοί τε προβατίων
αἰγῶν τε κιναβρώντων μέλη
ἕπεσθ' ἀπεψωλημένοι· τράγοι δ' ἀκρατιεῖσθε.
ΧΟ. ἡμεῖς δέ γ' αὖ ζητήσομεν θρεττανελὸ τὸν Κύκλωπα
βληχώμενοι, σὲ τουτονὶ πινῶντα καταλαβόντες,
πήραν ἔχοντα λάχανά τ' ἄγρια δροσερά, κραιπαλῶντα,
ἡγούμενον τοῖς προβατίοις,
εἰκῇ δὲ καταδαρθόντα που,
μέγαν λαβόντες ἡμμένον σφηκίσκον ἐκτυφλῶσαι.
ΚΑ. ἐγὼ δὲ τὴν Κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν,
ἣ τοὺς ἑταίρους τοῦ Φιλωνίδου ποτ' ἐν Κορίνθῳ
ἔπεισεν ὡς ὄντας κάπρους [τοῖς,
μεμαγμένον σκῶρ ἐσθίειν, αὐτὴ δ' ἔματτεν αὐ-
μιμήσομαι πάντας τρόπους·
ὑμεῖς δὲ γρυλίζοντες ὑπὸ φιληδίας
ἕπεσθε μητρὶ χοῖροι.

---

205. λαβεῖν] λαμβάνειν V. 206. κατακεκλῃμένα D.] κατακεκλειμένα R. κατακεκλεισμένα ceteri. 211. δρᾶσαι] δρᾶν σὺ Cobetus. 216. δῇ D.] δεῖ. Vid. ad Ran. 265. 219. ἦν] ἔστ' Cobetus. 225. ἐνταυθὶ Elmsleius] ἐνταυθοῖ 227. τουτοδὶ κρεᾴδιον Elmsleius] τοῦτο δὴ (sic RV: δὲ alii) τὸ κρεάδιον 237. ὡς ed. Iuntina a. 1525. εἰς vel ἐς codices. 242. ὡς R et pauci alii. εἰς V et plerique. 244. χρόνου Etym. M. apud Gaisfordum p. 45, 26.] χρόνῳ 255. ὡς ὁ] ὁ om. R. οὐ γὰρ V. 257. παρόντ' Bentleius] παρόντας

258. ἄνδρας] ὄντας Meinekius. 259. καὶ τ. πρὶν D.] πρὶν τ. καὶ 271. ἡμᾶς] ἡμᾶς ἔπειτ' V. μ' ἔπειτ' Meinekius. 281. om. RV. Legitur v. 260. 286. ἡμῖν ἅπασιν Brunckius] ἅπασιν ἡμῖν 287. Μίδαις Kusterus] Μίδας 289. ὄντως excidit in V, ut φύσει excidit v. 273. in V, et ἡμμένον v. 301. in RV. 293. βληχώμενοι] βληχωμένων Bergkius. 296. γ' αὖ] γε Cobetus. 297. πινῶντα Brunckius] πεινῶντα 300. καταδαρθόντα Porsonus] καταδαρθέντα 301. σφηκίσκον] σφηνίσκον Bentleius. Vid. Annot. Oxon. p. 58. 307. γρυλίζοντες V. γρυλλίζοντες ceteri, contra Phrynichi praeceptum in Bekk. Anecd. p. 33.

ΧΟ. οὐκοῦν σὲ τὴν Κίρκην γε τὴν τὰ φάρμακ' ἀνακυκῶσαν
καὶ μαγγανεύουσαν μολύνουσάν τε τοὺς ἑταίρους
λαβόντες ὑπὸ φιληδίας
τὸν Λαρτίου μιμούμενοι τῶν ὄρχεων κρεμῶμεν,
μινθώσομέν θ' ὥσπερ τράγου
τὴν ῥῖνα· σὺ δ' Ἀρίστυλλος ὑποχάσκων ἐρεῖς,
ἕπεσθε μητρὶ χοῖροι.

ΚΑ. ἀλλ' εἶα νῦν τῶν σκωμμάτων ἀπαλλαγέντες ἤδη
ὑμεῖς ἐπ' ἄλλ' εἶδος τρέπεσθ',
ἐγὼ δ' ἰὼν ἤδη λάθρα
βουλήσομαι τοῦ δεσπότου
λαβών τιν' ἄρτον καὶ κρέας
μασώμενος τὸ λοιπὸν οὕτω τῷ κόπῳ ξυνεῖναι.

[ΧΟΡΟΥ.]

ΧΡ. χαίρειν μὲν ὑμᾶς ἐστιν, ὦνδρες δημόται,
ἀρχαῖον ἤδη προσαγορεύειν καὶ σαπρόν·
ἀσπάζομαι δ', ὅτιὴ προθύμως ἥκετε
καὶ συντεταμένως κοὐ κατεβλακευμένως.
ὅπως δέ μοι καὶ τἄλλα συμπαραστάται
ἔσεσθε καὶ σωτῆρες ὄντως τοῦ θεοῦ.

ΧΟ. θάρρει· βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρη.
δεινὸν γὰρ εἰ τριωβόλου μὲν οὕνεκα
ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τἠκκλησίᾳ,
αὐτὸν δὲ τὸν Πλοῦτον παρείην τῳ λαβεῖν.

ΧΡ. καὶ μὴν ὁρῶ καὶ Βλεψίδημον τουτονὶ
προσιόντα· δῆλος δ' ἐστὶν ὅτι τοῦ πράγματος
ἀκήκοέν τι τῇ βαδίσει καὶ τῷ τάχει.

ΒΛΕΨΙΔΗΜΟΣ.

τί ἂν οὖν τὸ πρᾶγμ' εἴη; πόθεν καὶ τίνι τρόπῳ
Χρεμύλος πεπλούτηκ' ἐξαπίνης; οὐ πείθομαι.
καίτοι λόγος γ' ἦν, νὴ τὸν Ἡρακλέα, πολὺς
ἐπὶ τοῖσι κουρείοισι τῶν καθημένων,
ὡς ἐξαπίνης ἀνὴρ γεγένηται πλούσιος.
ἔστιν δέ μοι τοῦτ' αὐτὸ θαυμάσιον, ὅπως
χρηστόν τι πράττων τοὺς φίλους μεταπέμπεται.
οὔκουν ἐπιχώριόν γε πρᾶγμ' ἐργάζεται.

ΧΡ. ἀλλ' οὐδὲν ἀποκρύψας ἐρῶ, νὴ τοὺς θεούς.
ὦ Βλεψίδημ', ἄμεινον ἢ χθὲς πράττομεν,
ὥστε μετέχειν ἔξεστιν· εἶ γὰρ τῶν φίλων.

ΒΛ. γέγονας δ' ἀληθῶς, ὡς λέγουσι, πλούσιος;

ΧΡ. ἔσομαι μὲν οὖν αὐτίκα μάλ', ἢν θεὸς θέλῃ.
ἔνι γάρ τις ἔνι κίνδυνος ἐν τῷ πράγματι.

ΒΛ. ποῖός τις; ΧΡ. οἷος, ΒΛ. λέγ' ἀνύσας ὅ τι φῂς ποτε.

ΧΡ. ἢν μὲν κατορθώσωμεν, εὖ πράττειν ἀεί,
ἢν δὲ σφαλῶμεν, ἐπιτετρῖφθαι τὸ παράπαν.

ΒΛ. τουτὶ πονηρὸν φαίνεται τὸ φορτίον
καί μ' οὐκ ἀρέσκει. τό τε γὰρ ἐξαίφνης ἄγαν
οὕτως ὑπερπλουτεῖν τό τ' αὖ δεδοικέναι
πρὸς ἀνδρὸς οὐδὲν ὑγιές ἐστ' εἰργασμένου.

ΧΡ. πῶς οὐδὲν ὑγιές; ΒΛ. εἴ τι κεκλοφὼς νὴ Δία
ἐκεῖθεν ἥκεις ἀργύριον ἢ χρυσίον
παρὰ τοῦ θεοῦ, κᾄπειτ' ἴσως σοι μεταμέλει.

ΧΡ. Ἄπολλον ἀποτρόπαιε, μὰ Δί' ἐγὼ μὲν οὔ.

ΒΛ. παῦσαι φλυαρῶν, ὦγάθ'· οἶδα γὰρ σαφῶς.

ΧΡ. σὺ μηδὲν εἰς ἔμ' ὑπονόει τοιουτονί.

ΒΛ. φεῦ, ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός,
ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.

ΧΡ. οὔ τοι μὰ τὴν Δήμητρ' ὑγιαίνειν μοι δοκεῖς.

ΒΛ. ὡς πολὺ μεθέστηχ' ὧν πρότερον εἶχεν τρόπων.

ΧΡ. μελαγχολᾷς, ὤνθρωπε, νὴ τὸν οὐρανόν.

ΒΛ. ἀλλ' οὐδὲ τὸ βλέμμ' αὐτὸ κατὰ χώραν ἔχει,
ἀλλ' ἐστὶν ἐπίδηλόν τι πεπανουργηκότι.

ΧΡ. σὺ μὲν οἶδ' ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος
ζητεῖς μεταλαβεῖν. ΒΛ. μεταλαβεῖν ζητῶ; τίνος;

ΧΡ. τὸ δ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.

ΒΛ. μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας; ΧΡ. κακοδαιμονᾷς.

ΒΛ. ἀλλ' οὐδὲ μὴν ἀπεστέρηκάς γ' οὐδένα;

ΧΡ. οὐ δῆτ' ἔγωγ'. ΒΛ. ὦ Ἡράκλεις, φέρε, ποῖ τις ἂν
τράποιτο; τἀληθὲς γὰρ οὐκ ἐθέλει φράσαι.

ΧΡ. κατηγορεῖς γὰρ πρὶν μαθεῖν τὸ πρᾶγμά μου.

ΒΛ. ὦ τᾶν, ἐγώ τοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ
ἐθέλω διαπρᾶξαι πρὶν πυθέσθαι τὴν πόλιν,
τὸ στόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων.

ΧΡ. καὶ μὴν φίλως γ' ἄν μοι δοκεῖς, νὴ τοὺς θεούς,
τρεῖς μνᾶς ἀναλώσας λογίσασθαι δώδεκα.

ΒΛ. ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον,
ἱκετηρίαν ἔχοντα μετὰ τῶν παιδίων
καὶ τῆς γυναικός, κοὐ διοίσοντ' ἄντικρυς
τῶν Ἡρακλειδῶν οὐδ' ὁτιοῦν τῶν Παμφίλου.

ΧΡ. οὔκ, ὦ κακόδαιμον, ἀλλὰ τοὺς χρηστοὺς μόνους
ἔγωγε καὶ τοὺς δεξιοὺς καὶ σώφρονας
ἀπαρτὶ πλουτῆσαι ποιήσω. ΒΛ. τί σὺ λέγεις;
οὕτω πάνυ πολλὰ κέκλοφας; ΧΡ. οἴμοι τῶν κακῶν,
ἀπολεῖς. ΒΛ. σὺ μὲν οὖν σεαυτόν, ὥς γ' ἐμοὶ δοκεῖς.

ΧΡ. οὐ δῆτ', ἐπεὶ τὸν Πλοῦτον, ὦ μοχθηρὲ σύ,
ἔχω. ΒΛ. σὺ Πλοῦτον; ποῖον; ΧΡ. αὐτὸν τὸν θεόν.

ΒΛ. καὶ ποῦ 'στιν; ΧΡ. ἔνδον. ΒΛ. ποῦ; ΧΡ. παρ'
ἐμοί. ΒΛ. παρὰ σοί; ΧΡ. πάνυ. [θεούς.

ΒΛ. οὐκ ἐς κόρακας; Πλοῦτος παρὰ σοί; ΧΡ. νὴ τοὺς

ΒΛ. λέγεις ἀληθῆ; ΧΡ. φημί. ΒΛ. πρὸς τῆς Ἑστίας;

ΧΡ. νὴ τὸν Ποσειδῶ. ΒΛ. τὸν θαλάττιον λέγεις;

ΧΡ. εἰ δ' ἔστιν ἕτερός τις Ποσειδῶν, τὸν ἕτερον.

ΒΛ. εἶτ' οὐ διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους;

ΧΡ. οὐκ ἔστι πω τὰ πράγματ' ἐν τούτῳ. ΒΛ. τί φῄς;
οὐ τῷ μεταδοῦναι; ΧΡ. μὰ Δία. δεῖ γὰρ πρῶτα
ΒΛ. τί;

ΧΡ. βλέψαι ποιῆσαι νὼ ΒΛ. τίνα βλέψαι; φράσον.

ΧΡ. τὸν Πλοῦτον ὥσπερ πρότερον ἑνί γέ τῳ τρόπῳ.

ΒΛ. τυφλὸς γὰρ ὄντως ἐστί; ΧΡ. νὴ τὸν οὐρανόν.

ΒΛ. οὐκ ἐτὸς ἄρ' ὡς ἔμ' ἦλθεν οὐδεπώποτε.

ΧΡ. ἀλλ' ἢν θεοὶ θέλωσι, νῦν ἀφίξεται.

ΒΛ. οὔκουν ἰατρὸν εἰσαγαγεῖν ἐχρῆν τινά;

ΧΡ. τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει;
οὔτε γὰρ ὁ μισθὸς οὐδὲν ἔστ' οὔθ' ἡ τέχνη.

---

312. Λαρτίου] λαερτίου RV. τῶν] 'κ τῶν Cobetus. 316. ἀλλ' om. R. ἄγ' V. Conf. ad Ran. 394. Post 321. Brunckius addidit ΧΟΡΟΣ: quod ΧΟΡΟΥ scribendum erat. Vid. Annot. Oxon. p. 22. 335. πόθεν] καὶ πόθεν RV: unde Meinekius τί τὸ πρᾶγμ' ἂν εἴη καὶ πόθεν; 338. ἐπὶ] ἐν Cobetus. 340. θαυμάσιον Piersonus ad Moer. p. 188.] θαυμαστόν: unde Porsonus θαυμαστὸν αὐτὸ τοῦθ' ὅπως. 342. γε V. γέ τι R. τι ceteri. 343. νὴ RV. μὰ ceteri. 352. φορτίον] φροίμιον C. F. Hermannus in Schneidewini Philologo vol. 3. p. 512. 358. τοῦ] τῆς Bentleius.

361. τοιουτονί Elmsleius ad Sophoclis Oed. R. 734.] τοιοῦτον R aliique nonnulli. τοιοῦτο plerique, φεῦ in fine huius versus posito. τουτοῖ cod. Dorv., qui φεῦ in proximum versum transfert. φεῦ ante ὡς μέγα similiter extra metrum positum est Ran. ante v. 141., nisi utrobique ab glossatoribus est adscriptum, qui similiter saepe ναί ante responsiones affirmativas extra metrum intulerunt. 365. εἶχεν] εἶχες R. 366. ὤνθρωπε R hic et alibi. ἄνθρωπε V aliique nonnulli. 367. ἔχει] ἔχεις RV. γρ. μένει V. 368. πεπανουργηκότι] πεπανουργευκότι R. 369. σύ] σὲ Elmsleius. 373. γ' post μήν V. 374. ἂν Kusterus] οὖν 375. ἐθέλει] ἐθέλεις RV aliique. 396. τὸν θαλάττιον] γρ. τὸν βοιώτιον V cum scholio παίζει δὲ ταῦτα λέγων. 397. ἕτερον] λέγω addunt RV. 401. νὼ] νῶιν RV. 406. εἰσαγαγεῖν] εἰσάγειν V. 408. οὐδὲν] ἔτ' addit Bergkius.

ΒΛ. σκοπῶμεν. ΧΡ. ἀλλ' οὐκ ἔστιν. ΒΛ. οὐδ' ἐμοὶ
δοκεῖ.
ΧΡ. μὰ Δί', ἀλλ' ὅπερ πάλαι παρεσκευαζόμην
ἐγώ, κατακλίνειν αὐτὸν εἰς Ἀσκληπιοῦ
κράτιστόν ἐστι. ΒΛ. πολὺ μὲν οὖν νὴ τοὺς θεούς.
μή νυν διάτριβ', ἀλλ' ἄνυε πράττων ἕν γέ τι.
ΧΡ. καὶ μὴν βαδίζω. ΒΛ. σπεῦδέ νυν. ΧΡ. τοῦτ' αὐτὸ
δρῶ.

ΠΕΝΙΑ.

ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράνομον
τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε,
ποῖ ποῖ; τί φεύγετ'; οὐ μενεῖτον· ΒΛ. Ἡράκλεις.
ΠΕ. ἐγὼ γὰρ ὑμᾶς ἐξολῶ κακοὺς κακῶς·
τόλμημα γὰρ τολμᾶτον οὐκ ἀνασχετὸν,
ἀλλ' οἷον οὐδεὶς ἄλλος οὐδεπώποτε
οὔτε θεὸς οὔτ' ἄνθρωπος· ὥστ' ἀπολώλατον.
ΧΡ. σὺ δ' εἶ τίς; ὠχρὰ μὲν γὰρ εἶναί μοι δοκεῖς.
ΒΛ. ἴσως Ἐρινύς ἐστιν ἐκ τραγῳδίας·
βλέπει γέ τοι μανικόν τι καὶ τραγῳδικόν.
ΧΡ. ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας. ΒΛ. οὐκοῦν κλαύσεται.
ΠΕ. οἴεσθε δ' εἶναι τίνα με; ΧΡ. πανδοκεύτριαν,
ἢ λεκιθόπωλιν. οὐ γὰρ ἂν τοσουτονὶ
ἐνέκραγες ἡμῖν οὐδὲν ἠδικημένη.
ΠΕ. ἄληθες; οὐ γὰρ δεινότατα δεδράκατον
ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν;
ΧΡ. οὔκουν ὑπόλοιπον τὸ βάραθρόν σοι γίγνεται;
ἀλλ' ἥτις εἶ λέγειν σ' ἐχρῆν αὐτίκα μάλα.
ΠΕ. ἣ σφὼ ποιήσω τήμερον δοῦναι δίκην
ἀνθ' ὧν ἐμὲ ζητεῖτον ἐνθένδ' ἀφανίσαι.
ΒΛ. ἆρ' ἐστὶν ἡ κάπηλις ἡκ τῶν γειτόνων,
ἣ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται;
ΠΕ Πενία μὲν οὖν, ἣ σφῷν ξυνοικῶ πόλλ' ἔτη.
ΒΛ. ἄναξ Ἄπολλον καὶ θεοὶ, ποῖ τις φύγῃ;
ΧΡ. οὗτος, τί δρᾷς; ὦ δειλότατον σὺ θηρίον, [νεῖς;
οὐ παραμενεῖς; ΒΛ. ἥκιστα πάντων. ΧΡ. οὐ με-
ἀλλ' ἄνδρε δύο γυναῖκα φεύγομεν μίαν;
ΒΛ. Πενία γάρ ἐστιν, ὦ πονήρ', ἧς οὐδαμοῦ
οὐδὲν πέφυκε ζῷον ἐξωλέστερον.
ΧΡ. στῆθ', ἀντιβολῶ σε, στῆθι. ΒΛ. μὰ Δί' ἐγὼ μὲν οὔ.
ΧΡ. καὶ μὴν λέγω, δεινότατον ἔργον παρὰ πολὺ
ἔργων ἁπάντων ἐργασόμεθ', εἰ τὸν θεὸν
ἔρημον ἀπολιπόντε ποι φευξούμεθα
τηνδὶ δεδιότε, μηδὲ διαμαχούμεθα.
ΒΛ. ποίοις ὅπλοισιν ἢ δυνάμει πεποιθότες;
ποῖον γὰρ οὐ θώρακα, ποίαν δ' ἀσπίδα
οὐκ ἐνέχυρον τίθησιν ἡ μιαρωτάτη;
ΧΡ. θάρρει· μόνος γὰρ ὁ θεὸς οὗτος οἶδ' ὅτι
τροπαῖον ἂν στήσαιτο τῶν ταύτης τρόπων.
ΠΕ. γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε,
ἐπ' αὐτοφώρῳ δεινὰ δρῶντ' εἰλημμένω;
ΧΡ. σὺ δ', ὦ κάκιστ' ἀπολουμένη, τί λοιδορεῖ
ἡμῖν προσελθοῦσ' οὐδ' ὁτιοῦν ἀδικουμένη;
ΠΕ. οὐδὲν γάρ, ὦ πρὸς τῶν θεῶν, νομίζετε
ἀδικεῖν με τὸν Πλοῦτον ποιεῖν πειρωμένω
βλέψαι πάλιν; ΧΡ. τί οὖν ἀδικοῦμεν τοῦτό σε,
εἰ πᾶσιν ἀνθρώποισιν ἐκπορίζομεν [ὅ τι;
ἀγαθόν; ΠΕ. τί δ' ἂν ὑμεῖς ἀγαθὸν ἐξεύροιθ'; ΧΡ.
σὲ πρῶτον ἐκβαλόντες ἐκ τῆς Ἑλλάδος.
ΠΕ. ἔμ' ἐκβαλόντες; καὶ τί ἂν νομίζετον
κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώπους; ΧΡ. ὅ τι;
εἰ τοῦτο δρᾶν μέλλοντες ἐπιλαθοίμεθα.
ΠΕ. καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον
τὸ πρῶτον αὐτοῦ· κἂν μὲν ἀποφήνω μόνην
ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
ὑμῖν δι' ἐμέ τε ζῶντας ὑμᾶς· εἰ δὲ μή,
ποιεῖτον ἤδη τοῦθ' ὅ τι ἂν ὑμῖν δοκῇ.
ΧΡ. ταυτὶ σὺ τολμᾷς, ὦ μιαρωτάτη, λέγειν;
ΠΕ. καὶ σύ γε διδάσκου· πάνυ γὰρ οἶμαι ῥᾳδίως
ἅπανθ' ἁμαρτάνοντά σ' ἀποδείξειν ἐγώ,
εἰ τοὺς δικαίους φῂς ποιήσειν πλουσίους.
ΒΛ. ὦ τύμπανα καὶ κύφωνες οὐκ ἀρήξετε;
ΠΕ. οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν πρὶν ἂν μάθῃς.
ΒΛ. καὶ τίς δύναιτ' ἂν μὴ βοᾶν ἰοὺ ἰοὺ
τοιαῦτ' ἀκούων; ΠΕ. ὅστις ἐστὶν εὖ φρονῶν.
ΧΡ. τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ,
ἐὰν ἁλῷς; ΠΕ. ὅ τι σοι δοκεῖ. ΧΡ. καλῶς λέγεις.
ΠΕ. τὸ γὰρ αὔτ', ἐὰν ἡττᾶσθε, καὶ σφὼ δεῖ παθεῖν.
ΧΡ. ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσιν;
ΒΛ. ταύτῃ γε· νῷν δὲ δύ' ἀποχρήσουσιν μόνω.
ΠΕ. οὐκ ἂν φθάνοιτον τοῦτο πράττοντ'· ἢ τί γὰρ
ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι;
ΧΟ. ἀλλ' ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφὸν ᾧ νικήσετε
τηνδὶ [μηδέν.
ἐν τοῖσι λόγοις ἀντιλέγοντες, μαλακὸν δ' ἐνδώσετε
ΧΡ. φανερὸν μὲν ἔγωγ' οἶμαι γνῶναι τοῦτ' εἶναι πᾶσιν
ὁμοίως, [ἐστὶ δίκαιον,
ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους τούτων τἀναν-
τία δήπου. [γενέσθαι
τοῦτ' οὖν ἡμεῖς ἐπιθυμοῦντες μόλις ηὕρομεν ὥστε
βούλευμα καλὸν καὶ γενναῖον καὶ χρήσιμον εἰς ἅπαν
ἔργον. [περινοστῇ,
ἢν γὰρ ὁ Πλοῦτος νυνὶ βλέψῃ καὶ μὴ τυφλὸς ὢν
ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται κοὐκ
ἀπολείψει, [ποιήσει
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους φευξεῖται· κᾆτα
πάντας χρηστοὺς καὶ πλουτοῦντας δήπου τά τε
θεῖα σέβοντας. [ἄμεινον;
καίτοι τούτου τοῖς ἀνθρώποις τίς ἂν ἐξεύροι ποτ'
ΒΛ. οὔτις· ἐγώ σοι τούτου μάρτυς· μηδὲν ταύτην γ'
ἀνερώτα. [ται,
ΧΡ. ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκει-
τίς ἂν οὐχ ἡγοῖτ' εἶναι μανίαν, κακοδαιμονίαν τ'
ἔτι μᾶλλον; [πονηροὶ,
πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι
ἀδίκως αὐτὰ ξυλλεξάμενοι· πολλοὶ δ' ὄντες πάνυ
χρηστοὶ [πλεῖστα σύνεισιν.
πράττουσι κακῶς καὶ πεινῶσιν μετὰ σοῦ τε τὰ
οὐκοῦν εἶναί φημ', εἰ παύσαι ταύτην βλέψας ποθ'
ὁ Πλοῦτος,

---

413. ἄνυε] ἄνυτε Porsonus. 428. οὐδὲν] μηδὲν V. 435. κάπηλις (secundum Arcadium p. 31, 12.) D.] καπηλὶς 438. τις] τις οὖν V aliique. φύγῃ Brunckius] φύγοι 441. φεύγομεν] φεύγωμεν cod. Dorvill. 445. λέγω] ὃ λέγω Bergkius. 450. δ' additum ex RV. 462. ὑμεῖς] ποθ' ὑμεῖς cod. Dorvill.: unde Meinekius, εἰ πᾶσιν ἀνθρώποις ἀγάθ' ἐκπορίζομεν; | τί δ' ἂν ποθ' ὑμεῖς —.

464. νομίζετον] νομίζετε R. 465. ἀνθρώπους] ἀνθρώποις RV 481. ἐὰν RV et Suidas s. v. τίμημα. ἐάν γ' alii. 482. αὔτ', ἐὰν D.] αὐτό σ' ἐὰν R. αὐτὸ ἂν V. αὐτὸ ἐὰν vel αὐτό γ' ἐὰν alii, propter ignoratum ἐάν particulae mensuram, de qua v. Annot. Oxon. ad Vesp. 228. 485. φθάνοιτον] φθάνοιτε RV. πράττοντ'· ἢ τί] πράττοντες· εἴ τι RV. γὰρ RV γ' ἂν ceteri. 493. βούλευμα cod. Par. 2827. βούλημα ceteri. 498. τίς — ποτ'] τί — τις Bisschopius ad Xenoph. Anab. p. 94. 499. οὔτις] οὐδεὶς RV. οὐδεὶς ἂν cod. Dorv. et ed. Iunt. a. 1525. 503. αὐτὰ ξυλλεξάμενοι (συλλεξάμενοι R)] Id est τὰ χρήματα, quod ex πλουτοῦσι intelligendum. 505. παύσαι] παῦσαι R. παύσει V aliique. ταύτην βλέψας R. ταῦτ' ἢν (ἂν V aliique nonnulli) βλέψῃ ceteri.

ὁδὸν ἥν τις ἰὼν τοῖς ἀνθρώποις ἀγάθ' ἂν μείζω
πορίσειεν. [ὑγιαίνειν
ΠΕ. ἀλλ' ὦ πάντων ῥᾷστ' ἀνθρώπων ἀναπεισθέντ' οὐχ
δύο πρεσβύτα, ξυνθιασώτα τοῦ ληρεῖν καὶ παρα-
παίειν, [τελεῖν σφῷν.
εἰ τοῦτο γένοιθ' ὃ ποθεῖθ' ὑμεῖς, οὔ φημ' ἂν λυσι-
εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν διανείμειέν τ' ἴσον
αὑτόν, [λετῴη
οὔτε τέχνην ἂν τῶν ἀνθρώπων οὔτ' ἂν σοφίαν με-
οὐδείς· ἀμφοῖν δ' ὑμῖν τούτοιν ἀφανισθέντοιν ἐθε-
λήσει [εῖν,
τίς χαλκεύειν ἢ ναυπηγεῖν ἢ ῥάπτειν ἢ τροχοποι-
ἢ σκυτοτομεῖν ἢ πλινθουργεῖν ἢ πλύνειν ἢ σκυλο-
δεψεῖν, [σασθαι,
ἢ γῆς ἀρότροις ῥήξας δάπεδον καρπὸν Δηοῦς θερί-
ἣν ἐξῇ ζῆν ἀργοῖς ὑμῖν τούτων πάντων ἀμελοῦσιν;
ΧΡ. λῆρον ληρεῖς. ταῦτα γὰρ ἡμῖν πάνθ' ὅσα νυνὶ κα-
τέλεξας [θεράποντας;
οἱ θεράποντες μοχθήσουσιν. ΠΕ. πόθεν οὖν ἕξεις
ΧΡ. ὠνησόμεθ' ἀργυρίου δήπου. ΠΕ. τίς δ' ἔσται πρῶ-
τον ὁ πωλῶν, λόμενός τις
ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ; ΧΡ. κερδαίνειν βου-
ἔμπορος ἥκων ἐκ Θετταλίας παρὰ πλείστων ἀν-
δραποδιστῶν. [δραποδιστὴς
ΠΕ. ἀλλ' οὐδ' ἔσται πρῶτον ἁπάντων οὐδεὶς οὐδ' ἀν-
κατὰ τὸν λόγον ὃν σὺ λέγεις δήπου. τίς γὰρ πλου-
τῶν ἐθελήσει [ῆσαι;
κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὑτοῦ τοῦτο ποι-
ὥστ' αὐτὸς ἀροῦν ἐπαναγκασθεὶς καὶ σκάπτειν
τἆλλα τε μοχθεῖν [κεφαλὴν σοί.
ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν. ΧΡ. ἐς
ΠΕ. ἔτι δ' οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν, οὐ γὰρ
ἔσονται, [σίου ὄντος;
οὔτ' ἐν δάπισιν· τίς γὰρ ὑφαίνειν ἐθελήσει χρυ-
οὔτε μύροισιν μυρίσαι στακτοῖς, ὁπόταν νύμφην
ἀγάγησθον· [μόρφων.
οὔθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλο-
καίτοι τί πλέον πλουτεῖν ἔσται τούτων πάντων
ἀποροῦντα; [δεῖσθον· ἐγὼ γὰρ
παρ' ἐμοῦ δ' ἔστιν ταῦτ' εὔπορα πάνθ' ὑμῖν ὧν
τὸν χειροτέχνην ὥσπερ δέσποιν' ἐπαναγκάζουσα
κάθημαι [ἕξει.
διὰ τὴν χρείαν καὶ τὴν πενίαν ζητεῖν ὁπόθεν βίον
ΧΡ. σὺ γὰρ ἂν πορίσαι τί δύναι' ἀγαθόν, πλὴν φῴδων
ἐκ βαλανείου [συρτοῦ;
καὶ παιδαρίων ὑποπεινώντων καὶ γραϊδίων κολο-
φθειρῶν τ' ἀριθμὸν καὶ κωνώπων καὶ ψυλλῶν οὐδὲ
λέγω σοι [ἀνιῶσιν,
ὑπὸ τοῦ πλήθους, αἳ βομβοῦσαι περὶ τὴν κεφαλὴν
ἐπεγείρουσαι καὶ φράζουσαι, πεινήσεις, ἀλλ' ἐπα-
νίστω. [ἀντὶ δὲ κλίνης
πρὸς δέ γε τούτοις ἀνθ' ἱματίου μὲν ἔχειν ῥάκος,
στιβάδα σχοίνων κόρεων μεστήν, ἣ τοὺς εὕδοντας
ἐγείρει· [προσκεφαλαίου
καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρόν· ἀντὶ δὲ
λίθον εὐμεγέθη πρὸς τῇ κεφαλῇ· σιτεῖσθαι δ' ἀντὶ
μὲν ἄρτων [ῥαφανίδων,
μαλάχης πτόρθους, ἀντὶ δὲ μάζης φυλλεῖ' ἰσχνῶν
ἀντὶ δὲ θράνου στάμνου κεφαλὴν κατεαγότος, ἀντὶ
δὲ μάκτρας [πολλῶν
φιδάκνης πλευρὰν ἐρρωγυῖαν καὶ ταύτην. ἆρά γε
ἀγαθῶν πᾶσιν τοῖς ἀνθρώποις ἀποφαίνω σ' αἴτιον
οὖσαν; [δ' ὑπεκρούσω.
ΠΕ. σὺ μὲν οὐ τὸν ἐμὸν βίον εἴρηκας, τὸν τῶν πτωχῶν
ΧΡ. οὐκοῦν δήπου τῆς πτωχείας πενίαν φαμὲν εἶναι
ἀδελφήν. [ὅμοιον.
ΠΕ. ὑμεῖς γ' οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι
ἀλλ' οὐχ οὑμὸς τοῦτο πέπονθεν βίος οὐ μὰ Δί', οὐδέ
γε μέλλει. [ἔχοντα·
πτωχοῦ μὲν γὰρ βίος, ὃν σὺ λέγεις, ζῆν ἐστιν μηδὲν
τοῦ δὲ πένητος ζῆν φειδόμενον καὶ τοῖς ἔργοις προσ-
έχοντα, [λείπειν.
περιγίγνεσθαι δ' αὐτῷ μηδέν, μὴ μέντοι μηδ' ἐπι-
ΧΡ. ὡς μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐτοῦ κατέ-
λεξας, [φῆναι.
εἰ φεισάμενος καὶ μοχθήσας καταλείψει μηδὲ τα-
ΠΕ. σκώπτειν πειρᾷ καὶ κωμῳδεῖν τοῦ σπουδάζειν ἀμε-
λήσας, [ἄνδρας
οὐ γιγνώσκων ὅτι τοῦ Πλούτου παρέχω βελτίονας
καὶ τὴν γνώμην καὶ τὴν ἰδέαν. παρὰ τῷ μὲν γὰρ
ποδαγρῶντες [ἀσελγῶς,
καὶ γαστρώδεις καὶ παχύκνημοι καὶ πίονές εἰσιν
παρ' ἐμοὶ δ' ἰσχνοὶ καὶ σφηκώδεις καὶ τοῖς ἐχθροῖς
ἀνιαροί. [πορίζεις.
ΧΡ. ἀπὸ τοῦ λιμοῦ γὰρ ἴσως αὐτοῖς τὸ σφηκῶδες σὺ
ΠΕ. περὶ σωφροσύνης ἤδη τοίνυν περανῶ σφῷν κἀνα-
διδάξω [ὑβρίζειν.
ὅτι κοσμιότης οἰκεῖ μετ' ἐμοῦ, τοῦ Πλούτου δ' ἐστὶν
ΧΡ. πάνυ γοῦν κλέπτειν κόσμιόν ἐστιν καὶ τοὺς τοίχους
διορύττειν.
ΠΕ. σκέψαι τοίνυν ἐν ταῖς πόλεσιν τοὺς ῥήτορας, ὡς
ὁπόταν μὲν [δίκαιοι,
ὦσι πένητες, περὶ τὸν δῆμον καὶ τὴν πόλιν εἰσὶ
πλουτήσαντες δ' ἀπὸ τῶν κοινῶν παραχρῆμ' ἄδικοι
γεγένηνται, [μοῦσιν.
ἐπιβουλεύουσί τε τῷ πλήθει καὶ τῷ δήμῳ πολε-
ΧΡ. ἀλλ' οὐ ψεύδει τούτων γ' οὐδέν, καίπερ σφόδρα
βάσκανος οὖσα. [κομήσῃς,
ἀτὰρ οὐχ ἧττόν γ' οὐδὲν κλαύσει, μηδὲν ταύτῃ γε
ὁτιὴ ζητεῖς τοῦτ' ἀναπείθειν ἡμᾶς, ὡς ἔστιν ἀμείνων
πενία πλούτου. ΠΕ. καὶ σύ γ' ἐλέγξαι μ' οὔπω
δύνασαι περὶ τούτου, [γουσί σ' ἅπαντες;
ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις. ΧΡ. καὶ πῶς φεύ-

565. ΒΛ. νὴ τὸν Δί', εἰ δεῖ λαθεῖν αὐτόν, πῶς οὐχὶ κόσμιόν ἐστιν;

506. ἥν τις Hemsterhusius] ἥντιν' 507. ῥᾷστ' ἀνθρώπων] ἀνθρώπων ῥᾷστ' V. 510. αὑτὸν Porsonus] ἑαυτὸν 512. ἀμφοῖν δ' ὑμῖν τούτοιν] τούτοιν δ' ὑμῖν ἀμφοῖν Meinekius. 513. τροχοποιεῖν] ζυγοποιεῖν (quo utitur Pherecrates in loco simili apud Athen. 6. p. 269c.) ex Pluto affert Pollux 7, 115. memoriae errore. 514. σκυλοδεψεῖν Bentleius] σκυτοδεψεῖν (βυρσοδεψεῖν V aliique nonnulli.) 516. ὑμῖν] οὖσι addit V. 517. νυνὶ] νῦν δὴ R. 521. παρὰ πλείστων] παρ' ἀπίστων Hemsterhusius. 523. δήπου om. V. 531. ἔσται Porsonus] ἔστιν τούτων πάντων V. πάντων τούτων ceteri. ἀποροῦντα R et Par. A. ἀποροῦντας alii. 532. ἐμοῦ] ἐμοὶ V. 534. πενίαν] πεῖναν Meinekius. 536. κολοσυρτοῦ Kusterus] κολοσυρτόν

544. φυλλεῖ' scholiasta Acharn. 468.] φύλλ' 545. θράνου Pollux 10, 48.] θράνους 546. φιδάκνης D.] πιθάκνης 547. αἴτιον Bentleius] αἰτίαν 548. ὑπεκρούσω] Pollux 9, 139. Ἀριστοφάνης δ' ἐν Πλούτῳ καὶ τῷ ἐπικρούσασθαι (fortasse librarii error pro ὑποκρούσασθαι) ἐπὶ τῷ νουθετῆσαι κέχρηται. Ὑπεκρούσω idem fere est quod ὑπηνίξω: de quo dictum in Thesauro vol. 8. p. 362. 550. εἶναι] φάτ' εἶναι RV aliique. 563. ἤδη τοίνυν] τοίνυν ἤδη Bergkius.
564. ἐστὶν ὑβρίζειν] δ' ἐνυβρίζειν R, addito a m. rec. ἐστὶν supra versum. 565. Versum spurium notavit Bentleius. 572. ἧττον] ἥττονα R. γ' om. V.
573. ἀναπείθειν Porsonus] ἀναπείσειν ἀμείνων] ἄμεινον RV.

ΠΕ. ὅτι βελτίους αὐτοὺς ποιῶ. σκέψασθαι δ' ἔστι μά-
λιστα [νοῦντας ἄριστα
ἀπὸ τῶν παίδων· τοὺς γὰρ πατέρας φεύγουσι, φρο-
αὐτοῖς. οὕτω διαγιγνώσκειν χαλεπὸν πρᾶγμ' ἐστὶ
δίκαιον. [κράτιστον·
ΧΡ. τὸν Δία φήσεις ἆρ' οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ
κἀκεῖνος γὰρ τὸν πλοῦτον ἔχει. ΒΛ. ταύτην δ' ἡμῖν
ἀποπέμπει. [νας ἄμφω,
ΠΕ. ἀλλ', ὦ Κρονικαῖς λήμαις ὄντως λημῶντες τὰς φρέ-
ὁ Ζεὺς δήπου πένεται, καὶ τοῦτ' ἤδη φανερῶς σε
διδάξω. [αὐτὸς ἀγῶνα,
εἰ γὰρ ἐπλούτει, πῶς ἂν ποιῶν τὸν Ὀλυμπικὸν
ἵνα τοὺς Ἕλληνας ἅπαντας ἀεὶ δι' ἔτους πέμπτου
ξυναγείρει, [νώσας
ἀνεκήρυττεν τῶν ἀσκητῶν τοὺς νικῶντας στεφα-
κοτινῷ στεφάνῳ; καίτοι χρυσῷ μᾶλλον ἐχρῆν, εἴπερ
ἐπλούτει. [ἐκεῖνος·
ΧΡ. οὐκοῦν τούτῳ δήπου δηλοῖ τιμῶν τὸν πλοῦτον
φειδόμενος γὰρ καὶ βουλόμενος τούτου μηδὲν δα-
πανᾶσθαι, [ἑαυτῷ.
λήροις ἀναδῶν τοὺς νικῶντας τὸν πλοῦτον ἐᾷ παρ'
ΠΕ. πολὺ τῆς πενίας πρᾶγμ' αἴσχιον ζητεῖς αὐτῷ πε-
ριάψαι, [κερδής.
εἰ πλούσιος ὢν ἀνελεύθερός ἐσθ' οὑτωσὶ καὶ φιλο-
ΧΡ. ἀλλὰ σέ γ' ὁ Ζεὺς ἐξολέσειεν κοτινῷ στεφάνῳ στε-
φανώσας. [ἀγάθ' ὑμῖν
ΠΕ. τὸ γὰρ ἀντιλέγειν τολμᾶν ὑμᾶς ὡς οὐ πάντ' ἔστ'
διὰ τὴν Πενίαν. ΧΡ. παρὰ τῆς Ἑκάτης ἔξεστιν τοῦτο
πυθέσθαι, [αὕτη
εἴτε τὸ πλουτεῖν εἴτε τὸ πεινῆν βέλτιον. φησὶ γὰρ
τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας δεῖπνον κατὰ
μῆν' ἀποπέμπειν, [ταθεῖναι.
τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν κα-
ἀλλὰ φθείρου καὶ μὴ γρύξῃς
ἔτι μηδ' ὁτιοῦν.
οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς.
ΠΕ. ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει.
ΧΡ. Παύσωνα κάλει τὸν ξύσσιτον.
ΠΕ. τί πάθω τλήμων;
ΧΡ. ἔρρ' ἐς κόρακας θᾶττον ἀφ' ἡμῶν.
ΠΕ. εἶμι δὲ ποῖ γῆς;
ΧΡ. ἐς τὸν κύφων'· ἀλλ' οὐ μέλλειν
χρή σ', ἀλλ' ἀνύειν.
ΠΕ. ἦ μὴν ὑμεῖς γ' ἔτι μ' ἐνταυθὶ
μεταπέμψεσθον.
ΧΡ. τότε νοστήσεις· νῦν δὲ φθείρου.
κρεῖττον γάρ μοι πλουτεῖν ἐστίν,
σὲ δ' ἐᾶν κλάειν μακρὰ τὴν κεφαλήν.
ΒΛ. νὴ Δί' ἔγωγ' οὖν ἐθέλω πλουτῶν
εὐωχεῖσθαι μετὰ τῶν παίδων
τῆς τε γυναικός, καὶ λουσάμενος
λιπαρὸς χωρῶν ἐκ βαλανείου
τῶν χειροτεχνῶν
καὶ τῆς Πενίας καταπαρδεῖν.
ΧΡ. αὕτη μὲν ἡμῖν ἠπίτριπτος οἴχεται.
ἐγὼ δὲ καὶ σύ γ' ὡς τάχιστα τὸν θεὸν
ἐγκατακλινοῦντ' ἄγωμεν εἰς Ἀσκληπιοῦ.
ΒΛ. καὶ μὴ διατρίβωμέν γε, μὴ πάλιν τις αὖ
ἐλθὼν διακωλύσῃ τι τῶν προύργου ποιεῖν.
ΧΡ. παῖ Καρίων, τὰ στρώματ' ἐκφέρειν σ' ἐχρῆν,
αὐτόν τ' ἄγειν τὸν Πλοῦτον, ὡς νομίζεται,
καὶ τἄλλ' ὅσ' ἐστὶν ἔνδον ηὐτρεπισμένα.

[ΧΟΡΟΥ.]

---

ΚΑ. ὦ πλεῖστα Θησείοις μεμυστιλημένοι
γέροντες ἄνδρες ἐπ' ὀλιγίστοις ἀλφίτοις,
ὡς εὐτυχεῖθ', ὡς μακαρίως πεπράγατε,
ἄλλοι θ' ὅσοις μέτεστι τοῦ χρηστοῦ τρόπου.
ΧΟ. τί δ' ἔστιν, ὦ βέλτιστε τῶν σαυτοῦ φίλων;
φαίνει γὰρ ἥκειν ἄγγελος χρηστοῦ τινος.
ΚΑ. ὁ δεσπότης πέπραγεν εὐτυχέστατα,
μᾶλλον δ' ὁ Πλοῦτος αὐτός· ἀντὶ γὰρ τυφλοῦ
ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας,
Ἀσκληπιοῦ παιῶνος εὐμενοῦς τυχών.
ΧΟ. λέγεις μοι χαράν, λέγεις μοι βοάν.
ΚΑ. πάρεστι χαίρειν, ἤν τε βούλησθ' ἤν τε μή.
ΧΟ. ἀναβοάσομαι τὸν εὔπαιδα καὶ
μέγα βροτοῖσι φέγγος Ἀσκληπιόν.

ΓΥΝΗ.

τίς ἡ βοή ποτ' ἐστίν; ἆρ' ἀγγέλλεταί
χρηστόν τι; τοῦτο γὰρ ποθοῦσ' ἐγὼ πάλαι
ἔνδον κάθημαι περιμένουσα τουτονί.
ΚΑ. ταχέως ταχέως φέρ' οἶνον, ὦ δέσποιν', ἵνα
καὐτὴ πίῃς· φιλεῖς δὲ δρῶσ' αὐτὸ σφόδρα·
ὡς ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω.
ΓΥ. καὶ ποῦ 'στιν; ΚΑ. ἐν τοῖς λεγομένοις εἴσει τάχα.
ΓΥ. πέραινε τοίνυν ὅ τι λέγεις ἀνύσας ποτέ.
ΚΑ. ἄκουε τοίνυν, ὡς ἐγὼ τὰ πράγματα
ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ' ἐρῶ.
ΓΥ. μὴ δῆτ' ἔμοιγ' ἐς τὴν κεφαλήν. ΚΑ. μὴ τἀγαθὰ
ἃ νῦν γεγένηται; ΓΥ. μὴ μὲν οὖν τὰ πράγματα.
ΚΑ. ὡς γὰρ τάχιστ' ἀφικόμεθα πρὸς τὸν θεὸν
ἄγοντες ἄνδρα τότε μὲν ἀθλιώτατον,
νῦν δ' εἴ τιν' ἄλλον μακάριον κεὐδαίμονα,
πρῶτον μὲν αὐτὸν ἐπὶ θάλατταν ἤγομεν,
ἔπειτ' ἐλοῦμεν. ΓΥ. νὴ Δί' εὐδαίμων ἄρ' ἦν
ἀνὴρ γέρων ψυχρᾷ θαλάττῃ λούμενος.
ΚΑ. ἔπειτα πρὸς τὸ τέμενος ἦμεν τοῦ θεοῦ.
ἐπεὶ δὲ βωμῷ πόπανα καὶ προθύματα
καθωσιώθη, πέλανος Ἡφαίστου φλογί,
κατεκλίναμεν τὸν Πλοῦτον, ὥσπερ εἰκὸς ἦν·
ἡμῶν δ' ἕκαστος στιβάδα παρεκαττύετο.
ΓΥ. ἦσαν δέ τινες κἄλλοι δεόμενοι τοῦ θεοῦ;
ΚΑ. εἷς μέν γε Νεοκλείδης, ὅς ἐστι μὲν τυφλός,
κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντικεν·
ἕτεροί τε πολλοὶ παντοδαπὰ νοσήματα
ἔχοντες· ὡς δὲ τοὺς λύχνους ἀποσβέσας
ἡμῖν παρήγγειλ' ἐγκαθεύδειν τοῦ θεοῦ
ὁ πρόπολος, εἰπών, ἤν τις αἴσθηται ψόφου,
σιγᾶν, ἅπαντες κοσμίως κατεκείμεθα.
κἀγὼ καθεύδειν οὐκ ἐδυνάμην, ἀλλά με
ἀθάρης χύτρα τις ἐξέπληττε κειμένη

---

577. δίκαιον] τὸ κρεῖττον D. 582. σε (σε om. R.) διδάξω] ἀποδείξω Porsonus. 583. τὸν Ὀλυμπικὸν αὐτὸς Par. A. αὐτὸς τὸν ὀλυμπικὸν (ὀλυμπιακὸν alii) RV. 586. 592. κοτινῷ Porsonus] κοτίνῳ 587. τούτῳ] τοῦτο RV. δηλοῖ] δῆλος Cobetus. 592. ἀλλὰ σέ γ' ed. Iuntina a. 1525. ἀλλά σ' ὁ RV aliique, unus ἀλλά γέ σ' 596. μῆν' ἀποπέμπειν V aliique cum Suida s. v. Ἑκάτην. μῆνα προσάγειν R aliique, nonnulli μῆνα προσπέμπειν (vel προπέμπειν). 607. ἀνύειν R aliique. ἀνύτειν alii. 608. ἐνταυθὶ Elmsleius] ἐνταυθοῖ

624. σ' om. libri optimi. Post 626. ΧΟΡΟΥ Ald. et codices aliquot recentes recte addunt: vid. Annot. Oxon. p. 25. 630. ἄλλοι] ἄλλοι Meinekius. 641. ΓΥΝΗ] γυ. χρε. (i. e. γυνὴ χρεμύλου) R. ἆρ'] ἆρά γ' RV. ἀγγέλλεται R. ἀγγελεῖ ceteri. 653. ἀφικόμεθα] ἀφικόμεσθα R: ut ἀφικόμεσθ' ὡς τὸν θεὸν coniici possit. 660. προθύματα] θυλήματα scriptura diversa ab scholiasta memorata. 661. πέλανος] πελανὸς R. μέλανος Bergkius. 669. παρήγγειλ' ἐγκαθεύδειν Porsonus] παρήγγειλεν καθεύδειν 673. 683. 694. ἀθάρης] ἀθάρας RV aliique.

ὀλίγον ἄπωθεν τῆς κεφαλῆς του γρᾳδίου,
ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι.
ἔπειτ' ἀναβλέψας ὁρῶ τὸν ἱερέα
τοὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας
ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς. μετὰ τοῦτο δὲ
περιῆλθε τοὺς βωμοὺς ἅπαντας ἐν κύκλῳ,
εἴ που πόπανον εἴη τι καταλελειμμένον·
ἔπειτα ταῦθ' ἥγιζεν ἐς σάκταν τινά.
κἀγὼ νομίσας πολλὴν ὁσίαν τοῦ πράγματος
ἐπὶ τὴν χύτραν τὴν τῆς ἀθάρης ἀνίσταμαι.
ΓΥ. ταλάντατ' ἀνδρῶν, οὐκ ἐδεδοίκεις τὸν θεόν;
ΚΑ. νὴ τοὺς θεοὺς ἔγωγε μὴ φθάσειέ με
ἐπὶ τὴν χύτραν ἐλθὼν ἔχων τὰ στέμματα·
ὁ γὰρ ἱερεὺς αὐτοῦ με προυδιδάξατο.
τὸ γρᾴδιον δ' ὡς ᾔσθάνετό μου τὸν ψόφον,
ἄρασ' ὑφῄρει· κᾆτα συρίξας ἐγὼ
ὀδὰξ ἐλαβόμην, ὡς παρείας ὢν ὄφις.
ἡ δ' εὐθέως τὴν χεῖρα πάλιν ἀνέσπασε,
κατέκειτο δ' αὑτὴν ἐντυλίξασ' ἡσυχῆ,
ὑπὸ τοῦ δέους βδέουσα δριμύτερον γαλῆς.
κἀγὼ τότ' ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων·
ἔπειτ' ἐπειδὴ μεστὸς ἦν, ἀνεπαυόμην.
ΓΥ. ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν; ΚΑ. οὐδέπω.
μετὰ τοῦτο δ' ἤδη καὶ γέλοιον δῆτά τι
ἐποίησα. προσιόντος γὰρ αὐτοῦ μέγα πάνυ
ἀπέπαρδον· ἡ γαστὴρ γὰρ ἐπεφύσητό μου.
ΓΥ. ἦ πού σε διὰ τοῦτ' εὐθὺς ἐβδελύττετο.
ΚΑ. οὔκ, ἀλλ' Ἰασὼ μέν γ' ἐπακολουθοῦσ' ἅμα
ὑπηρυθρίασε χἠ Πανάκει' ἀπεστράφη
τὴν ῥῖν' ἐπιλαβοῦσ'· οὐ λιβανωτὸν γὰρ βδέω.
ΓΥ. αὐτὸς δ' ἐκεῖνος; ΚΑ. οὐ μὰ Δί' οὐδ' ἐφρόντισεν.
ΓΥ. λέγεις ἄγροικον ἄρα σύ γ' εἶναι τὸν θεόν.
ΚΑ. μὰ Δί' οὐκ ἔγωγ', ἀλλὰ σκατοφάγον. ΓΥ. αἰ τάλαν.
ΚΑ. μετὰ ταῦτ' ἐγὼ μὲν εὐθὺς ἐνεκαλυψάμην
δείσας, ἐκεῖνος δ' ἐν κύκλῳ τὰ νοσήματα
σκοπῶν περιῄει πάντα κοσμίως πάνυ.
ἔπειτα παῖς αὐτῷ λίθινον θυείδιον
παρέθηκε καὶ δοίδυκα καὶ κιβώτιον.
ΓΥ. λίθινον; ΚΑ. μὰ Δί' οὐ δῆτ', οὐχὶ τό γε κιβώτιον.
ΓΥ. σὺ δὲ πῶς ἑώρας, ὦ κάκιστ' ἀπολούμενε,
ὃς ἐγκεκαλύφθαι φῄς; ΚΑ. διὰ τοῦ τριβωνίου.
ὀπὰς γὰρ εἶχεν οὐκ ὀλίγας μὰ τὸν Δία.
πρῶτον δὲ πάντων τῷ Νεοκλείδῃ φάρμακον
καταπλαστὸν ἐνεχείρησε τρίβειν, ἐμβαλὼν
σκορόδων κεφαλὰς τρεῖς Τηνίων. ἔπειτ' ἔφλα
ἐν τῇ θυείᾳ ξυμπαραμιγνύων ὀπὸν
καὶ σχῖνον· εἶτ' ὄξει διιέμενος Σφηττίῳ
κατέπλασεν αὐτοῦ τὰ βλέφαρ' ἐκστρέψας, ἵνα
ὀδυνῷτο μᾶλλον. ὁ δὲ κεκραγὼς καὶ βοῶν
ἔφευγ' ἀνᾴξας· ὁ δὲ θεὸς γελάσας ἔφη,
ἐνταῦθα νῦν κάθησο καταπεπλασμένος,
ἵν' ὑπομνύμενον παύσω σε ταῖς ἐκκλησίαις.
ΓΥ. ὡς φιλόπολίς τίς ἐσθ' ὁ δαίμων καὶ σοφός.
ΚΑ. μετὰ τοῦτο τῷ Πλούτωνι παρεκαθέζετο,
καὶ πρῶτα μὲν δὴ τῆς κεφαλῆς ἐφήψατο,
ἔπειτα καθαρὸν ἡμιτύβιον λαβὼν
τὰ βλέφαρα περιέψησεν· ἡ Πανάκεια δὲ
κατεπέτασ' αὐτοῦ τὴν κεφαλὴν φοινικίδι
καὶ πᾶν τὸ πρόσωπον· εἶθ' ὁ θεὸς ἐπόππυσεν.
ἐξῃξάτην οὖν δύο δράκοντ' ἐκ τοῦ νεὼ
ὑπερφυεῖς τὸ μέγεθος. ΓΥ. ὦ φίλοι θεοί.
ΚΑ. τούτω δ' ὑπὸ τὴν φοινικίδ' ὑποδύνθ' ἡσυχῆ
τὰ βλέφαρα περιέλειχον, ὥς γ' ἐμοὐδόκει·
καὶ πρίν σε κοτύλας ἐκπιεῖν οἴνου δέκα
ὁ Πλοῦτος, ὦ δέσποιν', ἀνειστήκει βλέπων·
ἐγὼ δὲ τὼ χεῖρ' ἀνεκρότησ' ὑφ' ἡδονῆς,
τὸν δεσπότην τ' ἤγειρον. ὁ θεὸς δ' εὐθέως
ἠφάνισεν αὑτὸν οἵ τ' ὄφεις ἐς τὸν νεών.
οἱ δ' ἐγκατακείμενοι παρ' αὐτῷ πῶς δοκεῖς
τὸν Πλοῦτον ἠσπάζοντο, καὶ τὴν νύχθ' ὅλην
ἐγρηγόρεσαν, ἕως διέλαμψεν ἡμέρα.
ἐγὼ δ' ἐπῄνουν τὸν θεὸν πάνυ σφόδρα,
ὅτι βλέπειν ἐποίησε τὸν Πλοῦτον ταχύ,
τὸν δὲ Νεοκλείδην μᾶλλον ἐποίησεν τυφλόν.
ΓΥ. ὅσην ἔχεις τὴν δύναμιν, ὦναξ δέσποτα.
ἀτὰρ φράσον μοι, ποῦ 'σθ' ὁ Πλοῦτος; ΚΑ. ἔρχεται.
ἀλλ' ἦν περὶ αὐτὸν ὄχλος ὑπερφυὴς ὅσος.
οἱ γὰρ δίκαιοι πρότερον ὄντες καὶ βίον
ἔχοντες ὀλίγον αὐτὸν ἠσπάζοντο καὶ
ἐδεξιοῦνθ' ἅπαντες ὑπὸ τῆς ἡδονῆς·
ὅσοι δ' ἐπλούτουν οὐσίαν τ' εἶχον συχνὴν
οὐκ ἐκ δικαίου τὸν βίον κεκτημένοι,
ὀφρῦς ξυνῆγον ἐσκυθρώπαζόν θ' ἅμα.
οἱ δ' ἠκολούθουν κατόπιν ἐστεφανωμένοι,
γελῶντες, εὐφημοῦντες· ἐκτυπεῖτο δὲ
ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν.
ἀλλ' εἶ' ἁπαξάπαντες ἐξ ἑνὸς λόγου
ὀρχεῖσθε καὶ σκιρτᾶτε καὶ χορεύετε·
οὐδεὶς γὰρ ὑμῖν εἰσιοῦσιν ἀγγελεῖ
ὡς ἄλφιτ' οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ.
ΓΥ. νὴ τὴν Ἑκάτην, κἀγὼ δ' ἀναδῆσαι βούλομαι
εὐαγγέλιά σε κριβανωτῶν ὁρμαθῷ
τοιαῦτ' ἀπαγγείλαντα. ΚΑ. μή νυν μέλλ' ἔτι,
ὡς ἄνδρες ἐγγύς εἰσιν ἤδη τῶν θυρῶν.
ΓΥ. φέρε νυν ἰοῦσ' εἴσω κομίσω καταχύσματα
ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς ἐγώ.
ΚΑ. ἐγὼ δ' ὑπαντῆσαί γ' ἐκείνοις βούλομαι.

[ΧΟΡΟΥ.]

ΠΛ. καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον,
ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον,
χώραν τε πᾶσαν Κέκροπος, ἥ μ' ἐδέξατο.
αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ ξυμφοράς,

---

674. του Brunckius] τοῦ 681. σάκταν] γρ. σάκκον apud schol. 688. ᾔσθάνετο Porsonus] ᾔσθετο RV aliique. ᾔσθετο δὴ alii. 689. ἄρασ' ὑφῄρει] τὴν χεῖρ' ὑφῄρει, illato glossemate. Correxit Dobraeus, collata scholiastae annotatione, ἐκτείνει τὴν χεῖρα κατὰ τῆς χύτρας, ἵνα μηδεὶς αὐτὴν λάβοι. ἢ ἐξέτεινε. καὶ Μένανδρος "ἐξάραντες ἐπικροτήσατε." 695. ἀνεπαυόμην] ἀνεπαλλόμην R et cum γρ. ἀνεπαυόμην V. 696. προσῄειν (de quo v. schol. Pac. 1182.)] προσῄει γ' R. 697. δῆτα om. V. 701. μέν γ' ἐπακολουθοῦσ' Reisigius p. 51.] μέν τις (μέν γε V. μέν γέ τις R) ἀκολουθοῦσ' 702. ὑπηρυθρίασε] ὑπερυθρίασε R. 704. ἐκεῖνος; ΚΑ. οὐ μὰ] ἐκεῖνος οὔ; ΚΑ. μὰ Ad. de Velsen. 705. σύ γ'] τιν' Dobraeus. 710. θυείδιον] θυΐδιον R aliique nonnulli et codices Pollucis 10, 103. 717. καταπλαστὸν] κατάπλαστον R, quam scripturam memorat scholiasta. Oxytonum habet Pollux 4, 181. 719. θυείᾳ] θυΐαι R. θύα V. 721. ἐκστρέψας] ἐκτρέψας RV.

725. ὑπομνύμενον Brunckius] ἐπομνύμενον ταῖς ἐκκλησίαις ex schol.] τῆς ἐκκλησίας. τὰς ἐκκλησίας duo codices recentes, quod legit scholiasta, qui per ταῖς ἐκκλησίαις explicat. 727. τοῦτο] ταῦτα V. 728. δὴ om. R. 733. οὖν om. R. δ' οὖν Meinekius. 736. ὥς γ' ἐμοὐδόκει] ὥς γέ μοι δοκεῖ RV. Ceteri ὥς γ' ἐμοὶ δοκεῖ vel ὥστ' ἐμοὶ δοκεῖ, unus ὥς γ' ἐμοὶ 'δόκει 738. ἀνειστήκει Meinekius] ἀνεστήκει 770. ὑπαντῆσαι Meinekius] ἀπαντῆσαι ΧΟΡΟΥ] κομμάτιον χοροῦ libri. Vid. Annot. Oxon. p. 23—27. 771. Ante hunc versum plura excidisse videntur Meinekio. 772. κλεινὸν πέδον] κλεινὴν πόλιν memoriae, ut videtur, errore Steph. Byx. s. v. Ἀθῆναι, ἀκρόπολιν intelligens, de qua hic non cogitandum.

οἵοις ἄρ' ἀνθρώποις ξυνὼν ἐλάνθανον,
τοὺς ἀξίους δὲ τῆς ἐμῆς ὁμιλίας
ἔφευγον, εἰδὼς οὐδέν· ὦ τλήμων ἐγώ.
ὡς οὔτ' ἐκεῖν' ἄρ' οὔτε ταῦτ' ὀρθῶς ἔδρων·
ἀλλ' αὐτὰ πάντα πάλιν ἀναστρέψας ἐγὼ
δείξω τὸ λοιπὸν πᾶσιν ἀνθρώποις ὅτι
ἄκων ἐμαυτὸν τοῖς πονηροῖς ἐπεδίδουν.
ΧΡ. βάλλ' ἐς κόρακας· ὡς χαλεπόν εἰσιν οἱ φίλοι
οἱ φαινόμενοι παραχρῆμ' ὅταν πράττῃ τις εὖ.
νύττουσι γὰρ καὶ φλῶσι τἀντικνήμια,
ἐνδεικνύμενος ἕκαστος εὔνοιάν τινα.
ἐμὲ γὰρ τίς οὐ προσεῖπε; ποῖος οὐκ ὄχλος
περιεστεφάνωσεν ἐν ἀγορᾷ πρεσβυτικός;
ΓΥ. ὦ φίλτατ' ἀνδρῶν, καὶ σὺ καὶ σὺ χαίρετε.
φέρε νυν, νόμος γάρ ἐστι, τὰ καταχύσματα
ταυτὶ καταχέω σου λαβοῦσα. ΠΛ. μηδαμῶς.
ἐμοῦ γὰρ εἰσιόντος ἐς τὴν οἰκίαν
πρώτιστα καὶ βλέψαντος οὐδὲν ἐκφέρειν
πρεπῶδές ἐστιν, ἀλλὰ μᾶλλον ἐσφέρειν.
ΓΥ. εἶτ' οὐχὶ δέξει δῆτα τὰ καταχύσματα;
ΠΛ. ἔνδον γε παρὰ τὴν ἑστίαν, ὥσπερ νόμος·
ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν.
οὐ γὰρ πρεπῶδές ἐστι τῷ διδασκάλῳ
ἰσχάδια καὶ τρωγάλια τοῖς θεωμένοις
προβαλόντ', ἐπὶ τούτοις εἶτ' ἀναγκάζειν γελᾶν.
ΓΥ. εὖ πάνυ λέγεις· ὡς Δεξίνικος οὑτοσὶ
ἀνίσταθ' ὡς ἁρπασόμενος τῶν ἰσχάδων.

[ΧΟΡΟΥ.]

ΚΑ. ὡς ἡδὺ πράττειν, ὦνδρες, ἔστ' εὐδαιμόνως,
καὶ ταῦτα μηδὲν ἐξενεγκόντ' οἴκοθεν.
ἡμῖν γὰρ ἀγαθῶν σωρὸς ἐς τὴν οἰκίαν
ἐπεσπέπαικεν οὐδὲν ἠδικηκόσιν.
ἡ μὲν σιπύη μεστή 'στι λευκῶν ἀλφίτων,
οἱ δ' ἀμφορῆς οἴνου μέλανος ἀνθοσμίου.
ἅπαντα δ' ἡμῖν ἀργυρίου καὶ χρυσίου
τὰ σκευάρια πλήρη 'στίν, ὥστε θαυμάσαι.
τὸ φρέαρ δ' ἐλαίου μεστόν· αἱ δὲ λήκυθοι
μύρου γέμουσι, τὸ δ' ὑπερῷον ἰσχάδων.
ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα
χαλκῆ γέγονε· τοὺς δὲ πινακίσκους τοὺς σαπροὺς
τοὺς ἰχθυηροὺς ἀργυροῦς πάρεσθ' ὁρᾶν.
ὁ δ' ἰπνὸς γέγον' ἡμῖν ἐξαπίνης ἐλεφάντινος.
στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν
χρυσοῖς, ἀποψώμεσθα δ' οὐ λίθοις ἔτι,
ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.
καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ
ὗν καὶ τράγον καὶ κριὸν ἐστεφανωμένος,
ἐμὲ δ' ἐξέπεμψεν ὁ καπνός. οὐχ οἷός τε γὰρ
ἔνδον μένειν ἦν. ἔδακνε γὰρ τὰ βλέφαρά μου.

ΔΙΚΑΙΟΣ.

ἕπου μετ' ἐμοῦ, παιδάριον, ἵνα πρὸς τὸν θεὸν
ἴωμεν. ΚΑ. ἔα, τίς ἔσθ' ὁ προσιὼν οὑτοσί;
ΔΙ. ἀνὴρ πρότερον μὲν ἄθλιος, νῦν δ' εὐτυχής.
ΚΑ. δῆλον ὅτι τῶν χρηστῶν τις, ὡς ἔοικας, εἶ.
ΔΙ. μάλιστ'. ΚΑ. ἔπειτα τοῦ δέει; ΔΙ. πρὸς τὸν θεὸν
ἥκω· μεγάλων γάρ μοὔστὶν ἀγαθῶν αἴτιος.
ἐγὼ γὰρ ἱκανὴν οὐσίαν παρὰ τοῦ πατρὸς
λαβὼν ἐπήρκουν τοῖς δεομένοις τῶν φίλων,
εἶναι νομίζων χρήσιμον πρὸς τὸν βίον.
ΚΑ. ἦ πού σε ταχέως ἐπέλιπεν τὰ χρήματα.
ΔΙ. κομιδῇ μὲν οὖν. ΚΑ. οὐκοῦν μετὰ ταῦτ' ἦσθ' ἄθλιος.
ΔΙ. κομιδῇ μὲν οὖν. κἀγὼ μὲν ᾤμην οὓς τέως
εὐηργέτησα δεομένους ἕξειν φίλους
ὄντως βεβαίους, εἰ δεηθείην ποτέ·
οἱ δ' ἐξετρέποντο κοὐκ ἐδόκουν ὁρᾶν μ' ἔτι.
ΚΑ. καὶ κατεγέλων δ', εὖ οἶδ' ὅτι. ΔΙ. κομιδῇ μὲν οὖν.
αὐχμὸς γάρ ὢν τῶν σκευαρίων μ' ἀπώλεσεν.
ΚΑ. ἀλλ' οὐχὶ νῦν. ΔΙ. ἀνθ' ὧν ἐγὼ πρὸς τὸν θεὸν
προσευξόμενος ἥκω δικαίως ἐνθάδε.
ΚΑ. τὸ τριβώνιον δὲ τί δύναται πρὸς τὸν θεόν,
ὃ φέρει μετὰ σοῦ τὸ παιδάριον τουτί; φράσον.
ΔΙ. καὶ τοῦτ' ἀναθήσων ἔρχομαι πρὸς τὸν θεόν.
ΚΑ. μῶν ἐνεμυήθης δῆτ' ἐν αὐτῷ τὰ μεγάλα;
ΔΙ. οὔκ, ἀλλ' ἐνερρίγωσ' ἔτη τριακαίδεκα.
ΚΑ. τὰ δ' ἐμβάδια; ΔΙ. καὶ ταῦτα συνεχειμάζετο.
ΚΑ. καὶ ταῦτ' ἀναθήσων ἔφερες οὖν; ΔΙ. νὴ τὸν Δία.
ΚΑ. χαρίεντά γ' ἥκεις δῶρα τῷ θεῷ φέρων.

ΣΥΚΟΦΑΝΤΗΣ.

οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος,
καὶ τρὶς κακοδαίμων καὶ τετράκις καὶ πεντάκις
καὶ δωδεκάκις καὶ μυριάκις· ἰοὺ ἰού.
οὕτω πολυφόρῳ ξυγκέκραμαι δαίμονι.
ΚΑ. Ἄπολλον ἀποτρόπαιε καὶ θεοὶ φίλοι,
τί ποτ' ἐστὶν ὅ τι πέπονθεν ἄνθρωπος κακόν;
ΣΥ. οὐ γὰρ σχέτλια πέπονθα νυνὶ πράγματα,
ἀπολωλεκὼς ἅπαντα τἀκ τῆς οἰκίας
διὰ τὸν θεὸν τοῦτον, τὸν ἐσόμενον τυφλὸν
πάλιν αὖθις, ἤνπερ μὴ 'λλίπωσιν αἱ δίκαι;
ΔΙ. ἐγὼ σχεδὸν τὸ πρᾶγμα γιγνώσκειν δοκῶ.
προσέρχεται γάρ τις κακῶς πράττων ἀνήρ,
ἔοικε δ' εἶναι τοῦ πονηροῦ κόμματος.
ΚΑ. νὴ Δία, καλῶς τοίνυν ποιῶν ἀπόλλυται.
ΣΥ. ποῦ ποῦ 'σθ' ὁ μόνος ἅπαντας ἡμᾶς πλουσίους
ὑποσχόμενος οὗτος ποιήσειν εὐθέως,
εἰ πάλιν ἀναβλέψειεν ἐξ ἀρχῆς; ὁ δὲ
πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς.
ΚΑ. καὶ τίνα δέδρακε δῆτα τοῦτ'; ΣΥ ἐμὲ τουτονί.
ΚΑ. ἦ τῶν πονηρῶν ἦσθα καὶ τοιχωρύχων;
ΣΥ. μὰ Δί', οὐ μὲν οὖν ἔσθ' ὑγιὲς ὑμῶν οὐδενός,
κοὐκ ἔσθ' ὅπως οὐκ ἔχετέ μου τὰ χρήματα.
ΚΑ. ὡς σοβαρός, ὦ Δάματερ, εἰσελήλυθεν
ὁ συκοφάντης. δῆλον ὅτι βουλιμιᾷ.
ΣΥ. σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως οὐκ ἂν φθάνοις;
ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ σ' ἐκεῖ στρεβλούμενον

805b. οὕτω τὸ πλουτεῖν ἐστιν ἡδὺ πρᾶγμα δή.

781. ἐπεδίδουν V. ἐνεδίδουν ceteri. 788. χαίρετε] χαίρετον codex unus. 801. τῶν ἰσχάδων Suidas s. v. ἰσχάς] τὰς ἰσχάδας 805b. οὕτω — δή] Versum spurium eiecit Bentleius. 813. σαπροὺς] σαθροὺς Meinekius. 815. ἰπνὸς] εἶπον (i. e. ἶπον) ex hac fabula affert Pollux 10, 155. sive memoriae errore sive codicis sui vitio deceptus. γέγον' addunt RV, om. ceteri. Apud Athenaeum 6. p. 229f. in codice est ὁ δεῖπνος (i. e. ὁ δὲ ἰπνὸς) γέγον' ἐξαπίνης —. 823. ἕπου] δὲ addit R. Verbis ἕπου μετ' ἐμοῦ utitur grammaticus in Bekk. Anecd. p. 368. 824—958. ΚΑ.] οἰκέτης vel θεράπων R. De personarum in his versibus descriptione v. Beerius p. 99. 824. ἔα] Vel ἆ (ut v. 127.): vid. ad Thesm. 176.

834. τεὼς] τότε V. 839. Chremylo tribuit Meinekius, μ' in σ' mutato, proxima ἀλλ' οὐχὶ νῦν· ἀνθ' — viro iusto. 842. τὸν θεὸν (ut in cod. Cantabr. a m. pr.) Hemsterhusius] τῶν θεῶν 843. μετὰ σοῦ τὸ] τὸ μετὰ σοῦ Meinekius. 845. μῶν ἐνεμυήθης R. μῶν ἐμυήθης V. μῶν οὖν ἐμυήθης ceteri. 848. ἔφερες οὖν] οὖν φέρεις Meinekius. 850. ΣΥΚΟΦΑΝΤΗΣ] ἄδικος συκοφάντης V. δείλαιος] δείλαος R. 859. μὴ 'λλίπωσιν Dawesius] μὴ λίπωσιν (λείπωσιν V) 862. θεράποντι, 863. δικαίῳ tribuit R. 864. ΣΥ.] ἕτερος ἄδικος R. ἕτερος συκοφάντης cod. Dorvill. 869. 889. ΚΑ.] δικ/ R. 870. 874. ΣΥ.] ἄδικ/ R. 870. οὐδενὸς] οὐδεὲν Scaliger. 871. χρήματα] πράγματα (γρ. χρήματα) V. 873. δῆλον] Iusti persona praescripta in RV et duobus aliis.

εἰπεῖν ἃ πεπανούργηκας. ΚΑ. οἰμώξἄρα σύ.
ΔΙ. νὴ τὸν Δία τὸν σωτῆρα, πολλοῦ γ' ἄξιος
ἅπασι τοῖς Ἕλλησιν ὁ θεὸς οὗτος, εἰ
τοὺς συκοφάντας ἐξολεῖ κακοὺς κακῶς.
ΣΥ. οἴμοι τάλας· μῶν καὶ σὺ μετέχων καταγελᾷς;
ἐπεὶ πόθεν θοἰμάτιον εἴληφας τοδί;
ἐχθὲς δ' ἔχοντ' εἶδόν σ' ἐγὼ τριβώνιον.
ΔΙ. οὐδὲν προτιμῶ σου. φορῶ γὰρ πριάμενος
τὸν δακτύλιον τονδὶ παρ' Εὐδήμου δραχμῆς.
ΚΑ. ἀλλ' οὐκ ἔνεστι συκοφάντου δήγματος.
ΣΥ. ἆρ' οὐχ ὕβρις ταῦτ' ἐστὶ πολλή; σκώπτετον,
ὅ τι δὲ ποιεῖτον ἐνθάδ' οὐκ εἰρήκατον.
οὐκ ἐπ' ἀγαθῷ γὰρ ἐνθάδ' ἐστὸν οὐδενί.
ΚΑ. μὰ τὸν Δί' οὔκουν τῷ γε σῷ, σάφ' ἴσθ' ὅτι.
ΣΥ. ἀπὸ τῶν ἐμῶν γὰρ ναὶ μὰ Δία δειπνήσετον.
ΚΑ. ὡς δὴ 'π' ἀληθείᾳ σὺ μετὰ τοῦ μάρτυρος
διαρραγείης, μηδενός γ' ἐμπλήμενος.
ΣΥ. ἀρνεῖσθον; ἔνδον ἐστίν, ὦ μιαρωτάτω,
πολὺ χρῆμα τεμαχῶν καὶ κρεῶν ὠπτημένων.
ὒ ὒ ὒ ὒ ὒ ὒ ὒ ὒ ὒ ὒ ὒ.
ΚΑ. κακόδαιμον, ὀσφραίνει τι; τοῦ ψύχους ἴσως,
ἐπεὶ τοιοῦτόν γ' ἀμπέχεται τριβώνιον.
ΣΥ. ταῦτ' οὖν ἀνασχέτ' ἐστίν, ὦ Ζεῦ καὶ θεοί,
τούτους ὑβρίζειν εἰς ἔμ'; οἴμ' ὡς ἄχθομαι
ὅτι χρηστὸς ὢν καὶ φιλόπολις πάσχω κακῶς.
ΔΙ. σὺ φιλόπολις καὶ χρηστός; ΣΥ. ὡς οὐδείς γ' ἀνήρ.
ΔΙ. καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι, ΣΥ. τὸ τί;
ΔΙ. γεωργὸς εἶ; ΣΥ. μελαγχολᾶν μ' οὕτως οἴει;
ΔΙ. ἀλλ' ἔμπορος; ΣΥ. ναί, σκήπτομαί γ', ὅταν τύχω.
ΔΙ. τί δαί; τέχνην τιν' ἔμαθες; ΣΥ. οὐ μὰ τὸν Δία.
ΔΙ. πῶς οὖν διέζης ἢ πόθεν μηδὲν ποιῶν;
ΣΥ. τῶν τῆς πόλεώς εἰμ' ἐπιμελητὴς πραγμάτων
καὶ τῶν ἰδίων πάντων. ΔΙ. σύ; τί παθών; ΣΥ. βούλομαι.
ΔΙ. πῶς οὖν ἂν εἴης χρηστός, ὦ τοιχωρύχε,
εἴ σοι προσῆκον μηδὲν εἶτ' ἀπεχθάνει;
ΣΥ. οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ μοι πόλιν
εὐεργετεῖν, ὦ κέπφε, καθ' ὅσον ἂν σθένω;
ΔΙ. εὐεργετεῖν οὖν ἐστι τὸ πολυπραγμονεῖν;
ΣΥ. τὸ μὲν οὖν βοηθεῖν τοῖς νόμοις τοῖς κειμένοις
καὶ μὴ 'πιτρέπειν ἐάν τις ἐξαμαρτάνῃ.
ΔΙ. οὔκουν δικαστὰς ἐξεπίτηδες ἡ πόλις
ἄρχειν καθίστησιν; ΣΥ. κατηγορεῖ δὲ τίς;
ΔΙ. ὁ βουλόμενος. ΣΥ. οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
ὥστ' εἰς ἔμ' ἥκει τῆς πόλεως τὰ πράγματα.
ΔΙ. νὴ Δία, πονηρόν τἄρα προστάτην ἔχει.
ἐκεῖνο δ' οὐ βούλοι' ἄν, ἡσυχίαν ἔχων
ζῆν ἀργός; ΣΥ. ἀλλὰ προβατίου βίον λέγεις,
εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ.
ΔΙ. οὐδ' ἂν μεταμάθοις; ΣΥ. οὐδ' ἂν εἰ δοίης γέ μοι
τὸν Πλοῦτον αὐτὸν καὶ τὸ Βάττου σίλφιον.
ΔΙ. κατάθου ταχέως θοἰμάτιον. ΚΑ. οὗτος, σοὶ λέγει.
ΔΙ. ἔπειθ' ὑπόλυσαι. ΚΑ. πάντα ταῦτα σοὶ λέγει.
ΣΥ. καὶ μὴν προσελθέτω πρὸς ἔμ' ὑμῶν ἐνθαδὶ
ὁ βουλόμενος. ΚΑ. οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
ΣΥ. οἴμοι τάλας, ἀποδύομαι μεθ' ἡμέραν.
ΚΑ. σὺ γὰρ ἀξιοῖς τἀλλότρια πράττων ἐσθίειν.
ΣΥ. ὁρᾷς ἃ ποιεῖ; ταῦτ' ἐγὼ μαρτύρομαι.
ΔΙ. ἀλλ' οἴχεται φεύγων ὃν ἦγες μάρτυρα.
ΣΥ. οἴμοι περιείλημμαι μόνος. ΚΑ. νυνὶ βοᾷς;
ΣΥ. οἴμοι μάλ' αὖθις. ΚΑ. δὸς σύ μοι τὸ τριβώνιον,
ἵν' ἀμφιέσω τὸν συκοφάντην τουτονί.
ΔΙ. μὴ δῆθ'· ἱερὸν γάρ ἐστι τοῦ Πλούτου πάλαι.
ΚΑ. ἔπειτα ποῦ κάλλιον ἀνατεθήσεται
ἢ περὶ πονηρὸν ἄνδρα καὶ τοιχωρύχον;
Πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει.
ΔΙ. τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις; εἰπέ μοι.
ΚΑ. καὶ ταῦτα πρὸς τὸ μέτωπον αὐτίκα δὴ μάλα
ὥσπερ κοτίνῳ προσπατταλεύσω τουτῳί.
ΣΥ. ἄπειμι· γιγνώσκω γὰρ ἥττων ὢν πολὺ
ὑμῶν· ἐὰν δὲ ξύζυγον λάβω τινὰ
καὶ σύκινον, τοῦτον τὸν ἰσχυρὸν θεὸν
ἐγὼ ποιήσω τήμερον δοῦναι δίκην,
ὁτιὴ καταλύει περιφανῶς εἷς ὢν μόνος
τὴν δημοκρατίαν, οὔτε τὴν βουλὴν πιθὼν
τὴν τῶν πολιτῶν οὔτε τὴν ἐκκλησίαν.
ΔΙ. καὶ μὴν ἐπειδὴ τὴν πανοπλίαν τὴν ἐμὴν
ἔχων βαδίζεις, ἐς τὸ βαλανεῖον τρέχε·
ἔπειτ' ἐκεῖ κορυφαῖος ἑστηκὼς θέρου.
κἀγὼ γὰρ εἶχον τὴν στάσιν ταύτην ποτέ.
ΚΑ. ἀλλ' ὁ βαλανεὺς ἕλξει θύραζ' αὐτὸν λαβὼν
τῶν ὀρχιπέδων· ἰδὼν γὰρ αὐτὸν γνώσεται
[ὅτι ἔστ' ἐκείνου τοῦ πονηροῦ κόμματος].
νὼ δ' εἰσίωμεν, ἵνα προσεύξῃ τὸν θεόν.

[ΧΟΡΟΥ.]

ΓΡΑΥΣ.

ἆρ', ὦ φίλοι γέροντες, ἐπὶ τὴν οἰκίαν
ἀφίγμεθ' ὄντως τοῦ νέου τούτου θεοῦ,
ἢ τῆς ὁδοῦ τὸ παράπαν ἡμαρτήκαμεν;
ΧΟ. ἀλλ' ἴσθ' ἐπ' αὐτὰς τὰς θύρας ἀφιγμένη,
ὦ μειρακίσκη· πυνθάνει γὰρ ὡρικῶς.
ΓΡ. φέρε νυν ἐγὼ τῶν ἔνδοθεν καλέσω τινά.
ΧΡ. μὴ δῆτ'· ἐγὼ γὰρ αὐτὸς ἐξελήλυθα.
ἀλλ' ὅ τι μάλιστ' ἐλήλυθας λέγειν σ' ἐχρῆν.
ΓΡ. πέπονθα δεινὰ καὶ παράνομ', ὦ φίλτατε·
ἀφ' οὗ γὰρ ὁ θεὸς οὗτος ἤρξατο βλέπειν,
ἀβίωτον εἶναί μοι πεποίηκε τὸν βίον.
ΧΡ. τί δ' ἔστιν; ἦ που καὶ σὺ συκοφάντρια
ἐν ταῖς γυναιξὶν ἦσθα; ΓΡ. μὰ Δί' ἐγὼ μὲν οὔ.
ΧΡ. ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι;
ΓΡ. σκώπτεις· ἐγὼ δὲ κατακέκνισμαι δειλάκρα.
ΧΡ. οὔκουν ἐρεῖς ἀνύσασα τὸν κνισμὸν τίνα;
ΓΡ. ἄκουέ νυν. ἦν μοί τι μειράκιον φίλον,
πενιχρὸν μέν, ἄλλως δ' εὐπρόσωπον καὶ καλὸν
καὶ χρηστόν· εἰ γάρ του δεηθείην ἐγώ,
ἅπαντ' ἐποίει κοσμίως μοι καὶ καλῶς·
ἐγὼ δ' ἐκείνῳ γ' αὖ τὰ πάνθ' ὑπηρέτουν.
ΧΡ. τί δ' ἦν ὅ τι σου μάλιστ' ἐδεῖθ' ἑκάστοτε;
ΓΡ. οὐ πολλά· καὶ γὰρ ἐκνομίως μ' ᾐσχύνετο.

---

876. οἰμώξἄρα (ut κλαύσἄρα Pac. 532.) D.] οἴμωξ' ἄρα R. οἴμωζ' ἄρα ceteri. 878. θεὸς Brunckius] θεὸς ἔσθ' οὗτος, εἰ] οὑτοσὶ R aliique (qui in initio versus proximi εἰ τοὺς), ὅτι V. 885. ΚΑ. om. R. 886. ΣΥ.] ἕτερος ἄδικ/ R. 892. ἐμπλήμενος Brunckius] ἐμπλησμένος RV. ἐμπεπλησμένος ceteri. 893. ἔνδον] ἔνδον δ' V. 897. τοιοῦτόν γ'] γ' om. V. ἀμπέχεται] ἀμφιεῖ Meinekius. Futurum requiri viderat Ad. de Velsen in Symbola Phil. Bonnensium p. 417. qui coniecerat ἐπεὶ τοιοῦτ' ἀμφέξεται τριβώνιον. 904. τύχω] τύχῃ Hemsterhusius: quod fortasse legit scholiasta, qui explicat ὅταν γένηται καιρὸς πολέμου. 908. παθών D.] μαθὼν 915. ἐάν] ἤν R aliique: unde ποτ' ἤν Aldus. 916. ἄρχειν] ἀρχὴν Dobraeus. Vid. L. Dindorfius ad Xen. De vectig. 2, 7. 919. ὥστ'] ὡς Meinekius.

927. πάντα ταῦτα] ταῦτα πάντα libri aliquot. Conf. ad v. 1087. 932. ποιεῖ Hemsterhusius] ποιεῖς 937. ΔΙ.] συκο/ R. 942. τὸ μέτωπον αὐτίκα δὴ μάλα] τὰ μέτωπα δῆτ' αὐτίκα μαλα Meinekius. 946. καὶ] κἂν Hemsterhusius. 957. ὅτι — κόμματος] Versum ex v. 862. ἔοικε δ' εἶναι τοῦ πονηροῦ κόμματος fictum recte delere videtur Hamakerus Mnemos. 2. p. 17. 975. ἦν Kusterus] ἦν δή (δή om. cod. Dorvill. in quo νῦν γ' ἦν μοι) 979. γ' αὖ τὰ πάνθ' Holdenus] ταῦτα πάνθ' vel πάντα ταῦθ'

ἀλλ᾽ ἀργυρίου δραχμὰς ἂν ᾔτησ᾽ εἴκοσιν
εἰς ἱμάτιον, ὀκτὼ δ᾽ ἂν εἰς ὑποδήματα·
καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον
ἐκέλευσεν ἄν, τῇ μητρί θ᾽ ἱματίδιον·
πυρῶν τ᾽ ἂν ἐδεήθη μεδίμνων τεττάρων.
ΧΡ. οὐ πολλὰ τοίνυν μὰ τὸν Ἀπόλλω ταῦτά γε
εἴρηκας, ἀλλὰ δῆλον ὅτι σ᾽ ᾐσχύνετο.
ΓΡ. καὶ ταῦτα τοίνυν οὐχ ἕνεκεν μιστητίας
αἰτεῖν μ᾽ ἔφασκεν, ἀλλὰ φιλίας οὕνεκα,
ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου.
ΧΡ. λέγεις ἐρῶντ᾽ ἄνθρωπον ἐκνομιώτατα.
ΓΡ. ἀλλ᾽ οὐχὶ νῦν ὁ βδελυρὸς ἔτι τὸν νοῦν ἔχει
τὸν αὐτόν, ἀλλὰ πολὺ μεθέστηκεν πάνυ.
ἐμοῦ γὰρ αὐτῷ τὸν πλακοῦντα τουτονὶ
καὶ τἄλλα τἀπὶ τοῦ πίνακος τραγήματα
ἐπόντα πεμψάσης ὑπειπούσης θ᾽ ὅτι
εἰς ἑσπέραν ἥξοιμι, ΧΡ. τί σ᾽ ἔδρασ᾽; εἰπέ μοι.
ΓΡ. ἄμητα προσαπέπεμψεν ἡμῖν τουτονί,
ἐφ᾽ ᾧ τ᾽ ἐκεῖσε μηδέποτέ μ᾽ ἐλθεῖν ἔτι,
καὶ πρὸς ἐπὶ τούτοις εἶπεν ἀποπέμπων ὅτι
πάλαι ποτ᾽ ἦσαν ἄλκιμοι Μιλήσιοι.
ΧΡ. δῆλον ὅτι τοὺς τρόπους τις οὐ μοχθηρὸς ἦν.
ἔπειτα πλουτῶν οὐκέθ᾽ ἥδεται φακῇ·
πρὸ τοῦ δ᾽ ὑπὸ τῆς πενίας ἅπαντ᾽ ἐπήσθιεν.
ΓΡ. καὶ μὴν πρὸ τοῦ γ᾽ ὁσημέραι, νὴ τὼ θεώ,
ἐπὶ τὴν θύραν ἐβάδιζεν ἀεὶ τὴν ἐμήν.
ΧΡ. ἐπ᾽ ἐκφοράν; ΓΡ. μὰ Δί᾽, ἀλλὰ τῆς φωνῆς μόνον
ἐρῶν ἀκοῦσαι. ΧΡ. τοῦ λαβεῖν μὲν οὖν χάριν.
ΓΡ. καὶ νὴ Δί᾽ εἰ λυπουμένην αἴσθοιτό με,
νηττάριον ἂν καὶ φάβιον ὑπεκορίζετο.
ΧΡ. ἔπειτ᾽ ἴσως ᾔτησ᾽ ἂν εἰς ὑποδήματα.
ΓΡ. μυστηρίοις δὲ τοῖς μεγάλοις ὀχουμένην
ἐπὶ τῆς ἁμάξης ὅτι προσέβλεψέν μέ τις,
ἐτυπτόμην διὰ τοῦθ᾽ ὅλην τὴν ἡμέραν.
οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.
ΧΡ. μόνος γὰρ ἥδεθ᾽, ὡς ἔοικεν, ἐσθίων.
ΓΡ. καὶ τάς γε χεῖρας παγκάλας ἔχειν μ᾽ ἔφη.
ΧΡ. ὁπότε προτείνοιέν γε δαρχμὰς εἴκοσιν.
ΓΡ. ὄζειν τε τῆς χροιᾶς ἔφασκεν ἡδύ με,
ΧΡ. εἰ Θάσιον ἐνέχεις, εἰκότως γε νὴ Δία.
ΓΡ. τὸ βλέμμα θ᾽ ὡς ἔχοιμι μαλακὸν καὶ καλόν.
ΧΡ. οὐ σκαιὸς ἦν ἄνθρωπος, ἀλλ᾽ ἠπίστατο
γραὸς καπρώσης τἀφόδια κατεσθίειν.
ΓΡ. ταῦτ᾽ οὖν ὁ θεός, ὦ φίλ᾽ ἄνερ, οὐκ ὀρθῶς ποιεῖ,
φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί.
ΧΡ. τί γὰρ ποιήσῃ; φράζε, καὶ πεπράξεται.
ΓΡ. ἀναγκάσαι δίκαιόν ἐστι νὴ Δία
τὸν εὖ παθόνθ᾽ ὑπ᾽ ἐμοῦ πάλιν μ᾽ ἀντευποιεῖν·

---

985. μητρί θ᾽ ἱματίδιον Dawesius] μητρί τε θοἰματίδιον 993. νῦν] νῦν γ᾽ nonnulli. τοίνυν R. ἔτι addidit Brunckius. 1005. ἅπαντ᾽ ἐπήσθιεν Athenaeus 4. p. 170. ubi de verbo ἐπεσθίειν agit (ἐπήσθιον codex)] ἅπαντ᾽ ὑπήισθιεν R. ἅπαντά γ᾽ ἤσθιεν V. ἅπαντα κατήσθιεν deteriores. ἅπαντ᾽ ἂν ἤσθιεν Meinekius. 1010. λυπουμένην R. λυπουμένην γ᾽ ceteri. 1011. νησσάριον (debebat νηττάριον) Faber ad Lucret. 4, 1164.] νιτάριον R et, qui νιτάριόν γ᾽, V. νιττάριον alii cum Suida s. h. v. et Thoma Mag. s. v. ὑποκορίζομαι. φάβιον (*columbula*, deminutivum voc. φάψ) Meinekius] βάτιον. φάττιον Bentleius. Scripturam corruptam νιτάριον καὶ βάτιον inepte interpretati sunt grammatici ab scholiasta memorati. 1013. μεγάλοις ὀχουμένην] μεγάλοισι νὴ Δία V. 1018. παγκάλας RV aliique. παγκάλους alii. 1019. δαρχμὰς Bergkius] δραχμὰς 1020. χροιᾶς R. χρόας ceteri. με H. Stephanus] μου 1027. ποιήσῃ Bekkerus] ποιήσει 1029. μ᾽ om. RV. ἀντευποιεῖν] ἀντ᾽ εὖ ποιεῖν R.

ἢ μηδ᾽ ὁτιοῦν ἀγαθὸν δίκαιός ἐστ᾽ ἔχειν.
ΧΡ. οὔκουν καθ᾽ ἑκάστην ἀπεδίδου τὴν νύκτα σοι;
ΓΡ. ἀλλ᾽ οὐδέποτέ με ζῶσαν ἀπολείψειν ἔφη.
ΧΡ. ὀρθῶς γε· νυνδί σ᾽ οὐκέτι ζῆν οἴεται.
ΓΡ. ὑπὸ τοῦ γὰρ ἄλγους κατατέτηκ᾽, ὦ φίλτατε.
ΧΡ. οὔκ, ἀλλὰ κατασέσηπας, ὥς γ᾽ ἐμοὶ δοκεῖς.
ΓΡ. διὰ δακτυλίου μὲν οὖν ἐμέ γ᾽ ἂν διελκύσαις.
ΧΡ. εἰ τυγχάνοι γ᾽ ὁ δακτύλιος ὢν τηλία.
ΓΡ. καὶ μὴν τὸ μειράκιον τοδὶ προσέρχεται,
οὗπερ πάλαι κατηγοροῦσα τυγχάνω·
ἔοικε δ᾽ ἐπὶ κῶμον βαδίζειν. ΧΡ. φαίνεται.
στεφάνους γέ τοι καὶ δᾷδ᾽ ἔχων πορεύεται.
ΝΕ. ἀσπάζομαι. ΓΡ. τί φησιν; ΝΕ. ἀρχαία φίλη,
πολιὰ γεγένησαι ταχύ γε, νὴ τὸν οὐρανόν.
ΓΡ. τάλαιν᾽ ἐγὼ τῆς ὕβρεος ἧς ὑβρίζομαι.
ΧΡ. ἔοικε διὰ πολλοῦ χρόνου σ᾽ ἑορακέναι.
ΓΡ. ποίου χρόνου, ταλάνταθ᾽, ὃς παρ᾽ ἐμοὶ χθὲς ἦν·
ΧΡ. τοὐναντίον πέπονθε τοῖς πολλοῖς ἄρα·
μεθύων γάρ, ὡς ἔοικεν, ὀξύτερον βλέπει.
ΓΡ. οὔκ, ἀλλ᾽ ἀκόλαστός ἐστιν ἀεὶ τοὺς τρόπους.
ΝΕ. ὦ Ποντοπόσειδον καὶ θεοὶ πρεσβυτικοί,
ἐν τῷ προσώπῳ τῶν ῥυτίδων ὅσας ἔχει.
ΓΡ. ἀᾶ.
τὴν δᾷδα μή μοι πρόσφερ᾽. ΧΡ. εὖ μέντοι λέγει.
ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ λάβῃ,
ὥσπερ παλαιὰν εἰρεσιώνην καύσεται.
ΝΕ. βούλει διὰ χρόνου πρός με παῖσαι; ΓΡ. ποῖ, τάλαν;
ΝΕ. αὐτοῦ, λαβοῦσα κάρυα. ΓΡ. παιδιὰν τίνα;
ΝΕ. πόσους ἔχεις ὀδόντας. ΧΡ. ἀλλὰ γνώσομαι
κἄγωγ᾽· ἔχει γὰρ τρεῖς ἴσως ἢ τέτταρας.
ΝΕ. ἀπότισον· ἕνα γὰρ γόμφιον μόνον φορεῖ.
ΓΡ. ταλάντατ᾽ ἀνδρῶν, οὐχ ὑγιαίνειν μοι δοκεῖς,
πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.
ΝΕ. ὄναιο μέντἄν, εἴ τις ἐκπλύνειέ σε.
ΧΡ. οὐ δῆτ᾽, ἐπεὶ νῦν μὲν καπηλικῶς ἔχει,
εἰ δ᾽ ἐκπλυνεῖται τοῦτο τὸ ψιμύθιον,
ὄψει κατάδηλα τοῦ προσώπου τὰ ῥάκη.
ΓΡ. γέρων ἀνὴρ ὢν οὐχ ὑγιαίνειν μοι δοκεῖς.
ΝΕ. πειρᾷ μὲν οὖν ἴσως σε καὶ τῶν τιτθίων
ἐφάπτεταί σου λανθάνειν δοκῶν ἐμέ.
ΓΡ. μὰ τὴν Ἀφροδίτην, οὐκ ἐμοῦ γ᾽, ὦ βδελυρὲ σύ.
ΧΡ. μὰ τὴν Ἑκάτην, οὐ δῆτα· μαινοίμην γὰρ ἄν.
ἀλλ᾽, ὦ νεανίσκ᾽, οὐκ ἐῶ τὴν μείρακα
μισεῖν σε ταύτην. ΝΕ. ἀλλ᾽ ἔγωγ᾽ ὑπερφιλῶ.
ΧΡ. καὶ μὴν κατηγορεῖ γέ σου. ΝΕ. τί κατηγορεῖ;
ΧΡ. εἶναί σ᾽ ὑβριστήν φησι καὶ λέγειν ὅτι
πάλαι ποτ᾽ ἦσαν ἄλκιμοι Μιλήσιοι.
ΝΕ. ἐγὼ περὶ ταύτης οὐ μαχοῦμαί σοι. ΧΡ. τὸ τί;
ΝΕ. αἰσχυνόμενος τὴν ἡλικίαν τὴν σήν, ἐπεὶ
οὐκ ἂν ποτ᾽ ἄλλῳ τοῦτό γ᾽ ἐπέτρεπον ποιεῖν·
νῦν δ᾽ ἄπιθι χαίρων ξυλλαβὼν τὴν μείρακα.
ΧΡ. οἶδ᾽ οἶδα τὸν νοῦν· οὐκέτ᾽ ἀξιοῖς ἴσως
εἶναι μετ᾽ αὐτῆς. ΓΡ. ὁ δ᾽ ἐπιτρέψων ἐστὶ τίς;

---

1030. δίκαιος Brunckius] δίκαιον 1033. νυνδί σ᾽ οὐκέτι ζῆν οἴεται D.] νῦν δέ γ᾽ (γ᾽ om. nonnulli) οὐκέτι ζῆν (σε ζῆν R) οἴεται 1034. ὑπὸ] ἀπὸ R. 1037. τηλία] τηλίας R. 1041. δᾷδ᾽] δᾶιδας R. 1042. τί] σέ R. 1044. ἐγὼ] ἔγωγε R. ὕβρεος] ὕβρεως RV aliique. ὑβρίζομαι] αἰσχύνομαι V. 1045. ἑορακέναι R. ἑωρακέναι ceteri. 1047. πολλοῖς] ἄλλοις V. 1052. ἀᾶ D.] ἆ ἆ (ἆ ἆ scholiasta) 1053. λάβῃ] βάλῃ Meinekius. 1055. πρός με] πρὸς ἐμὲ Herwerdenus. παῖσαι] παῖξαι V. ποῖ] ποῦ Herwerdenus. 1078. τοῦτό γ᾽ Brunckius] τοῦτ᾽ ἐπέτρεπον ποιεῖν] ἐπέτρεψ᾽ ἐγὼ ποιεῖν V: quod correctoris est qui non animadverterat γε post τοῦτο excidisse.

ΝΕ. οὐκ ἂν διαλεχθείην διεσπλεκωμένη
ὑπὸ μυρίων ἐτῶν τε καὶ τρισχιλίων.
ΧΡ. ὅμως δ' ἐπειδὴ καὶ τὸν οἶνον ἠξίους
πίνειν, ξυνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα.
ΝΕ. ἀλλ' ἔστι κομιδῇ τρὺξ παλαιὰ καὶ σαπρά.
ΧΡ. οὐκοῦν τρύγοιπος ταῦτα πάντ' ἰάσεται.
ΝΕ. ἀλλ' εἴσιθ' εἴσω· τῷ θεῷ γὰρ βούλομαι
ἐλθὼν ἀναθεῖναι τοὺς στεφάνους τούσδ' ὡς ἔχω.
ΓΡ. ἐγὼ δέ γ' αὐτῷ καὶ φράσαι τι βούλομαι.
ΝΕ. ἐγὼ δέ γ' οὐκ εἴσειμι. ΧΡ. θάρρει, μὴ φοβοῦ.
οὐ γὰρ βιάσεται. ΝΕ. πάνυ καλῶς τοίνυν λέγεις.
ἱκανὸν γὰρ αὐτὴν πρότερον ὑπεπίττουν χρόνον.
ΓΡ. βάδιζ'· ἐγὼ δέ σου κατόπιν εἰσέρχομαι.
ΧΡ. ὡς εὐτόνως, ὦ Ζεῦ βασιλεῦ, τὸ γρᾴδιον
ὥσπερ λεπὰς τῷ μειρακίῳ προσίσχεται.

[ΧΟΡΟΥ.]

ΚΑ. τίς ἔσθ' ὁ κόπτων τὴν θύραν; τουτὶ τί ἦν;
οὐδεὶς ἔοικεν· ἀλλὰ δῆτα τὸ θύριον
φθεγγόμενον ἄλλως κλαυσιᾷ. ΕΡΜΗΣ. σέ τοι λέγω,
ὦ Καρίων, ἀνάμεινον. ΚΑ. οὗτος, εἰπέ μοι,
σὺ τὴν θύραν ἔκοπτες οὑτωσὶ σφόδρα;
ΕΡ. μὰ Δί', ἀλλ' ἔμελλον· εἶτ' ἀνέῳξάς με φθάσας.
ἀλλ' ἐκκάλει τὸν δεσπότην τρέχων ταχύ,
ἔπειτα τὴν γυναῖκα καὶ τὰ παιδία,
ἔπειτα τοὺς θεράποντας, εἶτα τὴν κύνα,
ἔπειτα σαυτόν, εἶτα τὴν ὗν. ΚΑ. εἰπέ μοι,
τί δ' ἔστιν; ΕΡ. ὁ Ζεύς, ὦ πονηρέ, βούλεται
ἐς ταυτὸν ὑμᾶς ξυγκυκήσας τρύβλιον
ἁπαξάπαντας ἐς τὸ βάραθρον ἐμβαλεῖν.
ΚΑ. ἡ γλῶττα τῷ κήρυκι τούτων γίγνεται.
ἀτὰρ τιὴ δὴ ταῦτ' ἐπιβουλεύει ποιεῖν
ἡμᾶς; ΕΡ. ὁτιὴ δεινότατα πάντων πραγμάτων
εἴργασθ'. ἀφ' οὗ γὰρ ἤρξατ' ἐξ ἀρχῆς βλέπειν
ὁ Πλοῦτος, οὐδεὶς οὐ λιβανωτόν, οὐ δάφνην,
οὐ ψαιστόν, οὐχ ἱερεῖον, οὐκ ἄλλ' οὐδεέν
ἡμῖν ἔτι θύει τοῖς θεοῖς. ΚΑ. μὰ Δί', οὐδέ γε
θύσει. κακῶς γὰρ ἐπεμέλεσθ' ἡμῶν τότε.
ΕΡ. καὶ τῶν μὲν ἄλλων μοι θεῶν ἧττον μέλει,
ἐγὼ δ' ἀπόλωλα κἀπιτέτριμμαι. ΚΑ. σωφρονεῖς.
ΕΡ. πρότερον γὰρ εἶχον μὲν παρὰ ταῖς καπήλισιν
πάντ' ἀγάθ' ἕωθεν εὐθύς,,οἰνοῦτταν, μέλι,
ἰσχάδας, ὅσ' εἰκός ἐστιν Ἑρμῆν ἐσθίειν·
νυνὶ δὲ πεινῶν ἀναβάδην ἀναπαύομαι.
ΚΑ. οὔκουν δικαίως, ὅστις ἐποίεις ζημίαν
ἐνίοτε τοιαῦτ' ἀγάθ' ἔχων; ΕΡ. οἴμοι τάλας,
οἴμοι πλακοῦντος τοῦ 'ν τετράδι πεπεμμένου.
ΚΑ. ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.
ΕΡ. οἴμοι δὲ κωλῆς ἧς ἐγὼ κατήσθιον·
ΚΑ. ἀσκωλίαζ' ἐνταῦθα πρὸς τὴν αἰθρίαν.
ΕΡ. σπλάγχνων τε θερμῶν ὧν ἐγὼ κατήσθιον.
ΚΑ. ὀδύνη σε περὶ τὰ σπλάγχν' ἔοικέ τις στρέφειν.
ΕΡ. οἴμοι δὲ κύλικος ἴσον ἴσῳ κεκραμένης.
ΚΑ. ταύτην ἐπιπιὼν ἀποτρέχων οὐκ ἂν φθάνοις.
ΕΡ. ἆρ' ὠφελήσαις ἄν τι τὸν σαυτοῦ φίλον;
ΚΑ. εἴ του δέει γ' ὧν δυνατός εἰμί σ' ὠφελεῖν.
ΕΡ. εἴ μοι πορίσας ἄρτον τιν' εὖ πεπεμμένον
δοίης καταφαγεῖν καὶ κρέας νεανικὸν
ὧν θύεθ' ὑμεῖς ἔνδον. ΚΑ. ἀλλ' οὐκ ἔκφορα.
ΕΡ. καὶ μὴν ὁπότε τι σκευάριον τοῦ δεσπότου
ὑφέλοι', ἐγώ σ' ἂν λανθάνειν ἐποίουν ἀεί.
ΚΑ. ἐφ' ᾧ τε μετέχειν καὐτός, ὦ τοιχωρύχε.
ἧκεν γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος.
ΕΡ. ἔπειτα τοῦτόν γ' αὐτὸς ἂν κατήσθιες.
ΚΑ. οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί,
ὁπότε τι ληφθείην πανουργήσας ἐγώ.
ΕΡ. μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες.
ἀλλὰ ξύνοικον πρὸς θεῶν δέξασθέ με.
ΚΑ. ἔπειτ' ἀπολιπὼν τοὺς θεοὺς ἐνθάδε μενεῖς;
ΕΡ. τὰ γὰρ παρ' ὑμῖν ἐστι βελτίω πολύ.
ΚΑ. τί δέ; ταὐτομολεῖν ἀστεῖον εἶναί σοι δοκεῖ;
ΕΡ. πατρὶς γάρ ἐστι πᾶσ' ἵν' ἂν πράττῃ τις εὖ.
ΚΑ. τί δῆτ' ἂν εἴης ὄφελος ἡμῖν ἐνθάδ' ὤν;
ΕΡ. παρὰ τὴν θύραν στροφαῖον ἱδρύσασθέ με.
ΚΑ. στροφαῖον; ἀλλ' οὐκ ἔργον ἔστ' οὐδὲν στροφῶν.
ΕΡ. ἀλλ' ἐμπολαῖον. ΚΑ. ἀλλὰ πλουτοῦμεν· τί οὖν
Ἑρμῆν παλιγκάπηλον ἡμᾶς δεῖ τρέφειν;
ΕΡ. ἀλλὰ δόλιον τοίνυν. ΚΑ. δόλιον; ἥκιστά γε·
οὐ γὰρ δόλου νῦν ἔργον, ἀλλ' ἁπλῶν τρόπων.
ΕΡ. ἀλλ' ἡγεμόνιον. ΚΑ. ἀλλ' ὁ θεὸς ἤδη βλέπει,
ὥσθ' ἡγεμόνος οὐδὲν δεησόμεσθ' ἔτι.
ΕΡ. ἐναγώνιος τοίνυν ἔσομαι. καὶ τί ἔτ' ἐρεῖς;
Πλούτῳ γάρ ἐστι τοῦτο συμφορώτατον,
ποιεῖν ἀγῶνας μουσικοὺς καὶ γυμνικούς.
ΚΑ. ὡς ἀγαθόν ἐστ' ἐπωνυμίας πολλὰς ἔχειν·
οὗτος γὰρ ἐξηύρηκεν αὑτῷ βιότιον.
οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες θαμὰ
σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν.
ΕΡ. οὐκοῦν ἐπὶ τούτοις εἰσίω; ΚΑ. καὶ πλῦνέ γε
αὐτὸς προσελθὼν πρὸς τὸ φρέαρ τὰς κοιλίας,
ἵν' εὐθέως διακονικὸς εἶναι δοκῇς.

ΙΕΡΕΥΣ.

τίς ἂν φράσειε ποῦ 'στι Χρεμύλος μοι σαφῶς;
ΧΡ. τί δ' ἔστιν, ὦ βέλτιστε; ΙΕ. τί γὰρ ἀλλ' ἢ κακῶς
ἀπόλωλ' ὑπὸ λιμοῦ. καταφαγεῖν γὰρ οὐκ ἔχω,
καὶ ταῦτα τοῦ σωτῆρος ἱερεὺς ὢν Διός.
ΧΡ. ἡ δ' αἰτία τίς ἐστιν, ὦ πρὸς τῶν θεῶν;
ΙΕ. θύειν ἔτ' οὐδεὶς ἀξιοῖ. ΧΡ. τίνος οὕνεκα;
ΙΕ. ὅτι πάντες εἰσὶ πλούσιοι· καίτοι τότε,
ὅτ' εἶχον οὐδέν, ὁ μὲν ἂν ἥκων ἔμπορος
ἔθυσεν ἱερεῖόν τι σωθείς, ὁ δέ τις ἂν
δίκην ἀποφυγών, ὁ δ' ἂν ἐκαλλιερεῖτό τις,
κἀμέ γ' ἐκάλει τὸν ἱερέα· νῦν δ' οὐδεεὶς
θύει τὸ παράπαν οὐδέν, οὐδ' εἰσέρχεται,

1173. ἀφ' οὗ γὰρ ὁ Πλοῦτος οὗτος ἤρξατο βλέπειν

---

1082. ὑπὸ] ἀπὸ Kusterus. τε D.] γε 1084. δ' om. R. 1087. ταῦτα πάντ'] πάντα ταῦτ' V. 1088. γὰρ] γ' οὖν R. γοῦν V. 1089. ὡς (ut Eq. 488.) R. οὓς ceteri. 1093. ὑπεπίττουν] ὑπέπιττον R. γρ. ὑπεπείρων V. 1096. προσίσχεται] προσείχετο RV. 1100. ὦ] ὁ cod. Par. A. 1103. τρέχων] δραμὼν Meinekius. 1110. γίνεται R et γρ. V cum Eustathio p. 1471, 3. τέμνεται ceteri. De usu illo verbi γίγνεσθαι dixi in Thesauro vol. 2. p. 626. 1111. τιὴ δὴ Meinekius] διὰ τί δὴ R et cod. Dorvill. διὰ τί γε ceteri, nisi quod γε om. V et Mut. unus. 1115. Eadem fere verba v. 138. οὐδεέν] οὐδὲ ἓν libri. 1116. ἔτι θύει V. ἐπιθύει ceteri. 1117. ἐπεμέλεσθ' D.] ἐπεμελεῖσθ'. Vid. ad Vesp. 154. 1120. μὲν om. RV aliique. ἂν Dobraeus. 1124. ζημίαν] ζημίας V. 1131. περί V. πρὸς ceteri. ἔοικέ τις στρέφειν codex Mut. ἔοικέ τι στρέφειν RV. ἔοικ' ἐπιστρέφειν ceteri.

1139. ὁπότε τι] ὅτε γε R. 1140. ὑφέλοι' Dawesius] ὑφέλοις vel ὑφέλου σ' ἂν R. σε ceteri. 1143. τοῦτον] τὸ πλέον Meinekius. 1153. στροφαῖον] Male Theognostus Can. p. 53, 14. στρεψαῖος ὁ Ἑρμῆς παρὰ τῷ Ἀριστοφάνει, παρὰ τὸ διεστράφθαι τὰς ὄψεις. 1161. καὶ τί ἔτ'] τί δῆτ' V. 1170. εἶναι Brunckius] εἶναί μοι 1171. ΙΕΡΕΥΣ] τοῦ διόσ addit R. φράσειε ποῦ] φράσει' ὅπου Cobetus. 1173. Versum spurium ἀφ' οὗ γὰρ ὁ Πλοῦτος οὗτος (οὗτος om. R) ἤρξατο βλέπειν ex v. 968. huc illatum eiecit Ad. de Velsen in Symbola Philologorum Bonnensium p. 420. In V interpolatum ἀφ' οὗ γὰρ βλεπειν (fort. ἀφ' οὗ γὰρ αὖ βλέπειν) ὁ Πλοῦτος ἤρξατο. 1182. οὐδεεὶς] οὐδὲ εἷς libri.

πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι.
ΧΡ. οὔκουν τὰ νομιζόμενα σὺ τούτων λαμβάνεις;
ΙΕ. τὸν οὖν Δία τὸν σωτῆρα καὐτός μοι δοκῶ
χαίρειν ἐάσας ἐνθάδ᾽ αὐτοῦ καταμενεῖν.
ΧΡ. θάρρει· καλῶς ἔσται γάρ, ἢν θεὸς θέλῃ.
ὁ Ζεὺς ὁ σωτὴρ γὰρ πάρεστιν ἐνθάδε,
αὐτόματος ἥκων. ΙΕ. πάντ᾽ ἀγαθὰ τοίνυν λέγεις.
ΧΡ. ἱδρυσόμεσθ᾽ αὐτίκα μάλ᾽, ἀλλὰ περίμενε,
τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος,
τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.
ἀλλ᾽ ἐκδότω τις δεῦρο δᾷδας ἡμμένας,
ἵν᾽ ἔχων προηγῇ τῷ θεῷ σύ. ΙΕ. πάνυ μὲν οὖν
δρᾶν ταῦτα χρή. ΧΡ. τὸν Πλοῦτον ἔξω τις κάλει.
ΓΡ. ἐγὼ δὲ τί ποιῶ; ΧΡ. τὰς χύτρας, αἷς τὸν θεὸν
ἱδρυσόμεθα, λαβοῦσ᾽ ἐπὶ τῆς κεφαλῆς φέρε
σεμνῶς· ἔχουσα δ᾽ ἦλθες αὐτὴ ποικίλα.
ΓΡ. ὧν δ᾽ οὕνεκ᾽ ἦλθον; ΧΡ. πάντα σοι πεπράξεται.
ἥξει γὰρ ὁ νεανίσκος ὡς σ᾽ εἰς ἑσπέραν.
ΓΡ. ἀλλ᾽ εἴ γε μέντοι νὴ Δί᾽ ἐγγυᾷ σύ μοι
ἥξειν ἐκεῖνον ὡς ἔμ᾽, οἴσω τὰς χύτρας.
ΧΡ. καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
αὗται ποιοῦσι· ταῖς μὲν ἄλλαις γὰρ χύτραις
ἡ γραῦς ἔπεστ᾽ ἀνωτάτω, ταύτης δὲ νῦν
τῆς γραὸς ἐπιπολῆς ἔπεισιν αἱ χύτραι.
ΧΟ. οὐκέτι τοίνυν εἰκὸς μέλλειν οὐδ᾽ ἡμᾶς, ἀλλ᾽ ἀναχωρεῖν
ἐς τοὔπισθεν· δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι.

1187. καταμενεῖν] καταμένειν V. καμμένειν R.
1191. ἱδρυσόμεσθ᾽ D.] ἱδρυσόμεσθ᾽ οὖν R aliique multi. In aliis ἱδρυσόμεθ᾽ οὖν. αὐτίκα μάλ᾽, ἀλλὰ] αὐτίκ᾽, ἀλλὰ libri recentiores nonnulli, in quibus etiam ἱδρυσόμεσθ᾽ οὖν.

# ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΑΠΟΣΠΑΣΜΑΤΙΑ.*

Aristophanis comoediarum indicem, qualem Aeschyli dramatum ab vetere grammatico compositum servavit codex Mediceus (in Scholiorum editione mea Oxoniensi p. 9. 10.) nullum habemus: sed de numero fabularum tria supersunt testimonia grammaticorum. Eorum unum Suidae est, qui quo loco de vita et scriptis Aristophanis agit, δράματα δὲ αὐτοῦ, inquit, μδ'· ἅπερ δὲ πεπράχαμεν Ἀριστοφάνους δράματα, ταῦτα, et tum fabulas undecim superstites enumerat secundum literarum ordinem: reliqua duo grammaticorum sunt in excerptis de vita Aristophanis, quae Scholiorum editioni Oxoniensi praemisi. Quorum alter ita scribit vol. 1. p. 36, 16. ἔγραψε δὲ δράματα μδ', ὧν ἀντιλέγεται τέσσαρα ὡς οὐκ ὄντα αὐτοῦ. ἔστι δὲ ταῦτα, Ποίησις, Ναυαγός, Νῆσοι, Νίοβος, ἃ τινὲς ἔφασαν εἶναι τοῦ Ἀρχίππου. Ab hoc dissentit alius ibid. p. 25, 2. ἔπειτα υἱῷ ἐδίδου τὰ δράματα ὄντα τὸν ἀριθμὸν νδ', ὧν νόθα δ', verum non sua, sed librarii culpa, qui νδ' pro μδ' scripsit, quemadmodum apud Suidam olim νδ' legebatur, cui nunc μδ' e libris optimis recte est restitutum. Quas enim vel superstites habemus poetae fabulas vel perditas ex scriptis veterum cognovimus, eae rectum quem modo dicebamus numerum fabularum quadraginta quattuor explere reperiuntur. Quam rem indice fabularum infra posito declarare placuit.

1. Δαιταλῆς.
2. Βαβυλώνιοι.
3. Ἀχαρνῆς.
4. Ἱππῆς.
5. Νεφέλαι πρότεραι.
6. Προαγών.
7. Σφῆκες.
8. Εἰρήνη προτέρα.
9. Ἀμφιάρεως.
10. Ὄρνιθες.
11. Λυσιστράτη.
12. Θεσμοφοριάζουσαι πρότεραι.
13. Πλοῦτος πρότερος.
14. Βάτραχοι.
15. Ἐκκλησιάζουσαι
16. Πλοῦτος δεύτερος.
17. Αἰολοσίκων πρότερος.
18. Αἰολοσίκων δεύτερος.
19. Κώκαλος.

---

20. Ἀνάγυρος.
21. Γεωργοί.
22. Γῆρας.
23. Γηρυτάδης.
24. Δαίδαλος.
25. Δαναΐδες.
26. Δράματα ἢ Κένταυρος.
27. Δράματα ἢ Νίοβος.
28. Εἰρήνη δευτέρα.
29. Ἥρωες.
30. Θεσμοφοριάζουσαι δεύτεραι.
31. Λήμνιαι.
32. Ναυαγὸς sive Δὶς ναυαγός.
33. Νεφέλαι δεύτεραι.
34. Νῆσοι.
35. Ὁλκάδες.
36. Πελαργοί.
37. Ποίησις.
38. Πολύϊδος.
39. Σκηνὰς καταλαμβάνουσαι.
40. Ταγηνισταί.
41. Τελμησῆς.
42. Τριφάλης.
43. Φοίνισσαι.
44. Ὧραι.

Digessi hunc indicem ita ut primo loco ponerem quarum fabularum tempora indubitatis veterum testimoniis comperta habemus, tum enumerarem ceteras, quae quibus annis commissae fuerint vel prorsus ignoratur vel non satis accurate definiri potest: omisi vero quas vel grammatici memoria lapsi vel librarii Aristophani tribuerunt aliorum comicorum fabulas, de quibus dixi in editione Oxoniensi p. 499—505. Ceterum quod grammaticus duas Nubium fabulas computavit, licet unam tantum actam, alteram autem nunquam in scenam productam esse constet, incaute a quibusdam est reprehensum. Nam grammatico illi nihil aliud propositum fuit quam ut numerum computaret fabularum quas Aristophanes *scripsisset*: unde ἔγραψε dixit, non ἐδίδαξε. Duas autem Nubium editiones *scriptas* ab Aristophane fuisse ipsius poetae testimonio constat confirmantque grammatici Νεφέλας προτέρας et δευτέρας distinguentes: de quo infra dicetur ubi de Νεφελῶν προτέρων fragmentis agemus.

* Aristophanis fragmenta explicatius quam hoc loco fieri poterat tractavi in editione Oxoniensi a. 1835. vol. 2. p. 497—706. quae locupletior et correctior est quam editio prima Lipsiensis a. 1829.: quod non animadverterunt qui postea multa tanquam nova protulerunt quae pridem ab me dicta erant in editione Oxoniensi.

## ΔΑΙΤΑΛΗΣ.

Ad nomen huius fabulae declarandum hi pertinent loci grammaticorum. Suidas, Δαιταλεῖς: δαιτυμόνες καὶ θιασῶται καὶ συμπόται, καὶ οἷον συνδαιταλεῖς. οὕτως Ἀριστοφάνης. Etymolog. M. p. 251, 40. Δαιταλεύς: ὁ εὐωχητής· ἀφ' οὗ δρᾶμα Ἀριστοφάνους ὠνόμασται Δαιταλεῖς. quae augenda sunt verbis

πάλιν δὲ αὐτοῦ τοῦ ἀκολάστου υἱέος εἰπόντος

ἦ μὴν ἴσως σὺ[h] καταπλιγήσει[i] τῷ χρόνῳ

καὶ τοῦτο τοῦ υἱοῦ ὁ πρεσβύτης ἐπισκώπτων ἐρεῖ

τὸ καταπλιγήσει[i] τοῦτο παρὰ τῶν ῥητόρων.

εἶτ' αὖθις ἐκείνου φάντος

ἀποβήσεταί σοι ταῦτά ποι[k] τὰ ῥήματα

πάλιν ὁ πρεσβύτης καὶ τοῦτο σκώπτει

παρ' Ἀλκιβιάδου τοῦτο τἀποβήσεται.[l]

καὶ μήν γε καὶ ὁ υἱὸς οὐδέπω παυόμενος οὐδὲ αἰδούμενος τὸν γέροντά φησι

τί[m] ὑποτεκμαίρει καὶ κακῶς[n] ἄνδρας λέγεις

καλοκἀγαθίαν[o] ἀσκοῦντας;

εἶτα ὁ πρεσβύτης

οἴμ'[p], ὦ Θρασύμαχε,

τίς τοῦτο[q] τῶν ξυνηγόρων γηρύεται;[r]

**2.** Ad eandem fabulae partem alia quaedam fragmenta satis probabili coniectura referre licet, de quibus partim admonuit Suevernius in commentatione de Nubibus p. 28. Ex quo genere inprimis est versus ab Athenaeo servatus 15. p. 694a.

Ἆισον δή μοι σκόλιόν τι λαβὼν Ἀλκαίου κἀνακρέοντος.

quae senis esse ad filium verba videntur, quemadmodum in Nubibus v. 1356. Phidippidem Simonidis aut Aeschyli versus inter coenam canere iubet Strepsiades.

**3.** Athenaeus 12. p. 527c. Διαβόητοι δ' εἰσὶ περὶ τρυφὴν Σικελιῶταί τε καὶ Συρακόσιοι, ὡς καὶ Ἀ. φησὶν ἐν Δαιταλεῦσιν [μᾶλλον

ἀλλ' οὐ γὰρ ἔμαθε ταῦτ' ἐμοῦ πέμποντος, ἀλλὰ

πίνειν, ἔπειτ' ᾄδειν κακῶς, Συρακοσίαν τράπεζαν,

Συβαρίτιδάς τ' εὐωχίας καὶ Χῖον ἐκ Λακαινᾶν.

V. 1. legebatur ἐμάθετε ταῦτ'. Correxit Elmsleius. Porsonus ἐμάθετ' αὔτ' vere fortasse. V. 2. Codex συρακοσίων. Epitome Συρακουσίους. Recte Porsonus Συρακοσίαν, videnturque ex hoc loco glossam suam Συρακοσία τράπεζα Hesychius et Photius petivisse. Versum 3. attulit Athenaeus ubi de poculis Λακαίναις dictis egit 11. p. 484f. quo in loco in fine versus inutilis librarii alicuius annotatio addita legitur κυλίκων μέθυ ἡδέως καὶ φίλως. Ad Χῖον ἐκ Λακαινᾶν pertinet Hesychii glossa Χῖον τὸν ἐκ Λακαίνης: ἐκ κύλικος Λακαίνης οἶνον. et Achilles Tatius 2, 2. οὐ Χῖον (οἶνον) τὸν ἐκ Λακαίνης.

---

Acharnensibus notatur v. 821, ubi Χολαργέων ὄνειδος audit et in Vespis v. 787. Commemoratur etiam in Equitibus v. 1272.

[h] Legebatur ἡμῶν ἴσως οὐ. Correxit Porsonus.

[i] καταπλιγήσει] καταπληγήσῃ libri. Correxi ex glossa Hesychii ubi lemma καταπλιγήσῃ in καταπληγκμήσῃ corruptum est: de quo dixi in Thesauro vol. 4. p. 1184. et Cobetus in annot. ad orationem de arte interpretandi p. 153. Porro pro τοῦθ' υἱοῦ scripsi τοῦτο τοῦ υἱοῦ. ἐρεῖ quod sequitur praesentis significationem habet, ut saepe apud scriptores inferiores, nec raro apud Galenum, cuius exempla collecta sunt in Thesauro vol. 3. p. 288.

[k] ταῦτά ποι Elmsleius. Vulgo ταῦτα ποῖ. Minantis haec sunt, non interrogantis.

[l] Legebatur ἀποβήσεται. Correxit Brunckius.

[m] τί] τί δ' Seidlerus. Tum vulgo ὑποτεκμαίρῃ.

[n] κακῶς Elmsleius. Libri κακούς.

[o] καλοκἀγαθίαν Henr. Stephanus. καλοκαγαθῶν Aldina. καλοκαγαθεῖον Basileensis.

[p] οἴμ'] Libri οἶμαι. οἴμοι Cornarius.

[q] τοῦτο Brunckius pro τούτων.

[r] γηρύεται Brunckius pro τηρεύεται probabilius quam τερατεύεται, quod coniecit Dobraeus.

**4.** Iuveni molli et inerti vitae dedito conveniunt haec ab Athenaeo relata 4. p. 184e. Ἐμφανίζει δὲ καὶ ὁ Ἀ. ἐν τοῖς Δαιταλεῦσι τὴν περὶ τὸ πρᾶγμα τοῦτο (h. e. τὴν αὐλητικὴν) σπουδήν, ὅταν λέγῃ

Ὅστις αὐλοῖς καὶ λύραισι κατατέτριμμαι χρώμενος,

εἶτά με σκάπτειν κελεύεις;

In codice ὅστις δ' αὐτὴν αὐλοῖς καὶ λύραις. αὐτὴν delevit Casaubonus, δ' Brunckius. Quod σκάπτειν dicit, non sensu verbi proprio intelligendum, sed ad pervulgatum apud Graecos proverbium spectare videtur σκάπτειν οὐκ ἐπίσταμαι, de quo dictum ab interpretibus Avium v. 1432. τί γὰρ πάθω; σκάπτειν γὰρ οὐκ ἐπίσταμαι et ab Valckenario in scholiis in N. T. vol. 1. p. 522. Proverbio leviter mutato utitur Vesp. 959. ξύγγνωθι· κιθαρίζειν γὰρ οὐκ ἐπίσταμαι.

**5a.** Athenaeus 9. p. 368e. ubi de κωλαῖς agit, Ἀ. Δαιταλεῦσι [ρόεντα.

Καὶ δελφακίων ἁπαλῶν κωλαῖ καὶ χναυμάτια πτεπτερόεντα χναυμάτια Henr. Stephanus in Thesauro vol. 8. p. 1539. recte interpretari videtur aviculas delicatius apparatas.

**5b.** Scholiasta Hippocratis apud Daremberg. In *Notices et Extraits des Mss. médicaux* (Paris. 1853.) p. 213. (ad locum Hippocr. vol. 3. p. 414. ed. Littré) Σοφιζόμενοι: περιεργαζόμενοι —. εἴρηται δὲ παρὰ τὸ σόφισμα, ὡς Ἀριστοφάνης ἐν Νεφέλαις (v. 205.) καὶ ἐν Δαιταλεῦσί φησιν

Σοὶ γὰρ σοφίσματ' εἴ τιν' εἰσηγησάμην,

οὐκ εὐθὺς ἀπεδίδρασκες ἐκ διδασκάλου;

Nam sic Duebnerus correxit quod est in codice σοφίσματ' ἐστὶν ἐγὼ κτησάμην.

**6.** Athenaeus 14. p. 646b. Χαρίσιος. τούτου μνημονεύει Ἀ. ἐν Δαιταλεῦσιν

Ἐγὼ δ' ἰὼν

πέμψω πλακοῦντ' εἰς ἑσπέραν χαρίσιον.

Correxi δ' ἰὼν. Codex δὲ νῶν. Idem πλακουντεσπεραν. Bentleius ad Callimachi fragmenta πλακοῦντ' ἐς ἑσπέραν, contra usum linguae vulgaris: quanquam ἐς ἑσπέραν libri praebent Pac. 966. Eccl. 1047. recte vero Pluti v. 998. ἐμοῦ — πλακοῦντα — πεμψάσης ὑπειπούσης θ' ὅτι εἰς ἑσπέραν ἥξοιμι. Apud Suidam s. v. ἀνάστατοι scriptum πέμψω πλακοῦντας (corruptius etiam παλλακαῖς s. v. χαρίσιον) ἑσπέρας χαρισίους.

**7.** Athenaeus 15. p. 690e. Ψάγδης (μέμνηται) Ἀ. ἐν Δαιταλεῦσι

Φέρ' ἴδω τί σοι δῶ τῶν μύρων; ψάγδαν φιλεῖς;

Paulo post p. 691c. σάγδαν ex hoc loco memorat, ut in multis nominibus peregrinis ambigua inter ψ, ζ et σ scriptura est.

**8.** Pollux 10, 119. 120. Εἴρηται δ' ὑπ' αὐτοῦ ἐν Δαιταλεῦσι καὶ ἄγγη μυρηρὰ (meliores codices ἄγγη μυροφορικά,), λέγοιτο δ' ἂν καὶ λήκυθος μυρηρά· σὺ δ' ἂν εἴποις καὶ μυροφόρον (alii libri μυροφορεῖν). — καὶ τὸ μὲν εἰς τὰς ληκύθους καθιέμενον ἐπὶ γεύματι τοῦ μύρου σπαθίδα καὶ σπάθην κλητέον, Ἀριστοφάνους μὲν εἰπόντος ἐν Δαιταλεῦσι

Τῆς μυρηρᾶς ληκύθου

πρὶν κατελάσας τὴν σπαθίδα γεύσασθαι μύρου.

Codex Kuhnii καθελεύσας. Brunckius κατελάσαι. Pollux 7, 177. σπαθίδα δὲ τὴν καθιεμένην εἰς τὸ μύρον Ἀ. εἴρηκεν ἐν Δαιταλεῦσι. Photius p. 529, 6. Σπαθίδα: τὴν τῶν μυρεψῶν σπάθην. οὕτως Ἀ.

**9.** Athenaeus 14. p. 667f. Ἕτερον δ' ἐστὶν εἶδος παιδιᾶς τῆς ἐν λεκάνῃ. αὕτη δ' ὕδατος πληροῦται, ἐπινεῖ τε ἐπ' αὐτῆς ὀξύβαφα κενά, ἐφ' ἃ βάλλοντες

τὰς λάταγας ἐκ καρχησίων ἐπειρῶντο καταδύειν. ἀνῃρεῖτο δὲ τὰ κότταβεῖα ὁ πλείω καταδύσας. — (sequuntur comicorum loci duo de ὀξυβάφοις.) τὸ δ' ἆθλον Ἀριστοφάνης Δαιταλεῦσιν "Ἔγνωκ'· ἐγὼ δὲ χαλκίον (τοῦτ' ἔστι κοτταβεῖον) | ἱστάναι καὶ μυρρίνας." Verba τοῦτ' ἔστι κοτταβεῖον interpretis, non Aristophanis esse vidit Iacobsius. Versus, nisi aliquid excidit, trochaici sunt habendi et fortasse ex ea fabulae parte sumpti unde est fragmentum 4.

**10.** Athenaeus 3. p. 127c. Χόνδρον δὲ εἴρηκε τὸ ῥόφημα Ἀ. ἐν Δαιταλεῦσιν οὕτως

Ἡ χόνδρον ἕψων, εἶτα μυῖαν ἐμβαλὼν
ἐδίδου ῥοφεῖν ἄν.

**11.** Athenaeus 9. p. 400a. ex Tryphone, Τὸν δὲ λαγὼν ἐπ' αἰτιατικῆς — Ἀ. — ἐν Δαιταλεῦσιν

Ἀπόλωλα· τίλλων τὸν λαγὼν ὀφθήσομαι.

**12.** Pollux 10, 109. Καὶ μὴν καὶ ἐπίχυσις χαλκίου ἓν τῶν τοῦ μαγείρου σκευῶν. Ἀ. δὲ αὐτὸ εἴρηκεν ἐν Δαιταλεῦσιν

Οὐκ, ἀλλὰ ταῦτά γ' ἐπίχυσις τοῦ χαλκίου.

Idem 10, 92. τὸ δὲ ὄνομα ἡ ἐπίχυσις εἴρηται ἐν Ἀ. Δαιταλεῦσι. ταῦτα] τοῦτο Bergkius.

**13.** Photius p. 606, 20. Τροπίας οἶνος: ὁ τετραμμένος καὶ ἐξεστηκώς. Ἀ. Δαιταλεῦσιν

Ταχύ νυν ποτὸν καὶ μὴ τροπίαν οἶνον φέρε.

ποτὸν Bergkius collato Greg. Nys. vol. 1. p. 301. τροπίας καὶ ἄποτος γίνεται. πότον Suidas s. v. τροπίας. πέτου Photius.

**14.** Scholiasta Aristoph. Equit. v. 577. schol. Platonis p. 334. ed. Bekker. schol. Diogenis in *Notices et Extraits* vol. 10. p. 226. Photius et Suidas, Στλεγγίς: ἡ ξύστρα — ἐν Δαιταλεῦσιν

Οὐδ' ἐστὶν αὐτῷ στλεγγὶς οὐδὲ λήκυθος.

οὐδ ἐστὶν] οὐδὲ γὰρ schol. Aristoph. αὐτῇ schol. Diogenis et in scholio Platonico, ubi αὐτοῖς editum, codex Parisinus. αὐτὴ schol. Aristoph. Ceteri αὕτη. Recte Bergkius αὐτῷ. Reprehendi his verbis videtur iuvenis veteri disciplinae addictus: v. C. F. Hermanni commentatio Gottingae edita a. 1847. "Der Knabe mit dem Vogel, eine Italische Bronze", p. 8.

**15.** Suidas, Ἀναλίσκειν καὶ ἀναλοῦν τῇ αἰτιατικῇ ἑκάτερα — Δαιταλεῦσιν

Εἰς τὰς τριήρεις δεῖν ἀναλοῦν ταῦτα καὶ τὰ τείχη.

Δεῖν (i. e. δέον) recte Bergkius pro δεῖ μ'. Addit Suidas, ἐν δὲ τῷ παρεληλυθότι καὶ διὰ τοῦ η ἀδιαφόρως, οἷον ἀνήλισκον καὶ ἀνάλισκον. καὶ αὖθις,

Εἰς οἷ' ἀνάλουν οἱ πρὸ τοῦ τὰ χρήματα.

Haec quoque Aristophani recte tribuit Porsonus.

**16.** Harpocratio s. v. ναυτοδίκαι Ἀ. Δαιταλεῦσιν "Ἐθέλω βάψας πρὸς ναυτοδίκας ξένην (ξένον Dobraeus) ἐξαίφνης." Suidas, βάψας: τὴν κώπην· ἔπλευσας (corr. πλεύσας cum Dobraeo)· ἐλθὼν πρὸς τοὺς ναυτοδίκας, οἳ τὰ τῆς ξενίας ἐδίκαζον. ἢ ἀπὸ τῶν φαρμακοποιούντων· λέγουσι γὰρ τὸ βάψας ποιήσω μέλαν. Hesychius, βάψας: δεύσας, πλεύσας. ἢ τὴν κώπην βάψας. Apparet postrema οἳ τὰ τῆς ξενίας ἐδίκαζον grammatici verba esse: Aristophanis autem haec fortasse fuerunt "Ἐθέλω βάψας πρὸς ναυτοδίκας ξένον ἐξαίφνης σ' ἐπιδεῖξαι," ut coniecit H. Sauppius ad fragm. Oratorum p. 174.

**17.** Harpocratio s. v. ἐπίπεμπτον, Ἀ. Δαιταλεῦσιν

Ἣν μὴ μεταλάβῃ τοὐπίπεμπτον, κλαέτω.

ἣν pro οὐ Brunckius. Photius p. 597, 1. τοὐπίπεμπτον: οἱ γὰρ μὴ μεταλαβόντες τὸ έ μέρος τῶν ψήφων ἄτιμοι ἦσαν. οὕτως Ἀριστοφάνης. Eadem Etymol. M. p. 763, 22. Conf. etiam Lexicon rhet. in Append. ad Photium p. 677, 7.

**18.** Harpocratio, Κιγκλίς: αἱ τῶν δικαστηρίων θύραι κιγκλίδες ἐκαλοῦντο. Ἀ. Δαιταλεῦσιν

Ὁ δ' ἡλιαστὴς εἶρπε πρὸς τὴν κιγκλίδα.

**19.** Pollux 10, 158. ἔτι δὲ (προσθετέον) καὶ γυργαθὸν καὶ θωμόν, Ἀριστοφάνους ἐν Δαιταλεῦσιν εἰπόντος

Εἰ μὴ δικῶν τε γυργαθὸς ψηφισμάτων τε θωμός.

γυργαθὸς ex hac fabula affertur ab Polluce 7, 176. θωμόν ex Babyloniis memorat Moeris: vide fragm. 67. Minus accurate Athenaei epitome 1. p. 4d. γυργαθοὺς ψηφισμάτων Ἀριστοφάνης φησίν. Correxi autem in his locis omnibus accentum γύργαθος, ex praecepto Herodiani apud Arcadium p. 49, 19.

**20.** Photius et Suidas, Σεῖσαι: τὸ συκοφαντῆσαι — Ἀ. Δαιταλεῦσιν

Ἔσειον, ᾔτουν χρήματ', ἠπείλουν, ἐσυκοφάντουν.

**21.** Athenaeus 3. p. 119c. de forma masculina ὁ τάριχος disputans ex hac fabula apposuit

Οὐκ αἰσχυνοῦμαι τὸν τάριχον τουτονὶ
πλύνων ἅπασιν ὅσα σύνοιδ' αὐτῷ κακά.

Ex epitome hunc locum attulit recens grammaticus ab Hermanno editus p. 325. unde ei commune cum epitome vitium est, in qua πλύνων εἰπεῖν ἅπασιν scriptum. Corrupte apud Eustath. p. 73. extr. τάριχον τοῦτον πλύνω. πλύνων] Diphilus Siphnius apud Athen. ibid. p. 121c. πάντας δὲ χρὴ τοὺς ταρίχους πλύνειν, ἄχρι ἂν τὸ ὕδωρ ἄνοσμον καὶ γλυκὺ γένηται.

**22.** Suidas s. v. Αἰγέα, Αἰγέα καὶ Ἐρεχθέα καὶ πάντων τῶν τοιούτων ἐκτείνεται τὸ τελευταῖον ἄλφα. Ἀριστοφάνης Δαιταλεῦσι

Τὸν Ἐρεχθέα μοι καὶ τὸν Αἰγέα κάλει.

**23.** Scholiasta Theocriti 2, 12. Σκύλακες: διὰ τὸ σκύλακας ἐκφέρεσθαι δεῖπνα τῇ Ἑκάτῃ. Ἀ. ἐν Δαιταλεῦσι

Τί δαί; κυνίδιον λευκὸν ἐπρίω τῇ θεᾷ
ἐς τὰς τριόδους.

Legebatur τί δὲ κυνίδιον λεπρὸν λευκὸν ἐπρίω. Elmsleius ad Acharn. v. 724. Τί δαί; λεπρὸν κυνίδιον ἐπρίω τῇ θεῷ. Comparanda cum his quae de περισκυλακισμῷ collecta sunt in Thesauro vol. 6. p. 920.

**24.** Pollux 9, 88. Καὶ κατακεκερματίσθαι μὲν ἐπὶ λόγου Πλάτων, ἐπὶ δὲ ἀργυρίου Ἀ. ἐν Δαιταλεῦσιν "οὐδ' ἀργύριόν ἐστιν κεκερματισμένον." Idem 7, 170. καὶ τὸ καταλλάττειν νόμισμα κατακερματίζειν (sic Bergkius pro καὶ κερματίζειν) Ἀριστοφάνης "οὐδὲ ἀργύριόν ἐστι κατακεκερματισμένον (κατακερματίσματα cod. Paris.)." Aristophanis igitur versus fuit, ut vidit Bergkius,

Οὐδ' ἀργύρι' ἐστὶ κατακεκερματισμένα.

**25.** Athenaeus 7. p. 299. ubi de nominativo ἔγχελυς agit ex hac fabula posuit exemplum καὶ λεῖος ὥσπερ ἔγχελυς. Ex epitome, omisso καί, habent Eustathius p. 1240, 18. et grammaticus Hermanni p. 321. Schol. Theocriti 11, 10. Κικίννοις: τοῖς μαλλίοις, τῇ κόμῃ, ὡς καὶ ὁ κωμικὸς κέχρηται, Ὥσπερ ἔγχελυς (alii codd. ἐγχέλεις) χρυσοῦς ἔχων κικίννους. Aristophanis igitur versus fuit, quod non fugit Hemsterhusium,

Καὶ λεῖος ὥσπερ ἔγχελυς, χρυσοῦς ἔχων κικίννους.

Eupolidis versum τὸ σῶμ' ἔχουσι λεῖον ὥσπερ ἔγχελυς memorat grammaticus in Mingarelli catalogo codicum Nanianor. Graec. p. 492.

**26.** Athenaeus 4. p. 169c. Τὴν χύτραν δ' Ἀ. — κακκάβην εἴρηκεν — ἐν Δαιταλεῦσι "Κἄγειν ἐκεῖθεν κακκάβην." Vide ad fr. 241. 403.

**27.** Photius p. 313, 14. Ὀαὶ τῶν ἱματίων: Ἀριστοφάνης Δαιταλεῦσιν "Ὅτε τὰς ὄας ἴσας ἐποιή-

σατο." Eustathius p. 1828, 54. ἐν δὲ ἀνωνύμῳ ῥητορικῷ λεξικῷ γράφεται καὶ ὅτι ὀξυτόνως καὶ συνεσταλμένως δαὶ ἱματίων. φέρει δὲ καὶ χρῆσιν τοῦ κωμικοῦ τὸ "Ὅτε τὰς δὰς ἐποιήσατο."

28. Phrynichus p. 91. Ἀκεστὴς λέγουσιν οἱ παλαιοί, οὐκ ἠπητής. ἔστι μὲν ἠπήσασθαι ἅπαξ παρ' Ἀριστοφάνει ἐν Δαιταλεῦσι, παίζοντι τὰς Ἡσιόδου: ὑποθήκας "καὶ κόσκινον ἠπήσασθαι." Aristophanis verba attulit Thomas Mag. p. 27. Est versus heroici exitus, cuius in vicinia fortasse lectum fuit oraculum Atheniensibus aliquando editum Αἰετὸς ἐν νεφέλῃσι γενήσεαι ἤματα πάντα, de quo scholiasta Equit. v. 1010. τούτου δὲ τοῦ χρησμοῦ οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν Ὄρνισι (978. 986.) καὶ Δαιταλεῦσι μέμνηται. et Aristides vol. 1. p. 196, 14. ubi vid. schol. vol. 3. p. 341.

29. Eustathius p. 1579, 30. de prosodia nominum in οια et εια agens, καὶ ἡ ἀναιδεία δέ φησι (Αἴλιος Διονύσιος) καὶ ἡ προνοία, ὧν πάντων ἐκτείνεται μὲν ἡ τελευταία, ἡ δὲ πρὸ αὐτῆς ὀξύνεται. Ἀριστοφάνης Δαιταλεῦσιν "ὦ προνοία καὶ ἀναιδεία." Patet his verbis non fuisse in alio quam anapaestis metro locum. In eo autem non potuit ὦ προνοία dici, et mira est providentiae cum impudentia coniunctio. Scribendum igitur

Ὦ παρανοία καὶ ἀναιδεία.

pariterque in grammatici verbis καὶ ἡ παρανοία. Sic tragici ἀνοία, ἀγνοία et alia huiusmodi metri caussa interdum dixerunt.

30. Harpocratio s. v. ἀλίπεδον, Ἀριστοφάνης Δαιταλεῦσι διὰ ψιλοῦ "ἐπ' (sic Fritzschius pro ἐν) ἀλιπέδῳ."

31. Bekkeri Anecd. p. 427, 3. Ἀποβροχθίσαι: τὸ καταπιεῖν. ὡς ἡμεῖς, Ἀ. Δαιταλεῦσιν ἐχρήσατο.

32. Pollux 10, 172. Θυλακίσκον, ὡς ἐν Δαιταλεῦσιν Ἀ.

33. Antitatticista Bekkeri p. 104, 28. Κλινάρια οὐ μόνον κλινίδια. Ἀ. Δαιταλεῦσιν. κλινάριον ex hac fabula Pollux 10, 32.

34. Pollux 7, 153. Ἀ. δ' ἐν Δαιταλεῦσι καὶ λυρωνίαν που λέγει.

35. Photius p. 291, 16. Νεβλάρετοι: περαίνει. ἄσημος φωνὴ ἐπὶ τοῦ περαίνειν. Ἀριστοφάνης Δαιταλεῦσιν. νεβλάρεται scripsit Alberti in annotatione ad Hesychii glossam νεβλάραι: περαίνειν. Dobraeus in Adversar. vol. 1. p. 603. Νεβλᾶραι: τὸ περαίνειν.

36. Photius p. 350, 10. Ὄρτυγας: συστέλλοντες οἱ Ἀττικοὶ λέγουσι τὸ υ. καὶ τὸν ὀρτυγοκόπον βραχέως. δηλοῖ Ἀ. Δαιταλεῦσιν.

37. Suidas, Ῥαγδαίους: — ἔστι τὸ ὄνομα — καὶ ἐν Δαιταλεῦσιν Ἀριστοφάνους.

38. Athenaeus 4. p. 183e. Μνημονεύει δὲ τοῦ τριγώνου (instrumenti musici) τούτου — Ἀ. ἐν Δ.

39. Pollux 7, 168. Τῷ δὲ λοῦσθαι καὶ τὸ ψυχρολουτρεῖν ἂν προσήκοι, εἰρημένου τοῦ ἐψυχρολουτρήσαμεν ἐν Δαιταλεῦσιν Ἀριστοφάνους. Recte Wyttenbachius ad Plutarchum vol. 6. p. 446. et Falckenburgius meliorem formam ψυχρολουτεῖν restituerunt. De utraque dictum ab Lobeckio ad Phrynich. p. 594.

40. Scholiasta Acharn. v. 271. ὡρικὴν ὑληφόρον: ἀντὶ τοῦ ὡραίαν καὶ ἀκμαίαν — ὡρικὸν δὲ μειράκιον καὶ κόρη, ὡς ἐν (καὶ ὡρικῶς ἐν Dobraeus) Δαιταλεῦσιν ὁ αὐτός.

41. Harpocratio, Θῆτες: — ὅτι δὲ οὐκ ἐστρατεύοντο εἴρηκε καὶ Ἀ. ἐν Δαιταλεῦσιν.

42a. Scholiasta Vespar. v. 819. εἶχον δὲ καὶ ο ἥρωες πανοπλίαν. καὶ δῆλον ἐκ τῶν Δαιταλέων.

42b. Scholiasta Luciani ad Alexandr. c. 4. in cod. Vindobonensi, Ὁ Ἀριστόδημος δὲ μιαρὸς καὶ καταπύγων εἰς ὑπερβολήν, ἀφ' οὗ καὶ ὁ πρωκτὸς Ἀριστόδημος καλεῖται· Κρατῖνος Πανόπταις — ὡσαύτως καὶ Ἀ. Δαιταλεῦσιν.

## ΒΑΒΥΛΩΝΙΟΙ.

Proxima Daetalensibus fuit aetate, sed indole multum diversa Babylonii fabula, quae multorum invidiam conflavit Aristophani. Animosior enim, ut videtur, quem Daetalenses experta erat populi favore factus, in Babyloniis non solum magistratus quosdam acriter exagitavit, sed etiam Cleonem, cuius tum summa fuit exstincto Pericle in civitate potentia, tanto impetu est aggressus ut litem illatam sibi viderit, quam non multum abfuit quin amitteret. De qua re disertum est ipsius testimonium in Acharnensibus v. 355—360. quibus si adhibeas versus 476—480, quod caput caussae fuerit cognosces. Rem totam uberius exposuerunt scholiastae, quorum de annotationibus dixi in Fragmentorum editione Oxoniensi p. 538—540.

Aliud et disertum de Babyloniorum tempore Photii testimonium est in lexico p. 499, 1. ex quo praeterea cognoscimus fabulam ab Callistrato actam esse, τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ Καλλιστράτου Ἀριστοφάνης ἔτεσι πρὸ τοῦ Εὐκλείδου κέ ἐπὶ Εὐκλέους. Eadem Suidas s. v. Σαμίων ὁ δῆμος. Communis utrique corruptela καὶ pro κέ, sublata ab Bouherio in dissertat. de Graec. et Latin. Liter. p. 573. et Dobraeo Adversar. vol. 1. p. 608. Minus accurate κδ' corrigit Clintonus in Fastis vol. 2. p. 75. ed. tert. Vitium auxit Michael Apostolius Proverb. 17, 25. p. 210. ubi scriptum ἔτεσι πρὸ τοῦ Εὐκλείδου καὶ Ἐπικλέους κ'. Eucles autem archon fuit olymp. 88, 2, Euclides 94, 2. Annis igitur primo et extremo numeratis fiunt viginti quinque, primo non numerato viginti quattuor. Ita quum et κέ et κδ' scribi posse appareat, tamen κέ est praeferendum. Solemnis enim hic error librariorum est κέ in καί corrumpentium.

Nomen fabulae ab choro inditum fuit, quem ex servis molitoribus compositum fuisse Hesychii loco edoceri videmur ad fragm. 43. apposito, eodemque spectare videntur duo alii loci, alter Hesychii, Βαβυλώνιοι: οἱ βάρβαροι παρὰ τοῖς Ἀττικοῖς, alter Suidae, a quo Βαβυλώνιοι παῖδες memorantur s. v. Βαβυλωνία κάμινος. Fragmenta autem huc referimus sex (43—47. 66b.).

43. Plutarchus in vita Periclis cap. 26. p. 166d exposito quam varia fortuna bellum Samium gestum esset ita pergit, οἱ δὲ Σάμιοι τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ἀνθυβρίζοντες ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας· καὶ γὰρ ἐκείνους οἱ Ἀθηναῖοι σάμαιναν. — πρὸς ταῦτα τὰ στίγματα λέγουσι καὶ τὸ Ἀριστοφάνειον ᾐνίχθαι

Σαμίων ὁ δῆμός ἐστιν· ὡς πολυγράμματος.

Hesychius, Σαμίων ὁ δῆμος: φησί τι περὶ τῶν Ἀριστοφάνους (φησί τις παρὰ τῷ Ἀριστοφάνει Salmasius), τοὺς ἐκ τοῦ μυλῶνος ἰδὼν Βαβυλωνίους "Σαμίων ὁ δῆμός ἐστιν ὡς πολυγράμματος," καταπλητ-

τόμενος τὴν ὄψιν αὐτῶν καὶ ἐπαπορῶν. Photius p. 498, 15. et Suidas s. v. Σαμίων, Σαμίων ὁ δῆμος ὡς πολυγράμματος: (ἤτοι μαστιγίας ἐπὶ τῶν περιδείλων addit Michael Apostolius 15, 32.] Ἀ. Βαβυλωνίοις, ἐπισκώπτων τοὺς ἐστιγμένους. οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ. Addunt grammatici aliam versus interpretationem ab literarum Ionicarum inventione petitam, sed satis ab ipsis refutatam.

44. Hesychius, Ἰστριανά: Ἀ. ἐν Βαβυλωνίοις τὰ μέτωπα τῶν οἰκετῶν Ἰστριανά φησιν, ἐπεὶ ἐστιγμένοι εἰσίν. οἱ γὰρ παρὰ τῷ Ἴστρῳ οἰκοῦντες στίζονται καὶ ποικίλαις ἐσθῆσι χρῶνται. Διονύσιος δέ φησιν, ἐπεὶ πρότερός τις Ἰστριανὸς λέγεται, ὁ λευκός. κατὰ ἀντίφρασιν εἰρῆσθαι ὡς καθαρὰ καὶ λευκὰ τὰ μέτωπα, τοὐναντίον δὲ νοεῖσθαι ἐστιγμένα. Dionysius haud dubie Dionysius est Ζώπυρος, qui aliquoties memoratur in scholiis. Monuit Lobeck. in Actis Societ. Graecae vol. 2. p. 318.

45. Photius p. 546, 4. Στοῖχος: στίχος. — Ἀ. Βαβυλωνίοις

Ἢ που κατὰ στοίχους κεκράξονταί τι βαρβαριστί.

Ad hunc locum pertinere videtur Hesychii glossa, κατὰ στίχους: κατὰ τάξεις. Frustra corrigunt κατὰ στίχας ex Homero. Scribe κατὰ στοίχους.

46. Photius p. 538, 20. Στιγών: ὁ στιγματίας. Hesychius Στιγών: μαστιγίας. Vera scriptura στίγων est. Photii codex accentum ab correctore habet. Eustathius p. 1542, 48. οὕτω δὲ καὶ ὁ γράψας ὅτι στίγων καὶ πέδων δοῦλος ὁ στιγματίας καὶ πεδήτης παρὰ Ἀριστοφάνει, Ab eodem p. 725, 32. memoratur στίγων εἴτουν στιγματίας. Ex eadem fabulae parte sumtum esse versum fragm. 720. probabiliter coniecit Bergkius.

47. Scholiasta Lysistr. v. 282. Ἀσπίδας: ὅτι τὰς τάξεις ἀσπίδας ἔλεγον. καὶ αὐτὸς πάλιν Ἀ. ἐν Βαβυλωνίοις

Ἵστασθ' ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας.

Versum attulit Suidas s. v. ἀσπιδηφόροι, sed nomen fabulae omisit.

48. Praecipuas quasdam Dionysi in hac fabula partes fuisse ex Athenaei loco colligimus 11. p. 494d. Κἀν τοῖς Βαβυλωνίοις οὖν τοῖς Ἀριστοφάνους ἀκουσόμεθα ποτήριον τὸ ὀξύβαφον, ὅταν ὁ Διόνυσος λέγῃ περὶ τῶν Ἀθήνησι δημαγωγῶν ὡς αὐτὸν ᾔτουν ἐπὶ τὴν δίκην ἀπελθόντα ὀξυβάφω δύο. οὐ γὰρ ἄλλο τι ἡγητέον εἶναι ἢ ὅτι ἐκπώματα ᾔτουν.

49. Dionysi fortasse ex concione redeuntis verba sunt quae Athenaeus 3. p. 86f. servavit, Τὰς δὲ κόγχας ἔστιν εὑρεῖν λεγομένας καὶ θηλυκῶς καὶ ἀρσενικῶς. Ἀ. Βαβυλωνίοις

Ἀνέχασκον εἷς ἕκαστος ἐμφερέστατα
ὀπτωμέναις κόγχαισιν ἐπὶ τῶν ἀνθράκων.

50. Scholiasta Avium v. 1555. Πείσανδρος: καὶ δωροδοκῆσαί φησιν αὐτὸν Ἀ. Βαβυλωνίοις διὰ τούτων "Ἢ δῶρ' αἰτῶν ἀρχὴν πολέμου πορίσειεν | μετὰ Πεισάνδρου." αἰτῶν scripsi pro αἰτοῦντες. Videntur haec ex eiusmodi esse loco excerpta qualis est Ranarum v. 361. Ceterum huc spectat scholiasta Lysistr. v. 491. Πείσανδρος: — κωμῳδοῦσι δὲ αὐτὸν καὶ ὡς δωροδόκον, ὡς ἐν Βαβυλωνίοις Ἀ. De Pisandro comicorum locos collegit Meinekius Com. vol. 1. p. 176.

51. Harpocratio, Ἐπιβάτης: — οὕτως ἐκάλουν τῶν ἐν ταῖς τριήρεσι στρατευομένων τοὺς μὴ κωπηλατοῦντας, ἀλλὰ μόνον πρὸς τὸ μάχεσθαι ἐπιτηδείους. Ἀ. Βαβυλωνίοις

Εὖ γ' ἐξεκολύμβησ' οὑπιβάτης, ὡς ἐξοίσων ἐπίγυιον.

Legebatur ἐξεκολύμβησεν ἐπιβάτης. Correxit Porsonus. Pro ἐπίγυιον codices nonnulli ἐπίγειον: de quo dixi in Harpocrat. ed. Oxon. vol. 1. p. 121. et Boeckh. ad inscr. navales p. 162. Hoc vocabulo etiam in Holcadibus (fr. 371.) usus est.

52. Ammonius p. 149. Χόλικες αἱ τῶν βοῶν κοιλίαι. Ἀ. Βαβυλωνίοις [θυμῶν.

Ἡ βοιδάριον τις ἀπέκτεινε ζεῦγος χολίκων ἐπιβοιδαρίοιν scripsi pro βοιδαρίων. ζεῦγος omittunt Moschopulus in Bachmanni Anecd. vol. 2. p. 381, 10. et grammaticus in appendice ad Etymolog. Gudian. p. 640, 44. ubi codex βοϊδαρ'.

53. Pollux 10, 85. Οἱ κότυλοι ὅτι καὶ ἀργυροῖ ἐγίνοντο ἱκανὸς μηνῦσαι Ἀ. ἐν Βαβυλωνίοις εἰπὼν

α. Δεῖ διακοσίων δραχμῶν.
β. πόθεν οὖν γένοιντ' ἄν; α. τὸν κότυλον τοῦτον φέρε.

Athenaeus 11. p. 478c. καὶ Πλάτων ἐν Διὶ κακουμένῳ "Τὸν κότυλον φέρει" φησὶ καὶ Ἀ. ἐν Β.

54. Pollux 10, 173. Ἀλλὰ μὴν τῷ στεγαστῆρι ὀρόφῳ προσήκοιεν ἂν καὶ οἱ στρωτῆρες καὶ τὰ καλυμμάτια. ἄμφω δὲ ἐν Ἀριστοφάνους Βαβυλωνίοις

Πόσους ἔχει στρωτῆρας ἀνδρὼν οὑτοσί;

καὶ αὖ πάλιν

Ὡς οὐ καλυμματίοις τὸν οἶκον ἤρεφε.

ἀνδρὼν scripsi pro ἀνδρῶν. Harpocratio, Στρωτήρ: — τὰ ἐπάνω τῶν δουροδόκων (δοκῶν Suidas) τιθέμενα στρωτῆρας ἔλεγον, ὥς φησι Δίδυμος. ἔστι τοὔνομα καὶ ἐν Βαβυλωνίοις Ἀριστοφάνους. Plura de hoc vocabulo collegit Boeckhius in Inscript. vol. 1. p. 281. V. 2. οὐ] εὖ Bergkius. Photius p. 128, 15. Καλυμμάτια (καλύμματα codex): ὃ τινὲς φατνώματα. οὕτως Ἀριστοφάνης.

55. Scholiasta ad Lysistrat. v. 288. et Suidas s. v. σιμός, τὸ σιμόν: ἀντὶ τοῦ πρόσαντες. καὶ ἐν Βαβυλωνίοις "μέσην ἔρειδε πρὸς τὸ σιμόν." Photius p. 512, 8. et grammaticus in Bachmanni Anecdotis vol. 1. p. 364, 22. Σιμόν: ἄναντες. οὕτως Ἀ.

56. Etymolog. M. p. 311, 1. Ἐγκινούμενος: Βαβυλωνίοις Ἀριστοφάνης

Ἀνήρ τις ἡμῖν ἐστιν ἐγκινούμενος.

ῥητορική. (i. e. ἐστὶ λέξις ῥητορική.) ταράττων καὶ ἐμποδίζων. Eadem praebet vetus lexicon apud Henr. Stephanum in Thesauro vol. 3. p. 82.

57. Photius p. 295, 8. Νεολαίαν: τὴν νεότητα τετρασυλλάβως οἱ Ἀττικοί. Βαβυλωνίοις

Ὦ Ζεῦ, τὸ χρῆμα τῆς νεολαίας ὡς καλόν.

Codex νεολέαν et νεολέας. Τετρασυλλάβως dicit, ne quis quinque syllabis pronunciet νεολαΐας.

58. Priscianus 18. p. 1181. Putsch. (vol. 2. p. 309. ed. Hertz.) "Aristophanes in Babyloniis 'Ἐννεύει με φεύγειν οἴκαδε.' Nos quoque similiter, *innuit me fugere domum.*"

59. Pollux 10, 38. Εἴποις δ' ἂν οἶμαι καὶ χνοῦν — ἐπὶ τῶν μαλακῶν, Ἀριστοφάνους εἰπόντος μὲν ἐν Βαβυλωνίοις "Εἰς ἄχυρα καὶ χνοῦν." Bachmanni Anecd. 1. p. 418, 24. Χνοῦν: τὸ λεπτὸν τοῦ ἀχύρου. Ἀριστοφάνης. Εὐριπίδης δὲ θηλυκῶς τὴν χνοῦν.

60. Photius p. 490, 19. Ῥόθιον: τὸ μετὰ ψόφου κῦμα, ἢ ῥεῦμα. σημαίνει καὶ τὴν εἰρεσίαν. καὶ ῥοθιάζειν τὸ ἐρέσσειν εὐτόνως. Ἀ. Βαβυλωνίοις "Κατάγου ῥοθιάζων" φησί, καὶ πάλιν "Ναῦς ὅταν ἐκ πιτύλων ῥοθιάζῃ σώφρονι κόσμῳ." Ex Photio Sui-

das . v. φοθιάζουσιν. Sunt fragmenta tetrametrorum anapaesticorum.

61. Hesychius, Ἐς τὸν λιμένα: εἰς τὸν λιμένα. Ἀ. ἐν Βαβυλωνίοις. παρὰ τὴν παροιμίαν, Ἀττικὸς ἐς λιμένα. οἱ γὰρ Ἀθηναῖοι συντόνως ἤλαυνον καταπλέοντες, διὰ τὸ θεωρεῖσθαι ὑπὸ τῶν ἐκ τῆς γῆς. Photius p. 22, 7. Ἐς τὸν λιμένα: ὅταν γὰρ ὁρῶνται ἀπὸ τῆς πόλεως, σφοδρότερον ἐρέσσουσιν. ὅθεν παροιμία κατὰ τὸ ἐλλιπές, Ἀττικὸς ἐς τὸν λιμένα. λείπει γὰρ ἰσχυρός. Similia tradiderunt Zenobius 2, 10. et Diogenianus 1, 66.

62. Scholiasta Platonis p. 381. ed. Bekker. Τὴν αὐτοῦ σκιὰν δέδοικεν: ἐπὶ τῶν σφόδρα δειλοτάτων. μέμνηται ταύτης Ἀ. Βαβυλωνίοις. Memorat proverbium Apostolius 16, 49a. ubi σφόδρα δειλῶν.

63. Zenobius Proverb. 2, 22. Ἀνθ' Ἑρμιόνος: εἴρηται ἡ παροιμία ἐπὶ τῶν σωζόντων τοὺς ἱκέτας, ἐπειδὴ ἐν Ἑρμιόνῃ τῆς Πελοποννήσου ἱερὸν ἦν Κόρης καὶ Δήμητρος ἀσφάλειαν παρέχον τοῖς καταφεύγουσι. μέμνηται ταύτης Ἀ. ἐν Βαβυλωνίοις.

64. Aristoteles Rhetoric. 3, 2, 15. Ἔστι δὲ ὁ ὑποκορισμός, ὃς ἔλαττον ποιεῖ καὶ τὸ κακὸν καὶ τὸ ἀγαθόν, ὥσπερ καὶ Ἀ. σκώπτει ἐν τοῖς Βαβυλωνίοις ἀντὶ μὲν χρυσίου χρυσιδάριον, ἀντὶ δ' ἱματίου ἱματιδάριον, ἀντὶ δὲ λοιδορίας λοιδορημάτιον, καὶ νοσημάτιον. εὐλαβεῖσθαι δὲ δεῖ καὶ παρατηρεῖν ἐν ἀμφοῖν τὸ μέτριον. Eiusdem generis est βιβλιδάριον, quod ex Aristophane attulit Pollux 7, 210.

65. Antiatticista Bekkeri p. 80, 14. Ἁλυκόν: ἀντὶ τοῦ ἁλμυρόν. Ἀ. Βαβυλωνίοις.

66a. Pollux 4, 186. Τοὺς δὲ ἀεὶ ῥιγοῦντας οἱ παλαιοὶ ῥιγωσιβίους ἔλεγον, οὓς οἱ νῦν δυσρίγους. Ἀ. δὲ ἐν Βαβυλωνίοις δύσριγος εἴρηκε. Πυρετός — περίοδος, θέρμα, καὶ πῦρ Ἀ. ἔφη, ὁ δ' ἔχων θέρμα (θέρμαν apud Bekk.) καὶ πῦρ. De his in Thesauro vol. 2. p. 1790. haec scripsi (a. 1833.) "Aristophanem δύσριγος dixisse non probabile est, quum hoc vocabulum Menandro exprobret Phrynichus p. 418. ed. Lob. Accedit quod absurda apud Pollucem sententiarum consecutio est, veteres ῥιγωσιβίους dixisse qui nunc δύσριγοι vocentur, Aristophanem autem δύσριγος dixisse. In duobus codicibus totum illud Ἀριστοφάνης δὲ ἐν Βαβυλωνίοις δύσριγος est omissum, in fine autem post πῦρ liber Falckenburgii additum habet ἧκε, quae videntur duae postremae esse syllabae verbi εἴρηκε. Praeterea manifestum est alterum illud θέρμα καὶ πῦρ ex priori esse repetitum. Quo remoto haec sic fortasse sunt ad saniorem rationem revocanda, τοὺς δὲ ἀεὶ ῥ. οἱ π. ῥιγωσιβίους (quam formam annotavit Phrynichus in Bekk. Anecd. p. 61, 29.) ἔλεγον, οὓς οἱ νῦν δυσρίγους. Πυρετός — περίοδος, θέρμα καὶ πῦρ Ἀριστοφάνης ἐν Βαβυλωνίοις εἴρηκε."· Quod dixi ἧκε ex εἴρηκε ortum esse confirmavit codex Paris. Bekkeri, in quo id ipsum εἴρηκεν legitur. Illa autem ὁ δ' ἔχων πῦρ fortasse Aristophanis verba sunt (ut πῦρ εἶχε dixit Hippocrates p. 1154g.), sequentibus vel ab Polluce non appositis vel ab librario omissis. Erotianus p. 290. (p. 106. ed. Klein.) Πῦρ: τουτέστιν ὁ πυρετός. Ἀττικὴ δὲ ἡ λέξις.

66b. Etymol. M. p. 414, 40. Ζώτειον (cod. Leid. ap. Koen. ad Gregor. Cor. p. 568. Ζώντιον. Ζώτειον (ει) apud Gregorium,) προπαροξυτόνως ὁ μύλων (scr. μυλών)· παρὰ τὰς ζειάς (ζέας Leid. recte), αἳ καὶ ζεαὶ (corrig. ζειαὶ ex Leid.) καλοῦνται· ὅπου αἱ ζειαὶ ἐκόπτοντο, οἱονεὶ ζεόντειον (ζεόντιον καὶ ζώντιον (ει, ει) Leid. omisso οἱονεί)· οἱ δὲ τόπου ὄνομα, ὅπου ἐκολάζοντο οἱ οἰκέται. Ἀ. Βαβυλωνίοις ζώστειον, ὡς Ὧρος ὁ Μιλήσιος εἴρηκεν. Aliorum grammaticorum locos de hoc vocabulo et de cognato ζήτρειον collectos vide in Thesauro Stephani vol. 4. p. 60.

67. Moeris p. 190. Θωμὸν Ἀττικοί, ὡς Ἀ. Βαβυλωνίοις. Vide fragm. 19.

68. Stephanus Byzant. in Λακεδαίμων — καὶ λακωνίζω καὶ λακωνιστής. λέγεται καὶ λακεδαιμονιάζω, ὡς Ἀριστοφάνης Βαβυλωνίοις. Hac forma haud dubie in anapaestico vel dactylico versu poeta usus est.

69. Photius p. 288, 24. Ναυλοχεῖν: ναῦς λοχᾶν καὶ ἐνεδρεύειν. — καὶ ναυλόχιον ὁ τοιοῦτος τόπος, ᾧ λιμένες ἔνεισιν. "Ναυλόχιον ἐν τῷ μέσῳ" Ἀ. Βαβυλωνίοις Pollux 9, 28. καὶ ὅρμος δὲ καὶ κρηπίς, νεώρια, νεώσοικοι, καὶ ὡς Ἀ. ἐν Β. ναυλόχιον.

70. Photius p. 347, 27. Ὁρκωμοτεῖν: τὸ ὀμνύναι. Ἀ. Βαβυλωνίοις.

71. Pollux 10, 152. Καὶ πόδα δὲ βαλλαντίου ὁ αὐτὸς εἴρηκεν ἐν Βαβυλωνίοις.

72. Antiatticista Bekkeri p. 116, 32. Ὠτοκάταξιν: τὸν συντετριμμένον τὸ οὖς. Ἀ. Βαβυλωνίοις. Vide Hesychii interpretes.

73. Scholiasta Pacis v. 347. Ὁ Φορμίων δὲ οὗτος Ἀθηναῖος τῷ γένει υἱὸς Ἀσωπίου, ὃς καθαρῶς στρατηγήσας πένης ἐγένετο. — αὐτοῦ μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι (v. 565.) καὶ Νεφέλαις καὶ Βαβυλωνίοις, Εὔπολις Ἀστρατεύτοις. Nubes memoriae errore nominat, ut opinor. Haud dubie Lysistratae locum in mente habuit v. 804. ubi in scholiastae annotatione corrige Ἀσωπίου pro Ἀσώπου. Recte scriptum apud Thucyd. 1, 64. 3, 7.: male Ἀσωπίχου apud Pausan. 1, 23, 10. 10, 11, 6. quae Boeotica potius quam Attica nominis forma est.

---

Ex Babyloniis aliquid attulit Crates, cuius verba scriptor ὑποθέσεως Pacis affert: Κράτης μέντοι δύο οἶδε δράματα γράφων οὕτως "ἀλλ' οὖν γε ἐν τοῖς Ἀχαρνεῦσιν ἢ Βαβυλωνίοις ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ." Quod quale fuerit nescimus.

---

Ad hanc fabulam fortasse referendum fragm. 555.

# ΝΕΦΕΛΑΙ ΠΡΟΤΕΡΑΙ.

Duas Nubium editiones exstitisse testes praeter alios habemus duo gravissimos, Eratosthenem et Athenaeum, viros in veteris comoediae historia eximie versatos. Earum primam constat archonte Isarcho in scenam productam fuisse, olympiadis undenonagesimae anno primo, successu minus quam poeta speraverat felici: prima enim praemia ad Cratini Pytinam et, quae in cognato Nubibus argumento versata est, Connum Amipsiae iudicum sententiis sunt delata, ultimus locus Aristophani datus. Quam iudicii quae videbatur iniquitatem quum graviter ferret Aristophanes, in parabasi Vesparum, quam fabulam proximo post Nubes anno archonte Aminia docuit, spectatorum accusavit hebetudinem, qui ingeniosis et subtilibus inventis suis iustum pretium statuere nescivissent. Ut enim omnino de poesi sua admodum magnifice

sensit Aristophanes, ita Nubes praecipuo in loco habuisse videtur: ut non mirandum sit poetam, non abiecta spe fabulae aliquando meliore cum fortuna docendae, novam eamque aliquot partibus mutatam parasse editionem, quae etiam nunc superest, etsi imperfecta necdum ita elaborata ut in scenam produci potuerit. De qua re quae Eratosthenis fuerit sententia ex scholio ad v. 552. cognoscitur, Ἐρατοσθένης δέ φησι Καλλίμαχον ἐγκαλεῖν ταῖς διδασκαλίαις, ὅτι φέρουσιν ὕστερον τρίτῳ ἔτει τὸν Μαρικᾶν τῶν Νεφελῶν, σαφῶς ἐνταῦθα εἰρημένου ὅτι πρότερον καθεῖται. λανθάνει δ' αὐτόν, φησίν, ὅτι ἐν μὲν ταῖς διδαχθείσαις οὐδὲν τοιοῦτον εἴρηκεν, ἐν δὲ ταῖς ὕστερον διασκευασθείσαις εἰ λέγεται, οὐδὲν ἄτοπον. αἱ διδασκαλίαι δὲ δῆλον ὅτι τὰς διδαχθείσας φέρουσι. Apparet ex his Eratosthenem Nubes alteram inter dramata ἀδίδακτα rettulisse, qualia non pauca fuerunt comicorum. Huic adversa fronte repugnat scriptor ignotus argumenti quod in nostra scholiorum editione vol. 1. p. 362, 20. legitur, Αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν ἐν ἄστει ἐπὶ ἄρχοντος Ἰσάρχου, ὅτε Κρατῖνος μὲν ἐνίκα Πυτίνῃ, Ἀμειψίας δὲ Κόννῳ. διόπερ Ἀριστοφάνης ἀπορριφθεὶς παραλόγως ᾠήθη δεῖν ἀναδιδάξας τὰς Νεφέλας τὰς δευτέρας ἀπομέμφεσθαι τὸ θέατρον. ἀποτυχὼν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα οὐκέτι τὴν διασκευὴν εἰσήγαγεν. αἱ δὲ δεύτεραι Νεφέλαι ἐπὶ Ἀμεινίου ἄρχοντος. quocum consentire videtur sive idem sive alius qui annotationem ceterum perineptam scripsit ad v. 31. τρεῖς μναῖ διφρίσκου καὶ τροχοῖν Ἀμυνίᾳ, ubi Aminiam notari existimat. Sed haec quidem de fabula iterum in scenam commissa narratio grammaticorum error esse videtur, qui nisi ex prava versus illius interpretatione originem traxit, hanc etiam caussam habere potuit, quod quum in utraque parabasi, et Vesparum et secundarum Nubium, spectatores reprehendere (ἀπομέμφεσθαι τὸ θέατρον) viderent poetam, Vespas, quae archonte Aminia edita est, cum altera Nubium editione confunderent, quae nunquam in scenam producta fuit nec potest ante olympiadis undenonagesimae annum quartum scripta haberi: de quo dixerunt Hermannus in praefatione p. XIV. et Franc. Buechelerus in commentatione de duplici Nubium editione in Fleckeiseni Annalibus a. 1861. vol. 84. p. 657—689. Sed haec pluribus persequi alienum ab hoc loco est, ubi illud tantum agendum nobis est ut alterius ad priorem editionem eam fuisse ostendamus rationem, ut recte tanquam nova fabula in indicem dramatum, quem supra exhibuimus p. 181., referri ab nobis potuerit. Id vero demonstratu non est difficile. Praeter enim quam quod parabasis aperte nova est, etiam in aliis fabulae partibus non pauca mutata esse narrat scriptor argumenti vol. 1. p. 363, 6. τοῦτο ταυτόν ἐστι τῷ προτέρῳ. διεσκεύασται δὲ ἐπὶ μέρους ὡς ἂν δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ποιητοῦ προθυμηθέντος, οὐκέτι δὲ τοῦτο δι' ἣν ποτε αἰτίαν ποιήσαντος. καθόλου μὲν οὖν σχεδὸν παρὰ πᾶν μέρος γεγενημένη ἡ (ἡ addidit Buechelerus p. 685.) διόρθωσις. τὰ μὲν γὰρ περιῄρηται, τὰ δὲ παραπέπλεκται, καὶ ἐν τῇ τάξει καὶ ἐν τῇ τῶν προσώπων διαλλαγῇ μετεσχημάτισται, τὰ δὲ ὁλοσχεροῦς* τῆς διασκευῆς τοιαῦτα ὄντα τετύχηκεν· αὐτίκα ἡ παράβασις τοῦ χοροῦ ἤμειπται, καὶ τελευταῖον ὅπου καίεται ἡ διατριβὴ Σωκράτους. Videtur autem editio prior admodum mature ex manibus hominum evanuisse: nam et perpauca eaque partim dubia fragmenta supersunt quae ad eam referantur et bis tantum πρότεραι Νεφέλαι diserte memorantur, in scholio ad Platonis Axiochi p. 367b. (quod Bastius edidit in Boettig. Opusc. vol. 3. p. 197.) μέμνηται δὲ αὐτῆς (τῆς παροιμίας δὶς παῖδες οἱ γέροντες) Κρατῖνος ἐν Δηλιάσι — καὶ Μένανδρος Χήρᾳ καὶ Ἀριστοφάνης Νεφέλαις α΄. (v. 1417.), et apud Athenaeum 4. p. 171c. ubi qui appositi sunt versus quoniam in secundis quae supersunt Nubibus v. 1196. exstant, Brunckio aliisque vel προτέραις in δευτέραις mutare vel Athenaeum memoriae lapsus arguere placuit. Qui non cogitasse videntur Athenaeum fortasse nihil aliud significare voluisse quam se, quum illa scriberet, priorum Nubium exemplar versasse, alterarum non inspexisse: quemadmodum si alibi δευτέρας nominat, minime sequitur non eadem in prioribus lecta fuisse, quod necessario sumere debent qui Brunckii sequuntur opinionem. Quae praeterea de Nubibus circumferuntur fragmenta ob hanc solam caussam ad priorem editionem referuntur, quod in posteriore, quae superest, non sunt inventa. In quo genere facile intellectu est quam proclivis sit ad errandum via. Nam quum prima Nubium editio cum tot aliis comici fabulis interierit, perdifficile est discernere quid vere quidve memoriae errore ex Nubibus attulerint grammatici. Vellemus igitur omnia tantum ab externa specie sua haberent commendationis quantum qui ab Photio versus servatus est in lexico p. 398, 11. Πάρνης: τὸ ὄρος θηλυκῶς·

Ἐς τὴν Πάρνηθ' ὀργισθεῖσαι φροῦδαι κατὰ τὸν Λυκαβηττόν.

Ἀριστοφάνης Νεφέλαις. καὶ ἑξῆς. Quod dicit καὶ ἑξῆς si ad versum fabulae superstitis spectavit 323. βλέπε νυν δευρὶ πρὸς τὴν Πάρνηθ'· ἤδη γὰρ ὁρῶ κατιούσας ἡσυχῇ αὐτάς, utrumque in prima editione versum lectum fuisse sequitur. Fortasse igitur scena illa ita fuit conformata, ut Nubes, quum vix appropinquassent, rursus in montes dissipatae recederent, sive propter inurbanos Strepsiadis iocos, quos deprecatur Socrates v. 296., sive alia quacunque de caussa iratae. Cuiusmodi invento quum eo in loco sermones longius quam in re levi decebat extensi essent, hanc partem editione altera in brevius contraxisse poeta videtur. Ceterum quod ad scripturam versus illius attinet, necessaria correctio est καὶ τὸν Λυκαβηττόν: nisi forte Parnethi superimpositus fuit Lycabettus, quemadmodum Pelio Ossa.

Minus certa haberi possunt quae Suidas s. v. πηνίον protulit. πηνίον: ζῷον ὅμοιον κώνωπι. Ἀ. Νεφέλαις

Κείσεσθον ὥσπερ πηνίω βινουμένω,

ἀντὶ τοῦ ξηροί. σκώπτει γὰρ τοὺς περὶ Χαιρεφῶντα εἰς ξηρότητα καὶ ἀσθένειαν. Facile enim ad Nubes, in qua Chaerephontis quaedam partes sunt, ab aliis fabulis aberrari potuit, in quibus exagitatum illum esse novimus. Ita vetusti scholii ad Platonem auctor p. 331. ed. Bekker., qui studiose conquisivit quae comici in Chaerephontem dicteria iecissent, quattuor nominat Aristophanis fabulas, unam superstitem Aves, perditas tres, Telmesenses, Dramata, Horas. Si tamen vera rettulit Suidas, perspicuum est versui illi vix alibi quam in extrema Nubium parte locum fuisse. Brevius fragmentum, fortasse ex parabasi sumtum, servavit Athenaeus 11. p. 479c. κοτυλίσκος δὲ καλεῖ-

---

* τὰ δὲ ὁλοσχεροῦς] Legebatur ἃ δὲ ὁλοσχερῆ, nisi quod in cod. Veneto est ὁλοσχερῆς. Idem male αὐτίκα μάλα, quod saepe dixit Aristophanes, sed quod alienum ab hoc loco est.

ται ὁ ἱερὸς τοῦ Διονύσου κρατηρίσκος καὶ οἷς χέονται οἱ μύσται, ὡς Νίκανδρός φησιν ὁ Θυατειρηνὸς τὸ ἐκ Νεφελῶν Ἀριστοφάνους "Μηδὲ στέψω κοτυλίσκους." nisi Νεφελῶν vel memoriae errori debetur vel ex simili alius fabulae nomine, velut Δαιταλέων, corruptum est. Tria verba οὐ μετὸν αὐτῷ ex Nubibus prostant apud Suidam s. h. v. explicata per οὐκ ἐξὸν αὐτῷ. Sed idem μετὸν αὐτῷ ex Ecclesiazusarum v. 694. consignavit s. v. μετόν. Nec dubitatione vacua sunt quae apud Antiatticistam Bekkeri leguntur p. 98, 1. Ζυμήσασθαι: Ἀριστοφάνης Νεφέλαις. (quod, nisi in verbo erratum sit, Ζυμώσασθαι scribendum esse dixi in Thesauro vol. 4. p. 59.) et p. 105, 2. κόλασμα: Ἀριστοφάνης Νεφέλαις. parum enim accuratus ille grammaticus est, qui, ne iam alia commemorem, p. 97, 14. ἐκπερδικίσαι attulit ex Ecclesiazusis, quod legitur in Avibus v. 773. ἐπανορθώσασθαι p. 96, 25. ex Thesmophoriazusis, quod ad Lysistratae versum 528. pertinere videtur, ubi hodie legitur ἐπανορθώσαιμεν ἂν ὑμᾶς. καταλαλεῖν p. 102, 15. ex Γήρᾳ, quod exstat in Ranis, in Γήρᾳ autem fortasse non lectum fuit. ὀβολίας ἄρτους p. 111, 7. ex Πελαργοῖς, quod ad Γεωργοὺς potius pertinere videbitur, si Athenaeum compares 3. p. 111 b. Illud vero plane imperite ab quibusdam factum, quod ad diversam nescio quam scripturam Nubium versus 1063. (Πηλεὺς ἔλαβε διὰ τοῦτο τὴν μάχαιραν) rettulerunt Photii verba p. 428, 3. de proverbio Πηλέως μάχαιρα, ubi ex ipso verbo ἀναγράφει Ἀριστοφάνης apertum est non comicum, qui potius κεχρῆσθαι dicendus fuisset, sed grammaticum significari Aristophanem, qui in libro de ἀμέτροις παροιμίαις de proverbio illo exposuerat. Non magis scholii ad Theocriti 5, 118. ullus usus est, ἐκάθηρεν: ἀντὶ τοῦ ἔτυπτε καὶ ἐξέδειρε. καὶ Ἀριστοφάνης, πέδει τὰς πλευρὰς καὶ ἐκάθηρεν. Pertinent haec ad Nubium v. 1379. κᾆπειτ' ἔφλα με κἀσπόδει κἄπνιγε κἀπέτριβεν. cui adscripta fuit verbi ἐσπόδει explicandi caussa grammatici annotatio τὰς πλευρὰς ἐκάθηρε, quam tanquam poetae verba amplexus est imperitus scholiasta.

Superest iam unum de prioribus, ut ferunt, Nubibus fragmentum, quo nullum ab hac fabula alienius inveniri potest, proditum ab Diogene Laertio in principio vitae Socratis (2, 18.) ubi duobus Teleclidis versibus Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν | τὰς σωκρατογόμφους οὗτός ἐστι τὰς σοφάς lemma praescriptum est Ἀριστοφάνης Νεφέλαις, ex inferiore aliquo de rebus Socratis excerpto huc illatum: de quo pluribus ego dixi in Fragmentorum editione Oxoniensi p. 511—513. in eo tantum falsus quod erroris culpam in Diogenem Laertium contuli. Neque enim dubitari potest quin totum illud excerptum de Socrate et Euripide (ab verbis ἐδόκει δὲ συμποιεῖν usque ad οὗτός ἐστι τὰς σοφάς) non ab Diogene sit profectum, sed ab interpolatore illatum ex Vita aliqua Euripidis: de quo verissime iudicavit L. Dindorfius in Praefatione ad Xenoph. Memorabilia p. XIX. ed. Oxon.

## ΠΡΟΑΓΩΝ.

Scriptor didascaliae Vesparum, ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀμυνίου διὰ Φιλωνίδου ἐν τῇ πθ' ὀλυμπιάδι. δεύτερος ἦν εἰς Λήναια. καὶ ἐνίκα πρῶτος [Φιλωνίδης] Προαγῶνι. Λεύκων Πρέσβεσι τρίτος. ubi ἐνίκα πρῶτος dictum est ut in didascalia Equitum, πρῶτος ἐνίκα· δεύτερος Κρατῖνος Σατύροις· τρίτος Ἀριστομένης Ὑλοφόροις. Φιλωνίδης vero, etsi satis probabile est Philonidem Προαγῶνα quoque egisse, tamen recte deletum est ab Hermanno in Ephemerid. Lips. a. 1829. vol. 2. p. 1631. Neque enim dubitari potest quin recentior intulerit[a] grammaticus, qui alius praeter Aristophanem nomen poetae desideraret, nesciens unum interdum poetam duabus vicisse fabulis, ut novimus ex monumento didascalico, quod Boeckhius edidit in Corp. Inscriptionum vol. 1. p. 353. Ἐπὶ Διοτίμου (olymp. 106, 3.) Σιμύλος πρῶτος . . . σίᾳ. ὑπεκρίνετο Ἀριστόμαχος. Διόδωρος δεύτερος Νεκρῷ. ὑπεκρίνετο Ἀριστόμαχος. Διόδωρος τρίτος Μαινομένῳ. ὑπεκρίνετο Κηφίσιος.

[a] Similiter in Avium didascalia quod antiquior grammaticus scripserat, ἐδιδάχθη ἐπὶ Χαβρίου διὰ Καλλιστράτου ἐν ἄστει. δεύτερος ἦν. πρῶτος Ἀμειψίας Κωμασταῖς. τρίτος Φρύνιχος Μονοτρόπῳ, recentior sic interpolavit ut nunc in codicibus legitur. — ἐν ἄστει, ὃς ἦν δεύτερος τοῖς Ὄρνισι. πρῶτος cet., quae Hermanno quoque suspecta fuerunt l. c. p. 1629. qui αὐτὸς ἦν δεύτερος scribi volebat. Aliquanto licentius in Ranarum didascalia legitur in ed. Aldina ex recenti aliquo codice, ἐδιδάχθη ἐπὶ Καλλίου τοῦ μετὰ Ἀντιγένη ἐπὶ Ληναίῳ. Φιλωνίδης ἐπεγράφη καὶ ἐνίκα Φρύνιχος Μούσαις. Πλάτων τρίτος Κλεοφῶντι. ex quo fuerunt qui colligerent Ranas non Aristophanis, sed Philonidis nomine inscriptas prodiisse. Rectam didascaliae formam hic servarunt codices Ravennas et Venetus, — Ἀντιγένη διὰ Φιλωνίδου εἰς Λήναια. πρῶτος ἦν. δεύτερος Φρύνιχος Μούσαις cet.

De argumento fabulae etsi exiguum est quod scimus, tamen ipsum quoque didascaliae interpretationi nostrae favet. Ab scholiasta enim Vesparum v. 61, Proagonem Euripidi exagitando scriptam fuisse traditur: quem quo consilio introduxerit poeta ex nomine fabulae non difficile est coniicere. Scribit autem scholiasta ita, ἐνασελγαινόμενος: κατακωμῳδούμενος, ὑβριζόμενος. κατ' αὐτοῦ (Εὐριπίδου) γὰρ καθῆκε τὰς Θεσμοφοριαζούσας. φησὶν οὖν, οὐ δεύτερον ταυτολογήσω περὶ αὐτοῦ, ὡς οἱ ἄλλοι. οὐ μόνον δὲ ἐν τούτῳ τῷ δράματι εἰσῆκται οὕτως Εὐριπίδης, ἀλλὰ καὶ ἐν τῷ Προαγῶνι καὶ ἐν τοῖς Ἀχαρνεῦσι. Apparet hunc grammaticum quid contra Euripidem scripserit Aristophanes aliquanto melius cognitum habuisse quam quibus scripserit temporibus. Stultum quid enim est ad Thesmophoriazusas in Vespis respici, quae fabula duodecim ante illam annis edita est. Similes sunt scholiastarum errores de Cratini Πυτίνῃ ad Equit. 523.; de pugna ad Arginussas ad Nub. 6.

Nomen fabulae in codicibus plerumque Προαγών, rarius Προάγων scribitur: de quo dixi in Thesauro vol. 6. p. 1619.

74. Colorem tragicum habet fragmentum ab Photio servatum p. 523, 1. et Suida Σταθερόν: — τινὲς καὶ ἐπὶ τοῦ στασίμου, ὡς Αἰσχύλος ἐν Ψυχαγωγοῖς "Σταθεροῦ χεύματος." καὶ Ἀ. ἐν Προαγῶνι (Προάγωνι Photius)

Σταθερὰ δὲ κάλυξ νεαρᾶς ἥβης.

σημαίνει καὶ τὸ μόνιμον.

**75.** Athenaeus ubi de usu vocabulorum χορδή et ῥύγχος agit 3. p. 95d. Ἀ. Προαγῶνι

Ἐγευσάμην χορδῆς ὁ δύστηνος τέκνων·
πῶς ἐσίδω ῥύγχος περικεκαυμένον;

Videtur haec parodia loci Euripidei (fortasse ex Thyeste) esse. Quod si ita est, verba ἐγευσάμην χορδῆς τέκνων de coena qualis fuit Thyestae intelligi possunt. Versus alter dochmiacus est, nisi scribendum εἰσίδω (ex apographis) et πέριξ κεκαυμένον.

**76.** Athenaeus 3. p. 80a. Ἄλλοι δέ φασιν ὅτι μὴ δεῖ σῦκα προσφέρεσθαι μεσημβρίας· νοσώδη γὰρ εἶναι τότε, ὡς καὶ Φερεκράτης ἐν Κραπατάλοις εἴρηκεν. Ἀ. δ' ἐν Προαγῶνι

Κάμνοντα δ' αὐτὸν τοῦ θέρους ἰδών ποτε
ἔτρωγ', ἵνα κάμνοι, σῦκα τῆς μεσημβρίας.

**77.** Athenaeus 9. p. 380d. Παραφέρειν — Ἀ. ἐν Προαγῶνι

Τί οὐκ ἐκέλευσας παραφέρειν τὰ ποτήρια;

**78.** Athenaeus 10. p. 422e. Δεδειπνάναι — Ἀριστοφάνης ἐν Προαγῶνι

Ὥρα βαδίζειν μοὐστὶ πρὸς τὸν δεσπότην·
ἤδη γὰρ αὐτοὺς οἴομαι δεδειπνάναι.

**79.** Athenaeus 11. p. 478f. Ἀθηναῖοι δὲ μέτρον τι καλοῦσι κοτύλην. — Ἀριστοφάνης Προαγῶνι

Ὁ δ' ἀλφίτων γε πριάμενος τρεῖς χοίνικας
κοτύλης δεούσας ἐκτέα λογίζεται.

γε addidit Schweighaeuserus. ἐκτέα λογίζεται Dobraeus pro οἰκαδ' (εἴκοσ' ex apographis quibusdam Casaubonus) ἀπολογίζεται. Ex epitome ἀλφίτων χοίνικας τρεῖς κοτύλης δεούσας attulit Eustathius p. 1282, 52.

**80.** Pollux 10, 44. Ὅτι δὲ οὐ μόνον ἐπὶ τοῦ ἀκινήτου ἀποπάτου τὰ λάσανα ὀνομαστέον, ἀλλὰ καὶ ἐπὶ τοῦ τιθεμένου καὶ ἀναιρουμένου, μαρτυρεῖ Ἀ. ἐν Προαγῶνι εἰπών

Οἴμοι τάλας, τί μου στρέφει τὴν γαστέρα;
βάλλ' ἐς κόρακας. πόθεν ἂν λάσανα γένοιτό μοι;

**81.** Scholiasta Platonis p. 322. ed. Bekker. Παροιμία, ἐν πίθῳ τὴν κεραμείαν ἐπὶ τῶν τὰς πρώτας μαθήσεις ὑπερβαινόντων, ἀπτομένων δὲ τῶν μειζόνων καὶ ἤδη τῶν τελειοτέρων. κέχρηται δὲ αὐτῇ Ἀ. ἐν Προαγῶσι (sic).

**82.** Bekkeri Anecd. p. 411, 17. Ἀντλιαντλητῆρα: — Ἀ. δὲ Προαγῶνι καὶ Ἐπίλυκος Κωραλίσκῳ τὸ αὐτὸ τοῦτο ἀντλίον κεκλήκασιν.

## ΑΜΦΙΑΡΕΩΣ.

Acta haec fabula est archonte Chabria olymp. 91, 2. Scriptor argumenti Avium, ἐπὶ Χαβρίου τὸ δρᾶμα καθῆκεν εἰς ἄστυ διὰ Καλλιστράτου, εἰς δὲ Λήναια τὸν Ἀμφιάραον ἐδίδαξε διὰ Φιλωνίδου.

Argumentum huic fabulae ex fragmentis colligitur praebuisse aegrotantis hominis cuiusdam δεισιδαιμονίαν, qui sanitatis recuperandae caussa Amphiarai adierit oraculum, de quo praeter alios videndi Herodotus 8, 134. et Pausanias 1, 34, 4. Qualem superstitionem quum in Nicia fuisse ex Thucydidis, Plutarchi aliorumque narrationibus sciamus, huic deridendo hanc comoediam scriptam fuisse suspicatus est Suevernius in commentatione de Avibus p. 58, 59. ingeniosa coniectura, quae tamen ex fragmentis quae supersunt confirmari non magis quam refutari potest. Neque enim quidquam in illis est quin ad alium superstitiosum et meticulosum quemvis eodem quo ad Niciam iure referri possit.

**83.** Iasus partes quasdam in hac fabula fuisse ex annotatione scholiastae ad Pluti v. 701. apparet, προσῆκε τῷ Ἀσκληπιῷ ἡ Ἰασὼ παρὰ τὴν ἴασιν ὠνομασμένη. ἀλλὰ καὶ θυγατέρα τοῦ Ἀμφιαράου αὐτὴν εἶπεν ἐν ἐκείνοις

Ἀλλ' ὦ θύγατερ ἔλεξ' Ἰασοῖ πρευμενής.

Ita Seidlerus. Vulgo ἐλεξά σοι. Hesychius, Ἰασώ: παρὰ τὸ ἰᾶσθαι. φησὶ δὲ Ἀριστοφάνης καὶ Ἀμφιάρεω (ἀμφιαρώου codex) θυγατέρα εἶναι Ἰασώ.

**84.** Herodianus περὶ μονήρους λέξεως p. 39, 15. Τύλη, ὅπερ σύνηθες Ἀττικοῖς κνέφαλλον καλεῖν, ὁμωνύμως τῷ περιεχομένῳ τὴν περιέχουσαν. Ἀριστοφάνης (codex ἀριστοφάνει) Ἀμφιάρεῳ

Καὶ νὴ Δί' ἐκ τοῦ δωματίου γε νῷν φέρε
κνέφαλλον ἅμα καὶ προσκεφάλαιον τῶν λινῶν.

Pollux 10, 40. ἐν δὲ Ἀμφιαράῳ (ἀμφιάρῳ codices: ergo Ἀμφιάρεῳ) Ἀριστοφάνους "Κνέφαλον ἅμα καὶ προσκεφάλαιον τῶν λινῶν." δηλόνοτι ὡς καὶ σκυτίνων καὶ ἐρεῶν γιγνομένων.

**85.** Scholiasta Ranar. v. 246. ex eoque Suidas s. v. φλέων, Φλέως λοχμῶδες φυτόν. — μέμνηται αὐτοῦ καὶ ἐν Ἀμφιαράῳ

Πόθεν ἂν λάβοιμι βῦσμα τῷ πρωκτῷ φλέων;

Idem versus initium Pacis 525. πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον; ubi Stobaeus 55, 8. πόθεν λάβοιμ' ἄν. Βῦσμα scripsi pro βύσμα.

**86.** Scholiasta Nubium v. 663. Ἀλεκτρυόνα κατὰ ταυτόν: οὐκ ἂν ἄλλως λέγοιτο τοῦτο, εἰ μὴ ἐν ἔθει ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγειν. σαφὲς δὲ γίνεται ἐν Ἀμφιαράῳ

α. Γύναι, τί τὸ ψοφῆσάν ἐσθ'; β. ἀλεκτρυὼν
τὴν κύλικα καταβέβληκεν. α. οἰμώζουσά γε.

Vulgo ἐστιν; ἡ ἀλεκτρυὼν, Brunckius ἐσθ'; ἡ 'λεκτρυών. Ceterum senis haec verba esse suspicor cum uxore colloquentis: vide ad fragm. 94.

**87.** Athenaeus 4. p. 158c. ubi de vocabulo φακῆ agit, Ἀ. — ἐν Ἀμφιαράῳ

Ὅστις φακῆν ἥδιστον ὄψων λοιδορεῖς.

ὄψον apographum Palatinum. Eustathius p. 1572, 51. ex epitome φακέα φακῆ τὸ κατά τινα παλαιὸν ἥδιστον ὄψον.

**88.** Pollux 7, 181. Ἐρείκειν —. Ἀ. γὰρ ἐν Ἀμφιαράῳ φησὶν

Ἔπειτ' ἐρεῖξον ἐπιβαλοῦσ' ὁμοῦ πίσοις.

Ἐρεῖξον Dobraeus pro ἐρεῖξεν. Pollux 6, 60. Ἀ. δὲ καὶ πληθυντικῶς λέγει τοὺς πίσους.

**89.** Pollux 10, 92. Καὶ σπυρίδα δὲ ὀψωνοδόκον πλεκτὴν σχοῖνον ἐν Ἀμφιάρεῳ Ἀ. ἔφη· ἐν δὲ Ἀχαρνεῦσι (453. 469.) σπυρίδιον, ὃ καὶ πλέκος εἴρηκε (Pac. 528.) παρατραγῳδῶν.

**90.** Photius p. 596, 14. et Suidas, Τοῦ: καὶ ἐπὶ θηλυκοῦ τάττεται ὥσπερ τὸ τινός. Ἀ. Ἀμφιάρεῳ (Ἀμφιαράῳ Photius)

Ταυτὶ τὰ κρέ' αὐτῷ παρὰ γυναικός του φέρω.

Eodem modo haud dubie ὅτου, ὅτῳ, ὅτων et ὅτοις cum nominibus femininis coniunxerunt: unde Ran. v. 117. ubi in libris legitur ἀλλὰ φράζε τῶν ὁδῶν | ὅπως τάχιστ' ἀφιξόμεθ' εἰς Ἅιδου κάτω, restitui τῶν ὁδῶν ὅτῳ. In cod. Veneto ex correctoris coniectura legitur ὅπῃ, annotato tamen γρ. ὅπως.

**91.** Suidas, Ἀχηνία: ἀπορία, πενία. Ἀ. Ἀμφιαράῳ

Νόσῳ βιασθεὶς ἢ φίλων ἀχηνίᾳ.

Grammaticus Bekkeri p. 474, 7. Ἀχηνία: ἀπορία,

πενία. Ἀριστοφάνης οὕτως εἴρηκεν. Confer Hesychii interpretes ad v. ἀχηνία.

92. Suidas, Φρυνώνδας: τῶν ἐπὶ πονηρίᾳ διαβεβοημένων, ὃς ξένος ὢν κατὰ τὰ Πελοποννησιακὰ διέτριβεν Ἀθήνησιν. Ἀ. Ἀμφιάρεῳ

Ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρὲ σύ.

ἐκ τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦσι. Scholiasta ad Aeschin. c. Ctesiphont. p. 73, 12. (p. 91, 22. ed. Oxon. p. 339. ed. Schultz.) Φρυνώνδας: οὗτος ἐπὶ πονηρίᾳ διαβεβοημένος ὑπῆρξεν. ὅθεν Ἀριστοφάνης πού φησιν "Ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρέ." Schol. Luciani ad Alexandri c. 4. ὡσαύτως καὶ ὁ Φρυνώνδας ἐπὶ πονηρίᾳ βοᾶται Εὐπόλιδι ἐν Ἀστρατεύτοις, Δήμοις, Ἀριστοφάνει δὲ Προαγῶνι, Ἀμφιαράῳ, Θεσμοφοριαζούσαις.

93. Harpocratio, Λαμπτρεῖς: — Λαμπτραὶ δῆμος τῆς Ἐρεχθηΐδος —. δύο δέ εἰσι Λαμπτραί, αἱ μὲν παράλιαι, αἱ δὲ καθύπερθεν. Ἀ. Ἀμφιάρεῳ "Λαμπτρεὺς ἔγωγε τῶν κάτω."

94. Aelianus de N. A. 12, 9. Κινεῖ δὲ (ὁ κίγκλος) καὶ τὰ οὐραῖα πτερὰ —. μέμνηται δὲ καὶ τοῦ ὄρνιθος τοῦδε Ἀ. ἐν τῷ Ἀμφιαράῳ λέγων

Ὀσφῦν δ' ἐξ ἄκρων διακίγκλισον ἠΰτε κίγκλος
ἀνδρὸς πρεσβύτου· τελέει δ' ἀγαθὴν ἐπαοιδήν.

Hesychius, Διακίγκλισον: διάσεισον. κίγκλος δὲ ὄρνεον ἢ σεισοπυγίς. Photius p. 163, 20. Κίγκλος: ὄρνεον τὴν ὀσφὺν πολλὰ κινοῦν, ὅ τινες σεισοπυγίδα καλοῦσιν: unde κίγκλος pro κίγκλου Bergkius. Idem τελέειν pro τελέει. Videntur hi versus responsum esse ab Amphiarao mulieri redditum, quam alloquitur senex fragm. 86. Ceterum conf. Γήρως fragm. 191.

95. Pollux 10, 180. Κίσται — καὶ αἱ τῶν φαρμακοπωλῶν ἂν καλοῖντο, ὡς ἐν Ἀμφιάρεῳ (ἀμφιάρῳ codices: vulgo Ἀμφιαράῳ) Ἀ.

Καὶ τοὺς μὲν ὄφεις οὓς ἐπιπέμπεις
ἐν κίστῃ που κατασήμηναι
καὶ παῦσαι φαρμακοπωλῶν.

96. Hephaestio de metro choriambico c. 9. p. 57. ed. Gaisford. Παρὰ δὲ Ἀ. ἐν Ἀμφιάρεῳ

Οἶδα μὲν ἀρχαῖόν τι δρῶν κοὐχὶ λέληθ' ἐμαυτόν.

97. Ex eadem fabulae parte versus sumtus est duabus ab initio syllabis defectus apud scholiastam Pacis v. 473. Μορμόνος: — οὕτως δὲ ἔλεγον τὸ ἐκφόβητρον, καὶ τὰ πρόσωπεῖα τὰ αἰσχρὰ μορμολυκεῖα, ἀφ' οὗ τραγικὰ καὶ κωμικά. καὶ ἐν Ἀμφιαράῳ

Ἀφ' οὗ κωμῳδικὸν μορμολυκεῖον ἔγνων.

Vulgo μορμολύκεια et μορμολύκειον. Vide ad Γήρως fragm. 187.

98. Antiatticista Bekkeri p. 81, 24. Ἀκραιφνὲς ὕδωρ: Ἀ. Ἀμφιαράῳ. Phrynichus ibidem p. 23, 4. Ἀκραιφνὲς ὕδωρ: τὸ ἀμιγὲς καὶ καθαρὸν ἑτέρας ἐπιρροῆς.

99. Pollux 2, 176. codicum ope emendatus, Τὸ δὲ ἐπεγείρειν τὸ αἰδοῖον ταῖν χεροῖν καὶ ἀνακνᾶν ἀναφλᾶν Ἀ. ἐν Ἀμφιαράῳ λέγει. Vulgo ταῖν χεροῖν ἀναφλᾶν καὶ ἀνακλᾶν. In Lysistrata v. 1099. est αἵ κ' εἶδον — ἀναπεφλασμένως. Verbo ἀνακνᾶν ad interpretandum ἀναψαθάλλειν utitur Phrynichus Bekkeri p. 9, 6. Etymolog. M. p. 100, 14. Ἀναφλᾶν: χειροτριβεῖν τὸ αἰδοῖον. οἱ δὲ στύειν. Ibid. p. 795, 36. Φλᾶν: τύπτειν ἢ μαλάττειν. καὶ τὸ ἀναμαλάττειν ἀναφλᾶν Ἀριστοφάνης. Eadem Photius p. 650, 17. ubi verbum ἀναφλᾶν excidit.

100. Antiatticista Bekkeri p. 82, 5. Ἀνθρωπίζεται: Ἀ. Ἀμφιαράῳ. Pollux 2, 5. Ἀνθρωπίζεται φησὶν Ἀ.

101. Etymolog. M. p. 112, 52. Τὸ δὲ παρὰ Ἀριστοφάνει ἐν Ἀμφιαράῳ διὰ τοῦ ε ἠντεβόλησε δύο κλίσεις ὑπέστη. ἠντεβόλησε codices Gaisfordi et Augustanus apud Tittmannum ad Zonarum l. p. CXXIV. Vulgo ἀντεβόλησε. De augmento dixit L. Dindorfius in Thesauro vol. 1. part. 2. p. 894.

102. Erotianus in lexico Hippocratico p. 244. ed. Franz. (p. 93. ed. Klein). Λεβηρίδος: ὑμενώδους ἀποσύρματος, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀ. ἐν Ἀμφιαράῳ καὶ Στράττις ἐν Φοινίσσαις. Hesychius, Γυμνότερος λεβηρίδος: Ἀριστοφάνης φησί, τυφλότερος λεβηρίδος. ἔστι δὲ λεβηρὶς τὸ τοῦ ὄφεως γῆρας διὰ τὸ λέπος (vulgo λεπτόν. Codex λέπ. Conf. Photium p. 611, 23.) εἶναι. κενὸν δὲ τελέως ἐστὶ τοῦτο καὶ τυφλόν. τὰς γὰρ ὀπὰς μόνας ἔχει τῶν ὀφθαλμῶν. τάττουσι δὲ τὴν λέξιν ἐπὶ τέττιγος καὶ συνόλως ἐπὶ τῶν ἀποδυομένων τὸ γῆρας. τριχῇ δὲ ἀναγράφουσι τὴν παροιμίαν, καὶ οἱ μὲν τυφλότερος λεβηρίδος, οἱ δὲ κενότερος, οἱ δὲ γυμνότερος. Similia tradunt Zenobius 2, 95. et Suidas s. v. γυμνότερος.

103. Harpocratio, Ῥόπτρον: — τὸν τῆς θύρας κρίκον — ὡς καὶ ἄλλοι, Ἀ. Ἀμφιάρεῳ.

104. Scholiasta Platonis ad Theagem p. 383. ed. Bekker. Παροιμία ἱερὸν συμβουλὴ ἐπὶ τῶν καθαρῶς καὶ ἀδόλως συμβουλευόντων. — ἄλλοι δέ φασιν ἔπαινον φέρειν τῆς συμβουλῆς τὴν παροιμίαν· εἶναι γὰρ αὐτὴν θείαν καὶ ὑπὲρ ἄνθρωπον. μέμνηται δ' αὐτῆς καὶ Ἀ. ἐν Ἀμφιαράῳ. De hoc proverbio vide Alberti annotationem ad Hesychium vol. 2. p. 27.

## ΠΛΟΥΤΟΣ. Α.

De duplici Pluti editione optime expositum est ab Francisco Rittero in dissertatione Bonnae a. 1828. edita, quam ego excerpsi in Annotationibus Oxon. p. 19—45. Censuram huius dissertationis scripserunt Duebnerus in Iahnii Annalibus a. 1829. vol. 11. p. 303 seqq. et C. F. Hermannus in Opusculis Gottingae editis a. 1849. p. 39 seqq. Fuit autem haec fabula primum in scenam producta olympiadis 92. anno quarto, archonte Diocle. Scholiasta Pluti v. 173. ἐν δευτέρῳ (Πλούτῳ) — ὃς ἔσχατος ἐδιδάχθη ὑπ' αὐτοῦ εἰκοστῷ ἔτει ὕστερον (i. e. olymp. 97, 4 ut ex didascalia novimus). Ἔσχατον dicit quia postrema haec fabula fuit quam suo nomine inscriptam docuit poeta: vide grammaticorum locos infra indicatos p. 192.

105. Scholiasta Ranarum v. 1125. Οἱ Κεραμῆς: οἱ τὸν Κεραμεικὸν οἰκοῦντες. δῆμος δὲ Ἀθηναίων. ἐκεῖ γὰρ ὁ ἀγὼν ἐγίνετο. καὶ ἐν Πλούτῳ πρώτῳ

Τῶν λαμπαδηφόρων τε πλεῖστον αἰτίαν πλατειῶν
τοῖς ὑστάτοις.

τοῦτο δέ φησιν Εὐφρόνιος, ὅτι ἀπὸ τοῦ ἐν τῷ Κεραμεικῷ ἀγῶνος τῆς λαμπάδος καὶ τοὺς ὑστάτους τρέχοντας ἀπὸ τῶν ἀγοραίων τύπτεσθαι πλατείαις ὑπὸ τῶν νεανίσκων χερσί. καὶ λέγονται αἱ τοιαῦται Κεραμεικαὶ πληγαί. In verbis poetae legebatur πλείστων, quod ex cod. Flor. correxi, et τοῖς ὑστάτοις πλατειῶν. Aut transponenda haec sunt aut in dimetros digerenda. Non improbabilis Ritteri coniectura est p. 53. Chremyli haec verba fuisse Penia quot malorum caussa sit enumerantis.

**106.** "Suidas, Ἀναπηρίαν: οὕτως Ἀ. Πλούτῳ. — Sed Pollux 2, 61. Κρατῖνος δ' ἐν Πλούτῳ καὶ ἀναπηρίαν." Dobraeus ad Pluti v. 115. p. 12. (Apud Suidam codd. Paris. duo πλούτωνι. Idem a pr. manu habet codex Bruxell., a correctore νεφέλαις.) "Sed ecce Antiatt. Bekkeri p. 78. Ἀναπειρίαν: Ἀριστοφάνης Πλούτῳ. Phrynichus ibid. p. 9. Ἀναπηρία. διὰ τοῦ η τὴν τρίτην, οὐ διὰ τῆς ει διφθόγγου, ὡς οἱ ἀμαθεῖς. τὸ μὲν οὖν ἀνάπηρος καθωμίληται, τὸ δὲ ἀναπηρία σπάνιον. Quare non intercedam quo minus cum Brunckio et Porsono Adv. p. 281. ad Aristophanem referamus, sive uterque poeta voce usus est, sive erravit in auctoris nomine Pollux, ut facit non raro. Etiam vocem ζυγοποιεῖν alibi idem ex Pluto Aristophanis citat, quod ad 513. referunt, neque ego repugno. Sed videndum ne revera habuerit Pollux e Pherecrate Athen. 6. p. 269c. qui locus omnino comparandus." Idem in Addendis p. (99).

**107.** Antiatticista Bekkeri p. 113, 11. Ῥυφῆσαι: διὰ τοῦ υ. Ἀ. Πλούτῳ. In Equitibus v. 912. editum ῥοφῆσαι. Ῥυφεῖν Ionica verbi forma est, qua praeter alios Hipponactem usum esse constat.

**108a.** Antiatticista p. 88. 7. Γραΐζειν: ὅταν τὸ συναγόμενον ἐν ταῖς χύτραις καὶ ἐπαφρίζον ἐκχέωσιν. Ἀ. Πλούτῳ. Γραῦς, spumam significans, legitur in fabula superstite v. 1207.

**108b.** Antiatticista p. 95, 29. Ἐμπαίζειν: ἐπὶ τοῦ καταγελᾶν. Ἀ. Πλούτῳ. Legitur ἐμπαίζειν in Thesm. 975. sed alio significatu.

**108c.** Antiatticista p. 84, 4. Βλάξ, βλακεύειν, βλακεύεσθαι, καὶ βλᾶκες, καὶ βλακικῶς. Πλάτων Γοργίᾳ, ὁ αὐτὸς Εὐθυδήμῳ, Ἀριστοφάνης Πλούτῳ. Adverbio βλακικῶς usus est Av. v. 1323. In Pluto quod huc referri possit nihil legitur praeter κατεβλακευμένως v. 325. Βλάξ ex Aristophane memoratur in Etym. M. p. 198, 57. Βλάξ: ὁ εὐήθης καὶ ἀργὸς καὶ ἀνόητος. Ἀριστοφάνης "Βλάκες (scribe Βλᾶκες) φυγεργοί." quod φιλεργοί scriptum in cod. Voss. et apud Zonaram vol. 1. p. 390.

# ΑΙΟΛΟΣΙΚΩΝ.

Aeolosiconis duas exstitisse editiones ex Athenaei loco infra allato fragm. 122. intelligitur. Duplex autem Aeolosiconis editio si exstitit, verisimile est verba ex Argumento Pluti infra afferenda ad alteram spectare editionem, priorem vero multo prius actam esse, quemadmodum Pluti editiones duae viginti annorum intervallo disparatae fuerunt, ut paullo ante ostendimus. De argumento et conformatione fabulae insignis est locus Platonii, qui de mediae comoediae indole agens ita scribit (vol. 1. p. 20, 7.), — ἐπέλιπον οἱ χορηγοί. οὐ γὰρ ἔτι προθυμίαν εἶχον οἱ Ἀθηναῖοι τοὺς χορηγοὺς τοὺς τὰς δαπάνας τοῖς χορευταῖς παρέχοντας χειροτονεῖν. τὸν γοῦν Αἰολοσίκωνα Ἀριστοφάνης ἐδίδαξεν, ὃς οὐκ ἔχει τὰ χορικὰ μέλη. τῶν γὰρ χορηγῶν μὴ χειροτονουμένων καὶ τῶν χορευτῶν οὐκ ἐχόντων τὰς τροφὰς ὑπεξῃρέθη τῆς κωμῳδίας τὰ χορικὰ μέλη καὶ τῶν ὑποθέσεων ὁ τρόπος μετεβλήθη. σκοποῦ γὰρ ὄντος τῆς ἀρχαίας κωμῳδίας τοῦ σκώπτειν δήμους καὶ δικαστὰς καὶ στρατηγούς, παρεὶς ὁ Ἀριστοφάνης τοῦ συνήθως ἀποσκῶψαι διὰ τὸν πολὺν φόβον, Αἴολον τὸ δρᾶμα τὸ γραφὲν τοῖς τραγῳδοῖς ὡς κακῶς ἔχον διασύρει. τοιοῦτος οὖν ἐστιν ὁ τῆς μέσης κωμῳδίας τύπος οἷός ἐστιν ὁ Αἰολοσίκων Ἀριστοφάνους καὶ οἱ Ὀδυσσεῖς Κρατίνου καὶ πλεῖστα τῶν παλαιῶν δραμάτων οὔτε χορικὰ οὔτε παραβάσεις ἔχοντα. Araroti filio fabulam hanc docendam tradidisse dicitur Aristophanes in Argumento Pluti (vol. 1. p. 47, 6.), τελευταίαν δὲ διδάξας τὴν κωμῳδίαν ταύτην (Plutum alteram) ἐπὶ τῷ ἰδίῳ ὀνόματι [καὶ] τὸν υἱὸν αὐτοῦ συστῆσαι Ἀραρότα [δι' αὐτῆς*] τοῖς θεαταῖς βουλόμενος τὰ ὑπόλοιπα δύο δι' ἐκείνου καθῆκε, Κώκαλον καὶ Αἰολοσίκωνα: unde scholiasta Platonis p. 331. Ararotem dicit ἰδίοις τε καὶ τοῦ πατρὸς δράμασι διηγωνισμένον. Quod autem Argumenti scriptor Κώκαλον καὶ Αἰολοσίκωνα scribit, si forte Cocalum Aeolosicone priorem habuit, in errore est versatus, ut videtur. Nam Aeolosiconem mediae comoediae fabulam fuisse ex Platonii verbis supra positis intelligitur, Cocalum autem ad novam comoediam pertinuisse infra ostendetur ubi de Cocalo agemus.

Ad hanc fabulam spectat Libanii locus epist. 420. p. 215. φρονεῖ μὲν μεῖζον Ἀλκιβιάδου, ποιεῖ δὲ τὰ Σίκωνος. ὅ τι δὲ οὗτος ἔδρα τὸν Ἀριστοφάνην ἐροῦ. Siconis nomen notum est servile fuisse: vide exempla apud Athenaeum, Sotionis 8. p. 336e. et Eubuli 1. p. 23a. Primarium hoc nomine coquum memorat Sopater in Καταψευδομένῳ ibid. 9. p. 378a. cuius primas in Aristophanea fabula partes fuisse coniecit Grauertus in commentatione de media Graecorum comoedia in Niebuhrii Museo a. 1828. p. 60 et 499. Idem compositi nominis formam Αἰολοσίκων similibus exemplis illustravit p. 61. Propter accentum memoratur ab Arcadio p. 12, 21.

**109.** Athenaeus 3. p. 95e. Ἀκροκωλίων δὲ μέμνηται Ἀ. Αἰολοσίκωνι

Καὶ μὴν τὸ δεῖν', ἀκροκώλια δέ σοι τέτταρα
ἥψησα τακερά.

Brunckius ἀκροκώλιά γέ σοι. Bergkius ἀκροκώλια δή

---

* καὶ τὸν υἱὸν — βουλόμενος] Repugnant haec verbis praecedentibus ἐπὶ τῷ ἰδίῳ ὀνόματι, nisi quis Clintoni (Fast. Hell. vol. 2. p. 111.) sequatur interpretationem, Aristophanem in Pluto Araroti πρωταγωνιστοῦ partes commisisse, duas alias autem comoedias, Cocalum et Aeolosiconem, ei tradidisse ut suo ipsius nomine inscriptas produceret. Quod sensit Dobraeus, qui verba καὶ et δι' αὐτῆς ab recentiore interpolatore illata eiici voluit. Idem error in exerptis de vita Aristophanis, ubi omissa Aeolosiconis et Cocali mentione haec leguntur p. 36, 8. ἐν τούτῳ δὲ τῷ δράματι (Plutum dicit) συνέστησε τῷ πλήθει τὸν υἱὸν Ἀραρότα καὶ οὕτω μετήλλαξε τὸν βίον, παῖδας καταλιπὼν τρεῖς, Φίλιππον ὁμώνυμον τῷ πάππῳ καὶ Νικόστρατον καὶ Ἀραρότα, δι' οὗ καὶ ἐδίδαξε τὸν Πλοῦτον. quorum postrema qui scripsit ignoravit, quod antiquior grammaticus cuius verba supra apposuimus annotavit Aristophanem τελευταίαν δεδιδαχέναι τὴν κωμῳδίαν ταύτην ἐπὶ τῷ ἰδίῳ ὀνόματι, non ἐπὶ τῷ Ἀραρότος ὀνόματι. Prudentius igitur in simili excerpto p. 38, 5 haec tantum scripta sunt, τελευταῖον δὲ διδάξας τὸν Πλοῦτον συνέστησε τῷ πλήθει τὸν υἱὸν Ἀραρότα καὶ οὕτω μετήλλαξε τὸν βίον, παῖδας καταλιπὼν cet. quibus si post Ἀραρότα addidisset grammaticus τὰ ὑπόλοιπα δύο δράματα, Αἰολοσίκωνα καὶ Κώκαλον, δι' ἐκείνου καθείς, omni ex parte vera dixisset.

σοι. Ad eandem fabulae partem fortasse referendum fragm. 122.

110. Suidas, Ἀγοράσω λέγουσι, τὸ δ' ἀγορῶ βάρβαρον. παραδειγμάτων δὲ μεστὰ πάντα, εἰλήφθω δ' ὅμως Ἀριστοφάνους ἐξ Αἰολοσίκωνος

Ἀλλ' ἄνυσον· οὐ μέλλειν ἐχρῆν· ὡς ἀγοράσω
ἁπαξάπανθ' ὅσ' ἂν κελεύῃς, ὦ γύναι.

Eadem omisso fabulae indicio attulit grammaticus Bekkeri p. 331, 26. Commune utrique vitium est ὅσα κελεύεις, emendatum ab Bekkero. Ceterum non apparet cur grammaticus tantopere reprehendat formam contractam ἀγορῶ, quum Attici aliis pluribus huiusmodi formis interdum usi sint, de quibus dixit Buttmannus Gramm. vol. 1. p. 402.

111. Pollux 9, 63. Ἔστι δὲ καὶ τὸ διώβολον ἐν Αἰολοσίκωνι Ἀριστοφάνους "Ὅπερ λοιπὸν μόνον ἦν ἐν τῇ γνάθῳ διώβολον γένηταί μοι." Post μοι margo Falckenburgii monstrosam vocem ἰδικολλοικὸν, non satis perspicue tamen scriptam, addere perhibetur: unde Bergkius restituit

Ὅπερ δὲ λοιπὸν μόνον ἔτ' ἦν ἐν τῇ γνάθῳ
διώβολον, γεγένητ' ἐμοὶ δικόλλυβον,

ut τρικόλλυβον dictum est, de quo vid. Pollux 9, 72. et Hesychius s. h. v. Partem veri viderat Adr. Heringa, quum coniiceret ἐγέννησεν ἤδη κόλλυβον.

112. Pollux 10, 104. Τυρόκνηστις ἔστιν — ἐν Ἀριστοφάνους Αἰολοσίκωνι

Δοΐδυξ, θυεία, τυρόκνηστις, ἐσχάρα.

Vesparum v. 938. δοίδυκα, τυρόκνηστιν, ἐσχάραν, χύτραν comparavit Iungermannus. De voc. ἐσχάρα vid. Phrynichus Bekkeri p. 40, 15.

113. Pollux 1, 79. — κοιτών· εἰ γὰρ καὶ Μένανδρος αὐτὸ βαρβαρικὸν οἴεται, ἀλλ' Ἀ. ὁ κωμῳδοδιδάσκαλος τὰ τοιαῦτα πιστότερος αὐτοῦ εἰπὼν ἐν Αἰολοσίκωνι

Κοιτὼν ἁπάσαις εἷς, πύελος μί' ἀρκέσει.

De vocabulo κοιτών, quod etiam Phrynichus reiecit, dictum ab Lobeckio p. 252. 253.

114. Pollux 10, 116. ubi de vocabulo λυχνοῦχος agit, ἐν δὲ τῷ Ἀριστοφάνους Αἰολοσίκωνι

Καὶ διαστίλβονθ' ὁρῶμεν
ὥσπερ ἐν καινῷ λυχνούχῳ
πάντα τῆς ἐξωμίδος.

καινῷ Salmasius et alii: vulgo κενῷ. Athenaeus 15. p. 699 f. secundum codicem Venetum, ὅτι δὲ λυχνοῦχοι οἱ νῦν καλούμενοι φανοι ωνομαζοντο . . . . φανης εν . . . . λοσι . . . . πα . . . . σιν (παρίστησιν Schweigh.) κα . . . . στιλ . β θορω ὁμοίως περ ἐν κενω λυχνουχω παντ . . . σ ἐξωμιδος. V. 2. λυνούχῳ] De hoc voc. v. Phrynichus Bekkeri p. 50, 23.

115. Pollux 10, 118. Ὅταν δ' εἴπῃ ἐν τῷ Αἰολοσίκωνι Ἀριστοφάνης "δυοῖν λυχνιδίοιν," δῆλον ὅτι λύχνια εἴρηκεν, ἀλλ' οὐ λύχνους μικρούς.

116. Hephaestio de metris cap. 9. p. 56. ed. Gaisf. hoc apposuit dimetrorum choriambicorum exemplum ἐξ Αἰολοσίκωνος Ἀριστοφάνους

Οὐκ ἐτός, ὦ γυναῖκες,
πᾶσι κακοῖσιν ἡμᾶς
φλῶσιν ἑκάστοθ' ἄνδρες·
δεινὰ γὰρ ἔργα δρῶσαι
λαμβανόμεσθ' ὑπ' αὐτῶν.

Vulgo ἑκάστοτ' ἄνδρες. Ad hanc fabulam fortasse referendi quos ex Aristophane versus attulit Athenaeus 1. p. 48 c. exscriptos ab Eustathio p. 1570, 5.

Ὅστις ἐν ἡδυόσμοις
στρώμασι παννυχίζων
τὴν δέσποιναν ἐρείδεις.

117. Pollux 10, 25. Ἡ δὲ ὀπὴ εἴρηται ἐν Αἰολοσίκωνι Ἀριστοφάνους "Καὶ δι' ὀπῆς κἀπὶ τέγους." De adulteris haec dicta esse coniecit Grauertus collato Xenarcho apud Athenaeum 13. p. 569 b.

118. Athenaeus 7. p. 276 c. Τῶν δὲ παρόντων γραμματικῶν τις ἀποβλέψας εἰς τὴν τοῦ δείπνου παρασκευὴν ἔφη, Εἶτα πῶς δειπνήσομεν τοσαῦτα δεῖπνα; ἴσως διὰ νυκτός; ὡς ὁ χαρίεις Ἀ. ἐν Αἰολοσίκωνι εἶπεν, οὕτως λέγων οἱονεὶ δι' ὅλης νυκτός. Non potest demonstrari plura in his esse Aristophanis verba quam duo illa διὰ νυκτός.

119. Pollux 9, 89. Ἐν — τῷ Αἰολοσίκωνι τὸ μὴ ἔχειν κέρματα ἀκερματίαν ὠνόμασεν.

120. Pollux 10, 24. Παρὰ δὲ Ἀριστοφάνει ἐν Αἰολοσίκωνι καὶ κλειδίον. Quod κληδίον scribendum. Ibid. 128. Ἐν δὲ Ἀ. Αἰολοσίκωνι καὶ σμηματοφορεῖον (duo codices σμηματοφόρον).

121. Scholiasta Pacis v. 740. Ἀ. ὡς γαστρίμαργον. τὸν Ἡρακλέα κωμῳδεῖ καὶ ἐν Ὄρνισι καὶ ἐν Αἰολοσίκωνι, καὶ ἐν τοῖς Σφηξὶ περὶ τούτων φησί, τοῦ τε Ἡρακλέους καὶ τοῦ δούλου. Confer quae supra diximus ad Daetalenses p. 181.

122. Aeolosiconis editionem alteram memorat Athenaeus ubi de γηθύοις agit 8. p. 372 a. Ἀ. Αἰοκοσίκωνι δευτέρῳ

Τῶν δὲ γηθύων
ῥίζας ἐχούσας σκοροδομίμητον φύσιν.

Codex σκοροδόμητον, correctum ab Toupio. σκορδομίμητον scripserat Stephanus in Thes. vol. 2. p. 678. De γηθύοις vide Schneideri annotationem ad Theophrastum vol. 3. p. 574. Alterum versum apertum est ad tragici sermonis similitudinem esse expressum. In vicinia verborum fragm. 109. haec lecta fuisse coniecit Grauertus in Niebuhrii Museo a. 1828. p. 500. Disertius de Aeolosiconis editione altera testimonium est scholiastae Hephaest. p. 56. ed. tert. Gaisf. Αἰολοσίκων δρᾶμα γέγονε πρῶτον καὶ δεύτερον Ἀριστοφάνους, ὡς καὶ ὁ Πλοῦτος πρῶτον καὶ δεύτερον.

---

In Aeolosicone dubitatur an lecti fuerint versus de quibus dictum infra ad Gerytadae fragm. 199.

---

123. Ad hanc fabulam fortasse referendus Herodiani locus corruptus περὶ μονήρους λέξεως p. 7, 11. ἀλλὰ καὶ ἡ νέα νῆ εἰρημένον — παρὰ Ἀριστοφάνει ἐν δινσίλλωνι καὶ ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο. Quae ita videntur esse corrigenda, — ἐν Αἰολοσίκωνι

Καί κ' ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο.

Quibus verbis in ficto aliquo oraculo, qualia in Equitibus aliisque fabulis prostant, locus esse potuit. Comparandus cum his similis Aristophanis locus in Ecclesiazusis v. 1050. ἔδοξε ταῖς γυναιξὶν, ἢν ἀνὴρ νέος | νέας ἐπιθυμῇ, μὴ σποδεῖν αὐτὴν, πρὶν ἂν | τὴν γραῦν προκρούσῃ πρῶτον· ἢν δὲ μὴ θέλῃ | πρότερον προκρούειν, ἀλλ' ἐπιθυμῇ τῆς νέας, | ταῖς πρεσβυτέραις γυναιξὶν ἔστω τὸν νέον | ἕλκειν ἀνατὶ λαβομένας τοῦ παττάλου.

## ΚΩΚΑΛΟΣ.

Cocalo fabula novae comoediarum formae iacta esse fundamenta ab vitae scriptore traditum est vol. 1. p. 34, 3. πρῶτος δὲ καὶ τῆς νέας κωμῳδίας τὸν τρόπον ἐπέδειξεν ἐν τῷ Κωκάλῳ, ἐξ οὗ τὴν ἀρχὴν

λαβόμενοι Μένανδρός τε καὶ Φιλήμων ἐδραματούργησαν. Consentit alius grammaticus ib. p. 35, 24. ἐγένετο δὲ καὶ αἴτιος Ζήλου τοῖς νέοις κωμικοῖς, λέγω δὲ Φιλήμονι καὶ Μενάνδρῳ· ψηφίσματος γὰρ γενομένου χορηγοῦ (χορηγικοῦ Meinekius) ὥστε μὴ ὀνομαστὶ κωμῳδεῖν τινα καὶ τῶν χορηγῶν οὐκ ἀντεχόντων πρὸς τὸ χορηγεῖν καὶ παντάπασιν ἐκλελοιπυίας τῆς ὕλης τῶν κωμῳδιῶν διὰ τούτων αὐτῶν, ἴδιον γὰρ κωμῳδίας τὸ σκώπτειν τινάς, ἔγραψε Κώκαλον, ἐν ᾧ εἰσάγει φθορὰν καὶ ἀναγνωρισμὸν καὶ τἆλλα πάντα ἃ ἐζήλωσε Μένανδρος. Ex quibus probabile fit postremam hanc fuisse poetae fabularum. Eam non suo, sed Ararotis nomine docuit: vide locum grammatici supra memoratum p. 192. Quo factum est ut Araroti tribueretur ab Clemente Al. Strom. 6. p. 752. τὸν μέντοι Κώκαλον τὸν ποιηθέντα Ἀραρότι τῷ Ἀριστοφάνους υἱεῖ Φιλήμων ὁ κωμικὸς ὑπαλλάξας ἐν Ὑποβολιμαίῳ ἐκωμῴδησεν. De Cocalo, Siciliae rege, fabulosas veterum narrationes collegit Grauertus in Niebuhrii Museo Rhenano a. 1828. p. 507.

**124.** Erotianus p. 388. ed. Franz. (p. 134. ed. Klein.) Φῷδες: ἔστι μὲν ἡ λέξις Δωρική, καλοῦσι δὲ φῷδας τὰ ἐκ τοῦ πυρὸς γινόμενα, μάλιστα δὲ ὅταν ἐκ ψύχους ἐν τῷ πυρὶ καθίσωσι, στρογγύλα ἐπιφλογίσματα. — καὶ Ἀριστοφάνης ἐν Κωκάλῳ φησὶ

α. Παρέσο κατέτριβεν ἱμάτια. β. κᾄπειτα πῶς
φῷδας τοσαύτας εἶχε τὸν χειμῶν' ὅλον;

παρέσο corruptum. Prope ad literas accedit πατρός. φῷδας dicit τὰς ἐκ βαλανείου, de quibus vide scholiastae annotationem ad Pluti v. 535.

**125.** Athenaeus 4. p. 156b. Καὶ ὁ καλὸς δ' Ἀ. ἐν Κωκάλῳ ἔφη

Ἀλλ' ἐστίν, ὦ πάτερ, κομιδῇ μεσημβρία,
ἡνίκα γε τοὺς νεωτέρους δειπνεῖν χρεών.

Vulgo ἡνίκα καὶ τούς. Brunckius ὁπηνίκα τούς.

**126.** Harpocratio, Πώμαλα. ἀντὶ τοῦ οὐδαμῶς. — πολὺ δέ ἐστιν ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀ.

α. Λοιδορία τις ἐγένεθ' ὑμῖν; β. πώμαλα·
οὐδ' εἶπον οὐδέν.

Suidas, Πώμαλα: κεῖται — παρ' Ἀριστοφάνει ἐν Κωκάλῳ. δεῖ δὲ ἀναγινώσκειν ὑφ' ἓν πώμαλα. V. 1. ἡ λοιδορία vel διαλοιδορία Toupius.

**127.** Photius p. 658, 14. Ὧδε: οὐ μόνον τὸ οὕτως, ἀλλὰ καὶ τὸ ἐνθάδε ὡς ἡμεῖς. — Ἀ. Κωκάλῳ

Ἐκδότω δέ τις
καὶ ψηφολογεῖον ὧδε καὶ δίφρω δύο.

Eadem Suidas s. v. ὧδε, ubi ψηφολόγον. Photii codex ψηφολογίον.

**128.** Athenaeus 11. p. 478d. Κοτύλη. Ἀ. Κωκάλῳ

Ἄλλαι
ὑποπρεσβύτεραι γρᾶες Θασίου μέλανος μεστὸν * *
κεραμευομέναις κοτύλαις μεγάλαις [ἔγχεον ἐς] σφέτερον δέμας οὐδένα κόσμον.
[ἔρωτι βιαζόμεναι μέλανος οἴνου ἀκράτου.]

V. 2. Indicavi lacunam. V. 3. Seclusi ἔγχεον ἐς. οὐδένα κόσμον Toupius Emend. vol. 2. p. 94. Libri οὐδὲν ἄκοσμον. ἔρωτι — ἀκράτου delenda esse vidit Toupius.

**129.** Pollux 7, 162. Καὶ αὐτὸ δὲ τὸ τέγος οὐ μόνον οἱ νῦν κέραμον ὀνομάζουσιν, ἀλλὰ καὶ Ἀ. ἂν ἐοίκοι καλεῖν εἰπὼν ἐν Κωκάλῳ "Κοφίνους δὲ λίθων ἐκέλευες | ἱμᾶν ἡμᾶς ἐπὶ τὸν κέραμον." ἱμᾶν addidi ex Kuhnii coniectura.

**130.** Macrobius Saturnal. 5, 18. "*Apud quos* (Graecos) *proprie in aquae significatione ponebatur Achelous, neque id frustra. nam caussa quoque eius rei cum cura relata est. Sed priusquam caussam proponam, illud antiquo poeta teste monstrabo, hunc morem loquendi pervagatum fuisse ut Acheloum pro quavis aqua dicerent. Aristophanes vetus comicus in comoedia Cocalo sic ait,* ἥμουν ἄγριον βάρος. ἤτειρεν γάρ τοί μ' (τοί μ' om. cod. Paris.) οἶνος οὐ μιγεὶς (ΜΕΙΖαС codex Paris.) πόμ' Ἀχελώψ. *gravabar, inquit, vino, cui aqua non fuisset admixta, id est mero.*" Versus videntur esse glyconei sic fortasse corrigendi

Ἤμουν ἄγριον βάρος·
κᾄτειρε γὰρ οἶνος οὐ
μιγεὶς Ἀχελῴῳ.

**131.** Zenobius 6, 47. Χρυσὸς ὁ Κολοφώνιος: μέμνηται ταύτης Ἀριστοφάνης ἐν Κωκάλῳ. εἴρηται δὲ παρόσον οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν ἐργάζεσθαι νομίζονται.

**132.** Hesychius, Ἰπνός (vulgo ἱπνός): — Ἀ. δὲ ἐν Κωκάλῳ καὶ τὸν κοπρῶνα οὕτως εἶπεν. Pollux 5, 91. τὸν δὲ κοπρῶνα καὶ ἴπνον Ἀριστοφάνης καλεῖ.

**133a.** Stephanus Byzant. s. v. Κόρινθος, — καὶ κορινθιάζομαι τὸ ἑταιρεῖν ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν. ἢ τὸ μαστροπεύειν. Ἀ. ἐν Κωκάλῳ.

**133b.** Pollux 4, 187. Καὶ στραγγουρία, ὡς Ἀ. ἐν Κωκάλῳ.

**134.** Ad Cocalum Brunckius probabiliter rettulit locum Gellii 19, 13. repetitum a Frontone p. 446. ed. Mai. Rom. "νάνους *enim Graeci vocaverunt brevi atque humili corpore homines, paulum supra terram exstantes, idque ita dixerunt adhibita quadam ratione etymologiae cum sententia vocabuli competente, et, si memoria, inquit* (Apollinaris), *mihi non labat, scriptum hoc est in comoedia Aristophanis, cui nomen est* ἀκαλές." Fluctuant libri inter ἀκαλὲς, ἀκλαὴς, ἀκλαιὴς, ἀκλανές. νανοφυεῖς in Pace dixit v. 786.

# ΑΝΑΓΥΡΟΣ.

Anagyro fabulae nomen non ab demo, qui Ἀναγυροῦς dictus fuit, sed ab heroe videtur esse impositum, de quo multa collecta sunt in Thesauro Stephani. Quod perspectum se habuisse ostendit Elmsleius annotatione ad Acharn. v. 177. nec fugit Hemsterhusium ad Polluc. 9, 72.

**135.** Etymolog. M. p. 207, 53. s. v. βουκέφαλος (Gudian. p. 113, 47.) Ὅτι δὲ τῶν Θετταλικῶν ἵππων τινὲς ἐκαλοῦντο βουκέφαλοι δηλοῖ Ἀ. ἐν Ἀναγύρῳ

Μὴ κλᾶ'· ἐγώ σοι βουκέφαλον ὠνήσομαι.

καὶ πάλιν "Ψήχει ἠρέμα τὸν βουκέφαλον καὶ κοππατίαν." Vulgo κλαῖ'. Altero versu apud poetam haud dubie Ψήχει δ' ἠρέμα fuit, si metrum fuit anapaesticum: sin iambicum, Ψῆχ' ἠρέμα scribendum erit cum Dobraeo in fine trimetri vel ψήχετ' ἠρέμα cum Cobeto Mnem. vol. 4. p. 127.

**136.** Photius p. 346, 16. et Suidas, Ὀρθοπλὴξ ἵππος: ὀρθὸς ἐπαιρόμενος καὶ πλήσσων. Ἀ. Ἀναγύρῳ

Ὡς δ' ὀρθοπλήξ· πέφυκε γὰρ δυσγάργαλις.

Apud Photium ὀρθόπληξ bis. Tria postrema verba alteri personae tribuit Dobraeus. ὀρθοπλὴξ πέφυκε καὶ δ. Kusterus. De vocabulo δυσγάργαλις dictum ab Schneidero ad Xenoph. de re equestri 3, 10. Phrynichus Bekkeri p. 37, 1. Δυσγάργαλος ἵππος: ἐπὶ τῶν ψήχεσθαι δυσανασχετούντων τίθεται.

**137.** Pollux 10, 74. Καὶ τὸν πνιγέα ἐπὶ ἵππου

'Α. ἐν 'Αναγύρῳ λέγει, Aristophanis verba sine nomine auctoris apposita sunt in Etymolog. M. p. 677, 40. ubi πνιγέα per φιμὸν explicatur, "Περίθες σεαυτῷ τὸν πνιγέα." Ex veteri lexico suo attulerat H. Stephanus in Thesauro.

138. Pollux 10, 55. Τὴν δὲ ψήκτραν — 'Α. ἐν 'Αναγύρῳ εἴρηκεν.

139. Pollux 10, 56. Στόμια δὲ πριονωτὰ ἔφη ἐν 'Αναγύρῳ 'Α.

140. Athenaeus 8. p. 385f. Τὸ δὲ ἐν 'Αναγύρῳ 'Αριστοφάνους

Εἰ μὴ παραμυθεῖ μ' ὀψαρίοις ἑκάστοτε,

ἀντὶ τοῦ προσοψήμασιν ἀκούομεν. Vulgo παραμύθημ'. Correxit Brunckius. Phrynichus in Bekkeri Anecd. p. 53, 5. 'Οψάριον: τὸ ὄψον, οὐχὶ τοὺς ἰχθῦς. οἱ δὲ νῦν τοὺς ἰχθῦς λέγουσιν.

141. Athenaeus 14. p. 650e. Τῶν γὰρ ἀπυρήνων (ῥοῶν) 'Α. ἐν Γεωργοῖς μνημονεύει. καὶ ἐν 'Αναγύρῳ "Πλὴν ἀλεύρου καὶ ῥόας." καὶ ἐν Γηρυτάδῃ.

142. Photius p. 311, 15. et Suidas, Ξυννένοφε: ἐπινεφῆ καὶ συννεφῆ καὶ συννέφελά ἐστιν. 'Α.'Αναγύρῳ

Καὶ ξυννένοφε καὶ χειμέρια βροντᾷ μάλ' εὖ.

Dobraeus μάλ' αὖ. Ad hunc locum fortasse spectavit grammaticus ex codice Parisino editus in appendice ad Orionem p. 181, 10. Νείφω: νέφος γὰρ καὶ νένοφεν ὁ μέσος παρακείμενος παρὰ 'Αριστοφάνει: unde corrige alium ibidem p. 187, 20. Photius p. 294, 10. Νένοφεν: νενέφωται.

143. Photius p. 315, 22. et Suidas, 'Οδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς: τὸ λεγόμενον. 'Α. 'Αναγύρῳ

Ὅρμου παρόντος τὴν ἀτραπὸν κατερρύην.

144. Pollux 9, 64. Ἐν δὲ τῷ 'Αναγύρῳ τὰ τρία ἡμιωβόλια τριημιωβόλιον εἴρηκεν

Ἐν τῷ στόματι τριημιωβόλιον ἔχων.

145. Pollux 9, 72. Σύμβολον βραχὺ νομισμάτιον —. διελέγχουσι (Aristophanes et Archippus) δὲ αὐτὸ σμικρόν τι δύνασθαι, 'Α. μὲν ἐν 'Αναγύρῳ λέγων

α. Τοῦτ' αὐτὸ πράττω, δύ' ὀβολὼ καὶ ξύμβολον ὑπὸ τὠπικλίντρῳ. β. μῶν τις αὔτ' ἀνείλετο;

146. Athenaeus 4. p. 133b. Ἤσθιον δὲ καὶ κερκώπας ἀ[illegible]στομιώσεως χάριν. 'Α. 'Αναγύρῳ

Πρὸς θεῶν, ἔραμαι τέττιγα φαγεῖν
καὶ κερκώπην θηρευσαμένη
καλάμῳ λεπτῷ.

ἔραμαι] ἐρᾷ codex. Correctum ex Euripidis Hippol. 219. Πρὸς θεῶν, ἔραμαι κυσὶ θωῦξαι | καὶ παρὰ χαίτην ξανθὴν ῥῖψαι —.

147. Athenaeus 7. p. 301a. Ἐψητὸς ἐπὶ τῶν λεπτῶν ἰχθυδίων. 'Α. ἐν 'Αναγύρῳ "Οὐχ ἑψητῶν λοπάς ἐστιν." Conf. Poll. 6. 51.

148. Scholiasta Avium v. 1292. Ὁ Πέρδιξ ὄνομα καπήλου. χωλὸς δὲ ἦν οὗτος. μνημονεύει δὲ αὐτοῦ καὶ ἐν 'Αναγύρῳ

Καὶ μὴν Πέρδιξ χθές γ' ἦν χωλός.

γ' addidit Porsonus.

149. Suidas s. v. ἀπλήγιος et Bekkeri Anecd. p. 425' 20. 'Απληγίς: ἱματίδιον σύμμετρον. 'Αναγύρῳ 'Α.

Ἐκ δὲ τῆς ἐμῆς χλανίδος τρεῖς ἀπληγίδας ποιῶν.

150. Photius p. 387, 7. et Suidas, Παραλοῦμαι: παροιμιακῶς· εἰώθεισαν γὰρ πρότερον ἐν τοῖς βαλανείοις οἱ πλούσιοι παραλούειν τοὺς πένητας. 'Α. 'Αναγύρῳ . [γους ἐᾶν.

'Αλλὰ πάντας χρὴ παραλοῦσθαι καὶ τοὺς σπόγγους συνειδέναι τοῖς πλουσίοις, ὥστε μηδὲ σπόγγους φέρειν, ἀλλὰ τοῖς ἐκείνων χρῆσθαι. Ex Tagenistis παραλοῦται attulit Pollux 7, 168. σπόγγους] Eustathius p. 1604, 18. Πολλὰ δὲ καὶ ἄλλα τῶν πάλαι χρηστῶν λεκτῶν παρέφθαρται, ὧν ἐστι καὶ τὸ ἰδιωτικῶς λεγόμενον σπαρτζίον, σπαρτίον ὀφεῖλον λέγεσθαι κατὰ τὴν ἀνέκαθεν χρείαν. εὑρέθη γάρ ποτε τοῖς λουομένοις ἀντὶ σπόγγων πλέγμα τι ἀπὸ σπάρτων ὡς εἰκός. καὶ λέγεται 'Α. παραδηλοῦν αὐτὸ ἐν δράματι καλουμένῳ 'Αναγύρῳ. Aristophanes σφόγγους scripserat.

151. Suidas, 'Αμφιανακτίζειν: ᾄδειν τὸν Τερπάνδρου νόμον τὸν καλούμενον ὄρθιον —. ἔστι δὲ καὶ ἐν Εὐναίᾳ καὶ ἐν 'Αναγύρῳ. Εὐναίᾳ ex Εὐνείδαις, quod probavi Meinekio Com. vol. 1. p. 59,, vel Πυλαίᾳ Cratini corruptum videtur.

152. Pollux 7, 64. 'Αναχύρωτον δε τὸν πηλὸν 'Α. ἐν 'Αναγύρῳ λέγει.

153. Suidas, 'Αργεῖοι φῶρες: ἐπὶ τῶν προδήλως πονηρῶν. οἱ γὰρ 'Αργεῖοι ἐπὶ κλοπῇ κωμῳδοῦνται. 'Α. 'Αναγύρῳ. Conf. Proverb. Vat. 2, 49.

154. Pollux 10, 76. Ἔξεστι δὲ αὐτὸ (vasculum vomituris porrigendum) καὶ λεβήτιον καλέσαι, καὶ σκάφην εἶπεν ἐν τῷ 'Αναγύρῳ 'Αριστοφάνης. Addit codex Falckenburgianus καὶ ἡμισκάφης δ' ὡς ἔν τι ἐνποδιλονίων ἐμοῦμεν. Quae nemo emendavit. Initium et exitum tetrametri καὶ μὴν σκάφη 'στ' et ἐμοῦμεν agnoscere sibi videbatur Bentleius in epistola ad Hemsterhusium p. 87. Χἠμῖν σκάφην δός νυν τινα πτίλον θ', ἵν' ἐξεμῶμεν Fritschius ad Ran. p. 305.

155. Pollux 10, 114. Τὸ ὑπόθημα τοῦ ὄλμου ὑφόλμιον, ὡς 'Α. ἐν 'Αναγύρῳ λέγει.

# ΓΕΩΡΓΟΙ.

Γεωργοὺς fabulam ut consilio et argumento Paci simillimam fuisse ex fragmentis colligitur, ita tempore proximam fuisse credibile est: de quo ab Suevernio dictum in commentatione de Γήρᾳ p. 29.

156. Plutarchus in vita Niciae c. 8. p. 528a. exposita Pyli expugnatione, quam ab Nicia, qui praefectus Atheniensium copiis fuerat, desperatam perfecerat suffectus illi Cleo, ita pergit: καὶ τοῦτο τῷ Νικίᾳ μεγάλην ἤνεγκεν ἀδοξίαν. οὐ γὰρ ἀσπίδος ῥῖψις, ἀλλ' αἰσχιόν τι καὶ χεῖρον ἐδόκει τὸ δειλίᾳ τὴν στρατηγίαν ἀποβαλεῖν ἑκουσίως καὶ προέσθαι τῷ ἐχθρῷ τηλικούτου κατορθώματος ἀφορμὰς αὐτὸν ἀποχειροτονήσαντα τῆς ἀρχῆς. σκώπτει δ' αὐτὸν εἰς ταῦτα πάλιν 'Αριστοφάνης ἐν μὲν Ὄρνισιν (v. 638.) οὕτω πως λέγων "καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν γέ πω | ὥρα 'στὶν ἡμῖν οὐδὲ μελλονικιᾶν," ἐν δὲ Γεωργοῖς ταῦτα γράφων

α. Ἐθέλω γεωργεῖν. β. εἶτα τίς σε κωλύει;
α. ὑμεῖς· ἐπεὶ δίδωμι χιλίας δραχμάς,
ἐάν με τῶν ἀρχῶν ἀφῆτε. β. δεχόμεθα·
δισχίλιαι γάρ εἰσι σὺν ταῖς Νικίου.

De Avium loco falli videtur Plutarchus. Quo enim tempore illa fabula acta est, de Sicula expeditione, quam dissuaserat Nicias, spectatores potius cogitare debuerunt quam de rebus diu ante ad Pylum gestis.

157. Scholiasta Equitum v. 959. Μολγὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου: — Σύμ-

μαχος· ἔοικε χρησμός τις εἶναι. ἐν γὰρ τοῖς Γεωργοῖς οὕτως ἔχει

Ὅτῳ δοκεῖ σοι δεῖν μάλιστα τῇ πόλει;
ἐμοὶ μὲν ἐπὶ τὸν μολγὸν εἶναι οὐκ ἀκήκοας;

V. 1. ὅτου — πόλει; Brunckius, quo recepto σοι fortasse in μοι mutandum. V. 2. "Lege ἐμοὶ μὲν ἐπὶ τὸν μολγόν· οὐκ ἀκήκοας; eiecto εἶναι, quod leviter corruptum est ex ἰέναι." Porson. Adversar. p. 279. Ad hanc fabulam Brunckius probabiliter rettulit versum ab Polluce allatum 10, 187. — οὐδὲν κωλύει καὶ μολγὸν εἰπεῖν, ὅς ἐστι κατὰ τὴν τῶν Ταραντίνων γλῶτταν βόειος ἀσκός· — καὶ Ἀ. δὲ χρησμόν τινα παίζει,

Μή μοι Ἀθηναίους αἰνεῖθ', οἳ μολγοὶ ἔσονται·

τὸ ἄπληστον ὑπαινιττόμενος.« Libri αἰνεῖτε οἱμολγοι, ἀνεῖτε ἀμολγοί, ἀνεῖται μόλγοι. Quum αἰνεῖτε οἱμολγοι sit in libro optimo Parisino, scripsi αἰνεῖθ', οἳ μολγοὶ ἔσονται. Bernhardyus in Eratosthen. p. 210. coniecerat αἰνεῖν· μολγοὶ γὰρ ἔσονται.

**158.** Athenaeus 3. p. 111b. Ὁ δὲ ὀβελίας ἄρτος κέκληται ἤτοι ὅτι ὀβολοῦ πιπράσκεται, ὡς ἐν Ἀλεξανδρείᾳ, ἢ ὅτι ἐν ὀβελίσκοις ὠπτᾶτο. Ἀ. Γεωργοῖς

Εἶτ' ἄρτον ὀπτῶν τυγχάνει τις ὀβελίαν.

Ex Pelargis ὀβολίας ἄρτους, τοὺς ὀβολοῦ πωλουμένους memorat Antiatticista Bekkeri p. 111, 7. Photius p. 313, 20. Ὀβελίας ἄρτος ὁ ἐπὶ ὀβελῶν ὀπτώμενος. Idem p. 314, 1. Ὀβελίας ἄρτος: περιπεπλασμένος μακρῷ ξύλῳ καὶ οὕτως ὀπτώμενος. γίνεται δὲ παραμήκης καὶ γαστρώδης.

**159.** Athenaeus 11. p. 460d. — Τὸ κυλικεῖον τοδί· εἴρηται γὰρ οὕτως ἡ τῶν ποτηρίων σκευοθήκη παρὰ Ἀριστοφάνει ἐν Γεωργοῖς

Ὥσπερ κυλικείου τοὐθόνιον προπέπταται.

**160.** Etymol. M. p. 234, 35. Γλιχόμενος: καρτερῶν ἢ ἐπιθυμῶν. Ἀ. ἐν Γεωργοῖς

Τί δῆτα τούτων τῶν κακῶν, ὦ παῖ, γλίχει;

Vulgo γλίχῃ.

**161.** Priscianus 18. p. 1212. Putsch. (vol. 2. p. 374. ed. Hertz.) "Φαθὶ λέγων. Ἀριστοφάνης Γεωργοῖς

Εἴ γ' ἐγκιλικίσαιμ', ἐξολοίμην, φαθὶ λέγων.

*Inveniuntur et nostri abundantia utentes ut, loquere dicens et stude properans et similia.*" Verba poetae emendavit Bergkius. In cod. Monacensi *eirekia* ΜΑΕΞΟΛΟΙΜΕΝ ΦΑΕΙΑΤΟΝ. in aliis ΕΙΓΕΚΙΛΙΚΙΑCΑΙΜΑ. Alterum autem quod affert Priscianus *stude properans* ad locutionem Graecam spectat ταχύνας σπεῦσον, qua Sophcles usus est Aiac. 1164. Quod σπεῦδε ταχέως dixit Aristoph Equitum v. 498.

**162.** Hephaestio de paeonicis tetrametris agens c. 13. p. 78. Ἐκ τῶν Ἀ. Γεωργῶν

Ὦ πόλι φίλη Κέκροπος, αὐτοφυὲς Ἀττική,
χαῖρε λιπαρὸν δάπεδον, οὖθαρ ἀγαθῆς χθονός.

et paullo post, ἐν τοῖς Γεωργοῖς Ἀ. ἐποίησε τὸν τέταρτον παίωνα ἀντὶ τοῦ πρώτου

Ἐν ἀγορᾷ δ' αὖ πλάτανον εὖ διαφυτεύσομεν.

Marcus Antoninus 4, 23. Ἐκεῖνος μέν φησι, Πόλι φίλη Κέκροπος, σὺ δὲ οὐκ ἐρεῖς, Ὦ πόλι φίλη Διός; Vide Hemsterh. ad Pluti v. 772.

**163.** Stobaeus Flor. 55, 2. Ἀριστοφάνους Γεωργῶν

Εἰρήνη βαθύπλουτε καὶ ζευγάριον βοεικόν, εἰ
γάρ ποτ' ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο
σκάψαι κἀποκλάσαι τε καὶ λουσαμένῳ διελκύσαι
τῆς τρυγὸς ἄρτον λιπαρὸν καὶ ῥάφανον φέροντι.

Γεωργῶν] Νήσων Arsenius. Qui hoc fragmentum cum alio quod ex Νήσοις inferius attulit Stobaeus quanquam ab se omisso commiscuisse videtur. Prima verba ad similitudinem loci Euripidei, quem ex Cresphonte ibidem apposuit Stobaeus, composita sunt, Εἰρήνη βαθύπλουτε καὶ | καλλίστα μακάρων θεῶν. βοεικὸν dedi pro vulgato βοϊκόν. V. 2. Addidi ποτ'. Ita in Pace v. 346. εἰ γὰρ ἐκγένοιτ' ἰδεῖν ταύτην μέ ποτε τὴν ἡμέραν. V. 3. σκάψαι] σκάψαιτ' codex Vossianus, Arsenius, Trincavellus. σκάψαντ' codex A, ut videtur. κἀποκλάσαι] Vulgo ἀποκλάσαι. τε addidit Brunckius. Ceterum non in quattuor, sed in duos haec verba versus eram descripturus, si chartarum nostrarum forma permitteret. Idem de similibus dictum esto, veluti Sophoclis Philoctetae v. 689. 690.

πῶς ποτε πῶς ποτ' ἀμφιπλάκτων ῥοθίων μόνος κλύων,
πῶς ἄρα πανδάκρυτον οὕτω βιοτὰν κατέσχεν·

ubi numerum continuari versus antistrophici docent 704. 705.

παῖς ἄτερ ὡς φίλας τιθήνας, ὅθεν εὐμάρει' ὑπάρχοι πόρου, ἁνίκ' ἐξανείη δακέθυμος ἄτα.

**164.** Athenaeus 3. p. 75a. Λακωνικοῦ δὲ σύκου μνημονεύει ἐν Γεωργοῖς Ἀ.· ταδὶ λέγων

Συκᾶς φυτεύω πάντα πλὴν Λακωνικῆς·
τοῦτο γὰρ τὸ σῦκον ἐχθρόν ἐστι καὶ τυραννικόν·
οὐ γὰρ ἦν ἂν μικρόν, εἰ μὴ μισόδημον ἦν σφόδρα.

**165.** Athenaeus 14. p. 650e. Τῶν γὰρ ἀπυρήνων (ῥοῶν) Ἀριστοφάνης ἐν Γεωργοῖς μνημονεύει. Vide fragm. 141. 228.

**166.** Harpocratio, Κώδεια: τὴν τῆς μήκωνος κεφαλὴν οὕτω καλοῦσιν. Ἀ. Γεωργοῖς "Ἀγαθήν γε κώδειαν". Libri κωδία et κωδίαν, de quo vitio dixi in Thesauro vol. 4. p. 2173. Recte κώδεια apud Suidam.

**167.** Etymolog. M. p. 326, 20. Ἐλαίζειν: τὰς ἐλαίας ἐργάζεσθαι. Γεωργοῖς Ἀ.

**168.** Etymolog. M. p. 634, 38. Ὄρχατος: — καὶ Ἀ. τὸ μεταξὺ τῶν φυτῶν μετόρχιον (μετόρχμιον scholiasta Theocriti 1, 48.) ἐκάλεσεν ἐν τοῖς Γεωργοῖς. Vocabulo μετόρχιον utitur in Pace v. 572.

**169.** Pollux 9, 69. Χαλκίον — ἐν τοῖς Ἀ. Γεωργοῖς σαφῶς ἐπὶ λουτροῦ εἰρημένον

Ἐξ ἄστεως νῦν εἰς ἀγρὸν χωρῶμεν· ὡς πάλαι δεῖ
ἡμᾶς ἐκεῖ τῷ χαλκίῳ λελουμένους σχολάζειν.

Vulgo πάλαι δι' ἡμᾶς ἐκεῖ τῷ χαλκῷ ἐλλουσάμενον κολάζειν. Emendavit Porsonus.

**170.** Zenobius Proverb. 2, 27. Αὐτῷ μελητέον, ἀλλ' ἐπὶ τὸν οἶκον: μέμνηται αὐτῆς Ἀριστοφάνης ἐν Γεωργοῖς καὶ Πλάτων ὁ κωμικός. ἦν δὲ οὗτος ὁ οἶκος εἰς ὑποδοχὴν μισθουμένων. Comparandae cum his Hesychii et Photii glossae, Μελιτέων οἶκος: ἐν τῷ τῶν Μελιτέων (τῶν Μ. om Photius) δήμῳ παμμεγέθης ἦν οἶκος, εἰς ὃν οἱ τραγῳδοὶ φοιτῶντες ἐμελέτων. Corrupte Etym. M. p. 576, 39 et Bekk. Anecd. p. 281, 25. Μελετῶν: οἶκος ἐν ᾧ οἱ τραγῳδοὶ ἐμελέτων. Quae Zenobius excerpsit defecta et antiquitus corrupta sunt. Verba haec fere fuisse videntur, Μελιτέων οἶκος: ἐπὶ τῶν ἴδιον οἶκον μὴ κεκτημένων, ἀλλ' ἐπὶ μισθῷ οἰκούντων. μέμνηται αὐτῆς cet. Αὐτῷ ante μελητέον vel Μελιτέων positum errori alicui deberi patet, etsi hodie inexplicabili, de quo nihil prodest incertas protulisse coniecturas, quales plures mihi sunt in promptu. In fine recte Bergkius εἰς ὑποδοχὴν τραγῳδῶν μισθούμενος.

**171.** Plato in Euthydemo p. 294d. Εἶεν, ἦν δ' ἐγώ, Εὐθύδημε· τὸ γὰρ λεγόμενον, καλὰ δὴ πάντα λέγεις. ad hunc locum scholiasta p. 97. ed. Ruhnk. (369. Bekker.) Καλὰ δὴ πάντ' ἄγεις: ἀντὶ τοῦ ἀγγέλλεις. ἐπὶ τῶν αἴσια ἀγγελλόντων. πολλάκις δὲ λέγεται καὶ κατ' εἰρωνείαν. Ἀ. Γεωργοῖς καὶ Πλά-

των Εὐθυδήμῳ. In lemmate Bekkerus posuit καλὰ δὴ πάντα λέγεις. Sed vera scriptura est καλὰ δὴ πατᾳγεῖς. Ita enim hoc proverbium recte scriptum apud Hesychium, Photium, Suidam. Vide Hesychii interpretes vol. 2. p. 117.

172. Pollux 7, 201. Πορνεύτριαν ἐν τοῖς Γεωργοῖς Ἀριστοφάνης ἔφη.

173. Harpocratio, Σηράγγιον: Λυσίας ἐν τῷ κατ' Ἀνδροτίωνος. χωρίον τι τοῦ Πειραιῶς οὕτως ἐκαλεῖτο. μνημονεύει δ' αὐτοῦ καὶ Ἀ. ἐν Γεωργοῖς. Σηράγγειον scribitur apud Photium p. 509, 510. Σηράγγειον: χωρίον τι τοῦ Πειραιῶς. Σηράγγειον: τόπος τοῦ Πειραιῶς, κτισθεὶς ὑπὸ Σηράγγου. καὶ ἡρῷον ἐν αὐτῷ. Vide Hesychii interpretes vol. 2. p. 1175. et Schoemann. ad Isaeum p. 339.

174. Photius p. 543, 7. Στρέψα: πόλις τῆς Θρᾴκης. καὶ οἱ πολῖται Στρεψαῖοι. Στρεψαίους: Ἀριστοφάνης Γεωργοῖς. Vide annotationes ad Hesychium vol. 2, p. 1278. Nihil cum his commune habet Στρεψαῖος Ἑρμῆς ap. Theognost. Can. p. 53. de quo dixi ad Pluti v. 1154.

175. Pollux 10, 69. Τραπεζοφόρον—εὗρον—ἐν τοῖς Ἀ. Γεωργοῖς—ἐπὶ τοῦ τὴν τράπεζαν φέροντος ᾗ ἐπῆσαν τοῖς ἄρχουσιν αἱ μυρρίναι.

176. Scholiasta Platonis p. 330. Bekker. Μέλητος φαῦλος τραγῳδίας ποιητής. — ἐν δὲ Γεωργοῖς (Ἀριστοφάνης) ὡς Καλλίαν περαίνοντος αὐτοῦ (Καλλίου περαίνοντος αὐτὸν Bergkius) μέμνηται. Calliam dicit Hipponici filium, Atheniensium opulentissimum. Conf. fragm. 376.

177a. Scholiasta Avium v. 1698. Γοργίαι τε καὶ Φίλιπποι: ὁ Φίλιππος καὶ ὁ Γοργίας οὗτοι ῥήτορες λάλοι εἰσίν. — τοῦ δὲ Φιλίππου καὶ ἐν Γεωργοῖς μνημονεύει Ἀριστοφάνης (ita codex Leidensis: Ravennas ἀριστοκλῆς).

177b. Suidas, Ἀτρέα καὶ καθόλου τὰς ἀπὸ τῶν εἰς ευς συμφώνῳ παραληγομένων αἰτιατικὰς μηκύνουσι, τὰς δὲ καθαρὰς τοῦ ευς συναιροῦσι, χοᾶ καὶ Μηλιᾶ καὶ Σουνιᾶ. Ἴωνες δὲ συστέλλουσι τὰς προτέρας, Ἀτρέα καὶ Πηλέα βραχέως λέγοντες. διὸ καὶ παρὰ τοῖς τραγικοῖς οὐκ ἀναγκαῖον ἐκτείνειν, εἰ μὴ μέτρον ἀναγκάζει. καὶ τὰς ἀπὸ τῶν εἰς ης ὁμοίως. τὸ γὰρ συστέλλειν Ἰακόν. Ἀριστοφάνης Γεωργοῖς, "καχέτας καὶ μεγακλέας καὶ μαλακούς." Quinque postrema verba ex totidem codicibus supplevit Gaisfordus. Nomina in ης quum dicit, contracta dicit, velut Ἡρακλῆς, Καλλικλῆς, Περικλῆς, Θεμιστοκλῆς. Aristophanis igitur verba fortasse fuerunt

⏑ – Λάχητα, Μεγακλέα κἄλλους ⏑ –

De Lachetis nomine etiam Bergkius cogitavit quum coniiceret

⏑ – Λάχητας, Μεγακλέας καὶ Λαμάχους,

grammaticum hunc versum temere hic ubi non de accusativis numeri pluralis, sed singularis agitur, adscripsisse, aut plura apud Suidam intercidisse ratus: quorum neutrum est probabile.

177c. Suidas, Τοῖς Ἱπποκράτους υἱέσιν —: οὗτοι ὡς ὑώδεις τινὲς καὶ ἀπαίδευτοι ἐκωμῳδοῦντο. καὶ τάχ' ἂν ἦσαν προκέφαλοί τινες, ὡς ἐν Γεωργοῖς φησὶ καὶ ἐν Τριφάλητι.

# ΓΗΡΑΣ.

De huius fabulae argumento et dispositione eximiam commentationem Suevernius edidit Berolini a. 1827. Ex qua nos pro consilio nostro tantum afferemus quantum non in sola coniectura positum est, sed ex fragmentis, quae pauca supersunt, non fallaci ratione videtur colligi posse. Ac primo quidem illud verissime dixisse arbitror Suevernium, chorum ex senibus fuisse compositum, qui senectutem tanquam serpentes cutem, quae ipsa quoque γῆρας dici ab Graecis solet, abiecisse fingerentur, simili invento atque in Equitibus Demum recoctum, hoc est inveteratis malis suis liberatum, prodire videmus. Quo peracto senes multa edidisse videntur iuvenilis documenta petulantiae et lasciviae, cuius indicia quaedam in fragmentis supersunt. Ex quibus probabile fit idem fere huius fabulae atque Equitum consilium fuisse, ut non ostenderentur tantum populi Atheniensis vitia, sed etiam tollendorum eorum ratio lepido invento monstraretur. Nec tempore multum ab Equitibus remota fuisse videtur.

178. Athenaeus 3. p. 109f. Κριβανίτην. τούτου μνημονεύει Ἀ. ἐν Γήρᾳ· ποιεῖ δὲ λέγουσαν ἀρτόπωλιν διηρπασμένων αὐτῆς τῶν ἄρτων ὑπὸ τῶν τὸ γῆρας ἀποβαλόντων (codex ἀποβαλλόντων: sed aoristus requiritur, ut γῆρας ἐκδὺς est in Pace v. 336. et ἀποσείσασθαι τὸ γῆρας Lys. v. 667.)

α. Τουτὶ τί ἦν τὸ πρᾶγμα; β. θερμούς, ὦ τέκνον.
α. ἀλλ' ἦ παραφρονεῖς; β. κριβανίτας, ὦ τέκνον.

Ita codex Venetus: apographa κριβανίτας πάνυ δὲ (vel δὲ πάνυ) λευκοὺς ὦ τέκνον. Quae ex epitomae verbis interpolata videntur κριβανίτας δὲ λευκοὺς ἄρτους Ἀ. που φησί.

179. Athenaeus 7. p. 287d. Βεμβράδες. — Ἀ. Γήρᾳ
Ταῖς πολιόχρωσι βεμβράσιν τεθραμμένη.

180. Pollux 6, 69. Ὁ δ' Ἀ. ἐν τῷ Γήρᾳ λέγει
Ὀξωτά, σιλφιωτά, βολβός, τεύτλιον,
ὑπότριμμα, θρῖον, ἐγκέφαλος, ὀρίγανον.

Codex Falckenburgii ὑποτρίκομμα. unde ὑπότριμμα restitui pro περίκομμα. Diogenes Laertius 4, 18 de Polemone, ἦν οὖν ἀστεῖός τις καὶ γενναῖος, παρῃτημένος ἅ φησιν Ἀ. περὶ Εὐριπίδου ὀξωτὰ καὶ σιλφιωτά, (codd. ὀξωτὰ καὶ στιλφωτά, et eadem fere corruptela ὀζωτὰ καὶ στιλφωτὰ apud Suidam s. v. Ὀζωτά.) ἅπερ, ὡς ὁ αὐτός φησι,

Καταπυγοσύνη ταῦτ' ἐστὶ πρὸς κρέας μέγα.

Sensum obscenum verborum κρέας μέγα annotatione sua indicavit Menagius. Idem ad καταπυγοσύνη Hesychii glossam attulit, Καταπυγοσύνη: ἡδονὴ μεγάλη.

181. Pollux 4, 180. Ἀ. ἐν τῷ Γήρᾳ φησὶν
Ὀφθαλμιάσας πέρυσιν εἶτ' ἔσχον κακῶς,
ἔπειθ' ὑπαλειφόμενος παρ' ἰατρῷ.

182. Pollux 9, 39. Καὶ τὸ μὲν πλῆθος τῶν οἰκοδομημάτων οἰκίαι καὶ συνοικίαι καὶ οἰκίας περίδρομος, ὡς ἐν τῷ Γήρᾳ Ἀ.

.... Ἐπὶ τοῦ περιδρόμου στᾶσα τῆς ξυνοικίας.

Idem 7, 125. hunc locum propter vocabulum περίδρομος affert, ubi ἐκ pro ἐπὶ scriptum. Tum libri συνοικίας.

183. Pollux 10, 74. Ἐν δὲ τῷ Γήρᾳ ἔφη
Ὑδρίαν δανείζειν πεντέχουν ἢ μείζονα.

ὥστε οὐ μόνον ὕδατος, ἀλλὰ καὶ οἴνου ἂν εἴη ἀγγεῖον ἡ ὑδρία. ἔφη Bentleius pro ἐφ'.

184. Pollux 10, 104. Ἀριστοφάνους γοῦν ἐν Ἱπ-

πεῦσιν ὁ μάγειρος λέγει "μαχαιρίδων τε πληγάς,' ὥσπερ καὶ ἐν τῷ Γήρᾳ ὁ αὐτὸς ποιητὴς εἴρηκε "Κοπίδι τῶν μαγειρικῶν."

185 a. Grammaticus Bekkeri 1. p. 430, 15. Ἀπολογίσασθαι καὶ ἀπολογίζειν τὸ ἐπεξελθεῖν ἕκαστα. Ἀριστοφάνης ἐν τῷ θ̄ Γήρᾳ "ἐγὼ δ' ἀπολογίζειν τε κἄτ' ἐπ' ἀνθράκων." Quae ex duabus glossis conflata esse vidit Meinekius Com. vol. 5. p. 61. altera Ἀπολογίσασθαι: τὸ ἐπεξελθεῖν ἕκαστα. Δημοσθένης (c. Timocr. p. 734: cuius nomen addidi ex Suida s. v. Ἀπολογίζω.) altera Ἀπολοπίζειν (hoc restituit Fritzschius) ἐν τῷ ō: Ἀριστοφάνης Γήρᾳ

Ἐγὢδ' ἀπολοπίζειν γε καὶ τἀπ' ἀνθράκων.

Nam λοπίζω et ἀπολοπίζω dixerunt Attici veteres, non λεπίζω et ἀπολεπίζω: quod notarunt Phrynichus in Bekk. Anecd. p. 25, 26. Ἀπολοπίζειν διὰ τοῦ ō τὴν τρίτην, οὐ διὰ τοῦ ē. et Photius p. 230, 10. Λοπίζειν: οὐ λεπίζειν.

185 b. Bekkeri Anecd. p. 383, 16. Ἀ Γήρᾳ (codex τηρεῖ, quod correxit Dobraeus)

Ἔδει δέ γε βληθεῖσαν εἰς Ἁλμυρίδας
⏑ – ⏑ τῃδὶ μὴ παρέχειν σε πράγματα.

V. 1. δέ γε] δέ γε σε codex. De nomine Ἁλμυρίδες vide quae in Thesauro collecta sunt vol. 1. p. 1560. V. 2. ⏑ – ⏑] γυναικὶ Bergkius.

186. Bekkeri Anecd. 1. p. 449, 14. Ἀρχηγέται: ἡγεμόνες οἱ ἐπώνυμοι τῶν φυλῶν. Ἀ. Γήρᾳ

Ὁ δὲ μεθύων ἥμει παρὰ τοὺς ἀρχηγέτας.

Codex ἡμεῖς. Correxit Bekkerus.

187. Phrynichus p. 367. ed. Lobeck. Διονύσιον (immo Διονυσεῖον): ἀπαίδευτον οὕτω λέγειν, δέον βραχύνειν τὴν σι συλλαβήν· οἱ γὰρ ἐκτείνοντες παρὰ τὴν τῶν Ἀττικῶν διάλεκτον λέγουσι. χρὴ οὖν Ἀριστοφάνει ἀκολουθοῦντας λέγειν. ἐν γὰρ τῷ Γήρᾳ φησὶ

α. Τίς ἂν φράσειε ποῦ 'στι τὸ Διονύσιον;
β. ὅπου τὰ μορμολυκεῖα προσκρεμάννυται.

V. 1. Διονύσιον] Aliud exemplum praebet fragm. 216. V. 2. Etymolog. M. p. 590, 52. Μορμολυκεῖον προπερισπᾶται. ἔστι προσωπεῖον ἐπίφοβον. Ἀ. Γήρᾳ. De his versibus dictum ab Suevernio p. 19.

188. Priscianus 18. p. 1191. Putsch. (vol. 2. p. 330. ed. Hertz.) *Attici* ὀλίγας ἡμέρας *pro* ἐν ὀλίγαις ἡμέραις. *Similiter nos. Aristophanes* Γήρᾳ "Σὺ δ' οὐχ ἠγῇ μ' οὖν δὴ ὀλίγας ἡμέρας." Codex Tegerns. ΓΕΡΑΥϹΥΔΟΥϹ ΗΜΕΡΑϹ (Ε over Η). Codex Monac. ΓΗΡΑΥϹΥ ΔΟΥΧ ΗΓΗΙ ΜΟΥ ΗΔΗ ΟΛΙΓΑΣ ЄΜЄΡΑϹ. Ex aliis enotatum ϹΥ ΔΟΥΚΕΓΗΙΜΟΥ. Recte C. F. Hermannus in Annal. Heidelberg. a. 1829. p. 1216.

α. Σὺ δ' οὐκ ἐγήμω; β. νὴ Δί' ὀλίγας ἡμέρας.

Postrema trimetri verba fuisse νὴ Δί' ὀλίγας ἡμέρας viderat Scaliger.

189. Scholiasta Equitum v. 577. Στλεγγὶς γὰρ ἡ ξύστρα, καὶ στλεγγιζόμενος, ἀποξυόμενος. καὶ ἀλλαχοῦ Γήρᾳ

Εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ' ἔχοντα.

Eadem habent scholiasta Platonis p. 334. ed. Bekker. Photius p. 537, 14. et Suidas s. v. στλεγγίς.

190. Athenaeus 4. p. 133 a. Ἐχρῶντο γὰρ οἱ παλαιοὶ καὶ τοῖς εἰς ἀναστόμωσιν βρώμασιν, ὥσπερ ταῖς ἁλμάσιν ἐλάαις, ἃς κολυμβάδας καλοῦσιν. Ἀ. γοῦν ἐν Γήρᾳ φησὶν

Ὦ πρεσβῦτα πότερα φιλεῖς τὰς δρυπετεῖς ἑταίρας,
ἢ καὶ τὰς ὑποπαρθένους ἁλμάδας ὡς ἐλάας
στιφράς;

V. 2. addidi καί. Verba explicuit Suevernius p. 16.

191. Aelianus de N. A. 12, 9. Κίγκλος —. μέμνηται δὲ τοῦ ὄρνιθος τοῦδε Ἀ.—ἐν τῷ Γήρᾳ

Λορδοῦ κιγκλοβάταν ῥυθμόν.

Conf. fragm. 94.

192. Scholiasta Nicandri Theriacor. v. 295. Βαιὸν δὲ πλόον νῦν τὴν ὁδὸν τὴν πεζήν, τὴν πορείαν. — καὶ Ἀριστοφάνης ἐν τῷ Γήρᾳ γυναῖκα ποιήσας ἐπὶ ζεύγους ὄνων ὀχουμένην παράγει τινὰ ἐρῶντα αὐτῆς, ἢ καὶ ἐρεθίζουσά φησι πρὸς αὐτόν,

Ἀποπλευστέον ἐπὶ τὸν νυμφίον, ᾧ γαμοῦμαι τήμερον.

Ἀποπλευστέον ἐπὶ Toupius Emend. vol. 2. p. 83. Librorum corruptelae sunt ἀπόπλει σε τὲ ἐπὶ, ἀπόπλεισε τί ἐπὶ, ἀπέπλεισε τεὸν ἐπὶ, ἀπέπλεις τεὸν ἐπί. Numeri sunt glyconei, quorum in initio ἀλλ' aut similem voculam omisit scholiasta. τήμερον Brunckius pro σήμερον.

193. Photius p. 256, 7. Μελιτέα κάπρον: Ἀ. ἐν Γήρᾳ λέγει ἀντὶ τοῦ Εὐκράτης, ἐπεὶ δασύς ἐστι. καὶ γὰρ ἄρκτον αὐτὸν ἔλεγον· ἢ ὅτι μυλῶνας εἶχεν, ἐν οἷς ἐτρέφοντο σῦς. Hesychius, Μελιτεὺς κάπρος: τῶν γὰρ δήμων Μελιτεύς ἐστι. καὶ σῦν αὐτὸν (σὺν αὐτῷ codex) ἄντικρυς ἐκάλουν, ἴσως μὲν διὰ δασύτητα, ἐπεὶ καὶ ἄρκτον αὐτόν φασι πολλαχοῦ, ἴσως δὲ καὶ ὅτι μυλῶνας ἐκέκτητο, ἐν οἷς σῦς ἔτρεφεν. De Eucrate ab Suevernio dictum p. 12.

194. Pollux 10, 61. Κληρωτήριον· εἰ γὰρ καὶ ἐπὶ τοῦ τόπου ἔοικεν εἰρῆσθαι τοὔνομα ἐν τῷ Γήρᾳ Ἀριστοφάνους, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀγγείου ἂν ἐναρμόσειεν.

195. Harpocratio, Σκάφιον: — ὅτι δὲ τὸ σκάφιον εἶδος κουρᾶς καὶ Ἀ. ἐν Γήρᾳ. Annotavit etiam Eustathius p. 1292, 61. παρὰ τῷ κωμικῷ.

196. Harpocratio, Τῆτες: ἀντὶ τοῦ τούτῳ τῷ ἔτει. — Ἀ. Γήρᾳ.

197. Antiatticista Bekkeri p. 102, 15. Καταλαλεῖν: Ἀ. Γήρᾳ. καταλαλεῖν ex Aristophane sine nomine fabulae attulit Pollux 2, 125. καταλαλῶν est in Ranis v. 760. Idem Pollux 10, 173. ex Γήρᾳ attulit verba πτωχικοῦ βακτηρίου, quae in Acharnensibus leguntur v. 423, ut 10, 45. Thesmophoriazusarum v. 633. ex Polyido attulit. Conf. ad fragm. 622.

## ΓΗΡΥΤΑΔΗΣ.

Gerytadem fabulam totam in deridendis aequalibus poetis versatam esse et aliquam cum Ranis, quibus haud dubie tempore posterior fuit, similitudinem habuisse probabile est. Nomen ab γηρύειν factum quemadmodum Χαιρητάδης ab χαίρειν. Docta de hac fabula Leutschii commentatio est in Erschii et Gruberi Encyclop. Sect. 1. vol. 62. p. 219—226.

198. Athenaeus 12. p. 551 a. Καὶ Ἀ. δὲ ἐν Γηρυτάδῃ λεπτοὺς τούσδε καταλέγει, οὓς καὶ πρέσβεις ὑπὸ τῶν ποιητῶν φησιν εἰς Ἅιδου πέμπεσθαι πρὸς τοὺς ἐκεῖ ποιητάς, λέγων οὑτωσὶ

α. Καὶ τίς νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
ἔτλη κατελθεῖν; β. ἕν' ἀφ' ἑκάστης τῆς τέχνης
εἱλόμεθα κοινῇ, γενομένης ἐκκλησίας,

οὓς ᾖσμεν ὄντας ᾀδοφοίτας καὶ θαμὰ ἐκεῖσε φιλοχωροῦντας. α. εἰσὶ γάρ τινες ἄνδρες παρ' ὑμῖν ᾀδοφοῖται; β. νὴ Δία μάλιστά γ', ὥσπερ Θρᾳκοφοῖται. πάντ' ἔχεις. α. καὶ τίνες ἂν εἶεν: β. πρῶτα μὲν Σαννυρίων ἀπὸ τῶν τρυγῳδῶν, ἀπὸ δὲ τῶν τραγικῶν χορῶν Μέλητος, ἀπὸ δὲ τῶν κυκλίων Κινησίας. εἶθ' ἑξῆς φησιν

Ὡς σφόδρ' ἐπὶ λεπτῶν ἐλπίδων ᾠχεῖσθ' ἄρα·
τούτους γάρ, ἣν πολλῷ ξυνέλθῃ, ξυλλαβὼν
ὁ τῆς διαρροίας ποταμὸς οἰχήσεται.

V. 1. Parodia exordii Hecubae. V. 2. ἕν' scripsi pro ἕνα δ'. τῆς addidit Toupius. V. 4. οὓς ᾖσμεν ὄντας Tyrwhittus. οὐσημαίνοντας codex. V. 8. 10. De Sannyrione et Cinesia dictum ab Meinekio Hist. com. p. 263. Ab Sannyrione vicissim irrisum esse Aristophanem ex scholiasta Platonis constat p. 331. ed. Bekker. V. 9. τρυγῳδῶν Bentleius pro τραγῳδῶν. V. 10. κυκλίων Bentleius pro κυλίκων. Musurus et margo apographi Palatini κυκλικῶν. V. 11. ᾡχεσθ' codex. Vide Porson. ad Euripidis Orest. v. 68. Correxit Casaubonus ex verbis epitomatoris, qui infinitivo ὀχεῖσθαι utitur. V. 12. πολλῷ] πολὺς Bergkius. ἥν ποτ' ὀξὺς ἔλθῃ Madvigius in Philolgo vol. 1. p. 677. V. 13. οἰχήσεται Dawesius pro ἐξοιχήσεται. Boissonadius ἐξοίσεται.

**199a.** Athenaeus 3. p. 112e. Θεαρίων ὁ ἀρτοποιός, οὗ μνημονεύει Πλάτων ἐν Γοργίᾳ — καὶ Ἀ. ἐν Γηρυτάδῃ καὶ Αἰολοσίκωνι διὰ τούτων

Ἥκω Θεαρίωνος ἀρτοπώλιον.
λιπών, ἵν' ἐστὶ κριβάνων ἑδώλια.

ἑδώλια Casaubonus pro ἐδωδία. Athenaei autem verba ita sunt comparata ut in utraque fabula hos versus lectos dicere videatur. Mihi credibilius videtur in utraque comoedia Thearionis factam esse mentionem, sed versus illos Gerytadae potius quam Aeolosiconi tribuerim, nisi superioris fragmenti comparatio fallat, quod ipsum quoque ad primorum Hecubae Euripideae verborum, quae hic alia ex parte perstringit, similitudinem compositum est. De quo si recte coniecimus, verba καὶ (malim καὶ ἐν vel κἀν) Αἰολοσίκωνι post versus ex Gerytade transponenda erunt. Ita Athenaeus 14. p. 650e. locum ex Anagyro affert, eique subiungit "καὶ ἐν Γηρυτάδῃ" non additis poetae verbis, similiterque alibi.

**199b.** Schol. Ranar. 436. (439. Kust.) ad verba ἀλλ' ἴσθ' ἐπ' αὐτὴν τὴν θύραν ἀφιγμένος schol. cod. Veneti, τὸ ὅμοιον καὶ ἐν Γηρυτάδῃ. Eadem fere verba Pluti v. 962. ἀλλ' ἴσθ' ἐπ' αὐτὰς τὰς θύρας ἀφιγμένη.

**200.** Athenaeus 3. p. 95f. Ἀκροκωλίων δὲ μέμνηται Ἀ. — ἐν Γηρυτάδῃ "Ἀκροκώλι', ἄρτοι, κάραβοι." In Etymolog. M. p. 53, 14. sine scriptoris nomine haec leguntur, Ἀκροκώλια, ἄρτοι, βολβοί, φακῆ. Quae si Aristophanis verba sunt, integrum trimetrum restituere licebit,

Ἀκροκώλι', ἄρτοι, κάραβοι, βολβοί, φακῆ.

**201.** Athenaeus 4. p. 158c. de vocabulo φακῆ agens, Ὁ χαρίεις τε Ἀ. ἐν Γηρυτάδῃ ἔφη

Πτισάνην διδάσκεις αὐτὸν ἕψειν ἢ φακῆν.

**202.** Athenaeus 3. p. 99f. Χορτασθῆναι — Ἀ. δ' ἐν Γηρυτάδῃ

Θεράπευε καὶ χόρταζε τῶν μονῳδιῶν.

**203.** Athenaeus 7. p. 307e. Ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις Ἀ. Γηρυτάδῃ

Ἆρ' ἔνδον ἀνδρῶν κεστρέων ἀποικία;
ὡς μὲν γὰρ εἰσι νήστιδες γιγνώσκετε.

Hesychius, Κεστρεῖς (νήστεις addit Photius p. 158, 22.): τοὺς κεχηνότας καὶ πεινῶντας κεστρεῖς λέγουσι. καὶ τοὺς Ἀθηναίους οὕτως ἔλεγον καὶ προσηγόρευον· τὸ γὰρ ζῷον αὐτὸ λαίμαργόν τέ ἐστι καὶ ἄπληστον.

**204.** Athenaeus 8. p. 365b. Σύνδειπνον εἴρηκεν ἐπὶ συμποσίου — καὶ Ἀ. Γηρυτάδῃ

Ἐν τοῖσι συνδείπνοις ἐπαινῶν Αἰσχύλον.

**205.** Scholiasta Vesp. v. 1303. Σθένελος δὲ ὁ τραγικὸς ὑποκριτής, ὃς διὰ πενίαν τὴν τραγικὴν σκευὴν ἀπέδοτο κακῶς πράττων. οὗτος ἐλαύνων περὶ τοῖς τείχεσιν ἐνδεικνύμενος διεχλεύαζε. περὶ τούτου γέγραπται ἐν Γηρυτάδῃ

α. Καὶ πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥήματα;
β. εἰς ὄξος ἐμβαπτόμενος ἢ λεπτοὺς ἅλας.

λεπτοὺς] Legebatur ξηρούς. Pollux 6, 65. Λεπτοὶ ἅλες, εἰς οὓς τις ἐμβάπτει, ὡς Ἀριστοφάνης "Εἰς ὄξος ἐμβαπτόμενος ἢ λεπτοὺς ἅλας." In λευκοὺς corruptum est apud Athenaeum 9. p. 367b. Ἁλῶν δὲ καὶ ὄξους μέμνηται ὁ καλὸς Ἀριστοφάνης ἐν τοῖς περὶ Σθενέλου τοῦ τραγικοῦ λέγων "Καὶ πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥῆμα; εἰς ὄξος ἐμβαπτόμενος ἢ λευκοὺς ἅλας." De Sthenelo dictum ab Tyrwhitto ad Aristotelis Poet. c. 37. p. 180.

**206.** Pollux 10, 59. Κρατῖνος — μάλθαν ἔφη. Ἀ. δὲ ἐν τῷ Γηρυτάδῃ

Τὴν μάλθαν ἐκ τῶν γραμματείων ἤσθιον.

**207.** Pollux 6, 111. Οὐ μὴν εἴποι ἄν τις τὸ κοτταβίζειν ἐφ' οὗ νῦν, ἀλλὰ ἐμεῖν, ἢ ἀποβλύζειν, πλὴν εἴ τις παίζων βούλοιτο οὕτως ὑποπτεύειν τὸ ἐν τῷ Γηρυτάδῃ ὑπ' Ἀριστοφάνους εἰρημένον "Τότε μέν σου κατεκοττάβιζον, νυνὶ δὲ κατεμοῦσι, τάχα δ' εὖ οἶδ' ὅτι καὶ καταχέσονται." Quae ita digerenda videntur

Τότε μέν γε σοῦ κατεκοττάβιζον * *
νυνὶ δὲ καὶ κατεμοῦσι, τάχα δ' εὖ οἶδ' ὅτι
καὶ καταχέσονται.

V. 1. γε Boissonadius addidit p. 195.

**208.** Pollux 10, 91. Κανίσκια — Ἀ. ἐν Γηρυτάδῃ "Ἄλλος δ' εἰσέφερε πλεκτῷ κανισκίῳ ἄρτων περίλοιπα θρύμματα." Idem 7, 176. Καὶ τὸ κανοῦν δὲ πλέγμα τι καὶ τὸ κανίσκιον. ἐν γὰρ τῷ Γηρυτάδῃ φησὶν Ἀ. "Πλεκτῷ κανισκίῳ."

**209.** Athenaeus 11. p. 485a. Λεπαστή. οἱ μὲν ὀξύνουσιν, ὡς καλή, οἱ δὲ παροξύνουσιν, ὡς μεγάλη τοῦτο δὲ τὸ ποτήριον ὠνομάσθη ἀπὸ τῶν εἰς τὰς μέθας καὶ τὰς ἀσωτίας πολλὰ ἀναλισκόντων, οὓς λαφύκτας καλοῦμεν. κύλικες δ' ἦσαν μεγάλαι. Ἀ. — ἐν Γηρυτάδῃ

Ἦν δὲ
τὸ πρᾶγμ' ἑορτή. περιέφερε δ' ἡμῖν κύκλῳ λεπαστὴν [βενθῆ.
ταχὺ προσφέρων παῖς ἐνέχεέν τε σφόδρα κυανοτὸ βάθος παρίστησιν ὁ κωμικὸς τοῦ ποτηρίου.

V. 2. Legebatur δὲ (sic codex, non δ') ἐν κύκλῳ λεπαστὴν ἡμῖν. V. 3. Vulgo ἐνέχει. κυανοβενθῆ hinc excerptum attulit Eustathius p. 1246, 34. Id secunda syllaba producta dixit poeta, nisi σφόδρα τι scripsit. Partem loci attulit Pollux 10, 75. Ὅτι δὲ ἡ λεπαστὴ οὐκ ἔκπωμα μόνον ἐστὶν, ἀλλὰ καὶ οἰνοχόη, σαφὲς Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ ποιεῖ "Περίφερε δὴ κύκλῳ λεπαστήν." Codex Iungermanni περιφέρει δὲ κύκλῳ λεπάστην ἡμῖν ταχὺ προσφέρων παῖς ἐνέχει. Liber Falckenburgianus περίφερε δὴ κύκλῳ λεπαστὴν ταχὺ ἡμῖν προσφέρων παισὶν ἔχειν. Apud Bekkerum cum codice Paris., si quid Bekkeri silentio tribuendum, περιέφερε δὲ κύκλῳ λεπαστὴν ἡμῖν ταχὺ προσφέρων παῖς ἐνέχει τε.

**210.** Pollux 9, 46. Τὸ δὲ καλούμενον ὡρολόγιον ἤ που πόλον ἄν τις εἴποι φήσαντος Ἀριστοφάνους ἐν Γηρυτάδῃ

Πόλος τόδ' ἐστί; κᾆτα πόστην ἥλιος τέτραπται;

Vulgo πόλος τοῦτ' ἔστιν ἑκασταποστήν. Correxit Porsonus in praefatione ad Hecubam p. XLI. nisi quod ἐστίν; εἶτα scripsit.

**211.** Erotianus p. 148. ed. Franz. (p. 68. ed. Klein.) Ἐκλαπήσεται: ἀντὶ τοῦ ἐκγλυφήσεται καὶ ἐκγεννηθήσεται, ὡς καὶ Ἀριστοφάνης ἐν Γηρυτάδῃ φησὶ

Φήμαις οὖν ἐγὼ βροτῶν ἅπαντας ἐκλαπῆναι.

Si φήμαις recte habet, quod incertum est, fortasse Φήμαις μὲν οὖν scribendum. Alii alia coniecerunt, quae memoravit Kleinius. Cobetus Φήμ' οὖν ἐγὼ 'κ τούτου βροτοὺς ἅπαντας ἐκλαπῆναι. Sententiam tolerabilem, etsi mirabilem, etiam Bothii coniectura praebet, Φήμη 'στὶν ἐξ ᾠῶν βροτοὺς ἅπαντας ἐκλαπῆναι. De verbo ἐκλαπῆναι vid. L. Dindorfius in Thesauro vol. 3. p. 479.

**212.** Harpocratio, Βωμολοχεύεσθαι: — Ἀ. Γηρυτάδῃ

Χαριεντίζει καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύει.

Propter verbum χαριεντίζει hunc versum omisso fabulae nomine attulerunt Etymol. M. p. 807, 16. Suidas et quem vix nominari operae pretium est Zonaras s. v. χαριεντιζόμενοι, scholiasta Platonis p. 403. ed. Bekker., grammaticus Nanianus p. 497. Apud Harpocrationem est χαριεντίζῃ. Ceteri χαριεντίζεις.

**213.** Athenaeus 6. p. 261 f. Ψωμοκόλακος δὲ μνημονεύει Ἀ. ἐν Γηρυτάδῃ οὕτως

Ψίθυρός τε καλοῦ καὶ ψωμοκόλαξ.

Ἀριστοφάνης pro Ἀντιφάνης Casaubonus. τ' ἐκαλοῦ Schweighaeuserus. τε καλεῖ Bergkius. ψωμοκόλαξ ex epitome restitutum. Codex κόλαξ.

**214.** Hesychius, Αὐτοὶ θύομεν: ἀντὶ τοῦ αὐτοὶ πίνομεν, ἐνηλλαγμένως, παρόσον οἱ καλούμενοι εἰς ἑστίασιν λέγουσι "καὶ αὐτοὶ θύομεν"· ἐπὶ γὰρ τῶν καλουμένων ὑπό τινων λέγεται. Ἀ. Γηρυτάδῃ.

**215.** Sophocles Electra v. 289. Ὦ δύσθεον μίσημα, σοὶ μόνῃ πατὴρ | τέθνηκεν; ubi schol., καὶ ταῦτα Ἀ. παρῴδηκεν ἐν Γηρυτάδῃ.

**216.** Etymolog. M. p. 420, 2. Ἐκ τοῦ εἶα μέσου παρακειμένου Ἀττικῇ ἐκτάσει ᾖα ᾔειν ᾔει, καὶ πληθυντικῶς ᾖμεν. Ἀ. — ἐν Γηρυτάδῃ "Ἤισαν εὐθὺ τοῦ Διονυσίου" ἀντὶ τοῦ ἐπορεύοντο.

**217.** Pollux 10, 160. Ἀσκοθύλακος, ὡς ἐν τῷ Ἀ. Γηρυτάδῃ.

**218.** Erotianus p. 114. 116. (p. 61. ed. Klein.) Γαργαλισμοῦ: γάργαλος καὶ γαργάλη λέγεται ἐρεθισμός, ἀπὸ τῶν πασχητιωσῶν γυναικῶν εἰλημμένης τῆς λέξεως, ὡς καὶ Ἀ. Γηρυτάδῃ καὶ Δίφιλος ἐν Δαναΐσι.

**219.** Harpocratio, Ἕρμα: ἡ ὕφαλος πέτρα. Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ. ἔστι τοὔνομα καὶ παρὰ Ἀνακρέοντι καὶ ἐν Γηρυτάδῃ Ἀριστοφάνους. Ἕρμα: ἡ ὕφαλος Blomfieldus in Gloss. ad Aeschyli Agam. 977. Ἕρμα: ὕφαλος Valesius. ἑρμάν (vel ἑρμᾶν) ὕφαλος libri et ex epitome Photius p. 15, 1.

**220.** Pollux 7, 149. Τὰ δὲ καρπεῖα ἐν τῷ Γηρυτάδῃ Ἀ. εἶπε.

**221.** Pollux 4, 181. instrumenta medicorum enumerans, Ἡ που δὲ καὶ δεσμὰ καὶ κατάπλασμα ἐν Γηρυτάδῃ.

**222.** Antiatticista Bekkeri p. 107, 32. Μέτοχος: Ἀ. Γηρυτάδῃ.

**223.** Pollux 7, 117. Οἰκοδόμος. Ἀ. γὰρ ἐν Γηρυτάδῃ εἴρηκε τοὺς οἰκοδόμους.

**224.** Pollux 10, 170. Ἀ. ἐν Γηρυτάδῃ περίθετον. περίθετος Thesmoph. v. 258. Sed libri meliores Pollucis περίθεσιν.

**225.** Athenaeus 7. p. 321 a. Σκόμβρος. Ἀ. Γ.

**226.** Pollux 7, 7. Καὶ ὁμότεχνοι δὲ καὶ σύντεχνοι. Ἀ. γὰρ ἐν Γηρυτάδῃ τούτῳ κέχρηται.

**227.** Pollux 10, 169. Ἐν δὲ τῷ Γηρυτάδῃ ὁ Ἀ. λέγει φορμῷ σχοινίνῳ. Sine fabulae nomine 7, 175.

**228.** Athenaeus 14. p. 650 e. Τῶν γὰρ ἀπυρήνων (ῥοῶν) Ἀριστοφάνης — μνημονεύει — καὶ ἐν Γηρυτάδῃ. Conf. fragm. 165.

**229.** Scholiasta Platonis Clarkianus apud Gaisfordum in Lection. Platon. p. 173. (373. ed. Bekker.) ubi de Agathone agitur

. . . . . . .
τραγωιδ
ἐπὶ μαλακιαι
ταδηι ἦν δ' οὗτος
παῖς ἀθηναῖος . . .

Grammatici verba haec fuisse credibile est, ποιητὴς τραγῳδίας, ὃς διεβάλλετο (vel ἐσκώπτετο) ἐπὶ μαλακίᾳ, ὡς Ἀ. Γηρυτάδῃ. ἦν δ' οὗτος Τισαμενοῦ παῖς Ἀθηναῖος. collato schol. Luciani Rhet. praec. c. 11. in cod. Barocc. 56. ap. Cramer. Anecd. Oxon. vol. 4. p. 269. Ἀγάθων τραγῳδίας ποιητὴς εἰς μαλακίαν σκωπτόμενος Ἀριστοφάνει ἐν τῷ Γηρυτάδῃ. ἦν δὲ Τισαμενοῦ τοῦ Ἀθηναίου υἱός, παιδικὰ γεγονὼς Παυσανίου τοῦ τραγικοῦ cet.

**230.** Athenaeus 13. p. 592 c. Μνημονεύει αὐτῆς (τῆς Ναΐδος) καὶ Ἀ. ἐν τῷ Γηρυτάδῃ. μήποτε δὲ κἀν τῷ Πλούτῳ (v. 179.), ἐν ᾧ λέγει "Ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου;" γραπτέον Ναῒς καὶ οὐ Λαΐς. Eadem apud Harpocrat. s. v. Ναΐς.

---

**231 a.** Ad hanc fabulam fortasse pertinent versus duo ab Dione Prusaeo 52. p. 553. ed. Morel. (vol. 2. p. 273. Reisk.) servati, qui de Sophoclis Philocteta disputans ita scribit, Τά τε μέλη οὐκ ἔχει πολὺ τὸ γνωμικὸν οὐδὲ τὴν πρὸς ἀρετὴν παράκλησιν, ὥσπερ τὰ τοῦ Εὐριπίδου, ἡδονὴν δὲ θαυμαστὴν καὶ μεγαλοπρέπειαν, ὥστε μὴ εἰκῇ τοιαῦτα περὶ αὐτοῦ τὸν Ἀριστοφάνην εἰρηκέναι

Ὁ δ' αὖ Σοφοκλέους τοῦ μέλιτι κεχριμένου
ὥσπερ καδίσκου περιέλειχε τὸ στόμα.

Hinc explicari possunt quae in Vita Sophoclis obscurius traduntur Schol. vol. 2. p. 7, 10. ed. Oxon. Ἔστι δὲ τοῦτο μέγιστον ἐν τῇ ποιητικῇ, δηλοῦν ἦθος ἢ πάθος. φησὶν οὖν Ἀριστοφάνης ὅτι "κηρὸς ἐπεκαθέζετο". ἄλλοι δὲ "Σοφοκλέους τοῦ μέλιτι τὸ στόμα κεχρισμένου" (Attica quam supra restitui forma κεχριμένου est). Priora verba non sunt Aristophanis, sed parodia nescio ab quo facta notissimi versus Eupolidis πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσι, quo Pericleae vis eloquentiae descripta fuit. Sophoclem autem satis notum est μέλιτταν ab veteribus dictum fuisse, quod multis modis posteriorum temporum declamatores exornarunt.

**231 b.** Vita Euripidis ex cod. Paris. edita ab Rossignolio (*Journal des Savants, Avril* 1832) sive in Schol. ed. mea Oxon. vol. 2. p. 6, 9: Ἔσκωπτε δὲ τὰς γυναῖκας διὰ ποιημάτων δι' αἰτίαν τοιαύτην· εἶχεν οἰκογενὲς μειράκιον ὀνόματι Κηφισοφῶντα. πρὸς τοῦτον ἐφώρασε τὴν οἰκείαν γυναῖκα ἀτακτοῦσαν. τὸ μὲν οὖν πρῶτον ἀπέτρεπεν ἁμαρτάνειν· ἐπεὶ δ' οὐκ ἔπειθε, κατέλιπεν αὐτῷ τὴν γυναῖκα βουλομένου αὐτὴν ἔχειν

τοῦ Κηφισοφῶντος. λέγει οὖν καὶ ὁ Ἀριστοφάνης

Κηφισοφῶν ἄριστε καὶ μελάντατε,
σὺ δὴ ξυνέζης ὡς τὰ πόλλ' Εὐριπίδῃ
καὶ ξυνεποίεις, ὥς φασι, τὴν μελῳδίαν.

δὲ συνέζης εἰς (ὡς Fixius) — εὐριπίδου καὶ συνεποίεις ὡς φησὶ καὶ τὴν codex. Εὐριπίδῃ restituit Rossignolius. Haec quoque ex Gerytade ducta videntur. Μελάντατε Seidlerus in ταλάντατε mutat, recte an secus non dixerim, quum post ἄριστε amplius quid exspectetur quam ταλάντατε.

Ad hanc fabulam fortasse referendum fragm. 565. — Coniecturam valde incertam de loco corrupto scholiastae Pluti v. 550. cui Gerytadae nomen restituit, protulit Hemsterhusius in annotatione p. 166. 167. Quod satis habemus verbo tetigisse.

# ΔΑΙΔΑΛΟΣ.

Clemens Alexandr. Stromat. 7. p. 752. ed. Potter. Πλάτων δὲ ὁ κωμικὸς καὶ Ἀριστοφάνης ἐν τῷ Δαιδάλῳ τὰ ἀλλήλων ὑφαιροῦνται.

232. Hesychius, Δαιδάλεια: Ἀ. τὸν ὑπὸ Δαιδάλου κατασκευασθέντα ἀνδριάντα, ὡς διὰ τὸ ἀποδιδράσκειν δεδεμένον. ubi vide interpretum annotationes et schol. Eurip. Hec. 838. vol. 1. p. 424. ed. Oxon.

233. Suidas, Εὐρύβατος: πονηρός — καὶ Ἀ. Δαιδάλῳ ὑποθέμενος τὸν Δία εἰς πολλὰ ἑαυτὸν μεταβάλλοντα καὶ πλουτοῦντα (πλάττοντα Bernhardyus: sed fortasse delendum καὶ πλουτοῦντα) καὶ πανουργοῦντα,

Εἰ δή τις ὑμῶν οἶδεν Εὐρύβατον Δία.

οἶδεν ex Eustathio p. 1864, 31. εἶδεν Suidas. Schol. Luciani Alex. c. 4. in cod. Vindob. ὁ δὲ Εὐρύβατος ὡς πονηρὸς καὶ πανοῦργος, πρὸς δὲ καὶ προδότης εἰσάγεται Ἀριστοφάνει τῷ κωμικῷ καὶ Δημοσθένει τῷ ῥήτορι.

234. Erotianus p. 50. (p. 42 ed. Klein.) Ἀνεκάς: ἀντὶ τοῦ ἀνωτάτω. σύγκειται γὰρ ἐκ τοῦ ἄνω καὶ τοῦ ἑκάς, ὡς καὶ Ἀ. ἐν Δαιδάλῳ φησίν

Ὁ μηχανοποιός, ὁπότε βούλει τὸν τροχὸν
ἐᾶν ἀνεκάς, λέγε, χαῖρε φέγγος ἡλίου.

V. 1. Similiter μηχανοποιὸν invocat Trygaeus in Pace v. 174. V. 2. ἐᾶν] ἑλᾶν Bergkius. ἕλκειν Cobetus Mnem. vol. 5. p. 197. ἀνεκὰς Brunckius pro κάνεκάς. De accentu v. L. Dindorfius in Thes. s. h. v. et Schneidewin. in Philol. vol. 3. p. 118.

235. Athenaeus 7. p. 316b. Τὸ δὲ πώλυπον λέγειν Αἰολικόν· Ἀττικοὶ γὰρ πουλύπουν λέγουσιν. Ἀ. Δαιδάλῳ

Καὶ ταῦτ' ἔχοντα πουλύπους καὶ σηπίας.

καὶ πάλιν "Τὸν πουλύπουν μοι ἔθηκε" (μοὔθηκε vel παρέθηκε Bergkius). καὶ πάλιν

Πληγαὶ λέγονται πουλύπου πιλουμένου.

V. 1. Καὶ ταῦτ' ἔχοντα] Vulgo ταῦθ' ἑκόντα, omisso καί. Emendatum ex p. 323c. ubi haec ex Danaidibus afferuntur, Σηπία. Ἀ. Δαναΐσι "Καὶ ταῦτ' ἔχοντα σηπίας καὶ πουλύπους." Ex Athenaei epitome sua petiit grammaticus Hermanni p. 322. 323. Σηπιδίων mentio fit in fragm. 242.

236. Athenaeus 9. p. 367d. et. p. 368c. ubi de vocabulo παροψὶς agit, Ἀ. Δαιδάλῳ

Πάσαις γυναιξὶν ἐξ ἑνός γέ του τρόπου
ὥσπερ παροψὶς μοιχὸς ἐσκευασμένος.

τρόπου addidit Musurus.

237. Athenaeus 9. p. 374e. Καὶ Θεόπομπος δ' — ἐπὶ τῆς θηλείας ἔταξε τὸν ἀλεκτρυόνα — καὶ Ἀ. Δαιδάλῳ

Ὠιὸν μέγιστον τέτοκεν, ὡς ἀλεκτρυών.

καὶ πάλιν

Ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις.

ἐν δὲ Νεφέλαις (v. 665.) — φησὶ "Νῦν — ἀλέκτορα."

V. 2. Ἐνίοτε (ἐνίοτε om. Athenaeus) πολλαὶ —] Hoc fragmentum ex Platonis Daedalo attulit scholiasta Aristophanis Nub. v. 663. (ut καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγεσθαι probet) ubi ἐνίοτε πολλαὶ scriptum. Unde iisdem utrumque poetam verbis usum esse coniecit Ernesti in annotatione ad scholia, Clementis Alexandrini loco confisus, quem supra apposui. Sed scholiastae fidem elevant Photius et Suidas s. v. ὑπηνέμια, qui non de feminino ἀλεκτρυών, sed de usu adiectivi ὑπηνέμια agentes (ὑπηνέμια λέγουσιν ὡς ἡμεῖς), quod reprehendit Moeris p. 73. (Ἀνεμιαῖον Ἀττικοί· ὑπηνέμιον Ἕλληνες) Aristophanis Δαιδάλου nomen posuerunt et Platonis philosophi locum quendam (Theaet. p. 161a.), in quo ἀνεμιαῖα legitur, adiunxerunt. Et apud Suidam quidem ἐνίοτε πολλοὶ scriptum, apud Photium ἐνιότε (sic) πολλαί, ubi Porsonus coniecit Ἔν ἴστε· πολλαὶ —. Sine auctoris nomine Eustathius p. 1479, 28. attulit πολλαὶ τῶν ἀλεκτρυόνων ὑπηνέμια τίκτουσι. Quod si ἐνίοτε πολλαὶ recte habet, comparari potest Acharnensium v. 295. πόλλ' ἂν ἀποφήναιμ' ἐκείνους ἔσθ' ἃ κἀδικουμένους. βίᾳ ὑπηνέμια Photius et Suidas. ὑπηνέμια βίᾳ Athenaeus. καὶ ὑπηνέμια scholiasta Aristophanis, omisso βίᾳ. Καὶ post hunc versum recte transposuit Hermannus, ubi alius affertur versus, καὶ "ὁ δὲ παῖς ὅδ' ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ." quem omiserunt Photius, Suidas et Athenaeus.

238. Photius p. 338, 15. Ὄνου σκιά: — Ἀ. Δαιδάλῳ

α. Περὶ τοῦ γὰρ ὑμῖν ὁ πόλεμος
νῦν ἐστι; β. περὶ ὄνου σκιᾶς.

Male apud Suidam νῦν ὑμῖν ἐστι. Verba ipsa utrum duarum sint personarum an unius sibi ipsi respondentis incertum est.

239. Hesychius, Δορυφόνον: τὸν δολοφονοῦντα. Ἀ. Δαιδάλῳ.

240. Pollux 7, 100. Κογχυλίας λίθος ἐν Ἀ. Δαιδάλῳ.

241. Pollux 7, 117. Ἀρχιτέκτων εἴρηται παρὰ Πλάτωνι, βιαία γὰρ ἡ ἐν τῷ Σοφοκλέους Δαιδάλῳ τεκτόναρχος Μοῦσα. τὸ δὲ ἀρχιτεκτονεῖν Ἀριστοφάνης εἴρηκεν ἐν Δαιδάλῳ. Verbo ἀρχιτεκτονεῖν utitur in Pace v. 305. Quamobrem videndum ne Pollux Δαιδάλῳ pro Εἰρήνῃ scripserit, quum Sophoclis ex Daedalo locus ante oculos versaretur. Alio modo peccatum videtur apud Phrynichum p. 427. Κάκκαβον: διὰ τοῦ η κακκάβην λέγε. τὸ γὰρ διὰ τοῦ ο ἀμαθές. καὶ γὰρ Ἀ. ἐν Δαιδάλῳ χρῆται διὰ τοῦ η. Quae ad Daetalensium fragmentum 26. recte referri videntur ab Iungermanno ad Pollucem 10, 106.

# ΔΑΝΑΙΔΕΣ.

**242.** Pollux 2, 76. Καὶ ὀσμύλια ἰχθύων τι γένος, ἡ ὑπὸ πολλῶν ὄζαινα καλουμένη. πολύποδος δέ ἐστιν εἶδος ἔχον μεταξὺ τῆς κεφαλῆς καὶ τῶν πλεκτανῶν αὐλὸν δυσῶδες πνεῦμα ἀφιέντα.

Τραπόμενον ἐς τοὔψον λαβεῖν
ὀσμύλια καὶ μαινίδια καὶ σηπίδια,

ὥς φησιν Ἀ. Versum alterum propter σηπίδια ex Danaidibus attulit Athenaeus 7. p. 324b. unde ὀσμύλια pro ὀσμυλίδια correctum. Photius p. 352, 25. Ὀσμύλια: ἰχθύδια εὐτελῆ. Ὀσμύλια καὶ μαινίδια καὶ σηπίδια, φησὶν Ἀριστοφάνης. De verbis Καὶ ταῦτ' ἔχοντα σηπίας καὶ πουλύπους, quae Athenaeus alio in loco ex Daedalo, in alio ex Danaidibus attulit, dictum ad fragm. 235.

**243.** Athenaeus 10. p. 422e. Δεδειπνάναι — Ἀ. ἐν Δαναΐσιν

Ἤδη παροινεῖς ἔς με πρὶν δεδειπνάναι.

Vulgo ἐμὲ, omisso ἐς. Brunckius εἰς ἐμέ.

**244.** Pollux 10, 130. Τάχα δὲ καὶ σώρακος, εἰ καὶ παρὰ τοῖς κωμῳδοποιοῖς οὕτως ὠνομάσθη τὸ ἀγγεῖον, ἐν ᾧ τὰ σκεύη τῶν ὑποκριτῶν. Ἀ. δὲ ἐν Δαναΐσιν ἔφη

Κακῶν τοσούτων ξυνελέγη μοι σώρακος.

**245.** Scholiasta Pacis v. 922. Pluti v. 1199. et Suidas s. v. χύτραις, Ὁπότε μέλλοιεν βωμοὺς καθιδρύειν ἢ ἀγάλματα θεῶν, ἕψοντες ὄσπρια ἀπήρχοντο τούτων τοῖς ἀφιδρυμένοις χαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης, ὡς οὗτος εἶπεν ἐν Δαναΐσι

Μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας,
μεθ' ὧν ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ.

καθιδρύειν] ἀφιδρύειν schol. Pluti. ἐγκαθιδρύειν Suidas. ἀγάλματα] ἄγαλμα schol. Pluti. θεῶν] θεοῦ schol. Pacis et Suidas. τούτων] τούτοις schol. Pacis. χαριστήρια] εὐχαριστήρια schol. Pluti. V. 2. μεθ' ὧν] παρ' αἷς schol. Pluti. ἱδρύθη] ἱδρύνθη schol. Pacis. ἱδρύσθη Suidas.

**246.** Photius p. 596, 14. et Suidas, Τοῦ — ἐπὶ οὐδετέρου Ἀ. Δαναΐσιν

Ἀλλ' εἴσιθ', ὡς τὸ πρᾶγμ' ἐλέγξαι βούλομαι
τουτί· προσόζειν γάρ κακοῦ τού μοι δοκεῖ.

V. 1. πρᾶγμ' ἐλέγξαι Dobraeus pro πρᾶγμα λέξαι.

**247.** Scholiasta Homeri Iliad. 14, 200. Ἀριστοφάνης Δαναΐσι "δακτύλιον χαλκοῦν φέρων ἀπείρονα" ἔφη. ἔστι δὲ ὁ ἀπείρων δακτύλιος καὶ ὁ ἀσυγκόλλητος καὶ πέρας μὴ δεικνὺς ἀρχήν τε καὶ τέλος. οἱ γὰρ σφενδόνας ἔχοντες, εἰς ἃς οἱ λίθοι ἐντίθενται ἢ σφραγῖδες, οὐκ εἰσὶν ἀπείρονες. οὐ γάρ ἐστιν ὁμοιομερής. Eadem fere habet schol. Odyss. 1, 98. qui in Aristophanis verbis φέρειν praebet. Bekkeri Anecd. p. 420, 18. Ἀπείρονα δακτύλιον: τὸν μὴ συνάπτοντα αὐτὸν αὑτῷ. ἐλέγετο δὲ ἀπείρων καὶ ἄπειρος παρὰ τοῖς Ἀττικοῖς καὶ τὸ περιφερὲς ἁπλῶς σχῆμα. Vid. L. Dindorf. in Thes. s. v. Ἀπείρων.

**248.** Athenaeus 9. p. 400a. Τρύφων δέ φησι, τὸν λαγὼν ἐπ' αἰτιατικῆς ἐν Δαναΐσιν Ἀ. ὀξυτόνως καὶ μετὰ τοῦ ν λέγει

Λύσας ἴσως ἂν τὸν λαγὼν ξυναρπάσειεν ἡμῶν.

ὑμῶν apographa.

**249.** Athenaeus 2. p. 57a. Καλλίας δ' ἐπὶ τῆς ῥαφανῖδος εἴρηκε τὸν ῥάφανον. περὶ γοῦν τῆς ἀρχαιότητος τῆς κωμῳδίας διεξιὼν φησιν

Ἔτνος, πῦρ, γογγυλίδες, ῥάφανοι, δρυπετεῖς, [ἐλατῆρες.

ὅτι δ' οὕτω τὰς ῥαφανῖδας εἴρηκε δῆλον Ἀ. ποιεῖ περὶ τῆς τοιαύτης ἀρχαιότητος ἐν Δαναΐσι γράφων καὶ αὐτὸς καὶ λέγων

Ὁ χορὸς δ' ὠρχεῖτ' ἂν ἐναψάμενος δάπιδας καὶ στρωματόδεσμα,
διαμασχαλίσας αὑτὸν σχελίσιν καὶ φύσκαις καὶ [ῥαφανῖσιν.

**250.** Suidas s. v. ἀταλαίπωρον et Bekkeri Anecd. p. 457, 29. Ἀταλαιπώρως: ῥᾳθύμως, ὀλιγώρως. Ἀριστοφάνης Δαναΐσιν

Οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο.

Affertur etiam ab Etymol. M. p. 162, 40. (Gudian. p. 88, 31.) ubi διάκειται scriptum. Ego ut διέκειτο praeferam superioris fragmenti comparatione moveor. Videntur enim haec omnia ad priscae comoediae simplicitatem describendam pertinere. Quo in loco si forte etiam de tragoedia sermo fuit, non sine magna veri specie huc referri poterunt quae tanquam Aeschyli apud Aristophanem verba attulit Athenaeus 1. p. 21e. Ad versum ex Danaidibus pertinet, ni fallor, Hesychii glossa, Ἀταλαιπώρως: ἄνευ κόπου, ἀκοπιάστως. Similiter Thucydides 1, 20. οὕτως ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας καὶ ἐπὶ τὰ ἑτοῖμα μᾶλλον τρέπονται.

**251.** Suidas, Αὔλειος: ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας — Ἀ. Δαναΐσι

Πρὸς τὸν στροφέα τῆς αὐλείας σχίνου κεφαλὴν [κατορύττειν.

κεφαλὴν Kusterus pro κεφαλῆς. αὐλείας] αὐλείου Cobetus Mnem. vol. 5. p. 198. ex more Atticorum. σχίνου Meinekius Quaest. Menandr. p. 37. Vulgo ἐχίνου. Eandem emendationem fecit Dobraeus in Adversar. vol. 2. p. 252. et σχῖνον sive σκίλλαν in re magica usui fuisse ostendit Theophrasti aliorumque testimoniis. Ἐχίνου vocabulum ex alio huius fabulae loco sumtum affert Harpocratio, Ἐχῖνος: ἔστι μὲν ἄγγος τι εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον μνημονεύει τοῦ ἄγγους τούτου καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Ἀριστοφάνης Δαναΐσιν (Δαναΐσιν omittit codex Vratislaviensis et Photius p. 46, 6). ἦν δὲ καὶ πόλις Ἐχῖνος, ἧς μνημονεύει Δημοσθένης ἐν πέμπτῳ Φιλιππικῶν. Vasculi ἐχίνου dicti etiam in Vespis mentionem fecit Aristophanes v. 1436.

**252.** Athenaeus 14. p. 645e. Ἐγκρίδες. πεμμάτιον ἑψόμενον ἐν ἐλαίῳ καὶ μετὰ τοῦτο μελιτούμενον. — Ἀ. δ' ἐν Δαναΐσι καὶ ποιητὴν (πωλητὴν Schweighaeuserus) φησιν αὐτῶν εἶναι ἐν τούτοις "Μήτ' ἄρα μ' εἶναι | ἐγκριδοπώλην." Codex μήτ' ἅρμα εἶναι. Correxit Iacobsius. Porsonus in Miscellan. p. 247. μήθ' ἁρμονιῶν. Pollux 7, 199. de verbis cum πωλεῖν compositis exempla afferens, ἐν δ' Ἀριστοφάνους Δαναΐσι συρμαιοπῶλαι καὶ ἐγκριδοπῶλαι. Etiam συρμαιοπώλην facile credam in Danaidibus esse commemoratum, quum συρμαία propria sit Aegyptiis. Eorum etiam panis genus quoddam proximo fragmento nominatur.

**253.** Athenaeus 3. p. 114c. Αἰγύπτιοι δὲ τὸν ὑποξίζοντα ἄρτον κύλλαστιν καλοῦσι. μνημονεύει δ' αὐτοῦ Ἀ. ἐν Δαναΐσι

Καὶ τὸν κύλλαστιν φθέγγου καὶ τὸν Πετόσιριν.

**254.** Pollux 10, 39. Εἴποις δ' ἂν οἶμαι καὶ χνοῦν καὶ μνοῦν ἐπὶ τῶν μαλακῶν, Ἀ. εἰπόντος μὲν ἐν Βαβυλωνίοις "Εἰς ἄχυρα καὶ χνοῦν," ἐν δὲ Δαναΐσι "Τῶν χειρῶν ἔργα μνοῦς ἐστιν." Verba corrupta.

**255.** Suidas s. v. ἀργύρειος et Bekkeri Anecd. p. 442, 11. Ἀργύριον καὶ τὸ λεπτὸν νόμισμα καλοῦσιν, ὡς Ἀ. Δαναΐσιν.

256. Pollux 10, 127. Προσωπὶς καί, ὡς ἐν Δαναΐσιν Ἀ., προσωπίδιον.

257. Scholiasta Lysistratae v. 1239. (et Suidas s. v. Κλειταγόρα). Κλειταγόρα ποιήτρια ἦν Λακωνική, ἧς μέμνηται καὶ ἐν Δαναΐσιν Ἀριστοφάνης.

258. Scholiasta Pluti v. 210. Ὀξύτερον τοῦ Λυγκέως: Λυγκεύς, ὡς αὐτὸς ἐν Δαναΐσι φησίν, υἱὸς Αἰγύπτου. ἐροῦμεν δ' ἐκεῖ τὰ περὶ αὐτοῦ, ἐπεὶ δοκεῖ παρ' ἱστορίαν λέγειν. τοσοῦτον δὲ ὀξυωπέστατος ἦν cet. "παρ' ἱστορίαν] Haec quorsum pertineant aegre perspici potest, nisi in Danaidibus Aristophanem statuas, comica forte iocandi libertate, utrosque Lynceos, hunc Aegypti, illum Apharei filium, confudisse, alterique quod alterius erat acumen visus incredibile tribuisse. Suidas, Λυγκέως ὀξυωπέστερον βλέπεις: οὗτος ἐγένετο ἀδελφὸς Ἴδα, ὡς δὲ Ἀ. ἐν Δαναΐσιν, υἱὸς Αἰγύπτου." Hemsterh.

259a. Pollux 10, 26. Καὶ μὴν καὶ βαλανῶσαι τὴν θύραν ἐκεῖνοι (οἱ κωμῳδοί) λέγουσι, καὶ "Οὐδεὶς βεβαλάνωκε τὴν θύραν" ἐν ταῖς Δαναΐσιν ἔφη Ἀριστοφάνης. Tantam haec habent cum Ecclesiazusarum v. 382. similitudinem, νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν, ut dubitare liceat an Pollux alteram pro altera fabulam nominaverit.

259b. Ad hanc fabulam referendum videtur Δαναώτατος, de quo Apollon. de pronom. p. 341. ἕνεκα γελοίου ἡ κωμῳδία σχήματά τινα ἔπλασεν, ὥστε οὐ κριτήριον τῆς λέξεως τὸ αὐτότερος, ἐπεὶ καὶ Δαναώτατος ὑπερτίθεται παρὰ Ἀριστοφάνει, τῶν κυρίων οὐ συγκρινομένων.

## ΔΡΑΜΑΤΑ.

Duae fuerunt fabulae Δράματα inscriptae, altera Δράματα ἢ Κένταυρος, altera Δράματα ἢ Νίοβος inscripta: de quibus dixi in ed. Oxon. p. 505—507. Fragmenta igitur ita disposuimus ut primum exhiberemus quae ex Centauro et Niobo ab grammaticis essent allata, postrema autem faceremus quae ex Δράμασιν altero nomine non addito citata invenissemus. Ad nomen fabulae fortasse spectat Etymolog. M. p. 286, 19. Δρᾶμα: ποίημα, πρᾶγμα. παρὰ τὸ δρῶ τὸ ἐνεργῶ, ἀφ' οὗ καὶ δρᾶσαι τὸ πρᾶξαι, ὁ παθητικὸς παρακείμενος δέδραμαι, ἐξ αὐτοῦ δρᾶμα. λέγεται δὲ δράματα καὶ τὰ ὑπὸ τῶν θεατρικῶν μιμηλῶς γινόμενα ὡς ἐν ὑποκρίσει, ὥς φησιν Ἀριστοφάνης [ἐπειδὴ ἐν ἱερῷ Ἡρακλέους δειπνοῦντες ἐγίνοντο χορός]. καὶ τὰ ἐκ συσκευῆς δὲ καὶ κακουργίας δρώμενα κατά τινος ὑπό τινων δράματα. ubi quae seclusi huc male sunt illata de explicatione vocis δαιταλεῖς, quam supra p. 182. ex Orione attuli. Priorem Etymologi verborum partem usque ad ὡς ἐν ὑποκρίσει repetiit Suidas s. v. δρᾶμα.

### ΔΡΑΜΑΤΑ Η ΚΕΝΤΑΥΡΟΣ.

260. Photius p. 451, 13. Πρόδικον δίκην: τὴν ἐπὶ φίλων καὶ διαιτητῶν. Ἀ. Κενταύρῳ

Ἐγὼ γάρ, εἴ τί σ' ἠδίκηκ', ἐθέλω δίκην
δοῦναι πρόδικον ἐν τῶν φίλων τῶν σῶν ἑνί.

Ita Porsonus. Codex εἴ τις ἢ δίκη θέλω — ἐν τῶν (vel τῷ) φίλων — ἑνι. Suidas, Πρόδικον: δικαστὴν ἐπὶ φίλων καὶ διαιτητήν. Ἀ. Κενταύρῳ, ἐγὼ γὰρ εἴ τις ἠδίκηκε θέλω δίκην δοῦναι πρόδικον ἑνὶ τῶν φίλων τῶν σῶν. ἐπὶ τῶν φίλων τῶν σῶν τινός Cobetus Mnem. vol. 5. p. 193. De δίκῃ προδίκῳ dictum ab Hudtwalckero in libro de diaetetis p. 158.

261. Pollux 3, 74. in codice Falckenburgiano, Ἀ. μέντοι κατὰ τὴν πολλῶν συνήθειαν τὸν δεσπότην αὐτὸν κέκληκεν εἰπὼν ἐν Δράμασιν ἢ Κενταύρῳ

Ἀνοιγέτω τις δώματ'· αὐτὸς ἔρχεται.

Antiatticista Bekkeri p. 78, 29. Αὐτός: ἀντὶ τοῦ ὁ δεσπότης, αὐτὸς λέγει, αὐτὸς ἔρχεται (codex ἄρχεται, quod correxit Bergkius).

262. Pollux 10, 185. Τοῖς δὲ σκεύεσιν εἰ βούλοιτό τις προσαριθμεῖν καὶ κάδον πίττινον, ἔξεστιν, Ἀριστοφάνους ἐν Δράμασιν ἢ Κενταύρῳ εἰπόντος

Ἀλλ' ἐς κάδον λαβὼν τιν' οὔρει πίττινον.

263. Pollux 10, 79. Τὸν δὲ πυθμένα καὶ πύνδακα —. Ἀριστοφάνης γοῦν ἐν Δράμασιν ἢ Κενταύρῳ "Ἐκκρουσαμένους τοὺς πύνδακας" εἴρηκε. ἐκκρουσάμενος Casaubonus ad Athen. 7. p. 301b. ἐσκρουσαμένους Meinekius Com. vol. 2. p. 298. ἐκκεκρουσμένους Bergkius.

264. Pollux 9, 53. Ἡ μὲν γὰρ Ἀντιφῶντος ταλάντωσις τὸ βάρος δηλοῖ· καὶ ὁ Ἀ. ἐν Δράμασιν ἢ Κενταύρῳ "Λίθος δεκατάλαντος."

265. Pollux 9, 36. Κωμήτας τοὺς γείτονας καὶ κωμήτιδας ὠνόμαζον. Ἀ. γοῦν ἐν μὲν Δράμασιν ἢ Κενταύρῳ ἔφη "Ἐν κωμήτισι (κωμήτισιν?) καπήλοις (τ' addit Salmasius) ἐπίχαρτον." κωμήτισιν καπήλισίν τ ἐπίχαρτον ἦν Bergkius.

266. Hesychius, Οὐ γὰρ ἄκανθαι: παροιμία. Ἀ. Σκηνὰς καταλαμβανούσαις "Οὐδ' ἴσως ἀντέλεγες τούτῳ τῷ δειπνίῳ· οὐ γὰρ ἄκανθαι." καὶ ἐν Δράμασιν ἢ Κενταύρῳ [ἄκανθαι.

Χωρεῖ δ' ⏑ ⏑ – ⏑ ἄκλητος ἀεὶ δειπνήσων· οὐ γὰρ

Post χωρεῖ δ' aliquid omissum. In fine versus οὐ γὰρ ἄκανθαι, quibus verbis caret codex, addiderunt critici. Iidem aliorum grammaticorum de hoc proverbio locos indicarunt.

267. Pollux 7, 24. Τῶν δὲ περὶ ἀρτοπωλίαν ἀθρόα ἐν Ἀριστοφάνους Δράμασιν ἢ Κενταύρῳ (vulgo Κενταύροις)

Πτίττω, βράττω, μάττω, δεύω, πέττω, καταλῶ.

Πτίττω] Legebatur πίττω, vitiosius etiam πήττω in Par. A., πίπτω in Par. B., πιττῶ scriptum in codice Iungermanni. Brunckius πτίσσω. V. Lobeck. Paralip. p. 31.

268. Hesychius, Κύλλου πήρα: Ζητοῦσι διὰ τί τὸ πορνεῖον Κύλλου πήραν Ἀριστοφάνης εἴρηκεν ἐν Δράμασιν ἢ Κενταύρῳ "Τὸ δὲ πορνεῖον Κύλλου πήρα." ἔστι γὰρ χωρίον Ἀθήνησιν ἐπηρεφὲς καὶ κρήνη. ἀντὶ δὲ τοῦ πέραν πήραν ἔφη. Photius p. 185, 21. Κύλλου πήραν: ἡ Πήρα χωρίον πρὸς τῷ Ὑμηττῷ, ἐν ᾧ ἱερὸν Ἀφροδίτης, καὶ κρήνη ἐξ ἧς αἱ πιοῦσαι εὐτοκοῦσι καὶ αἱ ἄγονοι γόνιμοι γίνονται. Κρατῖνος δὲ ἐν Μαλθακοῖς καλιὰν αὐτήν φησιν, οἱ δὲ κολλοπήραν (κυλλοπήραν Suidas). τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν τὴν φύσιν βιαζομένων ἐξ ἐπιτεχνήσεως. Hesychius, Κίλλεια: εἶδός τι λαχάνου. ἢ ἄκανθαι τῶν ἐχίνων. ἢ πηγὴ ἢ κρήνη. ἢ ὄρος τῆς Ἀττικῆς, χωρίον δασύ, ὅπερ διαφόρως προσαγορεύουσιν, οἱ μὲν Κάλλιον, οἱ δὲ Κυλίαν, ἄλλοι Κυλύπεραν. Conf. Proverbior. Append. Vatic. 2, 38. Herodianus περὶ μονήρους λέξεως p. 11, 16. Κύλλος (codex ὄλλος) τὸ κύριον, οὗ μέμνηται καὶ Ἀ. καὶ Κρατῖνος ἐν Μαλθακοῖς Vid. Meinek. Com. vol. 2. p. 79.

269. Athenaeus 14. p. 629c. Τὴν δ' ἀπόκινον καλουμένην ὄρχησιν, ἧς μνημονεύει Κρατῖνος ἐν Νε-

μέσει καὶ Κηφισόδωρος ἐν Ἀμαζόσιν Ἀ. τ' ἐν Κενταύρῳ καὶ ἄλλοι πλείονες, ὕστερον μακτρισμὸν ὠνόμασαν.

**270.** Pollux 10, 171. Σκεῦος δὲ καὶ ἡ κλῖμαξ, καὶ οἱ ἀναβασμοὶ τῆς κλίμακος κλιμακτῆρες, ὡς ἐν Ἀριστοφάνους Δράμασιν ἢ Κενταύρῳ.

---

## ΔΡΑΜΑΤΑ Η ΝΙΟΒΟΣ.

Hanc fabulam spuriam iudicasse veteres criticos ex grammatici testimonio cognoscitur quod p. 181. apposuimus.

**271.** Νιόβου nomen ab Νιόβη finxit poeta, quemadmodum ab Ἀφροδίτη deducto Ἀφρόδιτος usus est. De quo ita scribit Macrobius Saturnal. 3, 8. "*Apud Calvum Aterianus affirmat legendum* "*Pollentemque deum Venerem,*" *non deam. Signum etiam eius est Cypri barbatum corpore et* (vulgo *sed*) *veste muliebri cum sceptro ac natura virili, et putant eandem marem ac feminam esse. Aristophanes eam* Ἀφρόδιτον *appellat.*" Servius ad Virgil. Aeneid. 2, 632. *Est etiam in Cypro simulacrum barbatae Veneris, corpore et veste muliebri, cum sceptro et natura virili, quod* Ἀφρόδιτον *vocabatur.*" Hesychius, Ἀφρόδιτος: Θεόφραστος μὲν τὸν Ἑρμαφρόδιτόν φησιν, ὁ δὲ τὰ περὶ Ἀμαθοῦντα γεγραφὼς Παίων εἰς ἄνδρα τὴν θεὸν ἐσχηματίσθαι ἐν Κύπρῳ λέγει. Bekkeri Anecd. p. 472, 24. Ἀφρόδιτος: ὁ Ἑρμαφρόδιτος. παaρπλήσιοι δὲ τούτῳ ἄλλοι δαίμονες, Ὀρθάνης, Πρίαπος.

**272.** Niobae liberorum mentionem in hac fabula iniectam esse intelligitur ex scholiastae annotatione ad Euripidis Phoeniss. v. 159. vol. 3. p. 81. Περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτὸς Εὐριπίδης ἐν Κρεσφόντῃ φησὶ "Καὶ δὶς ἕπτ' αὐτῆς τέκνα | Νιόβης θανόντα Λοξίου τοξεύμασιν." ὁμοίως καὶ Αἰσχύλος ἐν Νιόβῃ καὶ Ἀ. δὲ ἐν Δράμασιν ἢ Νιόβῳ ὁμοίως Ϛ' αὐτὰς λέγουσιν, εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄρρενας.

**273.** Athenaeus 7. p. 301b. Πληθυντικῶς δὲ λέγουσιν ἑψητοὺς κατὰ τὸ πλεῖστον. Ἀ. Δράμασιν ἢ Νιόβῳ "Οὐδὲν μὰ Δί' ἐρῶ λοπάδος ἑψητῶν." Conf. fragm. 147.

**274.** Athenaeus 15. p. 699f. ex codice Veneto, Ὅτι δὲ λυχνοῦχοι οἱ νῦν καλούμενοι φανοὶ ὠνομάζοντο Ἀριστοφάνης ἐν Αἰολοσίκωνι (fragm. 114.) παρίστησι —. ἐν δὲ τῷ δευτέρῳ νιουω προειπὼν λυχνοῦχον οιμοι κακοδαίμων φησὶν λυχνοῦχος ἡμῖν οἴχεται. εἶτ' ἐπιφέρει καὶ πῶς ὑπερβὰς τὸν λυχνοῦχον οἴχεται εἶτ' ἐπιφέρει καὶ ἔλαθες. ἐν δὲ τοῖς . ρ . ησ καὶ λυχνίδιον αὐτὸν καλεῖ διὰ τούτων ἀλλ' ὥσπερ ὁ λύχνος ὁμοιότατα καθεύδετ' ἐπὶ τοῦ λυχνιδίου. Quae partim ab me in ed. Oxon. p. 607. partim ab Cobeto Mnemos. vol. 5. p. 191. sic sunt emendata, ἐν δὲ τῷ Νιόβῳ (quod in codice est δευτέρῳ νιουω fortasse ortum ex β super υ in νιουω scripto) προειπὼν λύχνον

Οἴμοι κακοδαίμων (φησὶν), ὁ λύχνος ἡμῖν οἴχεται.

εἶτ' ἐπιφέρει

Καὶ πῶς ὑπερβὰς τὸν λυχνοῦχον ἔλαθέ σε;

ἐν δὲ τοῖς ἑξῆς καὶ λυχνίδιον αὐτὸν καλεῖ διὰ τούτων

Ἀλλ' ὥσπερ λύχνος
ὁμοιότατα καθεύδετ' ἐπὶ τοῦ λυχνιδίου.

Cum postremis autem Pollucis locus componendus 10, 119. Ὅταν δ' εἴπῃ ἐν τῷ Αἰολοσίκωνι (fragm. 115.) Ἀ. "Δυοῖν λυχνιδίοιν," δῆλον ὅτι λύχνια εἴρηκεν, ἀλλ' οὐ μικροὺς λύχνους. — σαφέστερον δὲ ἐν τοῖς Ἀριστοφάνους Δράμασιν ἢ Νιόβῳ "Ἀλλ' ὥσπερ λύχνος ὁμοιότατα κάθευδ' (καθηῦδ' in Bekkeri editione) ἐπὶ τοῦ λυχνιδίου." unde corrigendum videtur quod apud Athenaeum legitur καθεύδετ', quum λυχνιδίου syllaba secunda producta dictum esse possit.

**275.** Pollux 10, 185. Οὗ μέντοι οἱ κεραμεῖς τὰς πλίνθους ἔπλαττον πλινθεῖον καλεῖ τόπον ἐν Δράμασιν ἢ Νιόβῳ Ἀ., περὶ τοῦ Κυκλοβόρου τοῦ ποταμοῦ λέγων

Ὁ δ' ἐς τὸ πλινθεῖον γενόμενος ἐξέτρεψε.

Ante aut post γενόμενος aliquid omissum. Fortasse ex hac fabula est fragm. 539.

**276.** Pollux 10, 166. Καττὺς δερμάτιον ἐντιθέμενον τῇ σμινύῃ, ὅταν ὁ στέλεχος ἀραιὸς ᾖ, καὶ ἔστι τοὔνομα ἐν τοῖς Ἀ. Δράμασιν ἢ Νιόβῳ. Vide Hesychium s. v. Καττύν.

---

## ΔΡΑΜΑΤΑ.

**277.** Scholiasta Ranarum v. 810. Μειαγωγήσουσι τὴν τραγῳδίαν: μεῖον λέγουσι τοὺς ὑπὲρ τῶν υἱῶν εἰς τὰ Ἀπατούρια δῖς ὑπὸ τῶν πατέρων εἰσφερομένους διὰ τὸ ἐπιφωνεῖν τοὺς φράτορας ἐπὶ τοῦ σταθμοῦ τοῦ ἱερείου μεῖον μεῖον. ὅτι δὲ ἵστατο Ἀ. ἐν Δράμασι δεδήλωκε. τοῦτο δὲ κέκληται κουρεῖον ἀπὸ τῶν κούρων ὑπὲρ ὧν ἐθύετο, μεῖον δὲ διὰ τὴν προειρημένην αἰτίαν. καὶ ἐπιζήμιόν τι τοῖς ἧττον εἰσάγουσιν ἀπεδέδοτο, καθάπερ αὐτός φησιν Ἀ.

Ἀλλ' εὔχομαι 'γωγ' ἑλκύσαι σου τὸν σταθμόν,
ἵνα μή με προσπράττωσι γραῦν οἱ φράτερες.

V. 1. σου cod. Ven. et Flor. σε Ald. τὸν σταθμὸν Brunckius. Vulgo τὸν σφυγμόν. Dobraeus τὸ σφυρόν. τὸν ζυγὸν Bergkius. V. 2. προσπράττωσι] προστάττωσι cod. Ven. φράτερες scripsi pro φράτορες.

**278.** Photins p. 534, 11. Σταθμούς: Ἀ. Δράμασιν

Αὐτοῖς σταθμοῖς ἐξέβαλε τὰς σιαγόνας

οἷον τοῖς φλειοῖς (corr. ταῖς φλιαῖς). Ita enim Porsonus emendavit codicis scripturam σταθμοῖς ἐξέβαλε τὰς σιαγόνας οἷον τοῖς φλειοῖς σταθμοὺς ἀριστοφάνης δράμασιν αὐτοῖς.

**279.** Athenaeus 11. p, 496a. Πέταχνον. ποτήριον ἐκπέταλον. — μνημονεύει αὐτοῦ καὶ Ἀ. ἐν Δράμασι λέγων "Πάντες δ' ἔνδον πεταχνοῦνται." Vulgo πεταχνεῦται. Epitome πεταχνευταί. Recte Casaubonus πεταχνοῦνται. Photius p. 426, 10. Πεταχνοῦνται: ἐξυπτιοῦνται, τρυφῶσιν. Confer Hesychii glossas vol. 2. p. 897. 904.

**280.** Hesychius, Βύρσαν: πόλιν Ἀθηνῶν (sic Musurus). Ἀ. ἐν Δράμασι παίζων ἔφη. Codex $\frac{\bar{o}}{\pi}$, $\tilde{\Theta}$ (i. e. θεῶν), in quo aliud latere potest.

**281.** Antiatticista Bekkeri p. 105, 21. Κιχορία: τὸ ἄγριον λάχανον. Ἀριστοφάνης Δράμασιν. Eadem, omisso Δράμασιν, Photius p. 166, 22. ubi codex a pr. manu κιχορία, ab correctore κιχόρεια, quae vera scriptura. Vide Schneider. ad Theophrast. vol. 5. p. 414.

**282.** Scholiasta Platonis p. 331. ed. Bekker. Χαιρεφῶντα — Ἀριστοφάνης ἐν Δράμασι κλέπτην (λέγει).

# ΕΙΡΗΝΗ ΔΕΥΤΕΡΑ.

[illegible] ... qui ex Pace afferunt quae in superstite editione non leguntur. Veluti quod Eustathius p. 1291. 36. [illegible] ἔοικεν ὁ [illegible] [illegible] [illegible] Ἀριστοφάνης Εἰρήνῃ "Πόθεν [illegible]" [illegible] vereor ne Pacis versum 1154. [illegible] qui fortasse Pherecrates fuit. Nam hunc [illegible] esse ab Photio proditum est in lexico p. 630, 9. Aliud eiusdem erroris exemplum fortasse est ap. Eustath. p. [illegible] Παυσανίας ἐν τῷ κατ' αὐτὸν ῥητορικῷ λεξικῷ [illegible] αἰνεῖν imo αἰνεῖν: vid. Herodian. περὶ μον. λέξεως p. 24, 18. , ἀλλὰ διὰ μόνου τοῦ α [illegible] φησιν. ἀνεῖν ἐν ἐκτάσει ἔχει τὸ α. δηλοῖ δὲ τὸ [illegible], ὡς Ἀριστοφάνης ἐν Εἰρήνῃ δηλοῖ. Id ipsum enim Pherecratis auctoritate comprobat Herodianus l. c. Apertius etiam Eustathii peccatum est p. 1573, 30. ita [illegible] ... de Menandri [illegible] ... in scenam producuntur. Alio modo erratum est in schol. Nubium 695., excerpto ab Suida s. v. Τυ[illegible]μερος, de quo infra dicemus ad fragm. 341.

# ΗΡΩΕΣ.

283. Heroibus fabulae ab choro nomen factum ad eumque referendum videtur versus trochaici initium ab Choerobosco servatum vol. 1. p. 259, 3. Φησὶν Ἡρωδιανὸς ἐν τῇ καθόλου ἐν τῇ περὶ τῆς εὐθείας τῶν πληθυντικῶν διδασκαλίᾳ ὡς ἡ οἱ ἥρωες εὐθεῖα τῶν πληθυντικῶν εὕρηται κατὰ κρᾶσιν παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν, οἷον

Οἱ γὰρ ἥρως ἐγγύς εἰσιν,

ἀντὶ τοῦ οἱ ἥρωες. Ita in Equitibus v. 244. Demosthenes, ubi equites appropinquare videt, ἄνδρες ἐγγύς, inquit. Quod autem ex Ὄρνισιν illa afferuntur, aut memoriae lapsui debetur ex Avium versus 1477. (ubi dativus ἥρῳ legitur) recordatione orto, aut vetus est librarii error, repetitus etiam ab Lascari Gramm. 3, 2. Οἱ ἥρωες καὶ κράσει ἥρως, ὡς παρ' Ἀριστοφάνει ἐν Ὄρνισι "οἱ γὰρ ἥρως ἐγγύς εἰσιν." τῷ δὲ ἅπαξ ῥηθέντι διὰ τὸ μέτρον οὐ χρηστέον. Brevius Phrynichus p. 158. ed. Lobeck. Οἱ ἥρως οὐ λέγουσιν, ἀλλ' οἱ ἥρωες τρισυλλάβως, ἐπὶ δὲ τῆς αἰτιατικῆς δισυλλάβως τοὺς ἥρως. ἅπαξ δὲ βιασθεὶς Ἀριστοφάνης ὑπὸ τοῦ μέτρου οἱ ἥρως εἶπε. τῷ δ' ἠναγκασμένῳ οὐ χρηστέον. Quae hinc sumsit Thomas M. p. 424. 425. Accusativi ἥρων exemplum, fortasse ipsum quoque ex hac fabula, attulit scholiasta Homeri Iliad. 13, 428. ἥρων τινὲς Ἀττικῶς· "ἀλλ' εἰς ἥρων τι παρήμαρτον" Ἀριστοφάνης.

284. Stephanus Byz. s. v. Ἄργος, Λέγεται καὶ Ἀργόλας. Ἀ. Ἥρωσιν

α. Οὐκ ἠγόρευον; οὗτός ἐστ' οὐκ Ἀργόλας.
β. μὰ Δί' οὐδέ γ' Ἕλλην, ὅσον ἔμοιγε φαίνεται.

V. 1. Libri ἐστί γ' οὐκ — οὐδ' Ἕλλην. Correxit Scaliger App. ad Coniect. in Varronem p. 184.

285. Suidas, Ἀμφορεαφόρους: τοὺς μισθίους τοὺς τὰ κεράμια φέροντας. καὶ ἀμφορεαφόρος ὁ κεράμια μισθοῦ φέρων. - - Ἀ. Ἥρωσι

Τρέχ' ἐς τὸν οἶνον ἀμφορέα κενὸν λαβὼν
τῶν ἔνδοθεν καὶ βῦσμα καὶ γευστήριον,
κἄπειτα μίσθου σαυτὸν ἀμφορεαφορεῖν.

Legebatur τρέχ' εἰς — τὸν ἔνδοθεν καὶ γεῦμα. Correctum ex Polluce 10, 75. καὶ τὸ παρ' Ἀριστοφάνει

γευστήριον "τρέχ' ἐς τὸν οἶνον ἀμφορέα κοινὸν (καινὸν coniicit Hemsterhusius) λαβὼν τῶν ἔνδοθεν καὶ βύσμα καὶ γευστήριον." Idem 10, 172. Καὶ βύσμα δ' ἂν εἴη τῶν χρησίμων, τοῦ Ἀ. εἰπόντος "Βύσμα καὶ γευστήριον." et 6, 99. Καὶ γευστηρίου μὲν Ἀ. μέμνηται.

**286.** Pollux 10, 112. Καὶ παυσικάπη, ἣν καὶ καρδοπεῖον ὠνόμαζον, ὡς ἐν Ἥρωσιν Ἀριστοφάνης

Ἡ καρδοπείῳ περιπαγῇ τὸν αὐχένα.

**287.** Scholiasta Pacis v. 14. Εἰώθασι γὰρ ἅμα τῷ μάττειν ἐσθίειν, ἀφ' οὗ καὶ τὴν παυσικάπην ἐπενόησαν, τροχοειδές τι, δι' οὗ τὸν τράχηλον εἶρον πρὸς τὸ μὴ δύνασθαι τὴν χεῖρα προσάγειν. μέμνηται δὲ ἐν Ἥρωσιν Ἀριστοφάνης

Παύσειν ἔοιχ' ἡ παυσικάπη κάπτοντά σε.

παύσειν scripsi pro παίσειν.

**288.** Pollux 10, 173. Ἀ. ἐν Ἥρωσιν

Ἴθι δὴ λαβὼν τὸν ῥόμβον ἀνακωδώνισον.

ῥόμβον] ῥύμβον Meinekius Com. vol. 2. p. 452. Hesychius, Ἀνακωδώνισον: ἀνάσεισον.

**289.** Scholiasta Thesmophoriaz. v. 21. Οἷόν τέ πού 'στιν αἱ σοφαὶ ξυνουσίαι: διὰ τούτου φαίνεται ὑπονοῶν Εὐριπίδου εἶναι τὸ "Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ." ἔστι δὲ Σοφοκλέους ἐξ Αἴαντος Λοκροῦ. ἐνταῦθα μέντοι ὑπονοεῖ μόνον, ἐν δὲ τοῖς Ἥρωσιν ἄντικρυς ἀποφαίνεται. καὶ Ἀντισθένης καὶ Πλάτων (in Theage p. 125d. de republ. 8. p. 568a. ubi vid. schol. p. 417.) Εὐριπίδου αὐτὸ εἶναι ἡγοῦνται, οὐκ ἔχω εἰπεῖν ὅ τι παθόντες. ἔοικε δὲ ἤτοι πεπλανημένος συνεξαπατῆσαι τοὺς ἄλλους, ἤ, ὥσπερ ὑπονοοῦσί τινες, σύμπτωσις τῷ τε Σοφοκλεῖ καὶ τῷ Εὐριπίδῃ γενέσθαι, ὥσπερ καὶ ἐπὶ ἄλλων τινῶν. τὸ μέντοι δρᾶμα ἐν ᾧ Εὐριπίδης ταῦτα εἶπεν οὐ σώζεται. Aristides 2. p. 288, 2. Οὐδέ γε Εὐριπίδου φήσομεν οἶμαι τὸ ἰαμβεῖον εἶναι τὸ "Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ," οὐδ' εἴ τις οὕτω τῶν σοφῶν εἴρηκεν· ἔστι γὰρ ἐξ Αἴαντος Σοφοκλέους, Αἴαντος τοῦ Λοκροῦ. Themistius p. 72c. Εὐριπίδης μὲν γὰρ ἢ ὅστις δήποτέ ἐστιν ὁ ποιήσας, Σ. τ. τ. σ. σ. οὐκ ἦν οἶμαί που πυκνῆς διανοίας.

**290.** Pollux 7, 167. Καὶ τὸ ὕδωρ τοῦ λουτροῦ λούτριον, ὡς Ἀ. ἐν Ἥρωσι

Μήτε ποδάνιπτρον θύραζ' ἐκχεῖτε μήτε λούτριον.

Μήτε ποδάνιπτρον Seidlerus pro μήτ' ἀπόνιπτρον comparato Polluce 10, 78. Καλεῖται μέντοι καὶ ποδανιπτὴρ — τὸ δὲ ἀπ' αὐτοῦ ὕδωρ νίπτρον, ἢ λούτριον, ἢ ποδάνιπτρον, ὡς ἐν Ἥρωσιν Ἀ. λέγει. Elmsleius ad Acharn. v. 616. μήποτ' ἀπόνιπτρον correxerat. ἐκχεῖτε Elmsleius pro ἐκχεῖται. μήτε] Vulgo μηδέ.

**291** Diogenes Laert. 8, 34. de praeceptis Pythagoricis agens, Τὰ δὲ πεσόντα ἀπὸ τραπέζης μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν, ἢ ὅτι ἐπὶ τελευτῇ τινός. καὶ Ἀ. δὲ τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, λέγων ἐν τοῖς Ἥρωσι "Μὴ γεύεσθ' ἅττ' ἂν καταπέσῃ τῆς τραπέζης ἐντός." ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκοῦ. Suidas s. v. Πυθαγόρα τὰ σύμβολα, Τὰ πίπτοντα ἀπὸ τῆς τραπέζης μὴ ἀναιρεῖσθαι παρεκελεύετο Πυθαγόρας, ἢ διὰ τὸ μὴ ἐθίζεσθαι ἀκολάστως ἐσθίειν, ἢ ὅτι ἐπὶ τελευτῇ τινός. Ἀριστοφάνης γὰρ τῶν ἡρώων εἶναί φησι τὰ πίπτοντα, μήτε δὲ τὰ ἐντὸς τῆς τραπέζης πίπτοντα ἀναιρεῖσθαι μήτε λευκὸν ἀλεκτρυόνα ἐσθίειν. Ex his Seidlerus tetrametrum eruit

Μηδὲ γεύεσθ' ἅττ' ἂν ἐντὸς τῆς τραπέζης κατα- [πέσῃ.

Bergkio duorum tetrametrorum reliquiae esse videntur, Μὴ γεύεσθε δ' ἅττ' ἂν καταπέσῃ | τῆς τραπέζης ἐντός. Aliud praeceptum Pythagoricum ex Aristophane attulit Suidas s. v. δεξιόν, Δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδονίπτραν (recte Brunckius ποδάνιπτρον): Ἀριστοφάνης. ἐπὶ τῶν ἁρμοδίως τοῖς πράγμασι κεχρημένων. Qui tamen vereor ne grammaticum Aristophanem in mente habuerit: nam quod vocabulo ποδάνιπτρον in superiore fragm. 290. utitur, ei ego nihil tribuo. Ex Polemone affert Helladius apud Photium p. 533b, 17. ed. Bekker. ὅτι παροιμίαν εἶναί φησι τὸν δεξιὸν ὑποδεῖσθαι πόδα, τὸν δ' ἀριστερὸν νίζειν· φησὶ γὰρ ὁ Πολέμων, ὡς μαρτυρεῖ Δίδυμος, δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδάνιπτρα. Tetigit etiam Iamblichus de Pythag. Vita p. 178. ubi alia indicavit Kusterus.

**292.** Scholiasta Avium v. 799. Διιτρέφης: — ὅτι δὲ ἦν νεόπλουτος οὗτος ἐνεφαίνετο καὶ ἐν τοῖς Ἥρωσι "Κἀπὸ τῆς Διιτρέφους τραπέζης," εἰ μὴ ἐν εἰρωνείᾳ. Vulgo καὶ ἀπὸ τῆς Διιτρεφοῦς. Vide Elmsleium ad Medeam p. 139. Antiqua nominis scriptura Διειτρέφους est.

**293.** Pollux 7, 133. Ἀ. δ' ἐν τοῖς Ἥρωσι δοκεῖ τὸ κόμιστρον κατὰ τὸ νῦν ἔθος εἰρηκέναι φοράν, ὅταν εἴπῃ

Ὀβολῶν δεουσῶν τεττάρων καὶ τῆς φορᾶς.

δεουσῶν refertur ad δραχμῶν, quod praecesserat. Monuit Meinekius Com. vol. 2. p. 534.

**294.** Draco Straton. p. 73, 14. et Etymol. M. p. 673, 1. Τὸ δὲ πίω ἐκτείνει — Ἀ. ἐν Ἥρωσι "πῶς πίομαι;"

**295.** Pollux 7, 15. Ἐμπόλω Διοσκόρω ἐν Ἥρωσιν Ἀ.

Pollux 7, 16. Ἀνδραποδώνης δ' εἴρηται ἐν τοῖς Ἥρωσι τοῖς Ἀ.

Pollux 7, 21. Ἐν δ' Ἀ. Ἥρωσιν ἀρτοποιία.

**296.** Pollux 10, 61. Τὸν γὰρ ἧλον καὶ ἡλίσκον ἐν Ἥρωσιν Ἀ. κέκληκε. Photius p. 67, 4. Ἡλίσκον: τὸν μικρὸν ἧλον. Ἀ. Pollux 10, 188. ἡλίσκους οἱ κωμῳδοὶ λέγουσιν.

**297.** Harpocratio, Πυελίδα: τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον. Λυσίας ἐν τῷ κατ' Εὐφήμου καὶ Ἀ. Ἥρωσιν. Eadem Photius p. 472, 18. qui simpliciter Λυσίας καὶ Ἀ.

**298.** Athenaeus 9. p. 409c. Ἀ. δ' ἐν Ἥρωσι χερνίβιον εἴρηκεν. Χερνιβεῖον correxi in Thesauro vol. 8. p. 1451.

**299.** Scholiasta Sophoclis Oedip. Col. v. 793. Δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμούς, ὡς — καὶ Ἀ. Ἥρωσιν.

## ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ ΔΕΥΤΕΡΑΙ.

Θεσμοφοριαζούσας δευτέρας ab priore quae superest fabulae editione prorsus diversam fuisse quum ex fragmentis satis tuto colligere liceat, tum magis etiam intelligitur ex opinione doctissimi grammatici cuius notitiam Athenaeo debemus 1. p. 29a. ὅτι Ἀριστοφάνους τὰς δευτέρας Θεσμοφοριαζούσας Δημήτριος ὁ Τροιζήνιος Θεσμοφοριασάσας ἐπιγράφει. Nunquam enim de inscriptione fabulae hunc in modum mutanda cogitare potuisset Demetrius, nisi Thesmophoriazusas editione altera non tam repetitam quam continuatam esse vidisset.

**300a.** Scholiasta Thesmoph. v. 299. Καλλιγε-

νείᾳ: δαίμων περὶ τὴν Δήμητρα, ἣν προλογίζουσαν ἐν ταῖς ἑτέραις Θεσμοφοριαζούσαις ἐποίησεν. Photius p. 127, 9. Καλλιγένειαν: Ἀπολλόδωρος μὲν τὴν γῆν, οἱ δὲ Διὸς καὶ Δήμητρος θυγατέρα· Ἀ. δὲ ὁ κωμικὸς τροφόν. Compara Hesychium vol. 2. p. 124.

**300 b.** Bekkeri Aneed. p. 410, 14. Ἀντίθετον: τὸ σχῆμα τῆς φράσεως, ὡς ἡμεῖς, Ἀριστοφάνης Θεσμοφοριαζούσαις

Καὶ κατ' Ἀγάθων' ἀντίθετον ἐξευρημένον.

Conf. fr. 494. et de ἀντιθέτοις Agathonis Athen. 5. p. 187c. Aelian. V. H. 14, 13. ἐξευρημένον recte in ἐξυρημένον (quae etiam in Acharn. 119. permutata sunt) mutare videtur O. Iahnius in Ritschelii Mus. Rhen. vol. 4. (a. 1846.) p. 638. collato Persio sat. 1, 85. "*Pedius quid? crimina rasis librat in antithetis.*"

**301.** Athenaei epitome 1. p. 29a. Ὅτι Ἀριστοφάνους τὰς δευτέρας Θεσμοφοριαζούσας Δημήτριος ὁ Τροιζήνιος Θεσμοφοριασάσας ἐπιγράφει. ἐν ταύτῃ ὁ κωμικὸς μέμνηται Πεπαρηθίου οἴνου

Οἶνον δὲ πίνειν οὐκ ἐάσω Πράμνιον,
οὐ Χῖον, οὐχὶ Θάσιον, οὐ Πεπαρήθιον,
οὐδ' ἄλλον ὅστις ἐπεγερεῖ τὸν ἔμβολον.

V. 2. οὐχὶ scripsi pro οὐ. V. 3. ἐπεγερεῖ Brunckius pro ἐπεγείρει. ἔμβολον] Hesychius, Ἔμβολον: Ἀ. ἐν Θεσμοφοριαζούσαις τὸ αἰδοῖον. Etiam ἀνθοσμίου mentio facta fuit in hac fabula. Erotianus p. 284. ed. Franz. (p. 104. ed. Klein.) Οἶνος ἀνθοσμίας: ὁ εὐώδης καὶ ἡδύς· ὡς Ἀριστοφάνης ἐν Βατράχοις (v. 1161.) καὶ ἐν Θεσμοφοριαζούσαις.

**302.** Athenaeus 3. p. 104e. Περισπούδαστος δὲ ἦν πολλοῖς ἡ τοῦ καράβου βρῶσις, ὡς ἔστι δεῖξαι διὰ πολλῶν τῆς κωμῳδίας μερῶν. ἀρκέσει δὲ τὰ νῦν Ἀ. ἐν ταῖς Θεσμοφοριαζούσαις οὕτως λέγων

α. Ἰχθὺς ἐώνηταί τις ἢ σηπίδιον
ἢ τῶν πλατειῶν καρίδων ἢ πουλύπους,
ἢ νῆστις ὀπτᾶτ', ἢ γαλεός, ἢ τευθίδες;
β. μὰ τὸν Δί' οὐ δῆτ'. α. οὐδὲ βατίς; β. οὔ φημ' ἐγώ.
α. οὐ χόριον οὐδὲ πυός, οὐδ' ἧπαρ κάπρου,
οὐδὲ σχαδόνες, οὐδ' ἠτριαῖον δέλφακος,
οὐδ' ἐγχέλειον, οὐδὲ κάραβον μέγαν
γυναιξὶ κοπιώσαισιν ἐπεκουρήσατε;

V. 1. iterum affertur 7. p. 324b. V. 4. βατίς] Vide 7. p. 286b. οὔ φημ' ἐγώ. οὐ χόριον Porsonus pro οὐδὲ φήμ' ἐγώ. οὐδὲ χόριον. V. 5. πυός Casaubonus. πύος codex. V. 6. οὐδὲ σχαδόνες Brunckius. οὐδησχαδόνες codex. ἠτριαῖον] Etymol. M. p. 439, 42, Ἀ. ἠτριαῖον λέγει ἐν Θεσμοφοριαζούσαις. ἠτριαῖον δέλφακος haud dubie ex hoc loco Pollux 6, 52. V. 8. Codex κοπιώσαις.

**303.** Athenaeus 15. p. 690d. Παρὰ πολλοῖς τῶν κωμῳδιοποιῶν ὀνομάζεταί τι μύρον βάκκαρις. — Ἀ. ἐν Θεσμοφοριαζούσαις

Ὦ Ζεῦ πολυτίμηθ', οἷον ἔπνευσεν ὁ μιαρὸς
φάσκωλος εὐθὺς λυόμενός μοι τοῦ μύρου
καὶ βακκάριδος.

V. 1. ἔπνευσεν Brunckius pro ἔπνευσ'. ἐνέπνευσ' Dobraeus in Addendis ad Aristophan. p. (105).
V. 2. φάσκωλος] Pollux 10, 137. Ἵνα δὲ ἀποτίθενται αἱ ἐσθῆτες — καὶ φάσκωλοι, ὡς ἐν Θεσμοφοριαζούσαις. Harpocratio (exscriptus ab Photio et Suida), Φάσκωλον: πήρα τις οὕτως ἐκαλεῖτο παρ' αὐτοῖς. — Ἀ. Θεσμοφοριαζούσαις. V. 3. βακκάριδος] Erotianus p. 106. (p. 59. ed. Klein.) Βάκκαρις: εἶδος βοτάνης καὶ μύρου, οὗ καὶ Ἀ. μέμνηται.

**304.** Pollux 9, 36. Ἄμφοδα ἔστιν εὑρεῖν κεκλημένα παρ' Ἀριστοφάνει ἐν Θεσμοφοριαζούσαις

Ἄμφοδον ἐχρῆν αὐτῷ τεθεῖσθαι τοὔνομα.

Etymolog. M. p. 92, 27. Λέγει δὲ Εὐριπίδης ὁ τραγικὸς ἐτυμολογῶν τὸ Ἀμφίων ὅτι Ἀμφίων ἐκλήθη παρὰ τὸ ἀμφὶ τὴν ὁδόν, ἤγουν παρὰ τὴν ὁδόν, γεννηθῆναι. ὁ δὲ Ἀ. κωμικευόμενος λέγει ὅτι οὐκοῦν Ἄμφοδος ὤφειλε κληθῆναι. τεθεῖσθαι] τίθεσθαι Cobetus.

**305.** Pollux 10, 152. — καὶ σακίον, ὅταν φῇ ἐν Θεσμοφοριαζούσαις

Σακίον, ἐν οἷσπερ τἀργύριον ταμιεύεται.

De constructione verborum σακίον, ἐν οἷσπερ dixit Porsonus ad Eurip. Orest. v. 910.

**306.** Scholiasta Nubium v. 623. Ἱερομνήμονας ἔπεμπον εἰς Πυλαίαν καὶ Πυλαγόρας. Ἀ. Θ.

Ἀγαθὰ μεγάλα τῇ πόλει
ἥκειν φέροντάς φασι τοὺς Πυλαγόρας
καὶ τὸν ἱερομνήμονα.

Harpocratio s. v. Πύλαι, — Πυλαγόραι. μνημονεύουσι δὲ καὶ τούτων πολλοί, ὥσπερ καὶ — Ἀριστοφάνης ἐν δευτέραις Θεσμοφοριαζούσαις.

**307.** Scholiasta Ranarum v. 3. Νὴ τὸν Δί' ὅ τι βούλει γε πλὴν πιέζομαι: ἴδιον αὐτοῦ τὸ εἰς ταὐτὰ ὀλισθαίνειν, ὡς καὶ ἐν δευτέραις Θεσμοφοριαζούσαις ὁ θεράπων φησίν (ubi οὐ διά Rav.)

Ὡς διά γε τοῦτο τοὔπος οὐ δύναμαι φέρειν
σκεύη τοσαῦτα καὶ τὸν ὦμον θλίβομαι.

**308.** Suidas et Bekkeri Anecd. p. 382, 8. Ἀλφάνει: εὑρίσκει. Ἀ. Θεσμοφοριαζούσαις

Οἴμοι κακοδαίμων τῆς τόθ' ἡμέρας, ὅτε
εἶπέν μ' ὁ κῆρυξ, οὗτος ἀλφάνει.

οὗτος ὠνὴν ἀλφάνει Meinekius Com. vol. 2. p. 531.

**309.** Pollux 7, 95. Ἴσως δ' οὐκ ἂν φαῦλον εἴη τούτοις ὑποθεῖναι λέξιν ἐκ Θεσμοφοριαζουσῶν Ἀριστοφάνους, ἐπεὶ πολλὰ εἴδη ἐν αὐτῇ περιέχει γυναικείων φορημάτων, ἃ καὶ τοῖς περὶ κόσμων ἴσως ἂν ἐνήρμοσεν.

α. Ξυρόν, κάτοπτρον, ψαλίδα, κηρωτήν, λίτρον,
προκόμιον, ὀχθοίβους, μίτρας, ἀναδήματα,
ἔγχουσαν, ὄλεθρον τὸν βαθύν, ψιμύθιον,
μύρον, κίσηριν, στρόφον, ὀπισθοσφενδόνην,
κάλυμμα, φῦκος, περιδέραι', ὑπογράμματα,
τρυφοκαλάσιριν, ἐλλέβορον, κεκρύφαλον,
ζῶμ', ἀμπέχονον, τρύφημα παρυφές, ξυστίδα,
χιτῶνα, βάραθρον, ἔγκυκλον, κομμώτριον·
τὰ μέγιστα δ' οὐκ εἴρηκα τούτων. β. εἶτα τί;
α. διόπας, διάλιθον, πλάστρα, μαλάχιον, βότρυς,
χλίδωνα, περόνας, ἀμφιδέας, ὅρμους, πέδας,
σφραγῖδας, ἁλύσεις, δακτυλίους, καταπλάσματα,
πομφόλυγας, ἀποδέσμους, ὀλίσβους, σάρδια,
ὑποδερίδας, ἑλικτῆρας.

Attulit hunc locum etiam Clemens Alexandr. Paedag. p. 245. ed. Potter. Πάνυ γοῦν ἐπιψόγως πάντα τὸν γυναικεῖον καταλεγόμενος κόσμον Ἀ. ἐν Θεσμοφοριαζούσαις ὑποδείκνυσι. παραθήσομαι δὲ αὐτὰς τοῦ κωμικοῦ τὰς λέξεις, διελεγχούσας ἀκριβῶς τὸ φορτικὸν ὑμῶν τῆς ἀπειραγαθίας, Μίτρας, ἀναδήματα, νίτρον καὶ σιδήριον, κίσηριν — ὑποδερίδας ἑλικτῆρας. et respicit Aelianus V. H. 1, 18. τῶν δὲ Ἀττικῶν γυναικῶν τὴν τρυφὴν Ἀ. λέγει. V. 1. Photius p. 227, 23. Λίτρον: οὐ νίτρον Ἀττικοί. οὕτως Ἀ. V. 2. Pollux 5, 101. Καὶ ἄλλους δέ τινας κόσμους ὀνομάζουσιν οἱ κωμῳδοδικάσκαλοι, λῆρον, ὀχθοίβους, ὄλεθρον, ἐλλέβορον, πομφόλυγας, βάραθρον. περιστέρια, σαμάκια, σισύμβριον, σισάριον, ὧν οὐ ῥᾴδιον τὰς ἰδέας συννοῆσαι διὰ τὸ μηδὲ πρόχειρον εἶναί τινα κατιδεῖν εἴτε σπουδάζοντες εἴτε παίζοντες χρῶνται τοῖς ὀνόμασιν. ἴσως δ' ἂν τοῖς κόσμοις προσήκοι καὶ τὸ ἔντριμμα,

ψιμύθιον, ἄγχουσα, φῦκος, καὶ τὰ ὑπογράμματα —. V. 3. ἔγχουσαν] Vulgo ἄγχουσα. Brunckius ἄγχουσαν.

ὄλεθρον] Hesychius, Ὄλεθρος βαθύς: ἔνιοι ἐπὶ κόσμου γυναικείου. ἀπώλεια. V. 4. στρόφον ex Pollucis codicibus nonnullis correxi. In cod. Paris, στροφίον. Vulgo στρόφιον et hic et apud Clementem. Pollux 5, 96. καὶ στρόφιον καὶ ὀπισθοσφενδόνην παρ' Ἀριστοφάνει. Hic quoque στρόφον corrigendum. ὀπισθοσφενδόνην] De hoc vestium genere dixit Reisk. ad Constant. Porphyr. vol. 2. p. 511. V. 6. Hesychius, Τρυφοκαλάσιρις: ἔνδυμα γυναικεῖον. Idem, Καλάσιρις: χιτὼν πλατύσημος ἢ ἡνιοχικὸς καὶ ἱππικὸς χιτών. ἔνιοι δὲ λινοῦν καὶ ποδήρη χιτῶνα ἰσχνόν. Ἀ. Θεσμοφοριαζούσαις. V. 7. ζῶμα ex Clemente. Apud Pollucem ζῶσμα. ἀμπέχονον] Apud Clementem ἀμπεχόνιον, ut paullo ante στρόφιον pro στρόφον scriptum erat. Pollucis codices ἀμπεχόνην vel ἀμπεχόνη vel ἀμπέχονον. τρύφημα] πόρπημα Salmasius Exerc. Plin. p. 808. V. 8. χιτῶνα] κιθῶνα Clemens. κομμώτριον] Apud Clementem χιτώνιον. Post κομμώτριον apud Pollucem haec leguntur ἕτερά τε ὅσα οὐδεὶς ἂν (ἂν om. cod. Paris.) μνημονεύσειέ ποτε λέγων. V. 9. τὰ — τί] τὰ μέγιστα δ' οὐ λέγεις αὐτῶν ταυτά Pollucis cod. Paris.

V. 10. μαλάχιον] μολόχιον Clemens. μαλάκιον (μαλάκια cod. Paris.) Pollux. Restitui μαλάχιον. Photius p. 244. Μαλάχιον: κόσμος χρυσοῦς γυναικεῖος. οὕτως Ἀριστοφάνης. Hesychius, Μαλάκιον: γυναικεῖον κοσμάριον. βότρυς] Hesychius, Βοτρύδια: ἐνωταρίων εἶδος. οἱ δὲ βότρυς. Ἀ. Θεσμοφοριαζούσαις. V. 11. χλίδωνα] Scribebatur χλιδῶνα, frequenti accentus vitio, de quo dixi in Thesauro.

ἀμφιδέας] Harpocratio, Ἀμφιδέαι: εἰσὶ περισκελίδες τινές. Ἀ. Θεσμοφοριαζούσαις. V. 12. Pollux 10, 167. Ἡ δὲ ἄλυσις οὐ μόνον ἐπὶ τοῦ δεσμοῦ, ἀλλὰ καὶ ἐπὶ τοῦ γυναικείου κοσμου ὠνόμασται παρὰ Ἀριστοφάνει "Σφραγῖδας, ἁλύσεις." καταπλάσματα] καταπετάσματα Pollux. V. 13. Moeris p. 301. Πομφόλυγας: τὰ δερμάτια ἃ ἐπὶ τῶν κεφαλῶν αἱ γυναῖκες ἔχουσιν. Ἀ. Θεσμοφοριαζούσαις. V. 14. ὑποδερίδας] ὑποδέρεις Pollux: sed Bekkerus tacite ὑποδερίδας, fortasse ex cod. Par. Post ἑλικτῆρας apud Pollucem vulgo adduntur ἄλλ' ἀφ' ὧν οὐδ' ἂν λέγων λέξαις, quae ab codicibus Kuhnii et Iungermanni absunt nec apud Clementem leguntur. Eubuli verba κοὐδ' ἂν λέγων λέξαιμι ap. Athen. 4. p. 169f. comparavit Dobraeus.

**310.** Scholiasta Pluti v. 159. Περιπέττουσι: διὰ τὸ τῷ προσθέτῳ κοσμεῖσθαι κόσμῳ. ὁ αὐτὸς Θεσμοφόροις

Ὅσ' ἦν περίεργ' αὐταῖσι τῶν φορημάτων
ὅσαις τε περιπέττουσιν αὐτὰς προσθέτοις.

V. 1. Ὅσ' ἦν περίεργ' Hemsterhusius pro ὅς ἦν περίεργος. V. 2. ὅσαις (ὅσοις Bergkius) τε Porsonus pro ὅσαι ἔτι. Toupius κόμαισι. αὐτὰς Toupius pro ἑαυτάς.

**311.** Aspasius ad Aristotelis Ethic. p. 58a. ed. Aldin. — βαυκίδων, ὅ ἐστιν εἶδος ὑποδημάτων Ἰωνικῶν, οἷς αἱ Ἰάδες χρῶνται, οὗ καὶ Ἀ. ἐν Θεσμοφοριαζούσαις μέμνηται.

**312.** Pollux 7, 66. Ἄντικρυς δὲ τὸ νῦν καλούμενον ὑπὸ τῶν γυναικῶν στηθόδεσμον ἐκάλουν. εὕροις δ' ἂν ὀνομαζόμενον ἀπόδεσμον ἐν Θεσμοφοριαζούσαις Ἀριστοφάνους

Τὴν πτέρυγα παραλύσασα τοῦ χιτωνίου
καὶ τῶν ἀποδέσμων, οἷς ἐνῆν τιτθίδια.

V. Reiskius ad Constant. Porphyr. vol. 2. p. 540. τῶν ἀποδέσμων] τὸν ἀπόδεσμον Bergkius. τιτθίδια] τὰ τιτθία Brunckius.

**313.** Athenaeus 3. p. 117c. Παρέλιπεν ὁ τένθης Ἀρχέστρατος συγκαταλέξαι ἡμῖν καὶ τὸ παρὰ Κράτητι τῷ κωμῳδιοποιῷ ἐν Σαμίοις λεγόμενον ἐλεφάντινον τάριχος —. ὅτι δὲ διαβόητον ἦν τὸ τοῦ Κράτητος ἐλεφάντινον τάριχος μαρτυρεῖ Ἀ. ἐν Θεσμοφοριαζούσαις διὰ τούτων

Ἦ μέγα τι βρῶμ' ἐστὶν ἡ τρυγῳδοποιομουσική,
ἡνίκα Κράτητί τε τάριχος ἐλεφάντινον
λαμπρὸν ἐκόμιζεν ἀπόνως παραβεβλημένον,
ἄλλα τε τοιαῦθ' ἕτερα μυρί' ἐκιχλίζετο.

Versum primum paeonicum fecerunt Elmsleius ad Acharn. 499. et Porsonus in Miscellaneis p. 236. ille ἦν μέγα τι χρῆμ' ἔτι τρυγῳδοποιομουσική, hic ἦ μέγα τι βρῶμ' ἔνι τρυγῳδοποιομουσικῇ corrigens. V. 2. ἡνίκα Porsonus et Elmsleius. ἡνὶ codex. V. 3. ἐκόμιζεν Casaubonus pro ἐνόμιζεν.

**314.** Hephaestio cap. 13. de metro paeonico p. 79. Gaisf. — ἐν δὲ ταῖς δευτέραις (libri προτέραις) Θεσμοφοριαζούσαις καὶ κρητικοὺς πολλάκις ἐν μέσοις τετραμέτροις παρέλαβε

Μήτε Μούσας ἀνακαλεῖν ἑλικοβοστρύχους
μήτε Χάριτας βοᾶν ἐς χορὸν Ὀλυμπίας·
ἐνθάδε γάρ εἰσιν, ὥς φησιν ὁ διδάσκαλος.

Duo eiusdem metri versus vide fragm. 561.

**315.** Scholiasta Vesparum v. 1033. Ἠπίαλος τὸ πρὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφάνης Νεφέλαις (non legitur in Nubibus. Est error scholiastae, ut videtur, qui male intellexerat quod in alio scholio p. 509, 1. ed. Oxon. annotatum est, ἠπιάλοις, quod in versu Vesparum legitur, ad Socraticos spectare, quos in Nubibus in scenam produxerat Aristophanes.) καὶ Θεσμοφοριαζούσαις

Ἅμα δ' ἠπίαλος πυρετοῦ πρόδρομος.

**316.** Pollux 9, 69. Ἐγὼ δὲ ἐν ταῖς Θεσμοφοριαζούσαις Ἀριστοφάνους εἰρημένον "Τὸ χαλκίον θερμαίνεται" οὕτω πως ἤκουον, ὡς εἰς πότον εὐτρεπιζομένων τῶν γυναικῶν. ταυτὸν δὲ τοῦτο καὶ ἐν τοῖς Εὐπόλιδος Δήμοις (apud Athen. 3. p. 123a. τὸ χαλκίον θέρμαινέ θ' ἡμῖν) ἐστὶν εἰρημένον. Antiatt. p. 99, 21. Θερμαίνεσθαι: οὐ μόνον τὸ ὕδωρ, ἀλλὰ καὶ τὸ λεβήτιον ἢ χαλκίον.

**317.** Etymol. in Crameri Anecd. Paris. vol. 4. p. 113, 17. Ἀναβὰς ἐπὶ τὴν ἵππον οὐ πάνυ δόκιμον. Ἀ. Θεσμοφοριαζούσαις "Ἀναβῆναι τὴν γυναῖκα βούλομαι." Eadem fere apud Zonaram vol. 1. p. 196. Moeris p. 3. Ἀναβῆναι τὴν γυναῖκα βούλομαι, Ἀττικοί: ἀναβῆναι ἐπὶ τὴν γυναῖκα βούλομαι, Ἕλληνες.

**318.** Scholiasta Platonis p. 370. ed. Bekker. Ἀγὼν πρόφασιν οὐ δέχεται, ἐπὶ τῶν φύσει ῥᾳθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. μέμνηται δὲ αὐτῆς — καὶ Ἀ. Θεσμοφοριαζούσαις β'. ubi β' omittit codex Clarkianus.

**319.** Photius p. 235, 6. et Suidas, Λύκος ἔχανεν: παροιμία. λέγουσι δὲ τὸν λύκον, ἐπειδὰν ἁρπάσαι τι βούληται, κεχηνότα παραγίνεσθαι ἐπ' αὐτό. ὅταν οὖν μὴ λάβῃ ὃ προαιρεῖται, κατὰ κενοῦ αὐτὸν χανεῖν φασιν. ἐπὶ (οὖν addit Suidas) τῶν συνελπιζόντων χρηματιεῖσθαι, διαμαρτανόντων δὲ λέγουσιν. Ἀ. Θεσμοφοριαζούσαις β'.

**320.** Hesychius, Βαρβός: μύστρον. ἐν Θεσμοφοριαζούσαις. Vocabulum suspectum. Verba ἐν Θεσμοφοριαζούσαις ad glossam praecedentem Βάρβιτος (Thesmoph. v. 137.) refert Pearsonus.

**321.** Antiatticista Bekkeri 78, 24. Ἀμεινόνως:

'Α. Θεσμοφοριαζούσαις. p. 88, 28. Διαλέξασθαι: 'Α. Θεσμοφοριαζούσαις. Pollux 2, 125. Ὑπερίδης διειλεγμένος ἐπὶ ἀφροδισίων, 'Αριστοφάνης δὲ διαλέξασθαι ἔφη. et Phrynichus in Bekk. Anecd. p. 37, 4. Διαλέξασθαι, οὐ μόνον διαλεχθῆναι. Porro Antiatt. p, 96, 25. Ἐπανορθώσασθαι: 'Αριστοφάνης Θεσμοφοριαζούσαις: quod ex Lysistratae v. 528. sumtum esse videtur. Alio modo erratum est ab Polluce 4, 100. qui saltationum genera enumerans ita scribit, Καὶ κνισμὸς καὶ ὄκλασμα. οὕτω γὰρ ἐν Θεσμοφοριαζούσαις ὀνομάζεται τὸ ὄρχημα τὸ Περσικὸν καὶ σύντονον. Recte Meursius in orchestra (apud Gronovium vol. 8. p. 1275.) animadvertit contrarium dixisse Pollucem eius quod debuit. Neque enim ὄκλασμα in Thesmophoriazusis dixit poeta, sed Περσικόν, versu 1175. σὺ δ', ὦ Τερηδών, ἐπαναφύσα Περσικόν. ubi vide schol.

**322.** Photius p. 204, 10. et Suidas, Λακωνίζειν: παιδικοῖς χρῆσθαι. 'Α. Θεσμοφοριαζούσαις β'. Porro Photius p. 192, 14. Κυσολάκων ὁ Κλεινίου· ὁ τῷ κυσῷ λακωνίζων· τὸ δὲ τοῖς παιδικοῖς χρῆσθαι λακωνίζειν ἔλεγον· Μελαίνῃ γὰρ Θησεὺς οὕτως ἐχρήσατο, ὡς 'Αριστοτέλης, ubi 'Αριστοφάνης corrigit Meinekius Com. vol. 2. p. 200.

**323.** Athenaeus 14. p. 619 a. Καὶ τῶν πτισσουσῶν ἄλλη τις (ᾠδή), ὡς 'Α. ἐν Θεσμοφοριαζούσαις καὶ Νικοχάρης ἐν Ἡρακλεῖ χορηγῷ.

# ΛΗΜΝΙΑΙ.

Λήμνιαι haec fabula ab Aristophane inscripta est quia chorus ex mulieribus Lemniis compositus fuit, qualem Sophocles in Λημνίαις et Aeschylus atque Euripides in Hypsipyle introduxerunt. Et Sophoclis quidem Aeschylique tragoediis illis Argonautarum in Lemno insula adventus, Euripidi Archemori ab Hypsipyle deserti mors argumentum praebuit, praecipuae vero in tribus his tragoediis Hypsipylae partes fuerunt. Comoediae Aristophaneae quod fuerit argumentum etsi nescimus, nisi quod de Bendidis, i. e. Dianae, deae Thraciae, cultu in ea sermonem fuisse ex fragmente 332. intelligitur, hoc tamen certissimum haberi potest, Aristophanem, qui Aeschylum et Sophoclem venerabatur, Euripidem vero saepissime derisit, huius potissimum poetae ex Hypsipyle tragoedia versus et locutiones traduxisse, quemadmodum in Phoenissis comoedia Euripidis Phoenissas tragoediam traduxit, ut ex duobus quae supersunt fragmentis (470. 471.) colligi potest.

**324.** Ammonius p. 138. Valcken. Τύραννον οἱ ἀρχαῖοι ἐπὶ βασιλέως ἔτασσον. — 'Α. ἐν Λημνίαις

Ἐνταῦθα δ' ἐτυράννευεν Ὑψιπύλης πατὴρ
Θόας, βράδιστος τῶν ἐν ἀνθρώποις δραμεῖν.

V. 1. Ἐνταῦθα δ' Bergkius pro ἐνταῦθ', probabilius quam Brunckius, qui ἐνταῦθ' ἐτυράννευέν ποθ' Ὑψιπύλης scribi volebat: nam videtur poeta hos versus ad tragicorum trimetrorum leges composuisse, in quibus anapaestus in primo tantum pede et in nominibus propriis locum habet. V. 2. βράδιστος Brunckius pro βραδύτερος. Euripidis versus Iphig. Taur. 31. comparavit Boissonadius "Οὗ γῆς ἀνάσσει βαρβάροισι βάρβαρος | Θόας, ὃς ὠκὺν πόδα τιθεὶς ἴσον πτεροῖς | ἐς τοὔνομ' ἦλθε τῆς ποδωκείας χάριν."

**325.** Athenaeus 9. p. 366 c. Πρὸς ταῦτα ἀπαντήσας ὁ Ζωίλος ἔφη, 'Α., ὦ οὗτος, ἐν Λημνίαις τὸ τακερὸν ἔταξεν ἐπὶ τοῦ τρυφεροῦ λέγων οὕτως

Λῆμνος κυάμους τρέφουσα τακεροὺς καὶ καλούς.

τρέφουσα] Forf. φέρουσα.

**326.** Pollux 7, 166. Εἰκότως δ' ἂν βαλανείῳ προσάγοιτο καὶ τὸ ἐν ταῖς Λημνίαις ὑπ' αὐτοῦ εἰρημένον

'Αλλ' ἀρτίως κατέλιπον αὐτὴν σμωμένην
ἐν τῇ πυέλῳ.

Servi de Hypsipyle verba esse coniecit Bergkius.

**327.** Scholiasta Aristophanis Acharn. v. 3. et Suidas s. v. ψαμμοκοσιογάργαρα, Καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθους ἐτίθετο, ὡς ἐν Λημνίαις

'Ανδρῶν ἐπακτῶν πᾶσ' ἐγάργαιρ' ἑστία.

Λημνίαις Kusterus. Λίμναις scholiasta, et sic vel Λήμναις Suidae codices. πᾶσ' ἐγάργαιρ' Toupius Emend. vol. 3. p. 200. Vulgo πᾶσα γάργαιρ'. Hesychius, Ἐκάρκαιρεν: ἐπλήθυεν.

**328.** Suidas et Bekkeri Anecd. p. 423, 32. 'Απεχρήσαντο: διεχρήσαντο, ἀπέκτειναν. Λημνίαις 'Α.

Τοὺς ἄνδρας ἀπεχρήσαντο τοὺς παιδοσπόρους.

Omisso nomine fabulae versum attulit Etymolog. M. p. 124, 27. et verba τοὺς ἄνδρας ἀπεχρήσαντο Pollux 9, 153.

**329.** Suidas s. v. χρή, Λέγουσι δέ ποτε καὶ χρῆσθαι ἀντὶ τοῦ δεῖ. Φερεκράτης Λήροις

Τὸ δ' ὄνομά μοι κάτειπε τί σε χρῆσθαι καλεῖν.

'Αριστοφάνης Λημνίαις

Ἦ καρδιώττεις; ἀλλὰ πῶς χρῆσθαι ποιεῖν;

Apud Sophoclem Oedip. Col. v. 504. τὸν τόπον δ' ἵνα | χρῆσταί μ' ἐφευρεῖν, τοῦτο βούλομαι μαθεῖν. ubi scholiasta, χρῆσταί μ' ἐφευρεῖν: χρεία ἔσται, κατὰ συναλιφήν, χρῆσται, ἀντὶ τοῦ χρεία ἔσται. δηλοῦται δὲ ταυτὸν τῷ δεήσει. καὶ ἐν Τριπτολέμῳ

Χρῆσται δέ σ' ἐνθένδ' αὖτις —.

Unde χρῆσται Pherecrati restituendum est et Aristophani, de quo dixi in annotatione ad Sophoclis versum et in verbis prioribus cum Dobraeo scripsi ἦ καρδιώττεις; pro ἡ καρδία τε τίς;

**330.** Photius p. 290, 16. Νεαλής: ἐκτείνεται τὸ α. 'Α. Λημνίαις

Ἕως νεαλής ἐστιν αὐτὴν τὴν ἀκμήν.

Μένανδρος. unde suppleri potest Phrynichus Bekkeri p. 52, 19. Νεαλές: παρὰ τὸ ἁλές, ὃ σημαίνει τὸ ἀθρόον, τὸ νεωστὶ γεγενημένον καὶ συνενηνεγμένον. τὸ γὰρ συνελθεῖν καὶ συναλισθῆναι ταυτόν. 'Αριστοφάνης τὸ νεαλὲς * * . Conf. Lobeck. ad Phrynich. p. 375. De adiectivo νεαλής dixi ad Soph. Oed. Col. 475. in ed. Oxon. tertia.

**331.** Pollux 10, 25. 'Απὸ τῶν μοχλῶν τὸ "Μόχλωσον τὴν θύραν" ἐν Λημνίαις 'Αριστοφάνους.

**332.** Suidas, Ὦ (ᾧ Iunius Adag. 4, 13.) νῦν θερμοὶ βωμοί: ἐπὶ τῶν διὰ χρόνου σπουδῆς τυγχανόντων. 'Α. δὲ ἐν Λημνίαις

Τὴν κρατίστην δαίμον', ἧς νῦν θερμός ἐσθ' ὁ βωμός.

δηλοῖ δὲ ὅτι ἀεί τινες παρὰ τοῖς 'Αθηναίοις ξένοι θεοὶ ἐτιμῶντο. Phrynichus Bekkeri p. 29, 33. Βωμὸς θερμός: λέγεται μὲν ἐπὶ τῶν θερμῶς εὐδοκιμούντων ἔν τινι, μετείληπται δὲ ἀπὸ τῶν ἱερῶν, ὧν διὰ τὸ θρησκεύεσθαι περιττῶς θερμοί εἰσιν οἱ βωμοί. Eunapium p. 6. τούτου Πλωτίνου θερμοὶ βωμοὶ νῦν comparavit Boissonadius. In initio versus καὶ probabiliter supplet Porsonus. Δαίμονα autem dicit Bendin, hoc est Dianam. Photius p. 251, 7. Μεγάλην θεόν: 'Αριστοφάνης ἐν Λημνίαις. ἴσως τελβαιναιν· Θρᾴκιος

γάρ. quae emendate scripta praebet Hesychius, Μεγάλη θεός: Ἀριστοφάνης ἔφη τὴν Βενδῖν· Θρᾳκία γὰρ ἡ θεός. Quibus Lobeckius in dissertatione de morte Bacchi 2. p. 10. (conf. Aglaoph. p. 628. 1214.) Stephani Byz. locum adiungit, Λῆμνος: νῆσος πρὸς τῇ Θρᾴκῃ — ἀπὸ τῆς μεγάλης λεγομένης θεοῦ, ἣν Λῆμνόν φασι. Bendidia autem quum a Platone in initio Reipublicae in colloquio quod non post olymp. 92, 2—4. habitum esse posse Boeckhius docuit in Prooemio Lection. Berolin. a. 1839. tum primum celebrata esse dicat, Aristophanis fabulam circa idem illud tempus scriptam esse sequitur.

**333.** Athenaeus 7 p. 311 d. Καὶ Ἀ. δ' ἐν Ἱππεῦσι (v. 360.) μνημονεύει ὡς διαφόρων γινομένων τῶν περὶ τὴν Μίλητον λαβράκων — ἐν δὲ Λημνίαις

Οὐ κρανίον λάβρακος, οὐχὶ κάραβον πρίασθαι·

ὡς διαφόρου ὄντος τοῦ τῶν λαβράκων ἐγκεφάλου, καθάπερ καὶ τοῦ τῶν γλαύκων.

**334.** Athenaeus 7. p. 302 d. Ἐπαινεῖται δὲ τοῦ θύννου τὰ ὑπογάστρια —. Ἀ. Λημνίαις

Οὐκ ἔγχελυν Βοιωτίαν, οὐ γλαῦκον, οὐχὶ θύννου
ὑπογάστριον.

Verba ἔγχελυν Βοιωτίαν attulit p. 299 b. Fragmenta 333. et 334. recte, ut videtur, coniungit Dobraeus.

**335.** Pollux 9, 126. Τὸ δὲ ῥῆμα τὸ πεντελιθίζειν ἐστὶν ἐν τοῖς Ἑρμίππου Θεοῖς· τὸ δὲ ὄνομα πεντέλιθα ἐν ταῖς Ἀριστοφάνους Λημνίαις

Πεντελίθοισί θ' ὁμοῦ λεκάνης παραθραύμασι.

γυναικῶν δὲ μᾶλλον ἡ παιδιά. Libri meliores πενταλιθίζειν, πεντάλιθα, πενταλίθοισι contra Atticorum usum, et παραθραύσμασι.

**336.** Etymolog. M. p. 283, 45. (Gudian. p. 159, 49.) Δορίαλλος: λέγεται καὶ δόριλλος. Ἀ. "Αἱ (αἱ δὲ Bentleius) γυναῖκες τὸν δορίαλλον φράγνυνται (forma Attica φάργνυνται est)." ἔστι δὲ τὸ γυναικεῖον αἰδοῖον, ἐφ' ὕβρει τραγῳδοποιοῦ Δορίλλου. ἢ παρὰ τὸ δείρειν τὸ τυπτόμενον ἢ τὸ τιλλόμενον τὰς τρίχας καὶ οἱονεὶ ἐκδερόμενον. οὕτω γὰρ πάλαι ἐψίλουν, ὡς δηλοῖ Ἀριστοφάνης (Ranar. v. 516.) "Ἡβυλλιῶσαι κἄρτι παρατετιλμέναι." Gudianum, Δορύαλος: τὸ γυναικεῖον αἰδοῖον. Ἀ. "αἱ γυναῖκες τὸν δορύαλον φράγονται," παρὰ τὸ δέρειν —. Hesychius, Δορυαλλός: τὸ τῶν γυναικῶν μόριον. ἀπὸ τοῦ δέρειν, ἢ ἐφ' ὕβρει τοῦ τραγῳδοποιοῦ Δορύλλου, οὗ μέμνηται ἐν Λημνίαις. Schol. Ranar. v. 519. Δορίαλος τὸ γυναικεῖον αἰδοῖον, ὡς παρὰ τῷ αὐτῷ ποιητῇ "Αἱ γυναῖκες τὸν δορίαλον φράγνυνται." Suidas, Δόριλλος: τὸ γυναικεῖον αἰδοῖον. ἐφ' ὕβρει τραγῳδοποιοῦ Δορίλλου. Δόριλλος inter nomina in ιλλος est apud Arcadium p. 54, 14. Δώριλλος apud Theognost. Can. p. 62, 13. quae vera nominis forma esse videtur,

**337.** Harpocratio, Ἀρκτεῦσαι: — ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται Εὐριπίδης ἐν Ὑψιπύλῃ, Ἀ. Λημνίαις καὶ Λυσιστράτῃ (v. 645.).

**338.** Harpocratio, Μέταυλος: — ἔστιν ἡ ῥυπαρὰ λεγομένη αὐλή, οὗ ὄρνιθες ἦσαν. Ἀ. Λημνίαις καὶ Μένανδρος Θαΐδι.

**339.** Pollux 7, 139. Ἀ. δὲ ἐν Λημνίαις καὶ ναυφύλαξ.

**340.** Pollux 7, 152. Καὶ ὁ μὲν πρὸ ὥρας πεπαινόμενος καρπὸς πρῷμος ἐν Λημνίαις Ἀριστοφάνους. καὶ πρῷα δὲ καρπία ὁ αὐτὸς (Vesp. 264.) εἴρηκε. σῦκα δὲ τῶν διφόρων ἐν Κραπατάλοις Φερεκράτης. τὰ δὲ φυτευτήρια τῶν σύκων συκίδας Ἀριστοφάνης ἐν ταῖς Λημνίαις. Vulgo πρωΐμος et πρωΐα. φῖτυ πρῷον dixit in Pace v. 1164. μοσχίδια συκίδων in Acharnensibus v. 964.

**341.** Scholiasta Lysistratae v. 308. Τὸν φανόν: φανὸν μὲν πᾶν τὸ φαῖνον ἐκάλουν. ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον εἰς ἔξαψιν, ὡς καὶ ἐν Λημνίαις φησί. V. quae ad fragm. 666. dicentur.

## ΝΑΥΑΓΟΣ.

**342.** Spuria haec fabula iudicata fuit ab criticis veteribus: vide locum grammatici supra p. 181. allatum. Δὶς ναυαγὸς dicitur apud Pollucem 10, 33. Καλεῖται δὲ τὸ κλινίδιον καὶ κλιντήριον, ὡς ἐν Δὶς ναυαγῷ (sic cod. Vossianus: διοναυαγῷ ceteri) Ἀ. ἔφη

Τί ὦ πονηρέ μ' ἐξορίζεις ὡσπερεὶ
κλιντήριον.

Libri Τί με ὦ πονηρέ et ὥσπερ. Correxit Bergkius.

## ΝΗΣΟΙ.

De huius quoque fabulae auctore ab veteribus criticis dubitatum fuit: vide locum grammatici modo memoratum et Pollucem cuius verba ad fragm. 350. attulimus. Nomen autem huic comoediae ab choro impositum esse suspicor, quemadmodum Eupolis in Πόλεσιν urbes personatas introduxit.

**343.** Scholiasta Avium v. 297. Εἴσοδος δὲ λέγεται ᾗ ὁ χορὸς εἴσεισιν εἰς τὴν σκηνήν. καὶ ἐν ταῖς Νήσοις

β. Τί σὺ λέγεις; εἰσὶν δὲ ποῦ;
β. αἱδὶ κατ' αὐτὴν ἣν βλέπεις τὴν εἴσοδον.

**344.** Stobaeus 65, 7. Ἀριστοφάνους Νήσων

Ὦ μῶρε μῶρε, ταῦτα πάντ' ἐν τῇδ' ἔνι,
οἰκεῖν μὲν ἐν ἀγρῷ τοῦτον ἐν τῷ γηδίῳ
ἀπαλλαγέντα τῶν κατ' ἀγορὰν πραγμάτων,
κεκτημένον ζευγάριον οἰκεῖον βοοῖν,
ἔπειτ' ἀκούειν προβατίων βληχωμένων,
τρυγός τε φωνὴν ἐς λεκάνην ὠθουμένης,
ὄψῳ δὲ χρῆσθαι σπινιδίοις τε καὶ κίχλαις,
καὶ μὴ περιμένειν ἐξ ἀγορᾶς ἰχθύδια
τριταῖα πολυτίμητα βεβασανισμένα
ἐπ' ἰχθυοπώλου χειρὶ παρανομωτάτῃ.

Νήσων] Codex Parisinus A. νησσῶν. V. 1. ἐν τῇδ'] I. e. ἐν τῇ εἰρήνῃ, de qua in capite illo agit Stobaeus. V. 2. τοῦτον] πρῶτον Meinekius. V. 5. προβατίων Grotius pro προβάτων. V 7. ὄψῳ Salmasius Exerc. Plin. p. 317. pro ὄψων. δὲ Gaisfordi editio haud dubie ex codicibus. Priores τε. σπινιδίοις Salmasius pro πηνιδίοις. V. 10. ἐπ'] ὑπ' Gaisfordus. ἐν Boissonadius.

**345.** Pollux 6, 45. Καὶ θλαστὰς δὲ ἐλαίας ἐν Νήσοις ἂν εὕροις Ἀριστοφάνους. Athenaei epitome 2. p 56 b. Μνημονεύει τῶν θλαστῶν ἐλαῶν Ἀριστοφάνης "Θλαστὰς ποιεῖν ἐλάας." πάλιν

Οὐ ταυτόν ἐστιν ἁλμάδες καὶ στέμφυλα.

καὶ μετ' ὀλίγα

Θλαστὰς γὰρ εἶναι κρεῖττόν ἐστιν ἁλμάδος.

Libri ἐλαιῶν et ἐλαίας, et κρεῖσσον pro κρεῖττον.

**346.** Suidas, Ἔξεχ' ὦ φίλ' ἥλιε: κωλάριόν τι παροιμιῶδες ὑπὸ τῶν παιδίων λεγόμενον, ὅταν ἐπινέφῃ ψύχους ὄντος. Ἀ. Νήσοις

Λέξεις ἄρα
ὥσπερ τὰ παιδί' ἔξεχ' ὦ φίλ' ἥλιε.

Eustathius p. 881, 42. Κωλάριον οὖν τι παροιμιῶδες Αἴλιος Διονύσιός φησιν ὑπὸ παίδων λέγεσθαι, δηλοῦν ἐξέχειν, ὅ ἐστιν ἐπιτεταλκέναι, τὸν ἥλιον. Ἀ. "Λέξεις — ἥλιε." ἤγουν ἀνάτειλον. Aliud exemplum ex Strattidis Phoenissis protulit Pollux 9, 124.

**347.** Scholiasta Avium v. 439. Ἔοικε δὲ Παναίτιον κωμῳδεῖν, ὃν καὶ ἐν Νήσοις "Καταλιπὼν Παναίτιον | πίθηκον." ἔνθα καὶ μαγείρου πατρὸς αὐτὸν λέγει. πίθηκον δὲ αὐτὸν εἶπε διὰ τὸ πανοῦργον. Eadem fere Suidas s. v. διαθήκην διαθώμεθα.

**348.** Etymolog. M. p. 338, 52. Ἔνδημος: ὁ μὴ ἀποδημῶν ἐπίδημος δὲ ὁ ἐπιδημῶν ξένος. καὶ παρὰ Ἀ. ἐν Νήσοις. "Ἀλλ' οὐ τυγχάνει (τυγχάνουσιν cod. Dorv.) | ἐπίδημος ὤν." λέγεται δὲ περὶ τοῦ Ποσειδῶνος ὅτι οὐκ ἐπιδημεῖ Ἰσθμοῖ. κυρίως ἐστὶν εἰρημένον. οὐχ οὕτω γὰρ Ἴσθμιος ὁ θεὸς ὡς διὰ παντὸς ἐκεῖ διατρίβειν.

**349.** Photius p. 311, 15. et Suidas Ξυννένοφε: ἐπινεφῆ καὶ συννεφῆ καὶ συννέφελά ἐστιν. Ἀ. — ἐν Νήσοις [βαδίζει.

Ὡς ἐς τὴν γῆν κύψασα κάτω καὶ ξυννενοφυῖα

ἀντὶ τοῦ σκυθρωπάζουσα. Hesychius, Ξυννενοφυῖαν: σκυθρωπήν. Νένοφα, de quo dictum ad fragm. 142., ex Aristophane memorat etiam Herodianus apud Eustath. p. 127, 27.

**350.** Pollux 9, 89. Ὡς δ' ἐπὶ τῶν κερμάτων οἱ ἀρχαῖοι Ἀττικοὶ ἥκιστα τῷ ἑνικῷ ἐχρῶντο, οὕτως ἐπὶ τῷ ἀργυρίῳ τῷ πληθυντικῷ· τἀργύρια γὰρ ἐπὶ τοῦ ἀργυρίου σπανίως ἄν τις εὕροι παρ αὐτοῖς· ἐγὼ δ' εὗρον ἐν ταῖς Νήσοις Ἀριστοφάνους, εἰ μὴ ὑποπτεύεται τὸ δρᾶμα ὡς Ἀριστοφάνους οὐ γνήσιον. Idem 3, 86. Ἀργύρια δὲ κατὰ πλῆθος ἥκιστα λέγουσιν οἱ Ἀττικοί, εἴρηται δέ που. 7, 104. Εἴρηται δὲ καὶ ἀργύρια ἐν Ἀριστοφάνους Νήσοις.

**351.** Etymolog. p. 333, 33. Ἔλυμος: σπέρμα τι ὃ ἕψοντες οἱ Λάκωνες ἤσθιον. Ἀ. Νήσοις.

**352.** Pollux 10, 47. Θρᾶνοι, θρανία θρανίδια ἐν Νήσοις Ἀριστοφάνους.

**353.** Hesychius, Θύρσος: αὐλητὴς ἦν, γυναῖκα ἔχων ἑταίραν. Θύρσου γονή (sic Bergkius pro Θυρσοκύνη, quod Θύρσου κυνῆ scripserat Musurus): Ἀ. ἐν Νήσοις οὐ τοῦ αὐλητοῦ μνημονεύων, ἀλλ' ἀντὶ τοῦ φύλλα εἰπεῖν καὶ κλάδους, Θύρσοι: κλάδοι, λαμπάδες, λύχνα.

# ΟΛΚΑΔΕΣ.

Holcades ex antiquioribus poetae fabulis fuit. Scriptor Argumenti Pacis, Τὸ δὲ κεφάλαιον τῆς κωμῳδίας ἐστὶ τοῦτο· συμβουλεύει Ἀθηναίοις σπείσασθαι πρὸς Λακεδαιμονίους καὶ τοὺς ἄλλους Ἕλληνας. οὐ τοῦτο δὲ μόνον ὑπὲρ εἰρήνης Ἀριστοφάνης τὸ δρᾶμα τέθεικεν (καθεῖκεν?), ἀλλὰ καὶ τοὺς Ἀχαρνέας καὶ τοὺς Ἱππέας καὶ Ὁλκάδας, καὶ πανταχοῦ τοῦτο ἐσπούδακε, τὸν δὲ Κλέωνα κωμῳδῶν τὸν ἀντιλέγοντα καὶ Λάμαχον τὸν φιλοπόλεμον ἀεὶ διαβάλλων. Scholia in Holcades memorantur ab scholiasta Avium et Lysistratae: vide fr. 372. 373.

**354.** Scholiasta Nubium v. 699. ab Suida exscriptus (ad verba poetae οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον, ubi ed. Ald. τήμερα, quod ex nullo codice annotatum), ἀντὶ τοῦ σήμερον. καὶ τήμερος ὁ σημερινός. (Verba ἀντὶ τοῦ σήμερον. καὶ τήμερος om. cod. Rav. et sic apud Suidam Τήμερος: ὁ σημερινός.) καὶ ἔστι τεταγμένον ἐπὶ σώματος, τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. καὶ ἐν τῇ (τῇ om. Suidas) Εἰρήνῃ (sic codices Rav. et Ven.: ἐν Ὁλκάσιν ed. Ald., quod unde sumserit Musurus nescimus) "Ἰὼ Λακεδαῖμον, τί ἄρα πείσῃ τήμερα." ἀντὶ τοῦ σημερινή. Versum illum ἰὼ — τήμερα ex Holcadibus sumtum esse docet scholiasta Homeri Iliad. 3, 182. verbis ex Herodiani Ἰλιακῇ προσῳδίᾳ excerptis, Τὰ μέντοι παρὰ τὸ φρήν συντιθέμενα ἐφύλαξε τὸν τόνον, Λυκόφρον, δαΐφρον. ὅθεν σημειῶδες ἐκεῖνο κατὰ κλητικὴν "Ἰὼ Λακεδαῖμον" Ἀ. Ὁλκάσιν. quibus simillima sunt Ioannis Alexandrini verba p. 14, 14. et Choerobosci p. 438, 21. qui ὦ Λακεδαῖμον, quod προπερισπᾶσθαι docent, sine auctoris nomine attulerunt. Unde corrigendus Photius p. 202, 18. Λακεδαιμῶν: τὴν κλητικὴν περισπῶσιν· οὕτως Ἀριστοφάνης. Scholiastae autem ad Aristophanem annotatio defecta esse videtur, sic fortasse redintegranda τήμερος (nam sic pro τήμερον legisse videtur in versu poetae): ὁ σημερινός. καὶ ἔστι τεταγμένον ἐπὶ σώματος, τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. καὶ ἐν τῇ Εἰρήνῃ (v. 243.) "Ἰὼ Πρασιαὶ — ὡς ἀπολεῖσθε τήμεραι (legitur nunc τήμερον)." καὶ ἐν Ὁλκάσιν •

Ἰὼ Λακεδαῖμον, τί ἄρα πείσῃ (πείσει) τημέρα;

ἀντὶ τοῦ σημερινή. Apparet ex his grammaticos quosdam adiectivum finxisse τήμερος, τημέρα, τήμερον, tribusque versibus Aristophanis intulisse, errore manifesto. Neque enim dubitari potest quin Aristophanes, ut alii omnes, solo usus sit adverbio τήμερον, absurdumque est τήμερα (quod etiam in glossa Hesychii apparet, τήμερον: Ἀττικοὶ τήμερος καὶ τήμερα λέγουσιν) in fine trimetrorum ab eo positum credere ubi nihil impediebat quominus τήμερον scriberet.

**355.** Photius p. 11, 22. Ἐρανίσας: Δημοσθένης· ἀντὶ τοῦ ἔρανον αἰτήσας. ἐρανιστὴς μέντοι κυρίως ἐστὶν ὁ τοῦ ἐράνου μετέχων, καὶ τὴν φοράν, ἣν ἑκάστου μηνὸς ἔδει καταβάλλειν, εἰσφέρων. ἐρανιστάς: ὡς ἡμεῖς καλοῦσιν. Ἀ. Ὁλκάσιν

Πρώην ἐρανιστὰς ἑστιῶν ἥψησ' ἔτνος.

Quae transscripsit Zonaras 1. p. 862.

**356.** Photius p. 57, 8. Ἦια: δισυλλάβως, τὸ ἐπορευόμην, σὺν τῷ ι γράφεται. — Ἀ. Ὁλκάσιν

Ἐπεὶ δ' ἐγενόμην οἶπερ ᾖ' ἐπὶ ξύλα.

Eadem Suidas s. v. ᾖα et grammaticus Coislinianus apud Montefalc. p. 234. et Cram. Anecd. Paris. vol. 4. p. 135, 21. Ex hac parte fabulae sumtum est (ut in Thesauro indicavi vol. 4. p. 38.) fragmentum ab Eustathio allatum p. 217, 31. οὕτω δὲ γράφουσι καὶ τὸ ζμῆγμα καὶ τὴν ζμινύην, ἣν καὶ αὐτὸς (Aelius Dionysius) ἀξινάριον λέγει, φέρων καὶ χρῆσιν Ἀριστοφάνους ταύτην

Ἀλλ' ἱμάντα μοι
δὸς καὶ ζμινύην· ἐγὼ γὰρ εἶμ' ἐπὶ ξύλα.

Σμινύδιον ex hac fabula affert Pollux: v. fragm. 372.

**357.** Pollux 10, 144. 'Α. ἔφη ἐν Ὁλκάσι

Λόγχαι δ' ἐκαυλίζοντο καὶ ξυστὴ κάμαξ.

**358.** Eustathius p. 1423, 4. Ἐκ δὲ τοῦ οἴκου καὶ οἰκίσκος παρὰ Ἀριστοφάνει, περδικοτροφεῖον, οἷον

Τί δὲ τὸν ὀρνίθειον οἰκίσκον φέρεις;

δὲ fortasse in δὴ vel, quod Brunckius proposuit, δαὶ mutandum. ποῖ δὴ Bergkius. Ex Holcadibus haec esse sumta ab Polluce docemur 10, 159. Καὶ οἰκίσκον δὲ ὀρνίθειον καὶ οἰκίσκον περδικικὸν 'Α. ἐν Ὁλκάσιν ἔφη. Οἰκίσκος ex Pelargis attulerunt Harpocratio et Photius.

**359.** Athenaeus 3. p. 91c. Ἀριστοτέλης δέ φησι τῶν ἐχίνων πλείω γένη εἶναι, ἓν μὲν τὸ ἐσθιόμενον, ἐν ᾧ τὰ καλούμενά ἐστιν ᾠά, ἄλλα δὲ δύο, τό τε τῶν σπαταγγῶν καὶ τὸ τῶν καλουμένων βρυσῶν. μνημονεύει δὲ καὶ τῶν σπαταγγῶν ὁ Σώφρων καὶ 'Α. ἐν Ὁλκάσιν οὕτως

Δάπτοντα, μιστύλλοντα, διαλείχοντά μου
τὸν κάτω σπατάγγην.

V. 1. δάπτοντα Porsonus pro δαρδάπτοντα. V. 2. Photius p. 529, 23. Σπατάγγαι: ἰχθύες τινές· οἱ δὲ τοὺς μεγάλους ἐχίνους. οὕτως 'Α.

**360.** Bekkeri Anecd. p. 474, 31. Ἀχῶρα (corrige Ἄχορα): τὰ ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ πίτυρα. 'Α. Ὁλκάσιν "'Αδαχεῖ γὰρ αὐτοῦ τὸν ἀχῶρα ἐκλέγεται ἐκ τοῦ γενείου τὰς πολιὰς τοῦ Διός." ἀρσενικῶς δὲ λέγεται ὁ ἀχώρ. (rectus accentus ἄχωρ est.) "*Lege* τουδί, *sc.* τοῦ Δήμου. *Vide Eq. 904.* αὐτοῦ, *nempe* ἐν τῇ Πυκνί." Dobraeus ad Pluti v. 361. p. 44. ἐκλέγεται in ἐκλέγει τ' ἀεὶ mutandum ex aliorum grammaticorum locis. Photius p. 8, 1. Ἀδαξῆσαι: τὸ κνῆσαι, οὐκ ἐν τῷ ο ὀδαξῆσαι, καὶ ἀδαχεῖν τὸ κνῆ-
ϑ
θεν "'Αδαχεῖ γὰρ αὐτοῦ τὸν ἀχῶρα ἐκλέγει τ' ἀεί" 'Α. ἐν Ὀλκάσιν. Eadem grammaticus Bekkeri tradit p. 340, 28. et Suidas, nisi quod hic ἐν ταῖς Ὁλκάσιν omittit, apud illum autem ἀχῶρα scriptum est. Etymolog. M. p. 182, 17. 'Α. "'Αδαχῇ γὰρ αὐτοῦ τὸν ἄχορ' ἐκλέγετ' ἀεὶ ἐκ τοῦ γενείου." Vera igitur versus scriptura est,

Ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἄχορ' ἐκλέγει τ' ἀεί.

Ἄχορα enim, non ἀχῶρα, quod recentioris linguae vitium est, dixisse veteres diserto constat Herodiani testimonio ap. Arcad. p. 20, 20. de quo pluribus dixi in ed. Oxon. p. 631.

Ex simili aliquo loco sumtus versus est qui ab Suida affertur et grammatico Bekkeri p. 468, 19. Ἀφαιρεῖν κροκύδας: ἐπὶ τῶν πάντα ποιούντων ἕνεκεν κολακείας. ἄλλοι τε χρῶνται καὶ 'Α. [ρῶν

Εἴ τίς σε κολακεύει παρὼν καὶ τὰς κροκύδας ἀφαι-

Apud Suidam bis κροκίδας. σε addidit Porsonus. Phrynichus Bekkeri p. 4, 27. Ἀφαιρεῖν κροκύδας: λίαν ἠττίκισται, καὶ τίθεται ἐπὶ τῶν πάντα ποιούντων διὰ κολακείαν, ὥστε καὶ παρεπομένους ἀφαιρεῖν κροκύδας τῆς ἐσθῆτος ἢ κάρφος τι τῆς κεφαλῆς ἢ τοῦ γενείου. ὁ δὲ 'Α. ἀφαίρει τρίχας (corrige ἀφαιρεῖν κροκύδας) φησὶν ἐπί τινος κολακεύειν ἐπιχειροῦντος.

**361.** Scholiasta Acharnens. v. 122. Στράτων: καὶ οὗτος κωμῳδεῖται ὡς λωβώμενος τὸ γένειον καὶ λειαίνων τὸ σῶμα, ὡς Κλεισθένης, ὥς φησιν αὐτὸς Ἀριστοφάνης ἐν Ὁλκάσι "Παῖδες ἀγένειοι, Στράτων." καὶ Κλεισθένης addit Bergkius. Exagitatur etiam in Equitibus v. 1370.

**362.** Scholiasta Acharnens. v. 710. exscriptus ab Suida, Εὐάθλους δέκα: οὗτος ὁ Εὔαθλος ῥήτωρ πονηρός. 'Α. ἐν Ὁλκάσιν

Ἔστι τις πονηρὸς ἡμῖν τοξότης ξυνήγορος
‿ ‿ ‒ ‒ ὥσπερ Εὔαθλος παρ' ὑμῖν τοῖς νέοις.

ἦν δὲ καὶ εὐρύπρωκτος καὶ λάλος. εἴη δ' ἂν καὶ ἀγεννής. διὸ καὶ τοξότην αὐτὸν καλεῖ, οἷον ὑπηρέτην. Indicavi lacunam, quam Elmsleius ad Acharn. v. 703. addito τοῖς παλαιοῖς explevit, τοῖς γέρουσιν Bergkius in Comment. p. 98. Εὔαθλος vulgo omissum servavit Suidas (qui verba τοξότης συνήγορος ὥσπερ Εὔαθλος iterum attulit s. v. τοξότης) et scholiasta Vesparum v. 590. ita scribens, Εὔαθλος ῥήτωρ καὶ συκοφάντης, οὗ μνημονεύει καὶ ἐν Ἀχαρνεῦσι καὶ Ὁλκάσιν "οὗτός ἐστιν ὑμῖν πονηρὸς τοξότης συνήγορος, ὥσπερ Εὔαθλος." παρ' ὑμῖν Elmsleius pro παρ' ἡμῖν.

**363.** Athenaeus 3. p. 111a. Τῆς δὲ κολλύρας καλουμένου ἄρτου (μνημονεύει) 'Α. — ἐν Ὁλκάσι

Καὶ κολλύραν τοῖσι περῶσιν διὰ τοῦ Μαραθῶνι
τροπαίου.

Codex τοῖς et τοὺν — τροπαῖον. quod correxit Elmsleius ad Acharn. v. 343.: de quo dixit Cobetus in Ἑρμῇ λογίῳ vol. 1. p. 242.

**364.** Galenus περὶ τροφῶν δυνάμεως vol. 4. p. 316. ed. Basil. 6. p. 329. ed. Charter. Περὶ ἀράκων. τὴν ὑστάτην συλλαβὴν τοῦ τῶν ἀράκων ὀνόματος διὰ τοῦ κ γεγραμμένην εὑρίσκομεν ἐν ταῖς Ἀριστοφάνους Ὁλκάσιν, ἔνθα φησὶν [ρας, σεμίδαλιν.

Ἀράκους, πυρούς, πτισάνην, χόνδρον, ζειάς, αἴ-

παραπλήσιον δ' ἐστὶ τὸ σπέρμα τῷ τῶν λαθύρων, καὶ τινές γ' οὐχ ἕτερον εἶναι γένος ἐκείνων νομίζουσιν αὐτό. De ἀράκῳ et ἀράχῳ vide Schneideri annotationem ad Theophrastum vol. 3. p. 687.

**365.** Athenaeus 3. p. 118d. Μνημονεύει δὲ τῶν μύλλων καὶ 'Α. ἐν Ὁλκάσι [νίδες.

Σκόμβροι, κολίαι, λεβίαι, μύλλοι, σαπέρδαι, θυν-

λεβίαι correxi pro λέβιοι.

**366.** Athenaeus 7. p. 329b. 'Α. δ' ἐν Ὁλκάσιν

Ὦ κακοδαίμων ὅστις ἐν ἅλμῃ πρῶτον τριχίδων
ἀπεβάφθη.

τοὺς γὰρ εἰς τὸ ἀπανθρακίζειν ἐπιτηδείους ἰχθῦς εἰς ἅλμην ἀπέβαπτον, ἣν καὶ Θασίαν ἐκάλουν ἅλμην, ὡς καὶ ἐν Σφηξὶν ὁ αὐτός φησι ποιητής

Καὶ γὰρ πρότερον δὶς ἀνθρακίδων ἅλμην πιών.

In versu ex Holcadibus κακοδαίμων Brunckius pro κακόδαιμον. In Vespis autem v. 1127. legitur καὶ γὰρ πρότερον ἐπανθρακίδων ἐμπλήμενος. Abs qua scriptura quum discedat Athenaeus, videndum est ne Holcadum locum quendam in mente habuerit, de quo Antiatticista Bekkeri p. 82, 23. Ἁλμαία: 'Α. Ὁλκάσιν "ἁλμαίαν πιών." Phrynichus ibidem p. 22, 28. Ἁλμαίαν: τὴν ἅλμην, ὡς Ἀθηνᾶ Ἀθηναία, πύλη πυλαία, ὥρα ὡραία.

**367.** Photius p. 517, 13. Σκαφίδας: οὐ σκάφας, τὰ σκεύη "Σκαφίδας, μάκτρας, Μοσσυνικὰ μαζονομεῖα" 'Α. Pro μάκτρας codex μίξας. Correctum ex Polluce 10, 102. Καὶ σκαφίδα δὲ τὴν σκάφην ταύτην ἐν ταῖς Ὁλκάσι λέγει συντάξας οὕτω "σκαφίδας, μάκτρας." Idem μαζονομεῖα memorat 10, 84. τὰ μαζονομεῖα Ἀριστοφάνους εἰπόντος ἐν Ὁλκκάσι. et omisso poetae nomine Photius p. 240, 24. Μαζονομεῖα: οἱ μεγάλοι καὶ κοῖλοι πίνακες. Porro Hesychius, Μοσσυνικὰ μαζονομεῖα: Ποντικὰ ὁ Δίδυμος ἤκουεν· οἱ γὰρ Μοσσύνοικοι ἐν Πόντῳ εἰσί. λέγει δὲ τοὺς ξυλίνους πίνακας. de quibus dixit L. Dindorfius in Thesauro vol. 5. p. 1210. Ex eodem versu fortasse sunt verba ὄρχας οἴνου apud Pollucem 10, 73. Ἐν δὲ τοῖς ἀγγείοις τάττοιτο ἂν καὶ ἃς εἴρηκεν Ἀριστοφάνης ἐν Ὁλκάσιν "ὄρχας οἴνου." Idem 6, 14. Εἰ δὲ καὶ Ἀριστοφάνης ὠνόμασεν ὄρχας οἴνου, δηλοῖ τὸ προσεοικὸς τῷ βίκῳ

κεράμιον. ἔστι δὲ Αἰολικὸν τοὔνομα. In Vespis v. 676. nunc legitur ὄρχας, οἶνον, sed haud dubie scribendum ὕρχας (vel ὄρχας, de quo dixit Lobeckius Paralip. p. 34.) οἴνου.

368. Eustathius p. 1534, 47. Κώρυκον δὲ τὸν θύλακον λέγει. — οἱ δὲ παλαιοὶ καὶ κωρυκίδα τὸ τοιοῦτον σκεῦος καλοῦσι, παράγοντες καὶ Ἀριστοφάνους χρῆσιν ταύτην [τας ἐγείρει.

Σπυρὶς οὐ μικρὰ καὶ κωρυκίς, ἣ καὶ τοὺς μάττον-

Ex Holcadibus haec esse petita ex Pollucis verbis colligitur 10, 172. Εἴποις ἂν — καὶ κωρυκίδα, ὡς ἐν ταῖς Ὁλκάσιν Ἀριστοφάνους.

369. Hesychius, Ἀπεσφακέλισεν: ἐσάπη. Ἀ. Ὁλκάσιν. οἱ δὲ ἰατροὶ τὴν ἐκ σήψεως μελανίαν. ἢ ἀντὶ τοῦ προσεσπάσθη, ἢ αἰφνιδίως ἀπέθανεν. Suidas (ab Zonara exscriptus vol. 1. p. 270.), Ἀπεσφάκελισεν: οἱ μὲν γραμματικοὶ (recte ἰατροὶ in Bekkeri Anecd. p. 422, 25.) ἐσάπη, ἀπεσφενδόνησε. σημαίνει δὲ καὶ τὸ ἀπεκάκησεν. ἔτι τὸ ἐξαίφνης ἀπέθανεν. ὁ δὲ Ἀριστοφάνης ἀντὶ τοῦ ἀπεσπάσθη (ἐπεσπάσθη apud Timaeum Lex. Plat. p. 123.). Etymolog. M. p. 120, 13. interpretatur προεσπάσθη (recte προσεσπάσθη ap. Hesychium), ἢ αἰφνιδίως ἀπέθανεν. οἱ δὲ ἰατροὶ ἀντὶ τοῦ ἐσάπη.

370. Pollux 9, 60. Καὶ τὸ δραχμῆς ἄξιον δραχμιαῖον, ὡς ἐν Ἀριστοφάνους Ὁλκάσιν.

371. Harpocratio, Ἐπίγυιον: — τὰ πρυμνήσια ἐπίγυια ἔλεγον. κέχρηνται τῷ ὀνόματι καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. Ἀ. Ὁλκάσι. Libri ἐπίγειον vel ἐπίγυον. Recta scriptura ἐπίγυιον est: vid. ad fragm. 51.

372. Pollux 10, 173. Φαίης δ' ἂν κατ' Ἀριστοφάνην λέγοντα ἐν Ὁλκάσι καὶ παττάλους ἐκκρούειν (ἐγκρούειν Hemsterh.) καὶ σκύταλον ὑποσίδηρον καὶ σμινύδας καὶ ἀγκαλίδας. σκύταλον in σκυτάλιον mutandum. Scholiasta Avium v. 1283. Τοῦ δὲ σκυτάλιον τὸ α ἐκτείνεται, ὡς ἐν Ὁλκάσιν, ἔνθα καὶ τὸ Νικοφῶντος ἐξ Ἀφροδίτης Γονῶν παρετέθη "Οὐκ ἐς κόρακας τὼ χεῖρ' ἀποίσεις ἐκποδὼν | ἀπὸ τοῦ σκυταλίου (fortasse τε addendum) καὶ τῆς διφθέρας." οὕτω Σύμμαχος. Σμινύδας Dobraeus in σμινύας vel σμινύδια mutat. Pollux 7, 148. Τὴν δὲ σμινύην σμινύδιον Ἀριστοφάνης καλεῖ.

373. Scholiasta Lysistratae v. 723. Τροχιλία δέ ἐστιν ὁ τροχὸς τοῦ ξύλου τοῦ φρέατος, δι' οὗ ἱμῶσι. δεδήλωται δὲ περὶ τούτου καὶ ἐν Ὁλκάσι

374. Stephanus Byzant. Φᾶσις: πόλις τῆς Αἴας. — τὸ ἐθνικὸν Φασιάτης καὶ Φασιατικὸς καὶ Φασιανός, ὡς Ἀ. ἐν Ὁλκάσι.

375. Pollux 1, 83. Λέγοιτο δ' ἂν ταχεῖα ναῦς καὶ δρομάδες ὁλκάδες, ὡς Ἀ.

---

In loco Gellii 19, 13., de quo diximus ad fragm. 134., Ὁλκάδες coniecit Hertzius coniectura non minus incerta quam Brunckius Κώκαλος.

# ΠΕΛΑΡΓΟΙ.

Πελαργῶν fabulae argumentum Suevernius in commentatione de Avibus p. 83. probabiliter coniecit cum narrationibus veterum de ciconiarum in parentes pietate coniunctum fuisse: de quibus vide scholiastae annotationem ad Avium v. 1354.

376. Scholiasta Platonis Clarkianus apud Bekkerum p. 330. Μέλητος δὲ τραγῳδίας φαῦλος ποιητής, Θρᾷξ γένος, ὡς Ἀ. Βατράχοις (v. 1309.), Πελαργοῖς Λαΐου υἱὸν αὐτὸν λέγων, ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐδιδάσκοντο, καὶ ὁ Μέλητος Οἰδιπόδειαν ἔθηκεν (καθῆκεν Meinekius), ὡς Ἀριστοτέλης Διδασκαλίαις. ἐν δὲ Γεωργοῖς ὡς Καλλίαν περαίνοντος αὐτοῦ (Καλλίου περαίνοντος αὐτὸν Bergkius) μέμνηται. Laii filium cur dixerit Aristophanes explicuit Meinekius in Hist. Com. p. 173. comparato Athenaei loco 13. p. 602 f. Ἄλλοι δέ φασι τῶν τοιούτων ἐρώτων (παιδικῶν) κατάρξασθαι Λάϊον ξενωθέντα παρὰ Πέλοπι καὶ ἐρασθέντα τοῦ υἱοῦ αὐτοῦ Χρυσίππου.

377. Scholiasta Vesparum v. 1231. Ἀδμήτου λόγον: καὶ τοῦτο ἀρχὴ σκολίου. ἑξῆς δέ ἐστι "τῶν δειλῶν δ' ἀπέχου γνοὺς ὅτι δειλῶν ὀλίγη χάρις." καὶ ἐν Πελαργοῖς

Ὁ μὲν ᾖδεν Ἀδμήτου λόγον πρὸς μυρρίνην,
ὁ δ' αὐτὸν ἠνάγκαζεν Ἁρμοδίου μέλος.

378. Herodianus Piersoni p. 462. exscriptus ab Thoma Mag. p. 791. Σημεῖον λέγοντες σημειοῦσθαι οὐ λέγομεν, ἀλλ' ἀποσημαίνεσθαι, ὡς Ἀ. ἐν Πελαργοῖς "Ἀπεσημηνάμην | τὰς τῶν κακούργων οἰκίας."

379. Athenaeus 9. p. 387 f. Ἀτταγᾶς. Ἀ. Πελαργοῖς

Ἀτταγᾶς ἥδιστον ἕψειν ἐν ἐπινικίοις κρέας.

380. Athenaeus 9. p. 368 e. Κωλῆν — Ἀ. — ἐν Πελαργοῖς

Κεφαλάς τ' ἀρνῶν, κωλᾶς ἐρίφων.

381. Pollux 10, 174. Καὶ χαλκώματα ἐν μέρει τῶν σκευῶν — εἰπόντος — Ἀ. ἐν Πελαργοῖς "Χαλκώματα, προσκεφάλαια." Idem 7, 105. Χαλκώματα δὲ Ἀ. ἐν Πελαργοῖς καὶ Σφηξὶν (v. 1214.) εἴρηκε.

382. Athenaeus 6. p. 247 a. Ἐπισίτιοι καλοῦνται οἱ ἐπὶ τροφαῖς ὑπουργοῦντες, — Ἀ. Πελαργοῖς

Ἦν γὰρ ἕν' ἄνδρ' ἄδικον σὺ διώκῃς,
ἀντιμαρτυροῦσι
δώδεκα τοῖς ἑτέροις ἐπισίτιοι.

V. 1. σὺ διώκῃς Porsonus pro συνδιώκῃς. V. 3. Fortasse praestat ἐπίσιτοι scribi.

383. Moeris p. 92. Βαλανεὺς παρὰ Πλάτωνι καὶ Ἀ. ἐν Πελαργοῖς. Huius vocabuli tum in superstitibus fabulis plura sunt exempla tum in perditae fragmento apud Pollucem 10, 63. Ἀρύταινα — Ἀριστοφάνους εἰπόντος

Βαλανεὺς δ' ὠθεῖ ταῖς ἀρυταίναις.

384. Antiatticista Bekkeri p. 111, 7. Ὀβολίας ἄρτους: τοὺς ὀβολοῦ πωλουμένους. Ἀ. Πελαργοῖς. Conf. fragm. 158. et L. Dindorf. in Thes. vol. 5. p. 1715.

385. Harpocratio, Οἰκίσκῳ: — ἐκάλουν δὲ οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνιθοτροφεῖον οἰκίσκον. Ἀ. Πελαργοῖς, Μεταγένης Αὔραις. Photius p. 319, 4. Οἰκίσκος: περδικοτροφεῖον. Ἀ. Πελαργοῖς. et paullo post Οἰκίσκῳ: — ἐκάλουν δὲ — οἰκίσκον, omittens quae his subiungit Harpocratio. Vocabulum οἰκίσκος est in Holcadum fragm. 358.

386. Scholiasta Pluti v. 84. Πατροκλέους: εἷς ἦν τῶν τὸν Λακωνικὸν βίον ζηλούντων Ἀθηναίων, πλούσιος μὲν σφόδρα, ἄλλως δὲ κακόβιός τις καὶ φιλοχρήματος, καὶ σκνιφὸς κωμῳδεῖται, ὡς καὶ ἐν τοῖς Πελαργοῖς εἴρηται περὶ τούτου, ὅστις ἕνεκεν τῆς φειδωλίας οὐδένα εἴα προσίεσθαι φυλακῆς ἕνεκα τῶν χρημάτων καὶ γλίσχρου βίου. Similiter Suidas, Πατροκλῆς: ὄνομα κύριον. καὶ παροιμία, ἐκ Πατρο-

κλέους, ἐπὶ τῶν ῥυπώντων καὶ αὐχμηρῶν. Πατροκλῆς γὰρ ἐγένετο Ἀθηναῖος πλούσιος σφόδρα, ἄλλως — σκνιπός, ὅστις ἕνεκεν — οὐδένα οἱ εἴα προσίεσθαι φυλακῆς — βίου.

387. Scholiasta Pluti v. 665. Νεοκλείδης — εἴρηται δὲ καὶ ἐν Πελαργοῖς περὶ αὐτοῦ ὅτι ῥήτωρ καὶ συκοφάντης.

# ΠΟΙΗΣΙΣ.

Ποίησις in fabulis spuriis ab quibusdam Archippo tributis numeratur ab grammatico supra memorato p. 181. Ex Antiphanis Ποιήσει longum fragmentum attulit Athenaeus 6. p. 222. ubi Casaubonus Aristophanis nomen restituebat, refutatus ab Meinekio Hist. Com. p. 339.

388. Priscianus 18. p. 1198. Putsch. (vol. 2. p 344. ed. Hertz.). "*Attici* παρὰ σὲ *pro* παρὰ σοί, *quomodo et nos apud te. Aristophanes* Ποιήσει

Γυναῖκα δὲ ζητοῦντες ἐνθάδ' ἥκομεν,
ἥν φασιν εἶναι παρὰ σέ.

# ΠΟΛΥΙΔΟΣ.

Etymolog. Ms. Parisinum apud Valckenarium Diatr. Eurip. p. 200. et Etymolog. Gudian. p. 474, 24. quae emendata pono: Πολύϊδος. οὕτω καὶ Ἀπολλώνιος ὁ τοῦ Ἀρχιβίου, καί ἐστι, φησί, πολυΐδμων μάντις ὤν. οὕτω δὲ καὶ τὸ δρᾶμα ἐπιγράφεται παρὰ Ἀριστοφάνει. μαρτυρεῖ δὲ Φιλόξενος. καὶ Σοφοκλῆς δὲ Μάντεσι συνέστειλεν "Ὁρῶ πρὸ χειρῶν Πολυΐδου τοῦ μάντεως." καὶ πάλιν "Οὐκ ἔστιν εἰ μὴ Πολυΐδῳ τῷ Κοιράνου." Ex parte tantum haec leguntur in Etymolog. M. p. 681, 22. Πολύϊδος, non Πολύειδος, usitata Atticis, opinor, forma fuit. Vana videtur Valckenarii de Euripide suspicio.

389. Stobaeus 68, 17. Ἀ. ἐν Πολυΐδῳ

Ἰδού, δίδωμι τήνδ' ἐγὼ γυναῖκά σοι
Φαίδραν· ἐπὶ πῦρ δὲ πῦρ ἔοιχ' ἥξειν ἄγων.

"Proverbium est πῦρ ἐπὶ πῦρ: vide Not. ad Nicet. Eugen. p. 451. Boeckh. ad Min. p. 145. Clemens Alex. *Quis dives* p. 5. (p. 936. ed. Potter.) τὸ δὴ τοῦ λόγου πῦρ ἐπὶ πῦρ μετοχετεύοντες τύφῳ τῦφον ἐπαντλοῦντες. ubi vid. Segaar. p. 127." Boissonadius p. 287.

390. Stobaeus 118, 16. Ἀριστοφάνους Πολυΐδου

Τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον λῆρος πολύς·
πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.

Alterum versum, nisi quid apud Stobaeum turbatum est, aliunde sumsit. Legitur nunc apud Sophoclem in Electra v. 1173. ubi tamen recte eiectus est a Bergkio, qui Euripidis ex Polyido versum esse coniicit. Simillimas sententias Euripidis collegit Wyttenbachius ad Plutarchum vol. 6. p. 726.

391. Suidas, Ἀνάριστος, μᾶλλον δὲ ἀναρίστητος. Ἀ. Πολυείδῳ

Τρέχω διὰ τῆς ἀγορᾶς ἀναρίστητος ὤν.

Legebatur διὰ τῆς ἀγορᾶς τρέχω (τρέχων Bergkius). Transposuit Porsonus.

392. Pollux 9, 31. Ἀ. ἐν Πολυείδῳ "Ἑλλιμενίζεις ἢ δεκατεύεις."

393. Photius p. 13, 19. Suidas, Etymolog. M. p. 373, 19. et Michael Apostolius 7, 92. Ἔρημον ἐμβλέπειν: ἀκίνητον καὶ νωθρόν. οἷον ὅταν εἰς ἐρημίαν ἢ πέλαγος μέγα καὶ ἀχανὲς βλέπωμεν (ἐμβλέπωμεν Suidas). Ἀ. Πολυΐδῳ (Πολυείδῳ Suidas et Etymol.). Parum probabilia de his verbis scripsit Valckenarius ad Theocriti Adoniaz. p. 233.

394. Etymolog. M. p. 451, 51. Θησειότριψ: ὁ ἐν τῷ Θησείῳ διατρίψας. Ἀ. Πολυΐδῳ. καὶ θησομύζειν δὲ ἐν τῷ αὐτῷ λέγεται. Sic codex Dorvill. Legebatur δὲ τὸ ἐν αὐτῷ λέγειν. Vitiosum vero est θησομύζειν, pro quo θησειομύζειν scripsit anonymus in Annot. ad Etym. Gud. p. 895. De Θησείῳ, in quod servi confugere solebant alium dominum nacturi, dixit Ullrichius in appendice ad Platonicos dialogos p. 232. Conf. fragm. 477.

395. Moeris p. 286. Οὐκ ἀπήρκει: ἀντὶ τοῦ οὐκ ἀπέχρη. Ἀ. Πολυείδῳ.

396. Pollux 9, 130. Ἀ. δὲ ἐν Πολυείδῳ καὶ προσεμφερὴς εἶπε.

---

Ex Polyido Pollux 10, 45. memoriae errore attulit Thesmophoriazusarum versum 633. Σκάφιον Ξένυλλ' ᾔτησεν· οὐ γὰρ ἦν ἀμίς. Fortasse aliud vocabuli σκάφιον exemplum in Polyido inventum fuit.

# ΣΚΗΝΑΣ ΚΑΤΑΛΑΜΒΑΝΟΥΣΑΙ.

Mulieres σκηνὰς καταλαμβανούσας quas dixisse comicus videatur Casaubonus explicare studuit in Animadv. ad Athenaeum 4, 20. p. 301. "Σκηνὰς καταλαμβάνουσαι (inquit) *dicuntur quae in foro et viis publicis locum occupant ubi sua umbracula destituant. Ita soliti facere mercatores, quoties celebrabatur aliqua panegyris. Vetus Theocriti interpres* [15, 16.]: ἐν ταῖς πανηγύρεσι σκηνὰς ἐποίουν οἱ πωλοῦντες. *Sic autem loquitur idem poeta in Pace* [v. 880.] εἰς Ἴσθμια | σκηνὴν ἐμαυτοῦ τῷ πέει καταλαμβάνω. [ubi schol. οἱ θέλοντες θεωρεῖν προκαταλαμβάνουσιν ἑαυτοῖς τόπους. θέαν καταλαμβάνειν dixit Aristides vol. 1. p. 102, 7. ubi vid. schol.] *Videtur Aristophanes descripsisse eo dramate mulierum tentoria sua commodis locis figere cupientium iurgia et* ἀκροχειρισμούς." Casaubono assentiri videtur Valckenarius ad Adoniazusas p. 309. Diversa est Kuhnii ad Pollucem 7, 157. et Hemsterhusii ad 10, 106. sententia, qui de occupatis theatri sedibus cogitarunt. Nec diffitendum est plura esse in fragmentis quae de theatro potius quam de foro actum esse probabile reddant. Fortasse ad hanc fabulam spectat scholion Thesmophor. v. 658. in codice Ravennate, τὴν πύκνα πᾶσαν καὶ τὰς σκηνὰς καὶ τὰς διόδους: τὰς σκηνὰς διὰ μέσου εἴρηκε. καὶ γὰρ πρὸς τῇ πυκνὶ σκηναὶ (sic correxi quod est in codice σκηνῇ πυκναί) ἦσαν, ὡς καὶ αὐτὸς Ἀ. μέμνηται τούτου. Conf. Pacis v. 731.

397. Scholiasta Platonis p. 330. ed. Bekker.

'Α. — ἐκωμῳδεῖτο ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν. Κρατῖνος "Τίς δὲ σύ; κομψός τις ἔροιτο θεατής· | ὑπολεπτόλογος, γνωμιδιώκτης, εὐριπιδαριστοφανίζων." καὶ αὐτὸς δὲ ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις [γύλῳ,

Χρῶμαι γὰρ αὐτοῦ (φησί) τοῦ στόματος τῷ στρογ-

τοὺς νοῦς δ' ἀγοραίους ἧττον ἢ 'κεῖνος ποιῶ.

Edidit hoc scholion Kiddius in Porsoni Miscellaneis p. 268. ubi de Cratini verbis Porsoni commemoratur coniectura τίς δὲ σὺ κομψός; πᾶς ἄν τις ἔροιτο θεατής, nec dubitari potest quin post κομψός aliquid exciderit. Priora Aristophanis verba attulit Plutarchus Moral. p. 30 d. — ὁ μὲν ἀπανθίζεται τὴν ἱστορίαν, ὁ δὲ ἐμφύεται τῷ κάλλει καὶ τῇ κατασκευῇ τῶν ὀνομάτων, καθάπερ ὁ 'Α. περὶ τοῦ Εὐριπίδου φησὶ "Χρῶμαι γὰρ αὐτοῦ τοῦ στόματος τῷ στρογγύλῳ." V. 2. νοῦς δ' ἀγοραίους] Bekkeri Anecd. p. 339, 10. Ἀγοραῖος νοῦς: ὁ πάνυ εὐτελὴς καὶ συρφετώδης οὐδὲ πεφροντισμένος· οἱ γὰρ ἀγοραῖοι ἄνθρωποι ἀμαθεῖς καὶ ἀπαίδευτοι. οὕτως Εὐριπίδης. qui dicere debebat Ἀριστοφάνης περὶ Εὐριπίδου, ut apparet ex verbis Plutarchi.

398. Photius p. 340, 22. Ὀξυρεγμεῖν: ὅταν μεθ' ἡμέραν ἐποξίσῃ ἡ τροφή. 'Α. ἐν Σκηνὰς καταλαμβανούσαις τὴν ὀξυθυμίαν οὕτως ἔφη

Καὶ μὴν ἄκουσον, ὦ γύναι, θυμοῦ δίχα

καὶ κρῖνον αὐτὴ μὴ μετ' ὀξυρεγμίας.

399. Pollux 10, 67. Προσθετέον δὲ — καὶ τὴν ἐν Ἀριστοφάνους Σκηνὰς καταλαμβανούσαις

Λήκυθον

τὴν ἑπτακότυλον, τὴν χυτρεᾶν, τὴν ἀγκύλην,

ἣν ἐφερόμην, ἵν' ἔχοιμι συνθεάτριαν.

εἴρηται γὰρ νῦν ἐπὶ ἐκπώματος. V. 2. τὴν χυτρίαν τὴν καλὴν libri. Correxit Lobeckius ad Phrynich. p. 147. . V. 3. συνθεάτριαν ex Aristophane affert Pollux 4, 121. Idem 6, 158. ubi de compositis cum σύν agit, Συνθεάτριαν δὲ καὶ συλλήπτριαν Ἀριστοφάνης. ὁ δ' αὐτὸς καὶ συγκοίτας (forma vitiosa, notata ab L. Dindorfio in Thesauro vol. 7. p. 976. Fort. συγκοιτάδας vel συγκοίτιδας. Corrupte etiam Hesychius Συγκοιτάλιον (συγκοιτάδιον Alberti): σύγκοιτον) εἴρηκε, καὶ συστάδας ἀμπέλους. εἴρηκε δὲ καὶ σύμποδα καὶ συνθήκην. Sic Bekkeri editio, haud dubie ex codicibus: priores Σ. δὲ καὶ συλλήστριαν καὶ σύγκοιτον 'Α. εἶπεν. (σύγκοιτον φίλην comicus ap. Plutarch. Moral. p. 1098 e.) εἴρηκε δὲ καὶ συστάδας ἀμπέλους καὶ σύμποδα καὶ συνθήκην. Idem 2, 56. Καὶ θεάτρια καὶ συνθεάτρια ἡ παλαιὰ κωμῳδία. Ξυνθεάτρια Procop. Hist. arc. p. 28 e. Quibus addimus cognata ex 4, 106. Πρόσχορον δὲ Ἀριστοφάνης τὴν συγχορεύουσαν κέκληκε. τὴν δ' αὐτὴν καὶ συγχορεύτριαν. Verbum προσχορεύσω (quo utitur Pollux 4, 81.) restitui Ran. 416. ubi in libris sola superest praepositio πρός.

400. Athenaeus 7. p. 287 a. Σπεύσιππος δὲ καὶ οἱ ἄλλοι Ἀττικοὶ βόακας. 'Α. Σκηνὰς καταλαμβανούσαις

Ἀλλ' ἔχουσα γαστέρα

μεστὴν βοάκων ἀπεβάδιζον οἴκαδε.

Sine nomine fabulae Etymolog. M. p. 218, 30. et partim Zonaras vol. 1. p. 413. V. 1. ἔχουσι codex Dorvill. Etym. M.

401. Pollux 7, 157. ubi de armorum generibus exponit, 'Α. δ' ἐν Σκηνὰς καταλαμβανούσαις ἔφη

Καὶ τῶν πλατυλόγχων διβολίαν ἀκοντίων.

Idem 10, 144. propter vocabulum πλατυλόγχων hunc versum afferens diversam praebet scripturam "Καὶ τῶν πλατυλόγχων, ὡς ὁρᾷς, ἀκοντίων."

402. Pollux 7, 202. 'Α. ἐν Σκηνὰς καταλαμβανούσαις

Τὴν πόρδαλιν καλοῦσι τὴν κασαλβάδα.

403. Athenaeus 4. p. 169 e. Τὴν χύτραν δ' 'Α. ἐν Σκηνὰς καταλαμβανούσαις κακκάβην εἴρηκεν οὕτως

Τὴν κακκάβην γὰρ κᾶε τοῦ διδασκάλου.

Codex κᾶστοῦ. Correctum ex Polluce 10, 106. Vocabulo κακκάβη utitur Δαιταλέων fragm. 26. et Daedali fragm. 241.

404. Pollux 10, 114. Ὁ δὲ 'Α. ἐν Σκηνὰς καταλαμβανούσαις ἔφη "Ὥσπερ κόσκινον αἰρόπινον τέτρηται." Cribrum αἰρόπινον dicit quo frumentum ab lolio purgatur. Vide Stephani Thesaur. s. h. v.

405. Pollux 10, 147. — τάχα δὲ καὶ μοχλίον, εἰ καὶ τοῖς τοιχωρύχοις τοῦτο προστιθέασιν οἱ κωμῳδοποιοί. καὶ μοχλίσκον δὲ τὸ τοιοῦτον 'Α. ἐν Σκηνὰς καταλαμβανούσαις ὠνόμασεν εἰπὼν "Τοῖχον μοχλίσκῳ καταβαλεῖν." Libri καλάνειν, καλαύειν, κλαύειν, καλύνειν. Ego de duabus Salmasii coniecturis, καταβαλεῖν et σαλεύειν, priorem praetuli. σκαλεύειν Kuhnius.

406. Scholiasta Equitum v. 422. Κοχώνη τόπος ὑπὸ τὸ αἰδοῖον, τὸ μεταξὺ τῶν μηρῶν καὶ τῆς κοτύλης καὶ τῶν ἰσχίων. μέμνηται δὲ τῆς κοχώνης καὶ ἐν Σκηνὰς καταλαμβανούσαις "'Ἀλλὰ συσπάσαι (sic cod. Flor. pro συσπᾶσθαι) δεῖ τὰς κοχώνας." Nisi τὼ κοχώνα dixit, cui etiam in Equitibus v. 426. 487. alterum illud ab librariis suffectum fuit.

407. Hesychius, Οὐ γὰρ ἄκανθαι: παροιμία. 'Α. Σκηνὰς καταλαμβανούσαις [ἄκανθαι.

Οὐδ' ἴσως ἀντέλεγες τούτῳ τῷ δειπνίῳ· οὐ γὰρ

In initio versus fortasse οὐδ' ἂν ἴσως corrigendum. δειπνίῳ Heinsius pro δειπνείῳ. De proverbio vide Δραμάτων fragm. 266.

408. Pollux 10, 28. Τὸ μὲν σκεῦος κόρημα ὑπὸ Εὐπόλιδος εἴρηται ἐν τοῖς Κόλαξι "Τουτὶ λαβὼν τὸ κόρημα τὴν αὐλὴν κόρει." τὸ δὲ κορούμενον ἐν Σκηνὰς καταλαμβανούσαις Ἀριστοφάνους

Ὡσπερεὶ Καλλιππίδης

ἐπὶ τοῦ κορήματος καθέζομαι χαμαί.

V. 1. ὥσπερ ἐν Καλλιππίδῃ libri. Correxit Toupius Emend. vol. 4. p. 386. post Hemsterh. Anecd. vol. 1. p. 209.

409. Photius p. 404, 20. Πεζίδα: τὴν ὤαν τοῦ ἱματίου. 'Α. Σκηνὰς καταλαμβανούσαις.

410. Pollux 10, 172. Τὴν δὲ πήραν πηρίδιον εἴποις ἄν, ὡς ἐν Σκηνὰς καταλαμβανούσαις 'Α.

411. Hesychius, Τριτοστάτης: 'Α. ἐν Σκηναῖς. Corrige Τριτοστάτις. Pollux 4, 106. Καὶ τὴν γυναῖκα δὲ τριτοστάτιν 'Α. καλεῖ.

412. Harpocratio, Δήμαρχος: — ὅτι δὲ ἠνεχυρίαζον οἱ δήμαρχοι δηλοῖ 'Α. ἐν Σκηνὰς καταλαμβανούσαις.

# ΤΑΓΗΝΙΣΤΑΙ.

De Tagenistarum argumento verisimilis est Suevernii coniectura in commentatione de Avibus p. 42. prolata, qui Calliam Hipponici filium eiusque parasitos, ex quibus chorum constitisse credibile est, hac fabula exagitatos esse suspicatur. Eodem consilio Eupolis Κόλακας comoediam celebratissimam scripsit, cum Aristophanis Pace et Leuconis Phrateribus olympiadis undenonagesimae anno tertio in certamen com-

missam, de qua optime disputatum est ab Meinekio in Hist. Com. p. 135 seqq. Cum nomine autem ταγηνιστῶν apte ab Suevernio comparati sunt οἱ περὶ τάγηνον καὶ μετ' ἄριστον φίλοι, quos dixit Eupolis apud Plutarchum Moral. p. 54 b.

**413.** Athenaeus 10. p. 418 d. Ἔλεγον δὲ καὶ Θετταλικὴν ἔνθεσιν τὴν μεγάλην. Ἕρμιππος Μοίραις "Ὁ Ζεὺς δὲ τούτων οὐδὲν ἐνθυμούμενος | μύων ξυνέπλαττε Θετταλικὴν τὴν ἔνθεσιν." ταῦτα δὲ καπανικὰ εἴρηκεν Ἀ. ἐν Ταγηνισταῖς

Τί πρὸς τὰ Λυδῶν δεῖπνα καὶ τὰ Θετταλῶν,
τὰ Θετταλικὰ μὲν πολὺ καπανικώτερα.

οἷον τὰ ἁμαξιαῖα. Θετταλοὶ γὰρ τὰς ἀπήνας καπάνας ἔλεγον. V. 2. legebatur καὶ τὰ Θετταλικῶν, unde Brunckius καὶ Athenaeo tribuit et duo fragmenta constituit. καὶ omisit Stephanus in Thesauro vol. 4. p. 943. Θετταλικὰ epitomae auctor, qui ita scribit, Ἀ. δὲ τὰ Λυδῶν δεῖπνά φησι καὶ τὰ Θετταλῶν, καὶ τὰ Θετταλικὰ μὲν πολὺ καπανικώτερα. οἷον — ἔλεγον, cum eoque Eustathius p. 857, 28. Hesychius, Καπανικώτερα: ἀπὸ τῆς φάτνης, χορταστικώτερα. τινὲς δὲ ἀντὶ τοῦ μείζονα (μείζονος codex). καπάνας γὰρ ἀπήνας λέγουσιν.

**414.** Athenaeus 15. p. 677 b. Ἰσθμιακόν. οὕτως τοῦτον καλούμενον στέφανον Ἀ. μνήμης ἠξίωσεν ἐν Ταγηνισταῖς λέγων οὕτως

Τί οὖν ποιῶμεν; χλανίδ' ἐχρῆν λευκὴν λαβεῖν·
εἶτ' ἰσθμιακὰ λαβόντες ὥσπερ οἱ χοροὶ
ᾄδωμεν ἐς τὸν δεσπότην ἐγκώμιον.

V. 3. ἐς apographum Florent. εἰς codex. δεσπότην Suevernius Calliam dici suspicatur.

**415.** Photius p. 13, 2. Ἐρείδειν: τὸ ἐσθίειν σφοδρῶς, ἢ ἄλλο τι ἐνεργεῖν συντόνως. Ταγηνισταῖς

Ἐρείδετον, κἀγὼ κατόπιν σφῷν ἕψομαι.

**416.** Suidas, Ἀπασκαρίζειν: Ἀ. Ταγηνισταῖς

Ἀπασκαρίζειν ὥσπερεὶ πέρκην χαμαί.

**417.** Suidas et Bekkeri Anecd. p. 439, 22. Ἀποχρώντως: αὐτάρκως, ἱκανῶς. Ἀ. Ταγηνισταῖς

Ἀλλὰ στεφάνωσαι καὶ γὰρ ἡλικίαν ἔχεις
ἀποχρῶσαν ἤδη.

**418.** Scholiasta Nubium v. 360. et Suidas s. v. Πρόδικος, Προδίκῳ: — μνημονεύει δ' αὐτοῦ — καὶ Ἀ. ἐν Ταγηνισταῖς

Τὸν ἄνδρα τόνδ' ἢ βιβλίον διέφθορεν,
ἢ Πρόδικος ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις.

V. 1. τόνδ' scripsi pro τοῦτον. Brunckius ἢ delevit. εἷς γέ τις] εἴσφρησις scholiasta. Proclus in commentario in Platonis Parmenidem apud Ruhnken. ad Xenoph. Memor. 1, 2, 31. (apud Cousin. vol. 4. p. 50.) Αὐτὸν μὲν τὸν Σωκράτην πτωχὸν ἀδολέσχην καλούντων τῶν κωμῳδοποιῶν, καὶ τοὺς ἄλλους δὲ ἀπαξάπαντας, καὶ τοὺς ὑποδυομένους εἶναι διαλεκτικούς, ὡσαύτως ὀνομαζόντων "Μισῶ δὲ καὶ Σωκράτην τὸν πτωχὸν ἀδολέσχην, ἢ Πρόδικος, τῶν ἀδολεσχῶν εἷς γέ τις." In quibus Aristophanis verba cum Eupolidis fragmento coaluerunt, ex quo Olympiodor. ad Platon. Phaedon. p. 175. ed. Wyttenbach. haec attulit de Socrate dicta, Τί δῆτα ἐκεῖνον τὸν ἀδολέσχην καὶ πτωχόν, ὃ τ' ἄλλα μὲν πεφρόντικεν, ὁπόθεν καταφαγεῖν ἔχοι, τούτου κατημέληκε. Eupolidis igitur versus fuerunt,

Μισῶ δὲ κἀγὼ (vel καὶ τὸν) Σωκράτη, τὸν πτωχὸν ἀδολέσχην,
ὃς τἄλλα μὲν πεφρόντικεν,
πόθεν δὲ καταφαγεῖν ἔχοι, τούτου κατημέληκε.

Versus secundi aut pars altera omissa est, aut dimetrum inter tetrametros posuit poeta, ut Aristophanes fecit in Eccles. 483—485. Illa autem τί δῆτ' ἐκεῖνον Olympiodori sunt fortasse recordati Aristophanis Nub. v. 180. τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;

**419.** Harpocratio, Ἀπολαχεῖν: ἀντὶ ἁπλοῦ τοῦ λαχεῖν. — Ἀ. Ταγηνισταῖς "Οὐ μὴν ὅ γε σὸς ἀδελφὸς οὐ ἀπελάγχανεν." Bekkeri Anecd. p. 430, 9. Ἀπολαχεῖν: ἀντὶ τοῦ λαχεῖν. οὕτω Λυσίας καὶ Ἀ. καὶ Ἀντιφῶν. et Zonaras vol. 1. p. 265. οὐ ἀπελάγχανεν] οὕτως ἀπέλαχεν Dobraeus.

**420.** Athenaeus 3. p. 110 f. Κολλάβους δ' ἄρτους ὁ Ἀ. ἐν Ταγηνισταῖς "Λαμβάνετε κόλλαβον ἕκαστος." καὶ πάλιν "ἢ δέλφακος — κολλάβων χλιερῶν (fr. 421.)".

**421.** Athenaeus 3. p. 96 c. Γλώσσης δὲ μέμνηται Ἀ. ἐν Ταγηνισταῖς διὰ τούτων [κάπτων.

Ἅλις ἀφύης μοι. παρατέταμαι γὰρ τὰ λιπαρὰ
ἀλλὰ φέρεθ' ἠπάτιον, ἢ καπριδίου νέου
κόλλοπά τιν'· εἰ δὲ μή, πλευρόν, ἢ γλῶτταν, ἢ
σπληνός, ἢ νῆστιν, ἢ δέλφακος ὀπωρινῆς
ἠτριαίαν φέρετε δεῦρο μετὰ κολλάβων
χλιαρῶν.

Partes huius loci afferuntur ab Athenaeo 3. p. 107 f. 110 f. 9. p. 374 f. scholiasta Equitum v. 642. Acharn. v. 640. Suida s. v. ἅλις, ἀφύα, θωπεύει et παρατέταμαι, Etymolog. M. p. 439, 44. Eustathio p. 1752, 16. V. 1. μοι omisit Suidas l. l. et s. v. θωπεύει, omissis τὰ λιπαρά. V. 2. Legebatur φέρετ' ἀπόβασιν ἠπάτιον. Illud ἀπόβασιν nihil aliud esse videtur quam depravata vocis ἠπάτιον scriptura. V. 4. σπληνός] Photius p. 299, 5. Νῆστιν: τὸ ἔντερον ἢ σπλῆνα ἢ γλῶτταν. Ἀ. unde Hermannus σπλῆνά γ'. V. 5. ἠτριαῖον Athen. p. 374. ἠτριαῖον ex fragm. 302., ἠτριαία, θηλυκόν, ex Tagenistis memoratur ab Etymolog. M. V. 6. χλιερῶν p. 110.

**422.** Athenaeus 7. p. 285 e. Ἀφύδια δ' Ἀ. Ταγηνισταῖς

Μηδὲ τὰ Φαληρικὰ τὰ μικρὰ τάδ' ἀφύδια.

Legebatur τὰ μικρὰ τὰ φαληρικά. Transposuit Porsonus.

**423.** Pollux 10, 88. Καὶ κυλίχνας δὲ ἀγγεῖον ὀψοφόρον ἐν Ταγηνισταῖς δόξειεν ἂν Ἀ. λέγειν εἰπὼν

Τὸ δ' ἔτνος τοὐν ταῖς κυλίχναις τουτὶ θερμὸν καὶ
τοῦτο παφλάζον.

τοὐν scripsi pro ἐν.

**424.** Athenaeus 4. p. 171 b. Οψώνην δ' εἴρηκεν Ἀ. ἐν Ταγηνισταῖς διὰ τούτων

Ὡς οὐψώνης διατρίβειν
ἡμῶν ἄριστον ἔοικε.

τὸ ante ἄριστον delevi. ὁπότ' ἄριστον παραθήσει dixit in Vespis v. 613.

**425.** Pollux 10, 151. Ἐπὶ τοῦ αὐτοῦ δὲ (τοῦ βαλλαντίου) κύστιν ὑείαν ἐν Ταγηνισταῖς

Ὁ δὲ λύων κύστιν ὑείαν
κάξαιρῶν τοὺς Δαρεικούς.

κάξαιρῶν] Vulgo κάξαίρων. Versus sunt paroemiaci ut fragm. 424. ut dixi in ed. Oxon. p. 649. Quo metri genere per plures versus continuato usus est Cratinus in Ὀδυσσεῦσιν, unde quattuor versus afferunt Hephaestio p. 51. ed. sec. Gaisf. et schol. Aristoph. Pluti v. 598.

**426.** Scholiasta Ranarum v. 295. Ἔνιοι δὲ (τὴν ἔμπουσαν) τὴν αὐτὴν τῇ Ἑκάτῃ, ὡς Ἀ. ἐν τοῖς Τ.

Χθονία θ' Ἑκάτη
σπείρας ὄφεων ἐλελιζομένη.

εἶτα ἐπιφέρει "τί καλεῖς (Ἑκάτην inserit Bergkius) τὴν ἔμπουσαν; V. 1. Libri Χθονίας Ἑκάτης πεῖρα σοφῶν. Correxit Porsonus apud Dobraeum p. 61. V. 2. ἐλελιζομένη Seidlerus pro ἐξελιξομένη. Hesychius, Ἐλελιζομένη: σειομένη. Sophocleum e Ῥι-

ζοτόμοις fragmentum (480.) apud schol. Apollonii Rhod. 3, 1213. comparavit Seidlerus, in quo Ἑκάτη per coelum et terram ferri perhibetur στεφανωσαμένη δρυΐ καὶ πλεκταῖς ὠμῶν σπείραισι δρακόντων.

**427.** Athenaeus 9. p. 410b. Χειρόμακτρον δὲ καλεῖται ᾧ τὰς χεῖρας ἀπεμάττοντο ὠμολίνῳ. — Ἀ. Ταγηνισταῖς

Φέρε παῖ ταχέως κατὰ χειρὸς ὕδωρ,
παράπεμπε τὸ χειρόμακτρον.

**428.** Athenaeus 10. p. 422f. Καὶ ἠρίσταμεν δ' εἴρηκεν Ἀ. ἐν Ταγηνισταῖς

Ὑποπεπώκαμεν μέν, ὦνδρες, καὶ καλῶς ἠρίσταμεν.

Ὑποπεπώκαμεν pro ὑποπεπτώκαμεν correxit Schweighaeuserus. μὲν addidit Erfurdtius: γὰρ volebat Porsonus.

**429.** Pollux 10, 173. Καὶ ἐν Ταγηνισταῖς "Νεβρίδα καὶ λίθους πωρίνους καὶ κηρύκιον."

**430.** Herodianus περὶ μονήρους λέξεως p. 8, 33. Τισαμενὸς, Δεξαμενὸς, Ἀκεσαμενὸς, Κλαυσαμενός· καλεῖται δὲ ἐν Μαλακοῖς· Ἀγχομενὸς "γενναῖα βοιώτιος ἐν Ἀγχομενοῦ" Ἀ. Ταγηνισταῖς. Anchomenum alibi non vidi memoratum. Verba poetae corrupta.

**431.** Herodianus Piersoni p. 465. Ἀπέδραν ἐγὼ τὸ πρῶτον πρόσωπον, οὐχὶ ἀπέδρων. καὶ ἀπέδραμεν ἡμεῖς τὸ πληθυντικόν. καὶ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς "Δεῦρο δ' ἂν οὐκ ἀπέδραμεν." Ex codice Vaticano 1410. haec edidit Bekkerus in Anecdotis p. 1066. De ἀπέδραμεν dixit etiam Phrynichus Bekkeri p. 11, 1. In eiusdem epitomae loco valde perturbato p. 266. ed. Lobeck. Atticistarum de usu aoristi ἀπέδραν praeceptum cum iis, quae de verbo εὐαγγελίζεσθαι attulerat grammaticus, temere commixtum est. Quae enim tanquam Phrynichi comici ex Satyris verba afferuntur, ὅτι πρὶν ἐλθεῖν αὐτὸν εἰς βουλὴν ἔδει καὶ ταῦτ' ἀπαγγείλαντα εὐαγγέλιον πρὸς τὸν θεὸν ἥκειν. ἐγὼ δὲ ἀπέδραν ἐκεῖνον δευριανὸν δεῖ (ed. pr. δευρὶ ἄνθρωπον δή), eorum priora ex duobus Aristophanis locis, Equitum (v. 643.) et Pluti (v. 766.), sunt conficta, postrema autem ἐγὼ δὲ — δή, ad quae corrigenda plus una patet via, comici sunt verba propter aoristum ἀπέδραν commemorata. Bergkio duo fragmenta esse videntur, alterum Ἐγὼ δ' ἀπέδραν ἐκεῖνον, alterum Δευρὶ δ' ἂν οὐκ ἀπέδραμεν. Alia tentavit Cobetus Mnem. vol. 5. p. 182.

**432.** Galenus in commentario ad Hippocratis aphorismos vol. 5. p. 322. ed. Basil. vol. 9. parte 2. p. 315. ed. Charter. Ἀμφιδέξιον Εὐριπίδης εἴρηκε σίδηρον τὸν ἑκατέρωθεν μὲν τέμνοντα, περιδέξιον δὲ τὸν Ἀστεροπαῖον Ὅμηρος τὸν ἀμφοτέραις ταῖς χερσὶν ὁμοίως χρώμενον, ὡς εἰ καὶ ἀμφοτεροδέξιον εἰρήκει κατὰ δὲ τὸν αὐτὸν τρόπον ἀμφαρίστερον Ἀ. εἶπεν ἐν Ταγηνισταῖς ἄνθρωπον ἀμφοτέρωθεν ἀριστερόν. Phrynichus Bekkeri p. 3, 20. Ἀμφαρίστερος: ἐναντίον τοῦτο τῷ περιδέξιος. σκωπτικὸν πάνυ τὸ ὄνομα.

**433.** Pollux 10, 47. Βάθρα, βαθράδια, ὡς ἐν Ταγηνισταῖς. Recte βαθρίδια Hemst. Anecd. vol.1. p. 210.

**434.** Proverbio Διὸς Κόρινθος in Tagenistis usum esse Aristophanem tradit scholiasta Platonis p. 368

**435.** Pollux 10, 101. Καὶ μὴν ἐσχάραν εἴποις ἂν τὸ ἀνθράκιον τοῦτο καὶ ἐσχάριον, Ἀριστοφάνους ἐν Ταγηνισταῖς εἰπόντος ἐσχάρια, καί που καὶ ἐσχαρίδα

**436.** Pollux 7, 149. Τὸ δὲ εὐκαρπεῖν ἐν Ταγηνισταῖς καρπεύειν. Καρπεύειν, quod ex Hyperide supra attulerat Pollux, delet Iungermannus.

Idem 7, 168. Καὶ παραλοῦται δ' Ἀ. ἐν Τ.

Grammaticus in Crameri Anecd. Oxon. vol. 1. p. 223, 19. Δόκος γὰρ πρὸς ἀντιδιαστολὴν τοῦ δοκός ὀξυτόνου τοῦ σημαίνοντος τὴν δόκησιν. καὶ παρὰ Ἀριστοφάνει ἐν Ταγηνισταῖς σημαίνει τὴν ἀγχόνην.

**437.** Scholiasta Platonis p. 383. Ἐκιρνῶντο ἐν ταῖς συνουσίαις κρατῆρες τρεῖς, καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος, — ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ καὶ Ἀ. Ταγηνισταῖς.

**438.** Harpocratio, Κύπασσις: — οἱ γλωσσογράφοι χιτῶνος εἶδός φασιν αὐτὸν εἶναι τὸν κύπασσιν, οἱ μὲν γυναικείου, οἱ δὲ ἀνδρείου. μέμνηται δ' αὐτοῦ — καὶ Ἀ. ἐν τοῖς Ταγηνισταῖς.

**439.** Etymolog. M. p. 551, 23. (Gudian. 358, 22. ubi κωνίσαι) Κωνῆσαι: κυρίως τὸ κέραμον πισσῶσαι. κωνᾶν γὰρ τὸ στρέφειν. καὶ τοὺς βέμβικας κώνους λέγουσι. καὶ Ἀ. δὲ ἐν Ταγηνισταῖς τὸ περιενεγκεῖν κωνῆσαι λέγει. In Vespis v. 600. est περικωνεῖ. Aliorum grammaticorum locos de verbo κωνεῖν collecti sunt in Thesauro vol. 4. p. 2202,

**440.** Pollux 10, 93. Ἐν δὲ Ταγηνισταῖς ὠνόμασταί τι καὶ μελιτηρὸν (male codices nonnulli μελιτήριον) ἄγγος. Sic κεράμιον ὀξηρόν fr. 511.

**441.** Pollux 10, 119. Ὅτι μὲν καὶ μυρίδιον εἴρηκε τὸ μύρον Ἀ. ἐν Ταγηνισταῖς ἰστέον.

**442.** Photius p. 383, 21. et Suidas Παραιξορουσον (sic sine accentu Photii codex, Suidas παραιξοροῦσιν): Ἀ. Ταγηνισταῖς. ἀπέδωκαν δὲ οἱ μὲν παιδιᾶς εἶδός τι, Εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν ἢ ἀπαλλάττεσθαι. Corruptiora haec praebet Apostolius Proverb. 13, 87. qui praemissis Πάντα θεῖν ἐλαύνεται: ἐπὶ τῶν εὐπόρων (corrige Πάντα θεῖ κἀλαύνεται ex Photio p. 378, 12.) ita pergit, παραξοροῦσιν Ἀριστοφάνης — εἶδός τι· ἀφρόνιος δὲ παροιμιῶδες — ἀπαλλάττεσθαι. Illi autem παραιξορουσον nescio an ex Iliad. 3, 325. lux sit petenda, Πάριος δὲ θοῶς ἐκ κλῆρος ὄρουσεν, cui Aeschyli verba comparari possunt in Sept. c. Th. 458. Τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος ἐξ ὑπτίου 'πήδησεν εὐχάλκου κράνους. Fortasse igitur dici solitum est Πάρι ἐξόρουσον, favetque huic coniecturae quod Euphronius dicit ταχέως, respondens Homerico θοῶς. Lenissima quidem est et quae cuique in mentem veniat correctio παρὲξ ὄρουσον, a qua ego consulto abstinui, quia proverbii speciem nullam habet. Non minus mirabile proverbium est ab Photio et Suida memoratum, Ἴθ' ὄρος (libri ἴθορος): παροιμιῶδες ἐπὶ τῶν παρακελευομένων: quocum Naberus comparavit Evang. Matth. 17, 20. ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται.

**443.** Photius, Σπινός: διὰ τοῦ ἑνὸς ν λέγουσιν. Ἀ. Ταγηνισταῖς. Vera scriptura σπίνος est: vide Herodianum περὶ μονήρους λέξεως p. 39, 34.

**444.** Athenaeus 6. p. 269e. ubi priscae vitae descriptiones ex aliis comicis attulit, ita pergit, Τί δεῖ πρὸς τούτοις ἔτι παρατίθεσθαι τὰ ἐκ Ταγηνιστῶν τοῦ χαρίεντος Ἀριστοφάνους;

**445 a.** Stobaeus in capite περὶ συγκρίσεως ζωῆς καὶ θανάτου, 121, 18. Ἀριστοφάνους Ταγηνισταῖς

Καὶ μὴν πόθεν Πλούτων γ' ἂν ὠνομάζετο,
εἰ μὴ τὰ βέλτιστ' ἔλαχεν; ἓν δέ σοι φράσω,
ὅσῳ τὰ κάτω κρείττω 'στὶν ὧν ὁ Ζεὺς ἔχει.
ὅταν γὰρ ἱστῇς, τοῦ ταλάντου τὸ ῥέπον
κάτω βαδίζει, τὸ δὲ κενὸν πρὸς τὸν Δία.

Lemma omittit Trincavellus, totum locum optimus codex Parisinus A. Pro Ταγηνισταῖς in codice Vos-

siano est ταγηνι (τ). Hoc est ταγηνίταις, quemadmodum in loco grammatici Bekkeriani ad fragm. 417. indicato in codice scriptum est et apud Galenum fragm. 432. Verba autem fortasse eiusdem sunt personae cuius est fragmentum 417. V. 4. ἱστᾷς] ἱστῇς Cobetus. Post versum ultimum apud Stobaeum decem alii versus adduntur, qui cum praecedentibus nec cohaerent ullo modo neque Aristophanis sunt, sed novae comoediae poetae. Sunt autem illi versus, quos critici multis coniecturis tentarunt, ita legendi

Οὐ γὰρ ἄν ποτε
οὕτω ⏑ _ ⏑ _ ⏑ ἐστεφανωμένοι
προυκείμεθ' οὐδ' ἂν κατακεχριμένοι ⏑ _,
εἰ μὴ καταβάντας εὐθέως πίνειν ἔδει.
διὰ ταῦτα γάρ τοι καὶ καλοῦνται μακάριοι·
πᾶς γὰρ λέγει τις, ὁ μακαρίτης οἴχεται,
κατέδαρθεν εὐδαίμων, ὅτ' οὐκ ἀνιάσεται.
καὶ θύομέν γ' αὐτοῖσι τοῖς ἐναγίσμασιν
ὥσπερ θεοῖσι καὶ χοάς γε χεόμενοι
αἰτούμεθ' αὐτοὺς τὰ καλὰ δεῦρ' ἀνιέναι

Versus 1. et 2. in unum coaluerant et scribebatur οὕτως. Indicavi lacunam. Codex Vossianus οὕτω στεφανωμένοι. V. 3. Fortasse μύροις excidit. οὐδὲ βακκάρει κεχριμένοι maluit Cobetus Var. Lect. p. 127. V. 8. γ' addidit Grotius. V. 9. χεόμενοι Seidleri emendatio est. Vulgo χέομεν. Aeschylus Pers. 220. Δεύτερον δὲ χρὴ χοὰς γῇ τε καὶ φθιτοῖς χέασθαι.

V. 10. τὰ καλὰ δεῦρ' ἀνιέναι correxi pro δεῦρ' ἀνιέναι τἀγαθά. In cod. Voss. est τὰ καλὰ γαθά, duobus punctis ( : ) super κ et γ positis.

445b. Scholiasta Pacis v. 1174. Σαρδιανικόν: διαφέρουσι γὰρ αἱ Λυδικαὶ βαφαί. — καὶ ἐν Ταγηνισταῖς δὲ τῇ λέξει κέχρηται.

# ΤΕΛΜΗΣΣΗΣ.

Telmesenses, gens Cariae, prodigiorum somniorumque interpretationibus clarissimi, multis celebrati sunt veterum scriptorum locis, quos diligenter collegerunt Iungermannus ad Pollucem 10, 72. Davisius ad Ciceronem de divinatione 1, 41. et Od. Muellerus in libro de Etruscis vol. 2. p. 180. Antiqua nominis scriptura Τελμησῆς est vel Τελμησσῆς, ab librariis in Τελμισεῖς vel Τελμισσεῖς corrumpi solita. Apud scriptores Latinos plerumque *Telmessenses* scribitur: vide Tzschuckium ad Pomponium Melam II, 1. p. 481. III, 1. p. 454.

**446.** Aristides vol. 1. p. 277, 6. Ἡ κωμῳδία γε τὸ λοιπόν ἐστιν, ἔλεγον δὲ ἀναφέρων εἰς τοὺς Τελμισσέας (τελμισέας antiquus codex Laurentianus) τοῦ Ἀριστοφάνους, ὡς ἐκεῖ λόγῳ τις ἠγωνίζετο, ἔργῳ δὲ οὔ. Quae nihilo clariora redduntur versibus ab scholiasta Platonis servatis p. 335. Ἐν δὲ τοῖς Ἀριστοφάνους Τελμισσεῦσι τὸ τέως ἀντὶ τοῦ πρότερον κεῖται

Οὐ γὰρ τίθεμεν τὸν ἀγῶνα τόνδε τὸν τρόπον
ὥσπερ τέως ἦν, ἀλλὰ καινῶν πραγμάτων.

**447.** Athenaei epitome 2. p. 49c. Ἀριστοφάνης

α. Τράπεζαν ἡμῖν φέρε
τρεῖς πόδας ἔχουσαν, τέτταρας δὲ μὴ 'χέτω.
β. καὶ πόθεν ἐγὼ τρίπουν τράπεζαν λήψομαι;

Ex Athenaeo attulit Eustathius p. 1398, 17. Idem p. 867, 25. πέπαικται τὸ "Οἴμοι πῶς ἂν εὕροιμι τρίπουν τράπεζαν;" V. 1. εἴσφερε Porsonus; recte, nisi epitomae auctor post τράπεζαν aliquid omisit. V. 2. τέτταρας Eustathius. Vulgo τέσσαρας. Versum 3. ex Τελμησεῦσιν affert Pollux 10, 80. Idem 6, 83. Καὶ τρίποδες —. καὶ ἔστι τοὔνομα — καὶ ἐν Τελμισεῦσιν Ἀριστοφάνους.

**448.** Pollux 10, 72. Ἀ. ἐν Τελμησεῦσι (alii libri τελμισσεῦσι) λέγει

Οἴνου τε Χίου στάμνον ἥκειν καὶ μύρον.

**449.** Pollux 10, 82. Ἀ. δ' ἔοικε διαιρεῖν τινας ἀπύρους καὶ ἐμπύρους πινακίσκους, ὡς ὅταν φῇ ἐν Τελμησεῦσι (codices aliquot τελμισσεῦσι) "Πινακίσκον ἄπυρον ἰχθυηρόν." In Pluto v. 814. est τοὺς πινακίσκους τοὺς σαπροὺς τοὺς ἰχθυηρούς.

**450.** Stephanus Byzant. Τελμισσός: πόλις Καρίας, ὡς δὲ Φίλων καὶ Στράβων, Λυκίας. ἔστι γὰρ ἀμφοτέρων ὅριον μετὰ Δαίδαλα. ὁ πολίτης Τελμισσεύς. καὶ δρᾶμα Ἀριστοφάνους Τελμισσεῖς. λέγεται καὶ τετρασυλλάβως Τελεμισσεῖς, ὡς αὐτὸς ἐν αὐτῷ

Ὡς ἄν τις ἂν οὖν ἤ τι ποιήσας ὡς Τελεμισσεῖς.

καὶ πάλιν

Φέρε δὴ τοίνυν ταῦθ' ὅταν ἔλθῃ, τί ποιεῖν χρή μ',
ὦ Τελεμισσεῖς;

ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν, οὗ πρὸ τῆς τελευταίας συλλαβῆς ἀνάπαιστος τάττεται, σπανιαίτατα δὲ σπονδεῖος. Prior versus aperte corruptus. ἤτι codex Vratislaviensis, ἦτι Vossianus. Vulgo ὅτι. ἤ τί Meinekius. Dobraeus, Ὡς ἄν τις ἄνουν τι ποιήσας, ὦ Τελεμισσεῖς. Sed ἤ τι omnino servandum, post ποιήσας autem tres quattuorve syllabae excidisse videntur. Fortasse, Ὁπόταν τις ἄνουν ἤ τι ποιήσας, τί ποιεῖν χρή μ', ὦ Τελεμησῆς; Stephanum autem Τελμησσός et reliqua omnia per η scripsisse, quod restituit Meinekius, ex sequentibus apparet, ubi Τελμήσσιος, quod ipsum quoque librarii Τελμίσσιος scripserunt, cum Λυρνήσσιος comparat. Ceterum quadrisyllaba forma Τελεμήσσιοι etiam in catalogo tributorum reperitur.

**451.** Hesychius, Μετάλλειον μύρον: Ἀ.

Μεταπέμπου νυν ταῦτα σπουδῇ καὶ μύρον, εὕρημα Μετάλλου.

Μέταλλος γάρ τις Σικελιώτης τὴν τοῦ Μεταλλείου μύρου κατασκευὴν εὗρε. μνημονεύει δὲ καὶ Φερεκράτης ἐν τῇ Πετάλῃ. Ab aliis Μέγαλλος vocatur, de quo Athenaeus 15. p. 690f. Τὸ Μεγάλλιον· ὠνομάσθη γὰρ καὶ τοῦτο ἀπὸ Μεγάλλου τοῦ Σικελιώτου. οἱ δ' Ἀθηναῖόν φασιν εἶναι τὸν Μέγαλλον. μνημονεύει δ' αὐτοῦ Ἀ. ἐν Τελμισσεῦσι καὶ Φερεκράτης ἐν Πετάλῃ. In Aristophanis versu eam scripturam diserte testatur Etymolog. M. p. 587, 7. Μετάλλειον: οὕτω μύρον ἐλέγετο ἀπό τινος Μετάλλου Σικελιώτου, εὑρόντος αὐτοῦ τὴν κατασκευήν· ὃ καὶ διὰ τοῦ γ γράφει Ἀ. Τελμισεῦσιν. Ὧρος.

**452.** Athenaeus 7. p. 308f. ubi de κορακίνοις agit, ex Τελμισσεῦσιν affert verba "Μελανοπτερύγων κορακίνων."

**453.** Bekkeri Anecd. p. 386, 6. Ἀλφιτόχρωτος κεφαλῆς: τῆς πολιᾶς. Τελμισσεῦσιν Ἀ. Codex ταλμισσεῦσιν. Hesychius, Ἀλφιτόχρως: λευκή, πολιά. Eustathius p. 868, 37. Ἀλφιτόχρως κεφαλὴ κατὰ τοὺς παλαιοὺς ἡ πολιά. Idem p. 976, 53. Οἱ κωμικοὶ ἀστεϊζόμενοι ἀλφιτόχρωτας καὶ τοιαῦτά τινα σκώπτουσι τοὺς πολιούς.

454. Hesychius, Πύλαι: Ἀ. Τελμησεῦσιν (codex τελμινσεῦσιν) ἀπὸ (ἐπὶ Heinsius) τῶν θυτῶν λέγει. ἐκεῖνοι γὰρ ἐπισκέπτονται τὰς ἐκτροπὰς τοῦ ἥπατος καὶ τὰς φλέβας. Dobraeus "Primum lege ἐπὶ τῶν cum Heinsio. Deinde delendum videtur Πύλαι, ut ad praecedens Πυλαγόροι (ita enim MS.) referantur. Postremo non Πυλαγόρους, sed πυλαωροὺς dixisse comicum suspicor." Recte Dobraeus. Conf. Mueller. Etrusc. vol. 2. p. 187.

455. Harpocratio, Σιπύα: — σιτηρὸν ἀγγεῖόν ἐστιν ἡ σιπύα. ἔστι δὲ πολλάκις παρὰ τοῖς ἀρχαίοις κωμικοῖς. Εὔπολις Χρυσῷ γένει, Ἀ. Τελμισεῦσιν. Σιπύη est in Equitum v. 1301. in Pluto v. 806.

456. Etymol. M. p. 142. 143. Ἀρίστυλλος: ὄνομα παρ' Ἀριστοφάνει. εἴρηται δὲ ὑποκοριστικῶς ὁ Ἀριστοκλῆς. ὡς γὰρ παρὰ τὸ Ἡρακλῆς Ἥρυλλος — οὕτω καὶ παρὰ τὸ Ἀριστοκλῆς Ἀρίστυλλος. οὕτως Ἡρωδιανὸς εἰς τὴν Ἀπολλωνίου εἰσαγωγὴν ἢ περὶ παθῶν. Διογενιανὸς ἀντὶ τοῦ ἄριστος. (Recte Bergkius ἀντὶ τοῦ Ἀριστοκλῆς Ἀρίστωνος, ut apud Hesych. Ἀρίστυλλος: Ἀρίστωνος, de quo conf. Meinekii Hist.
σ
Com. p. 288. Ἀ. ἐν Τελμισοῖς (τελμι cod. Dorvill.) Similiter codex Augustanus apud Tittmannum ad Zonaram 1. p. CXXVI. Aristylli nomen legitur in Ecclesiaz. v. 674. in Pluto v. 314.

457. Scholiasta Platonis Clarkianus p. 331. Ἀ. δ' ἐν Τελμισσεῦσιν εἰς συκοφάντην ἀποσκώπτει τὸν Χαιρεφῶντα.

# ΤΡΙΦΑΛΗΣ.

Triphaletis nomine Suevernius (in commentatione de Nubibus p. 62—65. additamentis quibusdam aucta in appendice ad commentationem de Γήρᾳ p. 44.) Alcibiadem indicari suspicatus est, Hesychii potissimum loco confisus, Ἐπὶ Φαληνίου: τὸν Ἀλκιβιάδην φησὶν ὁ Ἀριστοφάνης (sic Pearsonus pro Ἀρίσταρχος) ἐπὶ Φαληνίου γεγενῆσθαι, σκώπτων παρὰ τὸν Φάλητα. ἐπασχητία γὰρ ὁ Φάλης (φαλῆς codex). ubi aut ἐπασχητία γὰρ ὁ Ἀλκιβιάδης scribendum, aut delendum ὁ φάλης.

Paullo diversa est I. G. Schneideri sententia, qui in annotationibus ad Aristotelis Politica vol. 2. p. 510. Τριφάλητα daemonem fuisse arbitratur, quales sunt Κονίσαλος et Ὀρθάνης, ab eoque etiam Varronem satirae cuidam nomen fecisse Triphallo περὶ ἀρρενότητος: opinione parum probabili. Ad Aristophanis fabulam respexisse videtur Lucianus Fugit. c. 32. Ὑποδ. Ἔστι τί, ὦγαθέ, Τρικάρανος βιβλίον. Ἑρμ. Οὐδὲν ἄτοπον, ἐπεὶ καὶ Τριφάλης ὁ τῶν κωμικῶν εἷς.

Tempus fabulae Suevernius p. 65. probabiliter constituit olympiadem nonagesimam mediam: cui optime congruit Theramenis commemoratio fragm. 466. qui quadringentorum virorum imperii eo tempore particeps fuit.

458. Scholiasta Platonis p. 380. Ὁμοῦ σημαίνει τὸ ἐγγύς. — Ἀριστοφάνης Τριφάλητι· ἡ γὰρ τὸν Τριφάλητα τίκτουσά φησι

Λάβεσθε· καὶ γὰρ ἐσθ' ὁμοῦ.

Simillimus est Menandri locus "Ἤδη γάρ ἐστι τοῦ τίκτειν ὁμοῦ" apud Harpocrationem, Photium et Suidam s. v. ὁμοῦ et ap. schol. Apoll. Rh. 2. 121. Ad hanc Triphaletis matrem Suevernius in commentatione de Γήρᾳ p. 44. magna cum veri specie refert versum ab Polluce sine fabulae indicio allatum 2, 6. Τὸ δὲ κύημα καὶ κύος Ἀ. κέκληκεν

Ἥτις κύουσ' ἐφάνη κύος τοσουτονί.

459. Hesychius, Ἰλάων: ἥρως, Ποσειδῶνος υἱός, ἀφ' οὗ Ἀ. ἐν Τριφάλητι Ἰλάονας ἔφη τοὺς Φάλητας, μεταφέρων ὡς ὑπερβάλλοντας τῷ μεγέθει, ὡς εἰ ἔλεγε Τιτυούς, ἢ τινας τοιούτους. ἄλλοι δὲ θεὸν πριαπώδη φασίν.

460. Athenaeus 12. p. 525a. — καὶ Ἀ. Τριφάλητι παρακωμῳδῶν πολλοὺς τῶν Ἰώνων

Ἔπειθ' ὅσοι παρῆσαν ἐπίσημοι ξένοι
ἐπηκολούθουν κήντιβόλουν προσκείμενοι
ὅκως ἔχων τὸν παῖδα πωλήσει 'ς Χίον,
ἕτερος δ' ὅκως ἐς Κλαζομενάς, ἕτερος δ' ὅκως
ἐς Ἔφεσον, οἱ δ' ἐς Ἄβυδον. ἦν δὲ πάνθ' ὁδῷ
ἐκεῖνα.

V. 2. κήντεβόλουν Cobetus Mnem. vol. 5. p. 109. V. 3. 4. ὅκως] Codex ὅπως. V. 3. ἔχων] ἄγων Toupius in Addendis in Theocritum p. 409. τὸν παῖδα Suevernius p. 65. intelligit Alcibiadem, qui diu in iis quas nominat poeta regionibus versatus erat, praecipue Abydi. πωλήσει 'ς Casaubonus pro πωλήσεις. Brunckius πωλήσοι 'ς. V. 5. Codex bis εἰς. δὲ πάνθ' ὁδῷ | ἐκεῖνα Toupius. Vulgo δ' ἐκεῖνα πάνθ' ὁδῷ.

461. Scholiasta Vesparum v. 1339. Φιαλεῖς: τῷ ἔργῳ ἐπιβαλεῖς. Ὅμηρος "Αὐτὸς γὰρ ἐπίηλε τάδε ἔργα." — ἐν δὲ Τριφάλησιν Ἀριστοφάνης "Κοὐδὲν ἄνδρα εἰς ἄτοπον οὐδ' ἀνεπιηλαι μέν." Metrum facile restitui potest, Κοὐδέν' ἄνδρ' εἰς ἄτοπον οὐδ' ἂν ἐπιήλαμεν, sed sensum verborum non perspicio.

462. Pollux 9, 90. Ἐν δὲ τῷ Τριφάλητι Ἀ. καὶ ἀργυρίδιον εἴρηκεν

Ἤιτουν τι τὰς γυναῖκας ἀργυρίδιον.

463. Pollux 10, 121. Οὗ δὲ ἔγκεινται αἱ ἀλάβαστοι, ταῦτα τὰ σκεύη ἀλαβαστοθήκας τῶν ἄλλων λεγόντων Ἀ. ἐν Τριφάλητι ἀλαβαστροθήκας ἔφη

Ἀλαβαστροθήκας τρεῖς ἔχουσαν ἐκ μιᾶς.

Videtur Pollucem frequens in codicibus vitium decepisse. Neque enim apparet quid Aristophanem movere potuerit ut forma uteretur ab Atticorum usu aliena.

464. Pollux 10, 151. Καὶ μιξάμενοι δ' ἂν εἴποιμεν σκεύη, βαλλάντια καὶ βαλλαντίδια — καὶ θυλάκιον δὲ καὶ θυλακίσκον. Ἀριστοφάνης γοῦν ἐν Τριφάλητι τοῦτο ὑποδηλοῖ ὅταν φῇ

Ἔπειτ' ἐπὶ τοὔψον ἧκε τὴν σπυρίδα λαβὼν
καὶ θυλακίσκον καὶ τὸ μέγα βαλλάντιον.

465. Pollux 10, 162. Ἡ δὲ καυσία πῖλος Μακεδονικὸς παρὰ Μενάνδρῳ, ὡς τιάρα Περσικός. καὶ κυρβασίαν δὲ Ἀ. ἐν Τριφάλητι εἴρηκε

καὶ τὴν κυνῆν ἔχειν με κυρβασίαν ἐρεῖς.

κυνῆν Salmasius pro κοινήν. Legitur etiam Av. 487.

466. Photius p. 613, 4. et Suidas, Τῶν τριῶν ἕν: Λεγόμενόν τι ἐστί. — ταῦτα δὲ εἶναι λέγουσιν ἃ Θηραμένης ὥρισε προστιμήματα. — Ἀ. Τριφάλητι

Ἐγὼ γὰρ ἀπὸ Θηραμένους δέδοικα τὰ τρία ταυτί.

Hesychius, Τῶν τριῶν ἕν: Θηραμένης ἐψηφίσατο τρεῖς τιμωρίας κατὰ τῶν παρανομόν τι δρώντων. Conf. schol. Ranar. 546.

467. Stephanus Byzant. s. v. Ἰβηρία δύο in par-

ticula operis integri, quam servavit Constantinus Porphyrog. de administrando imperio cap. 23. p. 77. ed. Bandur. Τὸ ἔθνος (ἐθνικὸν Meinekius) Ἴβηρες, ὡς Πίερες, Βύζηρες. Διονύσιος (v. 282.) "Ἀγχοῦ στηλάων μεγαθύμων ἔθνος Ἰβήρων." καὶ Ἀ. Τριφάλητι [λαι·

Μανθάνοντες τοὺς Ἴβηρας τοὺς Ἀριστάρχου πάκαι

Τοὺς Ἴβηρας οὓς χορηγεῖς μοι βοηθῆσαι δρόμῳ.

De Aristarcho, qui inter quadringentos viros fuit et Oenoën, Atheniensium castellum, Boeotiis tradidit, v. Thucyd. 8. 90. 98. (ubi cum sagittariis barbaris Oenoën profectus esse dicitur) et Xenoph. Hist. Gr. 1, 7, 28.

**468.** Hesychius, Ἑρμῆς τρικέφαλος (Ἑρμῆς τετραφάλης Goettling. in Indice scholarum Ienensium a. 1856/7. p. 5.): Ἀ. ἐν Τριφάλητι τοῦτο ἔφη, παίζων κωμικῶς παρόσον τετρακέφαλος Ἑρμῆς ἐν τῇ τριόδῳ τῇ ἐν Κεραμεικῷ ἵδρυτο. De hoc dixit Suevernius p. 64.

**469a.** Harpocratio, Διὰ μέσου τεῖχος: — τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ ὥς καὶ Ἀ. φησὶν ἐν Τριφάλητι, τοῦ τε βορείου καὶ τοῦ νοτίου καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τούτων ἐλέγετο τὸ νότιον, οὗ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ (p. 455a.) De hoc muro dixit Od. Muellerus in comment. de munimentis Athenarum p. 21. et ego ad Harpocr. vol. 1. p. 92. ed. Oxon.

**469b.** Ἱπποκράτους υἱεῖς. Vide Γεωργῶν fr. 177c.

**469c.** Schol. Hippocratis (ad Epidem. 5, 7. vol. 5. p. 208. ed. Littré) apud Daremberg. *Notices et Extraits des manuscrits médicaux* p. 215. Οὐ γάρ, ὥς τινες ἔφασαν, αἱ ὑπογλουτίδες εἰσὶ κοχῶναι, ἀλλὰ τὰ σφαιρώματα (sic Daremb. σφαιρωμένα codex. ἐσφαιρωμένα Eggerus) καλούμενα, σάρκες δ' εἰσὶν αὗται περιφερεῖς, ἐφ' αἷς καθήμεθα, ὡς καὶ Ἀριστοφάνης ὁ κωμικὸς ἐν Τριφάλητι

Τίς δὲ εἷς ἐγγύτατα ὁ λοιπὸς τὰς ὀσφύας
ἐπὶ τῶν κοχωνῶν ἀργὸς αὐτὸς οὑτοσί;

De verbis corruptis alii alia coniecerunt, ut videre licet apud Darembergium et Meinekium Com. vol. 5. p. CXLVII. Meinekius ipse coniecit

Τίς δ' ἔστ' ὀλίγας ἐγγύτατα τὰς ὀσφῦς ἔχων
ἐπὶ τῶν κοχωνῶν ἀργοναύτης οὑτοσί;

Ἀργοναύτης coniecerat Schneidewinus, cui ὁ λοιπὸς ex ὁ λίσπος (Attica forma λίσφος est) corruptum videbatur.

---

**469d.** Ad hanc fabulam fortasse referendus Dionis Chrys. locus vol. 2. p. 31. Ἀλλ' ὅμως ὁ κωμικὸς καὶ τοῦτον ἐκέλευσε κατακαίειν ἐπὶ φαλήτων συκίνων ἑκκαίδεκα.

# ΦΟΙΝΙΣΣΑΙ.

Phoenissas probabile est non alio esse consilio ab Aristophane scriptas quam ut Euripideum hoc nomine drama deridendum spectatoribus propinaret. Cuius rei duo de sex quae nostram aetatem attigerunt fragmentis indicia praebent. Par Strattidis Phoenissarum ratio fuit. De utroque ante nos monuit Valckenarius in praefatione ad Phoenissas p. VI. Phoenissas autem Euripidis quum brevi post Aves Aristophanis (i. e. post olymp. 91, 1.) tempore editas esse constet, de quo dixi ad schol. Eurip. vol. 3. p. 4., probabile est comoediam Aristophaneam olympiadi 92. vel 93. esse adscribendam.

**470.** Pollux 10, 119. Ἀριστοφάνους δ' ἐν ταῖς Φοινίσσαις εἰπόντος

Στίλβη θ', ἣ κατὰ νύκτα μοι
φλόγ' ἀνασειράζεις ἐπὶ τῷ
λυχνείῳ·

οὐκ ἀφανὲς ὅτι καὶ ἡ στίλβη λύχνου τι εἶδος. V. 2. Legebatur φλογάνας ἠράζεις. Emendatum in Excerptis Vossianis. V. 3. λυχνείῳ scripsi pro λυχνίῳ. Ridet autem his versibus parodi Euripideae v. 236. Οἶνα θ', ἃ καθαμέριον | στάζεις τὸν πολύκαρπον οἰ- | νάνθας ἱεῖσα βότρυν.

**471.** Athenaeus 4. p. 154e. Ὅτι δὲ ἀρχαῖον ἦν τὸ περὶ τοὺς μονομάχους Ἀ. εἴρηκεν ἐν Φοινίσσαις οὕτως

Εἰς Οἰδίπου δὲ παῖδε, διπτύχω κόρω,
Ἄρης κατέσκηψ' ἔς τε μονομάχου πάλης
ἀγῶνα νῦν ἑστᾶσιν.

V. 1. Εἰς scripsi pro ἐς. δὲ παῖδε Heringa apud Valckenar. ad Phoeniss. v. 1370. p. 461. pro δέτται δέ V. 2. κατέσκηψ' ἔς τε Porsonus. Legebatur κατέσκηψέ τε. Euripidis versus 1378—1381. comparavit Valckenarius, ἐπεὶ δὲ χαλκοῖς σῶμ' ἐκοσμήσανθ' ὅπλοις | οἱ τοῦ γέροντος Οἰδίπου νεανίαι, | ἔστησαν ἐλθόντ' ἐς μέσον μεταίχμιον | ὡς εἰς ἀγῶνα μονομάχου τ' ἀλκὴν δορός.

**472.** Pollux 10, 17. Ἀλλὰ μὴν καὶ ἀνάφορον κατὰ τὴν τῶν πολλῶν χρῆσιν εἴη ἂν ταὐτὸν τοῦτο (τὸ σκευοφόριον) εἰρημένον ἐν Ἀριστοφάνους Φοινίσσαις "Καὶ τὸν ἱμάντα μου | ἔχουσι καὶ τἀνάφορον." Legitur etiam Ran. v. 8. et annotavit Phrynichus in Bekk. Anecd. p. 10, 23.

**473.** Suidas et Bekkeri Anecd. p. 370, 2. (apud Bachmannum 1. p. 60.) Ἀκαλήφη: ἡ κνίδη καὶ ἡ χερσαία καὶ ἡ θαλαττία, ἥτις ἐστὶ κογχυλίδιόν τι. Ἀ. Φοινίσσαις

Εἰκὸς δήπου πρῶτον ἁπάντων
ἴφυα φῦναι
καὶ τὰς κραναὰς ἀκαλήφας.

ἁπάντων omisit grammaticus Bekkeri. Apud utramque scriptum φυαφῦναι vel φύα φύναι. Correctum ex Athenaeo 3. p. 90a. Τὰς δὲ κνίδας ὁ Εὔπολις ἐν Αὐτολύκῳ ἀκαλήφας ὀνομάζει, ἔτι δὲ Ἀριστοφάνης ἐν Φοινίσσαις οὕτως "ἔχε τὸν πρῶτον πάντων ἴφυα φῦναι εἶθ' ἑξῆς τὰς κραναὰς ἀκαλήφας." Eiusdem epitome 2. p. 62d. Ἀκαλήφη. λέγεται παρὰ τοῖς Ἀττικοῖς οὕτως καὶ τὸ βοτανῶδες καὶ κνησμοῦ αἴτιον. Ἀ. Φοινίσσαις "πρῶτον πάντων ἴφυα φῦναι εἶθ' ἑξῆς τὰς κραναὰς ἀκαλήφας." Illud καὶ ἑξῆς fortasse ex εἰκὸς δήπου effictum, aut ipsius Athenaei aut alius errori debetur. De ἰφύοις dictum ab Schneidero ad Theophrastum vol. 3. p. 520. Ἀκαλῆφαι ex hoc loco memorantur in scholio Vesparum v. 879. τὴν ἀκαλήφην: τὴν λεγομένην κνίδην, ἣν προσφέροντες τῷ σώματι κνηστιᾶν αὐτὸ ποιοῦμεν. Ἄλλως. μεταφορικῶς τὸ τραχὺ καὶ δηκτικόν, ἣν καὶ (κραναὴν addit H. Iacobi ap. Meinek. Com. vol. 5. p. 69.) ἀκαλήφην λέγεσθαί φησι Κράτης (grammaticus) ἐν (ἐν ego addidi) Φοινίσσαις. ἔστι δὲ καὶ θαλάττιος ἰχθὺς οὕτω λεγόμενος ἀκαλήφη. Versus 3. affertur etiam in Crameri Anecd. Paris. vol. 4. p. 104, 26. ἀκαλήφη δὲ ἡ θαλασσία, ἥτις καὶ διὰ τοῦ ι γρά

φεται, ἔστι κοχυλίδιόν τι. Ἀ. "καὶ τὰς κραναὰς ἀκαλίφας."

**474.** Pollux 10, 155. Γαλεάγρα: τὸ δὲ ὄνομα ἐν τοῖς ἐπιγραφομένοις Δημοσθένους πρὸς Ἀριστογείτονα· καὶ μυάγρα· Ἀ. δὲ ἐν Φοινίσσαις κέχρηται τῷ ὀνόματι. ubi τῷ ὀνόματι ad μυάγρα referendum esse patet.

**475** Pollux 7, 199. Ἐν ταῖς Ἀριστοφάνους Φοινίσσαις θεατροπώλης ὁ θέαν ἀπομισθῶν.

---

Athenaeus 15. p. 699f. ex codice Veneto, Μνημονεύει δὲ γραβίων κο (hic finitur folium 370a.) .... ἐν Φοινίσσαις. Dubitatur utrum Aristophanis an Strattidis nomen supplendum sit.

# ΩΡΑΙ.

**476.** Athenaeus 9. p. 372b. Χειμῶνος δὲ ὥρᾳ ποτὲ κολοκυντῶν ἡμῖν περιενεχθεισῶν πάντες ἐθαύμαζον (ἐθαυμάζομεν?) νεαρὰς εἶναι νομίζοντες, καὶ ὑπεμιμνησκόμεθα ὧν ἐν Ὥραις ὁ χαρίεις Ἀριστοφάνης εἶπεν ἐπαινῶν τὰς καλὰς Ἀθήνας ἐν τούτοις

α. Ὄψει δὲ χειμῶνος μέσου σικυούς, βότρυς, ὀπώραν,
στεφάνους ἴων ⏑ ⏒ ⏑ – κονιορτὸν ἐκτυφλοῦντα.
αὐτὸς δ' ἀνὴρ πωλεῖ κίχλας, ἀπίους, σχαδόνας, ἐλάας,
πυόν, χόρια, χελιδόνια, τέττιγας, ἐμβρύεια.
ὑρισοὺς δ' ἴδοις ἂν νιφομένους σύκων ὁμοῦ τε μύρτων·
ἔπειτα κολοκύντας ὁμοῦ ταῖς γογγυλίσιν ἀροῦσιν.
ὥστ' οὐκέτ' οὐδεὶς οἶδ' ὁπηνίκ' ἐστὶ τοὐνιαυτοῦ.
β. μέγιστον ἀγαθὸν εἶπες, εἴπερ ἔστι δι' ἐνιαυτοῦ
ὅτου τις ἐπιθυμεῖ λαβεῖν. α. κακὸν μὲν οὖν μέγιστον. [νῶντο.
εἰ μὴ γὰρ ἦν, οὐκ ἂν ἐπεθύμουν οὐδ' ἂν ἐδαπα-
ἐγὼ δὲ τοῦτ' ὀλίγον χρόνον φήσας ἀφειλόμην ἄν.
β. κἄγωγε ταῖς ἄλλαις πόλεσι δρῶ ταῦτα πλὴν Ἀθηνῶν· [βουσιν.
τούτοις δ' ὑπάρχει ταῦτ', ἐπειδὴ τοὺς θεοὺς σέ-
α. ἀπέλαυσαν ἄρα σέβοντες ὑμᾶς, ὡς σὺ φῄς.
β. τιὴ τί; [Ἀθηνῶν.
α. Αἴγυπτον αὐτῶν τὴν πόλιν πεποίηκας ἀντ'

V. 1. 2. attulit Eustathius p. 955, 3. ex epitome. V. 1. σικυοὺς] σικύους Eustathius. V. 2. Indicavi lacunam ab aliis aliter expletam. κρίνων, ῥόδων Porsonus. V. 3. αὐτὸς] u·υετος codex Venetus: ὠυτὸς apographa. V. 4. πυὸν] Scribebatur πύον. χελιδόνια Porsonus pro χελιδόνα. τέττιγας] Id Herodianus τέττικας scripturus erat. Choeroboscus p. 310, 10. τὰ εἰς ιξ — διὰ τοῦ κ κλίνονται — πλὴν τοῦ τέττιξ τέττιγος. — καὶ λέγει ὁ Ἡρωδιανὸς ὅτι τὸ κεχρεωστημένον ἀνεπλήρωσαν οἱ Δωριεῖς καὶ οἱ Ἀθηναῖοι διὰ τοῦ κ κλίνοντες αὐτὸ, οἷον τέττικος. ταῦτα δέ ἐστι τῆς δόξης ὅτι παρὰ τῷ Θεοκρίτῳ καὶ παρὰ Ἀριστοφάνει διὰ τοῦ κ κλίνεται. ἡ δὲ παράδοσις τῶν ἀντιγράφων οὐκ ἔχει οὕτως, ἀλλὰ διὰ τοῦ γ. Simillimum est de vocabulo ὄρτυξ decretum Philemonis. Choeroboscus ibidem p. 82, 26. τινὲς μὲν ὄρτυγός φασι διὰ τοῦ γ, Φιλήμων δὲ διὰ τοῦ κ φησὶν ὄρτυκος. V. 5. Codex ὑρισοὺς altero σ eraso: unde ὑρισσοὺς est in apographis. Omissa hac voce epitome ἴδοις δ' ἂν νιφόμενα σύκα ὁμοῦ τε μύρτα. Porsonus ὑριχοὺς (debebat ὑρίχους). V. 7. οἶδε πηνίκ' epitome et Eustathius p. 955, 4. V. 8. εἶπες addidit Porsonus. εἶπας ἀγαθὸν Cobetus Mnem. vol. 4. p. 99. V. 11. τοῦτ' Brunckius pro τοῦτον. φήσας] φθάσας Elmsleius in *Edinburgh Review* vol. 19. p. 89. φήνας Cobetus. χρήσας Porsonus. V. 12. ταῖς ἄλλαις πόλεσι] τὰς ἄλλας πόλεις Cobetus Mnem. vol. 9. p. 15. δρῶ Casaubonus pro δρῶν. Ἀθηνῶν Brunckius pro Ἀθηναίων. V. 13. τούτοις] I. e. τοῖς Ἀθηναίοις Addidi δ' ex apographo Laurentiano. ἐπειδὴ τοὺς θεοὺς σέβουσιν] Vide Valckenarii schol. in N. T. vol. 1. p. 551. V. 15. πεποίηκας] πεποιήκασ' epitome, quae post versum decimum sic pergit, εἶτ' ἐπάγει ὅτι σέβοντες τοὺς θεοὺς Αἴγυπτον αὐτῶν τὴν πόλιν πεποιήκασ' ἀντ' Ἀθηνῶν.

Ad hunc locum spectant Athenaei verba 14. p. 653f. Ὅτι δὲ ἐν ταῖς Ἀθήναις διηνεκεῖς ἦσαν αἱ ὀπῶραι πᾶσαι μαρτυρεῖ Ἀριστοφάνης, ἐν Ὥραις. ubi epitome ἐν Εἰρήνῃ, quem errorem repetiit Eustathius notatus ab me supra p. 205.

**477.** Pollux 7, 13. Ὃ δὲ οἱ νῦν φασι τοὺς οἰκέτας πρᾶσιν αἰτεῖν ἔστιν εὑρεῖν ἐν ταῖς Ἀριστοφάνους Ὥραις

Ἐμοὶ
κράτιστόν ἐστιν ἐς τὸ Θήσειον δραμεῖν,
ἐκεῖ δ' ἕως ἂν πρᾶσιν εὕρωμεν μένειν.

V. 1. Ἐμοὶ Toupius Emend. vol. 4. p. 370. Vulgo εἴ μοι. Idem transposuit quod legebatur εὕρωμεν πρᾶσιν. Ceterum non improbabilis est Toupii coniectura in duo versus haec verba redigentis deleto ἐστιν. Idem Porsono visum, qui in annotatione ad Hecubam v. 1238. ἡμῖν κράτιστον εἰς — scribebat. V. 2. Vulgo εἰς. De Θησείῳ dictum ad fragm. 394. Θήσειον pro Θησεῖον scripsi: de quo dixi in Thesauro vol. 4. p. 380.

**478.** Scholiasta Avium v. 874. Φρυγίλῳ Σαβαζίῳ: ἐπεὶ Φρυγῶν ὁ θεός. καὶ ἐν Ὥραις

Τὸν Φρύγα, τὸν αὐλητῆρα, τὸν Σαβάζιον.

Cicero de legibus 2, 15. "*Novos vero deos et in his colendis nocturnas pervigilationes sic Aristophanes, facetissimus poeta veteris comoediae, vexat ut apud eum Sabazius et quidam alii dii peregrini iudicati e civitate eiiciantur.*" Dixit de his diis Lobeckius in Aglaoph. p. 627. 628. Eiusmodi est Ὕης, de quo Photius p. 616, 14. et Etymolog. M. p. 775, 5. Ἀριστοφάνης δὲ συγκαταλέγει ξενικοῖς θεοῖς τὸν Ὕην, ubi tamen valde probabilis Meinekii correctio est Apollophanis nomen restituentis, comparato Hesychio s. v. θεοὶ ξενικοί, — οὓς καταλέγει Ἀπολλοφάνης Κρησί.

**479.** Ammonius p. 41. Διέφθορε: — Ἀ. Ὥραις "Διέφθορας τὸν ὅρκον ἡμῶν." Ὥραις Coddaei correctio est pro Κόραις. Nomen fabulae omisit Eustathius, qui haec verba attulit p. 191, 28.

Idem Ammonius s. v. ὑπάγειν p. 140. — οἱ δὲ βοηθοῦντες τῇ λέξει φασὶν ὅτι ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν — ὥς φησι καὶ Ἀ. "Ἐγὼ δ' ὑπερῶ τὸν ὅρκον" ἀντὶ τοῦ προερῶ. Haec quoque ad Horas refert Burmannus in praefatione p. 26.

**480.** Bekkeri Anecd. p. 425, 3. Ἀπίχθυς (codex ἀπιχθύς): τοὺς μὴ ἐσθιομένους ἰχθῦς. Ἀ. Ὥραις. ubi ἐσθιομένους veteris librarii vel grammatici ipsius errore pro ἐσθίοντας scriptum esse ex Pollucis notatione apparet 6, 41. ἀπόσιτος ὁ ἀπεστραμμένος ἀπὸ σιτίων, ὡς ἄπιχθυς παρ' Ἀριστοφάνει ὁ ἰχθύων ἄγευστος. Vitioso illo ἐσθιομένους deceptus Eusta-

thius p. 1720, 23. significationem finxit quam ἄπιχθυς habere nequit, ut notavit L. Dindorfius in Thesauro vol. 1. part. 2. p. 1322., ἰστέον δὲ ὅτι παντελῶς ὀλίγος ἰχθὺς ἄπιχθυς ἐλέγετο παρὰ τοῖς παλαιοῖς καὶ ἐδήλου τὸν μὴ ἐσθιόμενον. καὶ φέρουσιν ἐκεῖνοι χρῆσιν εἰς τοῦτο ἐκ τοῦ κωμικοῦ. ἐν μέντοι τῷ περὶ ὀνομασίας ἡλικιῶν τοῦ γραμματικοῦ Ἀριστοφάνους φέρεται ὅτι ἀπίχθυες κατά τινας οἱ μὴ ἐσθίοντες ἰχθῦς. καὶ φέρει ἐκεῖνος καὶ Ἀριστοφάνους χρῆσιν ἐξ Ἐρεχθέως ταύτην "τοὐνθένδεν (corrige τοὐνθένδ') ἀπίχθυς βαρβάρους οἰκεῖν δοκῶ." Deinde calami, ut videtur, lapsu, ex praecedente τοῦ γραμματικοῦ Ἀριστοφάνους orto, Ἀριστοφάνους χρῆσιν ἐξ Ἐρεχθέως scripsit pro Εὐριπίδου χρῆσιν ἐξ Ἐρεχθέως, cui quum numeri versus tragici conveniant, tum favent quae ex illa Euripidis tragoedia servavit Clemens Alexandrinus Stromat. 6, 2. p. 739. ed. Potter. de Sellis, ut animadvertit Valckenarius, dicta, quos Homerus ἀνιπτόποδας χαμαιεύνας vocat, "ἐν ἀστρώτῳ πέδῳ | εὕδουσι, πηγαῖς δ' οὐχ ὑγραίνουσιν πόδας."

**481.** Hesychius, Ἀφᾶς ἱερόν: ἱερὸν Ἀρᾶς Ἀθήνησιν. Ἀ. Ὥραις. ἔνιοι δὲ τὴν βλάβην λέγειν αὐτὸν ἐνόμισαν.

**482.** Pollux 10, 160. Ἀσκοπήρα, ὡς ἐν ταῖς Ὥραις Ἀριστοφάνους.

**483.** Hesychius, Δικαστικόν: Ἀ. ἐν Ὥραις τριώβολόν φησιν εἶναι. οὐ μέντοι ἕστηκεν, ἀλλ' ἄλλοτε ἄλλως ἐδίδετο (ἐδίδοτο Musurus). ubi vide interpretum annotationes.

**484.** Hesychius, Ζεῦγος τριπάρθενον: Εὐριπίδης Ἐρεχθεῖ. καὶ Σοφοκλῆς Σισύφῳ "Χαρίτων τριζύγων." Ἀ. Ὥραις καταχρηστικῶς ἐπὶ τῶν τριῶν τὸ ζεῦγος ἔθηκε "Ζεῦγος τριδούλων (τρίδουλον Salmasius)." παραδέδοται δὲ ὅτι καὶ τριζύγοις ἅρμασί τινες ἐχρήσαντο καὶ ὅτι τάσσουσι τὸ ζεῦγος ἐπὶ γ' καὶ δ'.

**485.** Pollux 7, 187. Χοιροπῶλαι, ὡς Ἀ. ἐν Ὥραις.

**486a.** Scholiasta Platonis Clarkianus p. 331. Χαιρεφῶντα Ἀ. ἐν Ὥραις νυκτὸς παῖδα καλεῖ.

**486b.** Scholiasta Vesp. 1182. Ἀνδροκλέα δὲ Κρατῖνος Σεριφίοις φησὶ δοῦλον καὶ πτωχόν, ἐν δὲ Ὥραις ἡταιρηκότα Ἀ. (sic Bergkius pro ἄρα) τὸν αὐτόν.

**486c.** Scholiasta Vesp. v. 1178. Θεογένης: ὅτι Θεογένης οὗτός ἐστιν ὁ Ἀχαρνεύς, ὃν καὶ ἐπὶ τῷ μεγάλα ἀποπαρδεῖν κωμῳδοῦσιν. δῆλον δὲ ἐν ταῖς Ὥραις. Ridetur aliquoties etiam in fabulis superstitibus.

**486d.** Scholiasta Luciani Iov. Trag. c. 48. Ὁ μὲν Καλλίας οὗτος, ὡς Κρατῖνος Ἀρχιλόχοις, Ἱππονίκου υἱὸς ἦν, τὸν δῆμον Μελιτεύς, ὡς Ἀ. Ὥραις.

## ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ.

**487.** Scriptor vitae Aristophanis in Scholiorum edit. Oxon. vol. 1. p. 38. — (Ἀριστοφάνης) μετήλλαξε τὸν βίον παῖδας καταλιπὼν τρεῖς, Φίλιππον ὁμώνυμον τῷ πάππῳ καὶ Νικόστρατον καὶ Ἀραρότα. — τινὲς δὲ δύο φασὶ Φίλιππον καὶ Ἀραρότα, ὧν καὶ αὐτὸς ἐμνήσθη

Τὴν γυναῖκα δὲ
αἰσχύνομαι τώ τ' οὐ φρονοῦντε παιδίω,
ἴσως αὐτοὺς λέγων.

**488.** Athenaei epitome 2. p. 53a. Ἀμυγδαλᾶς Ἀρίσταρχος καὶ τὸν καρπὸν καὶ τὸ δένδρον ὁμοίως προφέρεται κατ' ὀξεῖαν τάσιν. Φιλόξενος δ' ἀμφότερον περισπᾷ. — Ἀ.

Ἄγε νυν τὰς ἀμυγδαλᾶς λαβὼν
τασδὶ κάταξον τῇ κεφαλῇ σαυτοῦ λίθῳ.

V. 2. τῇ κεφαλῇ Dobraeus ad Aristoph. Pluti v. 314. p. 38. pro τὴν κεφαλήν.

**489.** Athenaeus 7. p. 310f. Λέγεται δὲ ὅτι καὶ συνέσει τῶν ἄλλων ἰχθύων διαφέρει (ὁ λάβραξ), ἐπινοητικὸς ὢν τοῦ διασώζειν ἑαυτόν. διὸ καὶ ὁ κωμῳδιοποιὸς Ἀ. ἔφη

Λάβραξ ὁ πάντων ἰχθύων σοφώτατος.

**490.** Athenaeus 10. p. 444d. Καλῶς ἄρα καὶ Ἀ. Ἀφροδίτης γάλα τὸν οἶνον ἔφη εἰπὼν

Ἡδύς γε πίνειν οἶνος Ἀφροδίτης γάλα.

γε Porsonus pro τε.

**491.** Athenaeus 10. p. 446d. Πίομαι δὲ ἄνευ τοῦ υ λεκτέον, ἐκτείνοντας δὲ τὸ ι. — Ἀ. Ἱππεῦσι (v. 1289.) "Κοὔποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου." καὶ ἐν ἄλλοις

Πικρότατον οἶνον τήμερον πίει τάχα.

[ὡς ἀπὸ τοῦ πιοῦμαι] Codex Venetus πιεῖ (sic), Musurus πίῃ. Epitome omisso ex Equitibus versu, εὕρηται δὲ καὶ τὸ πιοῦμαι, ὡς Ἀριστοφάνης, πικρότατον οἶνον τήμερον πιῇ, quae repetunt Eustathius p. 1253, 50. et grammaticus Hermanni p. 321. et alius in Crameri Anecd. Paris. vol. 4. p. 246, 7. τάχα, quod Athenaei esse credebatur, ad Aristophanis versum rettuli. verbis ὡς ἀπὸ τοῦ πιοῦμαι ut spuriis notatis. Debentur ea librario prava scriptura πιεῖ decepto.

**492.** Athenaeus 11. p. 485a. Ἀφ' ἧς (λεπαστῆς) ἐστι λάψαι, τουτέστιν ἀθρόως πιεῖν. — φησὶ γάρ που ὁ αὐτὸς (Ἀριστοφάνης)

Τὸ δ' αἷμα λέλαφας τοὐμόν, ὦναξ δέσποτα.

οἷον ἄθρουν μ' ἐξέπιες. δ' αἷμα] δέμας epitome, δέπας apud Eustathium p. 1246, 36. Hesychius, Λέλαφας (in λέμφας corruptum ap. Photium): πέπωκας. Conf. Cobeti V. L. p. 366.

**493.** Athenaeus 14. p. 652f. Ὄντως γὰρ κατὰ τὸν Ἀ.

Οὐδὲν γὰρ ὄντως γλυκύτερον τῶν ἰσχάδων.

Respexit ad h. l. Iulianus Epist. 24. p. 390c.

**494.** Athenaeus 15. p. 701b. Ἵνα κἀγὼ κατὰ τὸν καλὸν Ἀγάθωνα ἀναφωνήσω τάδε τὰ τοῦ ἡδίστου Ἀ.

Ἐκφέρετε πεύκας κατ' Ἀγάθωνα φωσφόρους.

Conf. fr. 300b.

**495.** Choeroboscus p. 440, 25. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι ἡ εὐθεῖα τῶν δυϊκῶν τῷ πρέσβη παρὰ τοῖς ῥήτορσι βαρυτόνως ἀναγινώσκεται ὡς ἀπὸ τοῦ πρέσβυς πρέσβεος πρέσβεε πρέσβη, παρὰ δὲ Ἀριστοφάνει περισπωμένως "Ἥκετον πρεσβῆ δύο," ὡς ἀπὸ εὐθείας ὀξυτόνου, οἷον ὡς ἀπὸ τοῦ ὁ πρεσβεὺς τοῦ πρεσβέος τὼ πρεσβέε τὼ πρεσβῆ. Versum integrum servavit, sed omisso poetae nomine Ioannes Alexandrinus p. 14, 24. Τὰ δύο εε εἰς η συναιροῦσιν Ἀθηναῖοι —

Καὶ πρός γε τούτοις ἥκετον πρέσβη δύο.

**496.** Galenus ad Hippocr. περὶ ἀγμῶν vol. 12. p. 161. ed. Chart. Καὶ παρὰ τοῖς κωμικοῖς δὲ τὰ προτεινόμενα τοῦ σώματος ὡς εἰς ἐμβολὴν παρεσκευάσθαι λέγεται, καθότι καὶ ὁ Ἀ. ἐδήλωσεν εἰπὼν

Χωρεῖ 'πὶ γραμμὴν λορδὸς ὡς εἰς ἐμβολήν.

Vulgo λορδὸς ὡς ἐμβολῇ.

**497.** Clemens Alex. Stromat. 6. p. 745. Εὕροις δ' ἂν καὶ Θεόγνιδος (v. 457.) εἰπόντος "Οὔτοι χρήσιμόν ἐστι νέα γυνὴ ἀνδρὶ γέροντι· | οὐ γὰρ πηδαλίῳ πεί-

θεται ὡς ἄκατος," Ἀριστοφάνη τὸν κωμικὸν γράφοντα

Αἰσχρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.

Simillima his sunt verba Euripidis ex Phoenice ap. Stobaeum 71, 8. "Πικρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ." ex quo haud dubie πικρὸν pro αἰσχρὸν restituendum apud Clementem, vel ἐχθρὸν ex Danae Euripidis (apud Stobaeum 71, 7.) γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ.

**498.** Clemens Alex. Stromat. 6. p. 741. Ἀριστοφάνους (Ἀντιφάνους probabiliter Meinekius Com. vol. 1. 321.) γράφοντος

Βέβαιον ἕξεις τὸν βίον δίκαιος ὢν
χωρίς τε θορύβου καὶ φόβου ζήσεις καλῶς,

ὁ Ἐπίκουρος λέγει "Δικαιοσύνης καρπὸς μέγιστος ἀταραξία."

**499.** Scholiasta Platonis p. 371. Ἄττα: τοῦτο ψιλούμενον μέν τινά σημαίνει, δασυνόμενον δὲ ἅτινα. — ἐνίοτε δὲ ἐκ τοῦ περισσοῦ προστίθεται. — Ἀριστοφάνης Νεφέλαις (v. 630.) "Ὅστις σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων." Ἐρατοσθένης δὲ χρονικῶς αὐτό φησι παραλαμβάνεσθαι

Πυθοῦ χελιδὼν πηνίκ' ἄττα φαίνεται·

καὶ πάλιν

Ὁπηνίκ' ἄτθ' ὑμεῖς κοπιᾶτ' ὀρχούμενοι.

Πυθοῦ pro πύθου Dobraeus. Corrupte Etymol. M. p. 167, 14. — ὁ κωμικὸς δὲ χρονικὸν αὐτὸ (τὸ ἄττα) παραλαμβάνει "Πήθου χελιδὼν πηνίκ' ἄττα γίνεται:" λέγει ὁπότε χελιδὼν γίνεται. Eustathius p. 148. extr. ubi de ἄττα agit, Ἀριστοφάνης, "Πύθου—φαίνεται". Comparandum autem Thesmophoriazusarum initium, Ὦ Ζεῦ χελιδὼν ἆρά ποτε φανήσεται; Versu altero κοπιᾶτ' ὀρχούμενοι pro ὀρχούμενοι κοπιᾶτε Bekkerus. Harpocrationis glossae Ἄττα: ἀντὶ μὲν τοῦ ὅσα ἢ ἅτινα Ἀντιφῶν — ἀντὶ δὲ τοῦ τινὰ ἢ ποιά τινα Δημοσθένης Φιλιππικοῖς. ἐνιαχοῦ δὲ παρέλκει, in codicibus pluribus additum χίονι που (vel χιωνιοιπου, vel χίωνί που, quod in Χιωνίδου mutari volebat Sturzius) πύθου χελιδὼν πηνίκ' ἄττα φαίνεται, quae transcripsit Philemo s. v. ἄττα p. 16. ed. Burn. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα, ὡς τὸ χιονιππου πύθου χελιδὼν πηνίκ' ἄττα φαίνεται. quae non leguntur in vetere Harpocrationis epitoma et debentur haud dubie interpolatori: de quo pluribus dixi in Harpocrat. ed. Oxon. vol. 1. p. 65. Mira vero sunt quae Photius tradit p. 473, 12. repetita ab Suida, Πύθου χελιδόνος: παροιμία ἀπό τινος Χελιδόνος θεολόγου ἀνδρὸς καὶ τετρατοσκόπου καὶ περὶ τελετῶν διειλεγμένου, ὡς Μνασέας ὁ Πατρεὺς (Παταρεὺς Suidas) ἐν τῷ Περίπλῳ. οἱ δὲ ὅτι θρηνητικὸν τὸ ζῷον, οἱ δὲ ὅτι τὸ ἔαρ σημαίνει. Similiter Hesychius, Πύθου χελιδόνος: παροιμιῶδες, διότι ὀδυρτικὸν τὸ ζῷον. (Haec etiam Proverb. App. Vatic. 4, 62. vol. 1. p. 448. ed. Leutsch.) θρηνεῖ γὰρ ἡ χελιδὼν καὶ ἀηδών. τὸ δὲ ἀληθὲς ἀπὸ Χελιδόνος τινὸς θεολόγου ἢ τερατοσκόπου. (Chelidonem χρησμολόγον veterem memorat Herodian. περὶ μονήρους λέξεως p. 9, 7. Suidas s. v. χελιδόνας.) Quod est inane grammatici alicuius commentum, notatum ab Lobeckio Aglaoph. p. 1352.

**500.** Pollux 2, 18. Ἀ. δὲ κυαμίζειν τὰς ἀκμαζούσας (παρθένους) ἔφη

Ἄλλαι δὲ κυαμίζουσιν αὐτῶν, εἰσὶ δὲ
ἤδη πρὸς ἄνδρας ἐκπετήσιμοι σχεδόν.

**501.** Pollux 2, 34. Ἀριστοφάνης

Λούσησθε καὶ κτενίσησθε πρὸς τὸν ἥλιον.

**502.** Pollux 2, 39. Παρὰ δὲ Ἀριστοφάνει (ἡ κεφαλὴ) σκάφιον

Ἵνα μὴ καταγῇς τὸ σκάφιον πληγεὶς ξύλῳ.

Conf. fragm. 195.

**503.** Pollux 2, 189. Ἡ μέντοι κωμῳδία τὴν ἀλετρίδα μυλακρίδα καλεῖ, ζῷόν τι ἐν μυλῶνι γινόμενον, ὡς Ἀ. λέγει,

Ἵνα ξυνῶσιν ᾧπερ ἥδεσθον βίῳ,
σκώληκας ἐσθίοντε καὶ μυλακρίδας.

Hanc vocis significationem denuo memorat 7, 19.

**504.** Pollux 2, 233. Ἀ. δὲ εἴρηκεν ἄνδρα σάρκινον. Libri deteriores εἴρηκεν ὡς οὐχ ἕτερον ἄνδρα σάρκινον.

**505a.** Pollux 6, 24. Ἔστι δὲ καὶ τὸ ἀκρατίσασθαι παρὰ τοῖς παλαιοῖς, ὡς παρ' Ἀριστοφάνει

Τί τὸ κακόν; ἀλλ' ἢ κοκκύμηλ' ἠκρατίσω;

Phrynichus Bekkeri p. 23, 15. Ἀκρατίσασθαι: τὸ μικρὸν ἐμφαγεῖν πρὸ τοῦ ἀρίστου. Ἀριστοφάνης "Ἀκρατιοῦμαι μικρόν." Ab his verbis Aristomenis trimeter incipit apud Athen. 1. p. 11c.

**505b.** Pollux 6, 31. Πλάτων δὲ ὁ κωμικὸς καὶ κεναγγίαν εἴρηκεν, Ξενοφῶν δὲ βούλιμον, καὶ Ἀριστοφάνης δὲ

Τὸν Πειραιᾶ δὲ μὴ κεναγγίαν ἄγειν.

δὲ post Πειραιᾶ addidit Meinekius. De locutione κ. ἄγειν dixit Cobetus Mnem. vol. 5. p. 186.

**506.** Pollux 6, 80. Εἴποις δ' ἂν καὶ κοκκίσαι ῥόαν κατὰ Ἀριστοφάνην

Ὀξυγλύκειάν τἄρα κοκκιεῖς ῥόαν.

τουτὶ δὲ τὸ ἰαμβεῖον Ἀριστοφάνης οὐκ ἴδιον ὂν εἴρηκεν, ἀλλ' ὡς Αἰσχύλου. Dobraeus "An sensus est, *Nondum maturae puellae vim paras?* Horat. Carm. 2. 5, 10. *Immitis uvae.*"

**507.** Pollux 7, 26. — κἀὶ ζωμεῦσαι. καὶ Ἀ.

Τὴν χύτραν,
ἐν ᾗ τὰ κρεάδι' ἧψες ἐζωμευμένα.

ἧψες Dobraeus ad Pluti v. 227. p. 27. Vulgo ἕψεις. Phrynichus Bekkeri p. 38, 31. Ἐζωμευμένα κρέα: ἐζωμοποιημένα.

**508.** Pollux 7, 64. Καὶ κροκὺς δὲ μέρος ἐσθῆτος. — Ἀ. δὲ "Ἀνήσω κροκύδα μαστιγουμένη." Ἀνήσω] ἀνήσεις codex Falckenburg. μαστιγουμένη pro μαστιγουμένην Schneiderus in Indice in scriptores R. R. p. 362. de serva interpretatus, quae virgis caesa dicitur ridiculo floccos emittere, veluti lana caesa virgis mollitur et floccos explicat.

**509.** Pollux 7, 67. Τὸ γυναικεῖον ζώνιον — στρόφιον ὠνόμαζον, ὡς Ἀ. "Ἀλλὰ τὸ στρόφιον λυθὲν | τὰ κάρυά μοὐξέπιπτεν."

**510.** Pollux 7, 108. Πρὸ δὲ τῶν καμίνων τοῖς χαλκεῦσιν ἔθος ἦν γελοῖά τινα καταρτᾶν ἢ ἐπιπλάττειν ἐπὶ φθόνου ἀποτροπῇ. ἐκαλεῖτο δὲ βασκάνια, ὡς καὶ Ἀ. ἔφη

Πλὴν εἴ τις πρίαιτο δεόμενος
βασκάνιον ἐπὶ κάμινον ἀνδρὸς χαλκέως.

V. 2. ἐπὶ κάμινον] ἐπικάμινον Bekkeri editio. De βασκανίοις vide Phrynichum Bekk. p. 30, 5. Lobeck. Aglaoph. p. 971. et O. Iahn. in Relation. Soc. Saxon. a. 1855. p. 67.

**511.** Pollux 7, 162. Λεπρᾶν | κεράμιον ὀξηρὸν ἀντὶ τοῦ μυδᾶν Ἀ. λέγει. Idem 7, 161. κεράμιον ὀξηρὸν ex Aristophane memorat.

**512.** Pollux 8, 17. Ἔνιοι δ' οἴονται καὶ ἀνάγκην σκεῦος εἶναι δικαστικὸν εἰπόντος Ἀριστοφάνους

Οὐκ εἶ λαβὼν θύραζε τὰ ψηφίσματα
καὶ τὴν ἀνάγκην ἐς κόρακας ἐντευθενί;

εἶ pro ἴῃ Porsonus. ἐντευθενί Iungermannus pro ἐντεῦθεν.

**513.** Pollux 10, 32. Παραπέτασμα — πολύχρουν, ἐφ' οὗ 'Α. ἂν εἴποι

Τὸ παραπέτασμα τὸ Κύπριον τὸ ποικίλον.

**514.** Suidas, Αὑαίνεται: ξηραίνεται. — ἡ πρώτη δασύνεται. καὶ Ἀριστοφάνης

Ἐνταῦθα δὴ παιδάριον ἐξαυαίνεται.

καὶ ἑτέρωθι "Ὥστ' ἔγωγ' ηὑαινόμην | θεώμενος."

**515.** Photius p. 266, 16. et Suidas, Μηλῶσαι: τὸ καθεῖναί τι εἰς βάθος. καὶ τὴν φάρυγγα μηλῶσαι τὸ διαχρῖσαι (διαχρῆσαι Photius) τῷ δακτύλῳ. 'Α.

Τὴν φάρυγα μηλῶν δύο δραχμὰς ἕξει μόνας.

In poetae verbis τὴν Photius, τὸν Suidas, uterque autem φάρυγγα (sed φάρυγα Suidae cod. A.) μηλῶσαι, quod in φάρυγα μηλῶν cum Porsono mutavi.

**516.** Photius p. 460, 3. et Suidas, Πρόσισχε: τὸ πρόσεχε. — οὕτως δὲ καὶ ὑπίσχομαι τὸ ὑπισχνοῦμαι οἵ τε τραγικοὶ καὶ 'Α.

Τὸ πρᾶγμα τοῦτο ξυλλαβεῖν ὑπίσχομαι.

**517.** Pollux 4, 114. Ἀναζυγῶσαι δὲ τὸ φθέγμα ἔλεγον καὶ καταπεπνῖχθαι τὸ φθέγμα. καὶ 'Α. πού φησι

Φθέγξαι σὺ τὴν φωνὴν ἀναστοιχήσας ἄνω.

ὁ δ' αὐτὸς "Καὶ φθέγμα κεκράτηκεν." ἀναστοιχήσας corruptum. ἀνατειχήσας (quasi ἀνατειχίσας voluerit) Falckenb. ἀναστήσας vel ἀνατείνας Bergkius.

**518.** Phrynichus Bekkeri p. 57, 14. Οὐκοῦν: — παροξυνόμενον — ποτὲ δὲ καθ' ὑπέρθεσιν, οὔκουν ἐάσεις, οὐκ ἐάσεις οὖν. καὶ παρ' 'Α.

Οὔκουν μ' ἐάσεις ἀναμετρήσασθαι τάδε;

ἀντὶ τοῦ οὐκ ἐάσεις οὖν με.

**519.** Bekkeri Anecd. p. 400, 9. et Etym. cod. Leid. apud Gaisf. p. 267. Ἀνέχειν: — λέγεται ἀνέχειν καὶ τὸ κωλύειν. — καὶ Ἀριστοφάνης

Σὺ δ' οὐκ ἀνεῖχες αὐτὸν ὥσπερ εἰκὸς ἦν.

**520.** Bekkeri Anecd. p. 434, 5. et Suidas, Ἀπόρρητα πάντα τὰ ἀπειρημένα καὶ ἀπηγορευμένα ἐν τοῖς νόμοις λέγουσιν. 'Α.

Οὕτως τι τἀπόρρητα δρᾶν ἐστι μέλει.

ἐστι μέλει] ἔτι μέλλει apud Suidam. Aptissimum ἐστι γλυκύ, quod coniecit Cobetus Mnem. vol. 4. p. 135. Eodem redit ἐστιν μέλι, quod proposuit C. F. Hermannus in Philologo vol. 10. p. 244. Alius nescio quis ἐτημέλει.

**521.** Etymolog. M. p. 61, 17. Ἄλεισον: λέγεται ἀρσενικῶς, οἷον

Γίγνωσκε τὸν ἄλεισόν τε καὶ τὰ γράμματα,

'Α. ἔστι δὲ εἶδος ποτηρίου. τε addidit Porsonus. De vasculis literatis vid. Athen. 11. p. 784b.

**522.** Etymolog. M. p. 270, 45. Διασαυλούμενος: ἁβρυνόμενος καὶ διαθρυπτόμενος, παρὰ τὸν σαῦλον τὸν τρυφερὸν καὶ γαῦρον. —

Ὁρῶ γὰρ ὡς ὄμφακα διασαυλούμενον,

Ἀριστοφάνης. Sine Aristophanis nomine versum attulit Zonaras vol. 1. p. 539. ubi σαυλούμενον scriptum. Hesychius, Διασαυλούμενον: διακινούμενον καὶ ἐναβρυνόμενον ἢ διασειόμενον. ὄμφακα, quod media syllaba correpta dicitur, recte in στόμφακα mutare videtur Gaisford. ad Hephaest. p. 69. ed. pr.

**523.** Etymolog. M. p. 280, 28. Διώκετον: ὅτι οἱ Ἀττικοὶ καὶ ἐν τοῖς τρίτοις προσώποις τῶν δυϊκῶν τοῖς δευτέροις χρῶνται, ὡς Ἀριστοφάνης

Καταντιβολεῖτον αὐτὸν ὑποπεπτωκότες,

ἐκμαίνετον τὸν πατέρα τοῖς ὀρχήμασι.

Versus transponi volebat Dobraeus: quo facto κᾆτ' ἀντιβολεῖτον coniici potest. V. 1. ὑποπεπτωκότες] Fort. ὑποπεπτωκότε.

**524.** Etymolog. M. p. 298, 53. Εἵλη: σημαίνει τὴν θερμασίαν ἐκ τοῦ ἕλη πλεονασμῷ τοῦ ι, ὡς παρὰ Ἀριστοφάνει

Καὶ τῶν πρὸς εἵλην ἰχθύων ὠπτημένων.

**525.** Etymolog. M. p. 470, 34. Ἰκτῖνα: — Πλάτων δὲ προπαροξυτόνως λέγει, ὡς παρὰ Ἀριστοφάνει

Ἴκτινα παντόφθαλμον ἅρπαγα τρέφων.

ubi cod. Ven. ἅρπαγα στρέφων. Attulit hunc versum Choeroboscus p. 278, 24. 279, 3. ἅρπαγας τρέφων praebens in cod. Oxon., ἅρπαγα στρέφων in cod. Ven. Scribendum ἁρπαγῆς τρέφων. Versus tragicus est.

**526.** Etymolog. M. p. 526, 20. Κόλλοπες: — ἐλέγετο δὲ καὶ τὸ νωτιαῖον δέρμα διὰ τὸ τὴν κόλλαν ἐξ αὐτοῦ γίνεσθαι. ὅθεν 'Α. τὴν σκληρότητα Αἰσχύλου ἐνδεικνύμενος ἔφη "Οἶμαι γὰρ αὐτὸν κόλλοπι | ἐοικέναι." Sic etiam in Crameri Anecd. Paris. vol. 4. p. 75, 4.

**527.** Etymolog. M. p. 682, 51. Ποῖ κῆχος: — καὶ 'Α. α. Ποῖ κῆχος; β. εὐθὺ Σικελίας.

Vulgo εὐθύς. εὐθὺ Valckenarius Animadv. in Ammonium p. 91.

**528.** Eustathius p. 73. extr. Κατὰ δὲ Ἡρωδιανὸν καὶ τάριχος ἑκατέρως λέγεται. τὸ τάριχος γὰρ καὶ ὁ τάριχος. — 'Α.

Ἐπὶ τῷ ταρίχει τὸν γέλωτα κατέδομαι.

ὁ αὐτὸς "Τάριχον τοῦτον πλύνω." Postrema ita corrige, τάριχον τουτονὶ πλύνων, quae ex Δαιταλέων fragm. 21. sumta sunt.

**529.** Eustathius p. 959, 41. Τὸ δὲ σῶς εὕρηται, φασί, καὶ θηλυκῶς. 'Α.

Οὕτω γὰρ ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη.

λέγουσι δὲ καὶ σᾶ τὰ σῶα οἱ παλαιοί, παρ' οἷς καὶ σᾶ ἡ σώα. — 'Α.

Ἡ μᾶζα γὰρ σᾶ καὶ τὰ κρέα χὡ κάραβος.

Excerpsit haec etiam Philemo s. v. σῷος. V. 1. γὰρ pro παρ' Dobraeus. V. 2. sine poetae nomine affertur in Crameri Anecd. Oxon. vol. 1. p. 399, 18.

**530.** Eustathius p. 1166, 51. ex Aelio Dionysio, Χιτώνιον — λεπτὸν ἔνδυμα γυναικεῖον πολυτελές — 'Α.

Ἐνδὺς τὸ γυναικεῖον τοδὶ χιτώνιον.

**531.** Eustathius p. 1387, 4. Ἐν δὲ τοῖς ῥητορικοῖς λεξικοῖς φέρεται καὶ ταῦτα· ἐκ τοῦ ἀθρόος γίνεται ἄθρους. — καὶ 'Α.

Ἑστῶτας ὥσπερ τοὺς ὀρεωκόμους ἄθρους.

Forma ὀρεωκόμους hic non magis mutanda quam in Thesmophor. v. 493.

**532.** Eustathius p. 1415, 62. Ὁ δὲ φαρμακὸς ἤτοι τὸ κάθαρμα. — 'Α.

Πόθεν δ' ἐγώ σοι ξυγγενής, ὦ φαρμακέ;

ξυγγενὴς scripsi pro συγγενής.

**533.** Eustathius p. 1419, 52. Καὶ δικαστήριον ἱστοροῦσιν Ἀθήνησιν ἐπώνυμον τῆς Παλλάδος. 'Α.

Ἄκων κτενῶ σε, τέκνον, ὁ δ' ἀπεκρίνατο,

ἐπὶ Παλλαδίῳ τἄρ', ὦ πάτερ, δώσεις δίκην.

ἐδίκαζον δὲ κατὰ Παυσανίαν ἐκεῖ ἀκουσίους φόνους οἱ ἐφέται. V. 1. ἀπεκρίνατο Cobetus Mnem. vol. 4. p. 105. pro ὑπεκρίνετο. V. 2. τἄρ' ὦ pro παρ' ᾧ Elmsleius ad Acharn. v. 323.

**534.** Eustathius p. 1442, 2. Τὸ ἀντίον ηὔδα — ἔστι πως ὅμοιον τῷ ὑπαντάξ, οὗ μέμνηται Αἴλιος Διονύσιος λέγων ὡς δηλοῖ τὸ ἐξ ἐναντίας, φέρων εἰς χρῆσιν ἐξ Ἀριστοφάνους τὸ

Ἔφευγε, κἀγὼ αὐτῆς ὑπαντὰξ εἰχόμην.

κἀγὼ αὐτῆς scripsi pro κἀγὼ τῆς. Ὑπαντὰξ Hesychius quoque explicat per ἐξ ἐναντίας.

**535.** Eustathius p. 1467, 35. Ἑκάτης ἀγάλματα αἱ κύνες. ταύτῃ γάρ, φασί, θύονται· ἣν καὶ κυνοπρόσωπον διαπλάττονται. Ἀ.

Καὶ κύων ἀκράχολος
Ἑκάτης ἄγαλμα φωσφόρου γενήσομαι.

Bekkeri Anecd. p. 327, 13. Ἀγάλματα Ἑκάτης: αἱ κύνες. θύονται γὰρ αὐτῇ. Ibidem p. 336, 31. Ἄγαλμα Ἑκάτης: τὴν κύνα οὕτως εἴρηκεν Ἀ. διὰ τὸ ἐκφέρεσθαι τῇ Ἑκάτῃ κύνας, ἢ ὅτι καὶ αὐτὴν κυνοκέφαλον πλάττουσιν. Ridet autem Euripidis versum ab Plutarcho servatum de Iside et Osiri p. 379d. "Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσει." Indicavit Porsonus ad Hecubam v. 1255.

**536.** Eustathius p. 1535, 20. postquam de formis vocabulorum ἄρκος et ἀπαρκίας, pro ἄρκτος et ἀπαρκτίας ab quibusdam usurpatis, exposuit, ita pergit, εἰ δὲ τοῦ ἄρκτου ὑπεξαιρεθέντος τοῦ τ, ὡς εἴρηται, οὐ γέγονε σημασίας ἐναλλαγή, οὐ μὴν οὐδὲ γελοιασμός, ἀλλ' ὁ κωμικὸς τὸ κάππα ἐξελὼν γέλωτα ἐκίνησεν εἰπὼν οὕτω

Ψελλόν ἐστι καὶ καλεῖ
τὴν ἄρκτον ἄρτον, τὴν δὲ Τυρὼ τροφαλίδα,
τὸ δ' ἄστυ σῦκα.

ταῦτα δὲ τί δηλοῖ περιττόν ἐστι φράσαι. ἀρκεῖ δὲ μόνον ἐπισημήνασθαι ὡς οὐ ψελλὰ τὰ εἰρημένα κυρίως, εἰ μή τις πᾶν παιδίον μὴ σαφῶς διαλεγόμενον ψελλίζεσθαι λέγει, ὁποῖόν τι καὶ Αἰσχύλος (Prometh. v. 841.) φαίνεται δηλοῦν ἐν τῷ "Ψελλόν τι καὶ δυσεύρετον." V. 2. τροφαλίδα scripsi pro τροφαλλίδα.

**537.** Eustathius p. 1788, 20. Ἐκ τοῦ Ὁμηρικοῦ ὤνου παρὰ τοῖς ὕστερον ἡ ὠνή. — εἰ δὲ ἀπ' αὐτῆς παρῆκται καὶ ἡ παρὰ τῷ κωμικῷ ὄνωνις, ἧς χρῆσις φέρεται παρὰ τοῖς τεχνικοῖς τὸ

Εἶτα δὴ
ἐς τὴν πόλιν ἄξεις τήνδε τὴν ὀνώνιδα;

οὐκ ἔστι βεβαίως ἀπισχυρίσασθαι. ὄνομα δὲ βοτάνης ἡ ὄνωνις, δι' ἧς ἐπ' ἀλογίᾳ ἴσως ὁ κωμικός τινα σκώπτει καὶ ῥᾳθυμίᾳ, ὡς τοῦ ὄνου καὶ νωθροῦ ὄντος, καθὰ καὶ ἡ Ἰλιὰς οἶδε, καὶ παροιμιάζοντος τό τε ἀπ' ὄνου πεσεῖν τινα (Nubium v. 1255.) καὶ τοὺς ὄνου πόκους, οὓς ὁ κωμικὸς (Ranar. v. 186.) εἰς πόκας παρῴδησε. In verbis poetae ap. Eustath. εἰς πόλιν.

**538.** Theognostus Can. p. 142. Ὀζέσω: τὸ ὄζω ἐνίοτε καὶ περισπωμένως λέγεται, ἐξ οὗ καὶ ὁ μέλλων ὀζέσω, ἀλλὰ καὶ ὀζήσω διὰ τοῦ η, ὡς καὶ Ἀ.

Λίθος τις ὤζησεν τεθυμιαμένος.

Scribebatur ὄζησεν. Perfectum annotavit Photius p. 659, 11. Ὤζηκεν λέγουσιν.

**539.** Scholiasta Equitum v. 137. Ποταμὸς τῆς Ἀττικῆς χειμάρρους ὁ Κυκλοβόρος ὑπὸ Ἀθηναίων χωσθείς. τὴν κακοφωνίαν οὖν τοῦ Κλέωνος εἴκασε τῷ ἤχῳ τοῦ ποταμοῦ. καὶ ἀλλαχοῦ

Ὤιμην δ' ἔγωγε τὸν Κυκλοβόρον κατιέναι.

ἔγωγε pro ἐγὼ Brunckius. Anonymus servato ἐγὼ scripsit καθιέναι, ut dixi in Scholiorum ed. Oxon. vol. 2. p. 185. Κυκλοβόρον] Conf. fragm. 275.

**540.** Scholiasta Equitum v. 254. Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων: ἔνθα αἱ κάχρυς φρύγονται (ἀλήθονται Suidas s. v. τὰς ὀδούς). κάχρυς δέ εἰσιν αἱ λελεπισμέναι (ἀληλεσμέναι Suidas l. c. et s. v. κάγχρυς et κυρήβια) κριθαί, ἀφ' ὧν ἡ πτισάνη. σκώπτει δὲ καὶ τὸν Εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα. ἐν ἄλλοις γοῦν φανερώτερόν φησι "Καὶ σὺ κυρηβιοπῶλα Εὔκρατες στύπαξ." Idem ad v. 129. στυππειοπώλης: ὁ τὰ στυππεῖα πωλῶν, τουτέστι κannάβινα, λινᾶ. δηλοῖ δὲ τὸν Εὐκράτην καὶ τὴν πολιτείαν αὐτοῦ, ὃς στύπαξ (sic cod. Ven.: alii στύππαξ) ἐκαλεῖτο διὰ τὸ στυππειοπώλης εἶναι, ὡς καὶ ἐν ἑτέροις. De Eucrate conf. Γῆρως fragm. 193.

**541.** Scholiasta Euripidis Medeae v. 46. Ἐκ τρόχων: βαρυτόνως ὡς νόμων. Ἀ.

Ἐβάδιζέ μοι τὸ μειράκιον ἐξ ἀποτρόχων.

ὡς ἀπὸ γυμνασίας οὖν ἐλθόντας τοὺς παῖδας. Ἐβάδιζε pro βαδίζει Elmsleius ad Medeam p. 85.

**542.** Scholiasta Ranarum v. 787. Τῶν ἀντιλογιῶν: παρίστησιν αὐτοῦ τὸ περὶ τοὺς λόγους σαπρόν (σαθρόν Dobraeus). καὶ ἐν ἄλλοις "Στρεψίμαλλος τὴν τέχνην Εὐριπίδης." Eustathius p. 1638, 17. Στρεψιμάλλους ἐκάλουν οἱ παλαιοὶ τοὺς περιλαλοῦντας καὶ κακοσχόλως φράζοντας, λαβόντες τὸ σκῶμμα ἀπὸ ἐρίων συνεστραμμένους μαλλοὺς ἐχόντων καὶ οὕτω δυσλύτων. Alia collegerunt Hesychii interpretes s. h. v.

**543.** Scholiasta Pacis v. 1081. Διακαυνιάσαι: — καῦνον τὸν κλῆρόν φασι. καὶ ἐν ἄλλοις "Πόσος ἔσθ' ὁ καῦνος;"

**544.** Grammaticus Bekkeri p. 384, 3. Ἀλοῶν: ἀντὶ τοῦ περιάγων, ὡς οἱ ἀλοῶντες βόες. οὕτως Ἀ. "Ἀλοᾶν χρὴ τὰς γνάθους." Verbo ἀλοᾶν utitur Thesm. 2. (ubi vid. schol.) et Ran. 149.

**545.** Grammaticus Bekkeri p. 398, 26. Ἀνέρριπται κύβος: οἷον ἀποκεκινδύνευται. Ἀ.

Φράζε τοίνυν, ὡς ἐγώ σοι πᾶς ἀνέρριμμαι κύβος.

Omisso poetae nomine versum attulit Suidas s. v. ἀνέρριπτον.

**546.** Pollux 6, 49. Ἀριστοφάνης

Τὸν σαπέρδην ἀποτῖλαι χρὴ
κᾆτ' ἐκπλῦναι καὶ διαπλῦναι.

**547.** Pollux 6, 56. Καὶ πασταὶ δέ εἰσιν, ὡς Εὔπολίς φησι, Ζωμὸς ἀλφίτων μέτα. Ἀ. δέ φησι "Χορδαί, φῦσκαι, πασταί, ζωμός, | χόλικες."

**548.** Pollux 6, 62. Ἀ. τῶν πολφῶν μνημονεύει,

Πολφοὺς δ' οὐχ ἧψον ὁμοῦ βολβοῖς.

εἴη δ' ἂν ἔτνους ἰδέα καὶ τὰ χῖδρα (vulgo χίδρα). γίνεται δὲ ἐκ πυροῦ χλωροῦ, ὃν χιδρίαν Ἀ. καλεῖ. ὁ δ' αὐτὸς καὶ παλημάτιον ῥόφημά τι ὠνόμασεν,

Ἵν' ἐπαγλαΐσῃ τὸ παλημάτιον καὶ μὴ βήττων
καταπίνῃ.

ἴσως δ' ἂν εἴη ἐκ παιπάλης, ὅ ἐστι τὸ λεπτότατον τοῦ ἀλεύρου. Eodem modo Hesychius et Photius interpretantur.

**549.** Pollux 9, 154. — Ἀριστοφάνους εἰπόντος

Εἰκοβολοῦντες καὶ πλάττοντες.

**550.** Athenaei epitome 2. p. 67d. Μνημονεύει δέ που (Ἀ.) καὶ τοῦ ἐκ Κλεωνῶν ὄξους ὡς διαφόρου "Ἐν δὲ Κλεωναῖς ὀξίδες εἰσί."

**551.** Athenaeus 4. p. 173d. (ex eoque Eustathius p. 1560, 16.) Ἀχαιὸς δ' ὁ Ἐρετριεὺς ἐν Ἀλκμαίωνι τῷ σατυρικῷ καρυκοποιοὺς καλεῖ τοὺς Δελφοὺς διὰ τούτων

Καρυκοποιοὺς προσβλέπων βδελύττομαι,

παρόσον τὰ ἱερεῖα τέμνοντες δῆλον ὡς ἐμαγείρευον αὐτὰ κεὶ ἐκαρύκευον. εἰς ταῦτα δὲ ἀποβλέπων καὶ Ἀ. ἔφη

Ἀλλ' ὦ Δελφῶν πλείστας ἀκονῶν
Φοῖβε μαχαίρας
καὶ προδιδάσκων τοὺς σοὺς προπόλους.

**552.** Sextus Empiricus adversus grammaticos 1, 10. p. 264. Πολλαὶ γάρ, φασὶν (οἱ γραμματικοί), εἰσὶ συνήθειαι, καὶ ἄλλη μὲν Ἀθηναίων, ἄλλη δὲ Λακεδαιμονίων, καὶ πάλιν Ἀθηναίων διαφέρουσα μὲν ἡ παλαιά, ἐξηλλαγμένη δὲ ἡ νῦν. καὶ οὐχ ἡ αὐτὴ μὲν τῶν κατὰ τὴν ἀγροικίαν, ἡ αὐτὴ δὲ τῶν ἐν ἄστει διατριβόντων, παρ' ὃ καὶ ὁ κωμικὸς λέγει Ἀ.

Διάλεκτον ἔχοντα μέσην πόλεως
οὔτ' ἀστείαν ὑποθηλυτέραν
οὔτ' ἀνελεύθερον ὑπαγροικοτέραν.

**553.** Clemens Alexandr. Strom. 6. p. 749. Ἡροδότου ἐν τῷ περὶ Γλαύκου τοῦ Σπαρτιάτου λόγῳ (6, 86.) φήσαντος τὴν Πυθίαν εἰπεῖν τὸ πειρηθῆναι τοῦ θεοῦ καὶ τὸ ποιῆσαι ἴσον γενέσθαι Ἀριστοφάνης ἔφη

Δύναται γὰρ ἴσον τῷ δρᾶν τὸ νοεῖν.

**554.** Pollux 7, 143. Τῶν δὲ τοῖς κηπουροῖς ὑπηρετούντων ἐστὶ καὶ τὸ κηλώνειον. οὐ μόνον γὰρ Ἡρόδοτος (6, 119.) μνημονεύει, ἀλλὰ καὶ Ἀ.

Ὥστ' ἀνακύπτων καὶ κατακύπτων τοῦ σχήματος οὕνεκα τοῦδε
κηλωνείου τοῖς κηπουροῖς.

V. 1. Vulgo εἵνεκα. V. 2. κηλώνιον codex Iungermanni. Basilii imitationem in epistolarum anthologia p. 11. indicavit Hemsterhusius in Anecdotis 1. p. 173. οὐκ ἐῶν ἀνανεύειν ὥσπερ τὰ κηλώνεια τοὺς ὀφθαλμοὺς τῶν ἀναγιγνωσκόντων.

**555.** Pollux 7, 195. Ἴδιον δ' ἂν εἴη (τὸ κοτυλίζειν) τῶν τὸν οἶνον πιπρασκόντων. καὶ Φερεκράτης μὲν εἴρηκε "Μηδὲν κοτυλίζειν, ἀλλὰ καταπάττειν χύδην." Ἀ. δὲ

Κιρνάντες γὰρ τὴν πόλιν ἡμῶν κοτυλίζετε τοῖσι [πένησιν.

Fortasse ex Babyloniis.

**556.** Athenaei epitome 2. p. 50e. ubi de μιμαικύλοις agitur, Ἀ.

Ἐν τοῖς ὄρεσιν αὐτομάτοισιν τὰ μιμαίκυλα φύε- [ται πολλά.

Post ὄρεσιν particula δ' omissa et φύεται post αὐτομάτοισιν transponendum videtur: nisi μιμαίκυλ' ἐφύετο scribendum.

**557.** Hephaestio c. 8. p. 52. ed. Gaisf. sec. Τὸ προκελευσματικὸν ὑπ' ἐνίων καλούμενον, οἷον τὸ τετράμετρον τοῦτο τὸ Ἀριστοφάνειον

Τίς ὄρεα βαθύκομα τάδ' ἐπέσυτο βροτῶν;

**558.** Suidas, Χιάζειν: Πραξιδάμας Δημόκριτον τὸν Χῖον καὶ Θεοξενίδην τὸν Σίφνιον πρώτους ἐπὶ χρώματος τάξαι τὴν ἰδίαν ποίησιν, ὡς Σωκράτης ἐν τοῖς πρὸς Εἰδόθεον, ὡς παρ' Ἀριστοφάνει τεταγμένον. ὑποτείνει δέ τις αὐτὸν (cod. Paris. A αὐτῷ: alius αὐτῶν) βωμολοχεῦσαι (haec verba ὑποτείνει — βωμολοχεῦσαι metri anapaestici speciem habent.)

Αὐτὸς δείξας ἐν θ' ἁρμονίαις χιάζων ἢ σιφνιάζων.

θ' particulam addidit Toupius.

**559.** Erotianus p. 204. (p. 82. ed. Klein.) Κενέβρεια: τὰ νεκριμαῖα κρέα οὕτω καλοῦνται, ὡς καὶ Ἀ. "Οὐκ ἔσθ' ὃ κενέβρειον ὅταν θύῃς τι καλεῖ με." Scholiasta Avium v. 538. Κενέβρειον: τὰ θνησιμαῖα κρέα οὕτως ἐκάλουν. "Οὐκ ἔσθ' ᾧ (sic ,cod. Ven. ἔσται Ald.) κενέβριον ὅταν θύσῃ." Scribendum igitur

Οὐκ ἔσθω κενέβρειον· ὅταν θύσῃς τι, κάλει με.

Ἔσθω Heringa, θύσῃς τι, κάλει Cobetus Mnem. vol. 5. p. 186. Phrynichus Bekkeri p. 43, 17. Θνησείδιον μᾶλλον ῥητέον ἢ κενέβρειον.

**560.** Bekkeri Anecd. p. 343, 21. Ἀδικομήχανος: Ἀ.

Τί γὰρ ἐπὶ κακότροπον ἐμόλετον βίον
ἀδικομηχάνῳ τέχνῃ;

**561.** Suidas et Bekkeri Anecd. p. 415, 29. Ἀπ' ἀκροφυσίων λόγους ἐνδεικνύναι: οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀ.

Ῥήματά τε κομψὰ καὶ παίγνι' ἐπιδεικνύναι
πάντ' ἀπ' ἀκροφυσίων κἀπὸ κιναβευμάτων.

Vulgo καὶ (καὶ om. Apostolius Prov. 3, 37. vol. 2. p. 296. ed. Leutsch.) τῶν ἀπὸ κινναβευμάτων. Emendavit Brunckius. Photius p. 166, 3. Κιναβευμάτων: πονηρευμάτων. Hesychius, Κιναβεύματα: πανουργεύματα. Καναβευμάτων Hemst. ad Poll. 10, 189. et Schneider. ad Aristot. H. A. vol. 3. p. 138. Conf. Lobeck. Pathol. El. p. 286. Eiusdem metri versus sunt in fragm. 314.

**562.** Antiatticista p. 86, 3. Βῆ: προβάτων βληχή. Ἀ. "Θύτην μέλλει καὶ κελεύει βῆ λέγειν." Hesychius, Βῆ λέγει: βληχᾶται. ἢ θύει. Fortasse igitur scribendum, emendatione incerta,

Θύειν με μέλλει καὶ κελεύει βῆ λέγειν.

**563.** Athenaei epitome 1. p. 30b. Γίνεται δὲ ἐν Ἰκάρῳ, φησὶν Ἐπαρχίδης, ὁ Πράμνιος. ἔστι δὲ οὗτος γένος τι οἴνου. καὶ ἔστιν οὗτος οὔτε γλυκὺς οὔτε παχὺς, ἀλλ' αὐστηρὸς καὶ δύναμιν ἔχων διαφέρουσαν, οἴῳ Ἀριστοφάνης οὐχ ἥδεσθαι Ἀθηναίους φησὶ λέγων τὸν Ἀθηναίων δῆμον οὔτε ποιηταῖς ἥδεσθαι σκληροῖς καὶ ἀστεμφέσιν οὔτε Πραμνίοις σκληροῖσιν οἴνοις συνάγουσι τὰς ὀφρῦς τε καὶ τὴν κοιλίαν, ἀλλ' ἀνθοσμίᾳ καὶ πέπονι νεκταροσταγεῖ. Versus fuerunt trochaici tetrametri.

**564.** Athenaei epitome 11. p. 502b. Ἐκαλεῖτο δὲ καὶ τὸ ἑταιρικὸν συνευωχούμενον φιλοτήσιον. Ἀριστοφάνης "Ἑπτάπους γοῦν ἡ σκιά 'στιν ἡ 'πὶ τὸ δεῖπνον· ὡς ἤδη καλεῖ μ' ὁ χορὸς ὁ φιλοτήσιος." χορὸς aut χρόνος pro χρόος Casaubonus. Ἑπτάπους σκιὰ fortasse ex hoc loco sumsit Hesychius. Verba poetae compendifecit epitomator.

**565.** Aristides vol. 1. p. 87, 19. Ὃ δέ φησιν Ἀ. περὶ Αἰσχύλου σκότον εἶναι τεθνηκότος, τοῦτ' ἄξιον καὶ περὶ τούτου (Ἀλεξάνδρου τοῦ Κοτυαέως) νῦν εἰπεῖν εἰς παιδείας λόγον. Fortasse in Gerytade.

**566.** Plutarchus qui dicitur in vita decem oratorum p. 836e. Ἰσοκράτης Θεοδώρου μὲν ην παῖς τοῦ ἀρχιερέως — θεράποντας αὐλοποιοὺς κεκτημένου καὶ εὐπορήσαντος ἀπὸ τούτων — ὅθεν εἰς τοὺς αὐλοὺς κεκωμῴδηται ὑπὸ Ἀριστοφάνους καὶ Στράττιδος. Strattidis ex Atalanta versus de Isocrate servarunt Athenaeus 13. p. 592d. et scriptor vitae Isocratis p. 103, 17. ed. meae Oxon.

**567.** Hesychius (et Etymol. Paris. ap. Cramer. Anecd. Paris. vol. 4. p. 84, 18. ubi Ἀάνθα), Ἄανθα: εἶδος ἐνωτίου παρὰ Ἀλκμᾶνι ἢ (καὶ Alberti) Ἀριστοφάνει.

**568.** Zenobius Proverb. 1, 1. (et similiter Diogenian. 1, 1.) Ἀβυδηνὸν ἐπιφόρημα: — εἴρηται δὲ η παροιμία καὶ ἀπὸ τοῦ ὑπ' αὐτῶν (Abydenos dicit) συκοφαντεῖσθαι τοὺς ξένους. ἔνθεν Ἀριστοφάνης τὸν συκοφάντην Ἀβυδηνοκώμην (alii libri ἀβυδηνοκόμον) εἶπεν. Corrige Ἀβυδοκόμην collatis Bekkeri Anecdotis p. 215, 6. 322, 31. ubi Ἀβυδοκόμης, vel Ἀβυδοκόμαν collato Hesychio, Ἀβυδ . . κόμας (ubi prime scriptum fuisse videtur Ἀβυδηνοκόμας): ὁ ἐπὶ τῷ συκοφαντεῖν κομῶν, quae fortasse vera forma est, quae etiam apud Eustathium reperitur p. 357, 2. Ἀβυδοκόμαι οἱ ἐπὶ συκοφαντίᾳ κομῶντες. Ceterum v. Leutschii annot. ad utrumque paroemiographum.

**569.** Pollux 7, 134. Τάχα δ' ἂν καὶ κοπροφόροι εἶεν ἐκ τούτων καὶ κοπ, αγωγοί. Ἀριστοφάνης μὲν γὰρ εἴρηκε κόπρου ἀγωγας (κοπραγωγὰς codex Iungermanni, vitiose: nam locutionem κόπρου ἀγωγὰς προσφέρειν annotavit Pollux 1, 225.) καὶ ἀλλαχοῦ "Κοπρολογεῖ (vel κοπρολόγει) κόφινον λαβών". Verbo κοπραγωγῆν usus est Lysistr. v. 1176.

**570.** Pollux 2, 108. Ἀ. δὲ ἄγλωττον τὸν εἰπεῖν ἀδύνατον ἔφη.

**571.** Pollux 3, 48. Ἀ. δὲ ἄγυνον τὸν ἀγύνην.

**572.** Photius p. 7, 20. Ἀγῶνα: τὴν συναγωγήν. οὕτως Ἀ.

573. Eustathius p. 1854, 12. Ἦν δὲ καὶ ἄδδιξ μέτρον τι, φασί, τετραχοίνικον. Ἀ. "Ἀλφίτων μελάνων ἄδδιχα." Photius p. 8, 6. et Bekkeri Anecd. p. 342, 26. Ἄδδιξ: μέτρον τετραχοίνικον. (Etymolog. M. p. 16, 53. 17, 46.) οὕτως Ἀ. Corrupte codex Hesychii, Ἄδδιξις: μέτρον τετραχοίνης.

574. Photius p. 9, 21. Ἀδηφάγοι: ἀγωνισταὶ ἵπποι οὕτως ἐκαλοῦντο, ὡς Ἀ. καὶ Φερεκράτης.

575. Bekkeri Anecd. p. 346, 1. Ἀδώνιος Φερεκράτης εἶπεν ἀντὶ τοῦ Ἀδώνιδος. λέγει δὲ τὴν αἰτιατικὴν τὸν Ἀδώνιον. οὕτω δὲ καὶ Πλάτων καὶ Κρατῖνος, ἀλλὰ καὶ Ἀ. καὶ ἕτεροι. λέγουσι δὲ καὶ Ἄδωνιν αὐτὸν πολλάκις. Recte Cobetus Mnem. vol. 5. p. 202. Ἀδῶνος (vel Ἄδωνος) Φερεκράτης — τὴν αἰτιατικὴν τὸν Ἀδῶνα (vel Ἄδωνα), collato Hesychio, Ἄδωνα: τὸν Ἄδωνιν. Ἄδωνα dixerunt Dorienses: vid. Meinek. ad Theocr. 15, 149.

576. Bekkeri Anecd. p. 348, 2. Ἀείταν: τὸν ἑταῖρον. Ἀ. δὲ τὸν ἐρώμενον. Scribe ἀΐταν.

577. Phrynichus Bekkeri p. 6, 2. Ἀκύμων θάλασσα: Εὐριπίδης ἐπὶ τοῦ μὴ γεννᾶν τέθεικεν, ὡσανεὶ ἀγόνου. ὡσαύτως καὶ Ἀ.

578. Bekkeri Anecd. p. 382, 17. Ἀλειφόβιον: τὸν περὶ παλαίστραν ἀναστρεφόμενον καὶ ὑπηρετοῦντα. οὕτως Ἀριστοφάνης. Hesychius, Ἀλειφοβίους: πένητας. ubi vide Alberti annotationem.

579. Pollux 2, 150. Ἀ. δὲ "ἀμεταχειρίστων τῶν κοινῶν" εἶπεν.

580. Photius p. 72, 21. Ἡ ποθεν: ἀμόθεν. οὕτως Ἀ. Recte Ruhnken. ad Timaeum p. 26. corrigit errorem grammatici reposito Ἀμόθεν: ποθέν, ut apud Suidam est, quanquam omissa Aristophanis mentione. Glossa est Homerica ex Od. 1, 10. ubi ἀμόθεν per ποθὲν explicant scholiastae et λέξιν τῶν Ἀττικῶν esse dicunt. Itaque nihil caussae est cur Ἀριστοφάνης non comicus intelligatur, sed grammaticus, quod voluit Nauckius de Aristoph. p. 231.

581. Etymolog. M. p. 96, 22. Ἀναζυγῶσαι: — τὸ τὰς θύρας ἀναπετάσαι Ἀριστοφάνης "Τὴν θύραν ἀναζυγώσας". Quae exscripsit Favorinus in Aldi Hortis Adonidis p. 15b. Pollux 10, 26. Παρὰ δὲ τοῖς κωμῳδοῖς τὸ ἀναζυγῶσαι ταυτὸν τῷ ἀνοῖξαι σημαίνει.

582. Hesychius, Ἐμπεδορκεῖν: εὐορκεῖν. παίζει δὲ Ἀ. παρὰ τὰς πέδας.

583. Suidas, Ἀνασηκῶσαι: ἀνταποδοῦναι, ἢ ἀναλαβεῖν, ὥσπερ οἱ ἱστάντες. οἷον ἐξισῶσαι τῷ λείποντι ἢ πλεονάζοντι. οὕτως Ἀ.

584. Bekkeri Anecd. p. 401, 18. Ἀνεψιαδαῖ (ἀνεψιάδαι codex) Ἀ., καὶ ἀνεψιαδοῦς Φερεκράτης, καὶ Ἕρμιππος ἀνεψιαδοῦν —. Phrynichus Bekkeri p. 15, 18. Ἀνεψιαδῆν: ὅμοιόν ἐστι τῷ ἀδελφιδῆν. ἀνεψιοῦ καὶ ἀδελφοῦ θυγάτηρ.

585. Pollux 2, 228. Ἀνοητία, ὡς Ἀ. et 4, 9. Ἄνοια· τὸ γὰρ ἀνοητία σκληρόν. Bekkeri Anecd. p. 406, 16. Ἀνοητίαν (ἀνοησίαν codex) τὴν ἄνοιαν Ἀριστοφάνης. Phrynichus Bekkeri p. 21, 20. Ἀνοητία: ὡς νουθετία, μοιχοληπτία, φιλοποτία, λυχνοκαυτία, ἀθλοθετία, ἀκρατία. De ἀθλοθετία Pollux 3, 140. Ἀθλοθεσία, ἤ, ὡς Ἀριστοφάνης, ἀθλοθετία. De quo dixit Lobeckius ad Phryn. p. 510.

586. Suidas, Ἀπόμακτρα σκυτάλων ἀπεσκοτημένα δ' ἐσκιοτραφημένα. Eadem grammaticus Bekkeri p. 431, 26. praemisso lemmate Ἀπόμακτρα, et ἐσκιοτροφημένα praebens. Vera loci scriptura haec est, Ἀπόμακτρα: σκύταλα. ἀπεσκοτωμένα δὲ ἐσκιαγραφημένα. Poetae enim verba fuerunt ἀπόμακτρ' ἀπεσκοτωμένα, quorum interpretationes ex scholiasta hic, ut alibi (velut s. v. Καταξαίνειν et Κηφισόδημος) exscripsit Suidas, cuius alia est de eodem loco annotatio perinepta, Ἐσκιοτροφημένα: Ἀριστοφάνης. ἀπόμακτρα σκυτάλων ἐσκιοτροφημένα. Prudentius idem alio loco, Ἀπεσκοτωμένα: ἐσκιαγραφημένα, κεχρωσμένα. τὰς γὰρ χρίσεις σκότη (σκότους Hesychius) καλοῦσι ζωγράφοι. οὕτως Ἀριστοφάνης: quae iisdem fere verbis, omissa tamen Aristophanis memoria, ab Hesychio traduntur et ab Pausania apud Eustathium p. 953, 53. Denique Hesychius, Ἀπόμακτρα (ἀπομάκτρας codex): ξύλα. τὰς σκυτάλας, ἐν αἷς ἀποψῶσι τὰ μέτρα. Forma ἀπόμακτρον idem utitur ad explicandum ἀπόψηστον. Porsono Aristophanis verba fuisse videbantur, Ἀπόμακτρα τῶν (τε Hermannus) σκυτάλων ἀπεσκοτωμένα. Femininum ἀπομάκτρα, quod nullum fuit, finxit Pollux 4, 170. 10, 113.

587. Pollux 7, 22. Καὶ ἀρτοστροφεῖν δὲ Ἀ. λέγει.

588. Phrynichus Bekkeri p. 10, 9. Ἀσπάλαθος: ἀκανθῶδες φυτόν. Κλέανδρος (Μένανδρός Meinek. Hist. Com. p. 489.) θηλυκῶς, Ἀ. ἀρσενικῶς.

589. Phrynichus Bekkeri p. 13, 19. Αὔεσθαι πῦρ καὶ ἐναύεσθαι: Ἀ. αὐόμενος, Κρατῖνος ἐναύεσθαι.

590. Hesychius, Ἀφορμή: ἡ νῦν ἐνθήκη λεγομένη. Ἀ. "Μέλλει δὲ πέμπειν τοὺς εἰς ἀφορμήν." ἢ πρόφασις, ἢ αἰτία. Metri speciem verba illa nanciscentur deleto τούς.

591. Phrynichus Bekkeri p. 13, 28. Ἀψευδοῦντες: Ἀ.

592. Bekkeri Anecd. p. 476, 10. Ἀωρί, ἀωρία: τὸ παρὰ τὸν προσήκοντα καιρὸν καὶ τὴν ὥραν. — Ἀριστοφάνης δὲ ἔφη καὶ "ἀωρὶ θανάτῳ ἀπέθανεν." Aristophanes ἀωροθάνατος ἀπέθανεν dixerat. Phrynichus ibidem p. 24, 22. Ἀωροθάνατος: ὁ πρὸ τῆς καθηκούσης ὥρας ἀποθανὼν ἀνὴρ καὶ γυνή.

593. Scholiasta Theocriti 1, 132. Ἡ βάτος θηλυκῶς λέγεται· ὁμοίως ἐνταῦθα καὶ ἡ νάρκισσος. παρὰ δὲ τῷ Ἀριστοφάνει ἀρσενικῶς λέγεται.

594. Pollux 4, 63. Καὶ τὰ ῥήματα λυρίζειν κιθαρίζειν ψάλλειν καί, ὡς Ἀ., βαρβιτίζειν.

595. Etymolog. M. p. 194, 31. Βέλεκοι (βελέκκοι codex Dorvill.): ὄσπρια. "Καὶ τῶν βελέκκων (scr. βελέκων)" Ἀριστοφάνης. Suidas, Βέλεκος: ὄσπριον. ἔοικε δὲ τοῖς λαθύροις. Hesychius, Βέλλεκυς: ὀσπριόν τι ἐμφερὲς λαθύρῳ, μέγεθος ἐρεβίνθου ἔχον. Coniecturam de hac planta protulit Schneiderus ad Theophrast. vol. 3. p. 689.

596. Pollux 7, 210. Παρὰ Ἀριστοφάνει βιβλιδάριον. Conf. fr. 64.

597. Pollux 2, 56. Ἀ. δὲ καὶ βλέπος που λέγει καὶ βλέπησιν. Βλέπος est in Nubibus v. 1176. βλέπησιν vero, quod grammaticorum vocabulum est, Aristophanem dixisse incredibile est: quamobrem corrigendum cum Bergkio λέγει τὴν βλέπησιν, quemadmodum μάθος ab Aristophane dictum (fragm. 645.) per μάθησιν explicuit Photius.

Pollux 2, 154. Ἐγχειρητής (Av. 257.) δὲ καὶ ἐγχείρησις Ἀριστοφάνης.

598. Pollux 7, 187. Ἀ. καὶ βοηλατεῖν καὶ ὀνηλατεῖν εἶπε.

599. Thomas M. p. 85, 10. ed. Ritschel. λέγε δὲ ἐπὶ μὲν τῆς εὐθείας τῶν πληθυντικῶν βόες, εἰ καὶ Ἀ. ἀναγκασθεὶς (intellige ὑπὸ τοῦ μέτρου) ἅπαξ βοῦς εἶπεν· ἐπὶ δὲ τῆς αἰτιατικῆς βοῦς. Quod interpolatoris est additamentum, quo codices plerique carent,

**600.** Pollux 7, 141. Καὶ βωλοκοπεῖν δὲ Ἀ. εἴρηκε.

**601.** Phrynichus Bekkeri p. 31, 27. Γαλῆν καταπέπωκεν: Ἀ. ἐπί τινος νέου μὴ δυναμένου φθέγξασθαι. χρήσαιο δ' ἂν καὶ αὐτὸς ἐπὶ παντὸς (τοῦ μὴ addit Bekkerus) φθεγγομένου.

**602.** Etymolog. M. p. 229, 40. Γεισίποδες: παρὰ τὸ εἶναι βάσεις τῶν θεμελίων. καὶ γεισῶσαι καὶ γείσωσις τὸ τῆς γῆς ἔκθεμα (ἔκθετον Anecd. Bekk., ἔκθεμα et ἐξέχον Hesych.). Ἀριστοφάνης δὲ καὶ τὰς ὤας τοῦ ἱματίου γεῖσα εἶπε. Postrema, Ἀριστοφάνης — εἶπε, habet grammaticus Bekkeri p. 231, 2. ubi γείσας scriptum. Vide Hesychium vol. 1. p. 808.

**603.** Pollux 2, 13. Γερόντειαι παλαῖστραι παρὰ Ἀριστοφάνει (cod. Falckenburg. Ἀντιφάνει).

**604.** Hesychius, Δαφνοπώλην τὸν Ἀπόλλω λέγουσιν, ὡς Ἀριστοφάνης. Apud Syracusanos δαφνίτης dictus fuit: vide Hesychii interpretes.

**605.** Phrynichus Bekkeri p. 35, 30. Διετησίως: ἀντὶ τοῦ διέτως, οἷον καθ' ἕκαστον ἔτος. Θουκυδίδης καὶ Ἀ. Apud Thucydidem 2, 23. legitur θυσίαις διετησίοις.

**606.** Hesychius, Δράκαιναν: τὴν μάστιγα, τὴν ὑστριχίδα ὁ Ἀ.

**607.** Scholiasta Dionysii Thracis in Bekkeri Anecdotis p. 942, 22. Τὸ δυάκις καὶ τριάκις παρὰ Ἀριστοφάνει.

**608.** Pollux 10, 27. Ἀ. (Lysistr. v. 265.) "Προπύλαια πακτοῦν." καὶ πάλιν "ἐπιπακτοῦν τὰς θύρας." καὶ πάλιν Porsonus Adversar. p. 281. Vulgo ἢ πάλιν καί.

**609.** Pollux 2, 199. Τὰ δὲ ὑπὲρ τοὺς δακτύλους κρούματα πταίσματα· Ἀ. δὲ καὶ ἐπιπταίσματα αὐτὰ καλεῖ.

**610.** Pollux 6, 79. Τὰ δὲ ἐπιδορπίσματα Ἀ. ἐπιφορήματα καλεῖ.

**611.** Pollux 2, 42. Ἑτερεγκεφαλᾶν, ὡς Ἀ. τὸ παραφρονεῖν.

**612.** Hesychius, Ἐτνήρυσις: ἔπαιξεν Ἀ. ἀντὶ τοῦ φάναι τὴν σανίδα (ἀμίδα Naekius Opusc. vol. 1. p. 360.) τὴν ἐτνήρυσιν εἰπών, παρὰ τὸ ἔτνος. Male haec ad Acharn. v. 233. referuntur.

**613.** Photius p. 30, 6. Εὔειλος (codex εὔηλος): εὐήλιος. Ἀ. In Ranis v. 241. legitur εὐηλίοις.

**614.** Suidas, Εὐθετῆσαι: κοσμῆσαι, συνθεῖναι. οὕτως Ἀ. Pollux 2, 31. Εὐθετῆσαι δὲ ἔλεγον τὰς τρίχας. Phrynichus Bekkeri p. 40, 22. Εὐθετεῖν νεκρόν: τὸ εὖ κοσμεῖν ἐν τάφοις νεκρόν.

**615.** Pollux 9, 162. Τὸ παρ' Ἀριστοφάνει εὐκόπως.

**616.** Pollux 6, 161. Ἡμιφωσώνιον Ἀ. Vide Hesychii interpretes vol. 1. p. 1636.

**617.** Pollux 1, 12. Τοὺς ἐπὶ τοῖς ἀγάλμασι χειροτέχνας οὐκ ἀγαλματοποιοὺς μόνον οὐδὲ ἀγαλματουργούς, ἀλλὰ καὶ θεοποιοὺς καὶ θεοπλάστας, ὡς Ἀ.

**618.** Pollux 7, 150. Ἀ. δὲ γυναῖκα θερίστριαν καὶ φρυγανίστριαν εἶπε.

**619.** Pollux 7, 100. Τοὺς δὲ μεταλλέας θυλακοφορεῖν Ἀ. ἔφη. Duo codices θυλακοφόρους. Et glossam θυλακοφόροι habet Hesychius. Sed Pollux 10, 149. θυλακοφορεῖν μὲν τοὺς μεταλλέας οἱ κωμῳδοὶ λέγουσι.

**620.** Phrynichus Bekkeri p. 43. 44. Ἰξοί: ἐπὶ τῶν γλίσχρων καὶ φειδωλῶν. καὶ ἔοικε παρὰ τὸν ἰξὸν γεγενῆσθαι τοὔνομα, ὅτι καὶ ὁ ἰξὸς γλίσχρος ἐστί. λέγει δ' Ἀ. οὕτως "Ἰξοὶ ῥυποκόνδυλοι." ὅπερ σημαίνει καὶ αὐτὸ τοὺς γλίσχρους καὶ διὰ τὴν φειδωλίαν μήτε λουομένους μήτε νιζομένους. Illata haec sunt in Moeridis librum p. 201. ubi vide Piersoni annotationem.

**621.** Hesychius, Ἱπποκλείδης: οὕτω κακοσχόλως τὸ τῆς γυναικὸς μόριον Ἀριστοφάνης εἶπεν. Photius p. 111, 25. Ἱπποκλείδην: τὸ γυναικεῖον αἰδοῖον, παρὰ τὸ ἱππεύειν. Conf. Lobeck. Pathol. Proleg. p. 119.

**622.** Pollux 4, 67. Καλαμίνην σύριγγα εἴρηκεν Ἀ. Idem 10, 153. Καλαμίνους αὐλοὺς Ἀ. ἔφη. et omisso poetae nomine 10, 173. ubi quum sic scribat, καὶ ὡς ἐν Γήρᾳ (fragm. 197.) "πτωχικοῦ βακτηρίου", καὶ "Βακτηρία δὲ Περσὶς ἀντὶ καμπύλης" καὶ "καλαμίνους αὐλούς", non dubitandum quin ille quoque versus "Βακτηρία — καμπύλης" Aristophanis sit.

**623.** Pollux 7, 166. Ἀ. καὶ κάμινον βαλανείου φησί.

**624.** Scholiasta cod. Vat. 1307. ad Lycophr. 1. apud Bachmannum p. 347. ὡς τοῦ Πριάμου πρότερον πυνθανομένου κατὰ τὸ σιωπώμενον, ὡς Ἀριστοφάνης
Εἰ μὴ Προμηθεύς εἰμι, τἆλλα ψεύδομαι.

**625.** Pollux 2, 41. Καρηβαρικὸν τὸ πάθος Τηλεκλείδης, τὸ δὲ ὑπὸ μέθης τοῦτο πάσχειν καρηβαριᾶν Ἀ.

**626.** Suidas s. v. Ἐγχυτρίστριαι, Ἔλεγον δὲ καὶ τὸ βλάψαι (θάψαι Lobeckius Aglaoph. p. 632.) καταχυτρίσαι, ὡς Ἀ. Similiter Etymolog. M. p. 313, 42. s. v. et scholiasta Platonis p. 336.

**627.** Pollux 2, 57. Καχύποπτος, ὡς Ἀ.

**628.** Harpocratio, Κελέοντες: — κυρίως εἰσὶν οἱ ἱστόποδες, ὡς καὶ παρ' Ἀριστοφάνει δῆλον τῷ κωμικῷ.

**629.** Photius p. 168, 12. Κλέος: τὴν φαύλην δόξαν Ἀ.

**630.** Photius p. 173, 7. Κνημίαι (codex κνημία) τὰ ἐν τοῖς θρόνοις καὶ τροχοῖς διερείσματα. καὶ πληγαὶ ἐν κνήμαις. καὶ τὸ κνημιοπαχὲς (corrige κνημοπαχὲς cum Lobeck. ad Phryn. p. 535.) ξύλον, ὡς Ἀ. Hesychius, Κνημίαι: — καὶ τὰ ὀρθὰ ξύλα τῶν θρόνων, ὅπου ἐστὶν ἐπίκλιντρον.

**631.** Phrynichus Bekkeri p. 47, 7. Κοινοθυλακεῖν τὸ ἐν ὁδῷ κοινωνεῖν σιτίων καὶ τραπέζης καὶ καταγωγῆς καὶ τῶν τοιῶνδε. Ἀ.

**632.** Harpocratio, Κρᾶστις: Δείναρχος ἐν τῷ πρὸς Λυσικράτην. κρᾶστίς ἐστιν ἡ πόα, ὡς καὶ Ἀριστοφάνης. Apud alios grammaticos κράστις scribitur: de quo dixi in Thesauro vol. 4. p. 1920.

**633.** Pollux 6, 91. Μέμνηται δὲ Ἀ. καὶ κρεοστάθμης.

**634.** Pollux 6, 47. Κυδώνια μῆλα, ὡς Ἀ. "Papillis tributum hoc epitheton Acharn. 1199." Brunck.

**635.** Photius p. 198, 11. Κωπαῖοι: σφῆκες. οὕτως Ἀ.

**636.** Photius p. 211, 21. Λεγωνῆσαι: ἀντὶ τοῦ παῖσαι. οὕτως Ἀ. "Aliquid lucis huic glossae affert glossa Hesychii Λετωνῆσαι: ἀφειδῶς παῖσαι κατὰ τῶν ἰσχίων. An scribendum sit λαγονίσαι, ut πυγίζειν dicitur et τὰς λαγόνας σποδεῖν ab Aristophane ipso, in medio relinquo." L. Dindorf. in Thesauro vol. 5. p. 155.

**637.** Pollux 6, 86. Ἀ. λεκανίσκην.

**638.** Pollux 7, 196. Λιβανωτοπωλεῖν Ἀ. ἔφη.

**639.** Phrynichus p. 321. ed. Lobeck. Κοχλιάριον: τοῦτο λίστρον Ἀριστοφάνης ὁ κωμῳδοποιὸς λέγει. καὶ σὺ δὲ οὕτω λέγε. Phrynichus Bekkeri p. 51, 9. Λίστριον: τὸ ὑπὸ τῶν πολλῶν καλούμενον κοχλιάριον. Ὅμηρος (Odyss. 22, 455.) μὲν λίστρον τὸν ξυστῆρα, οὗ ὑποκοριστικὸν λίστριον, οἷον ξυστηρίδιον. ἔοικεν οὖν τὸ πρῶτον τοιοῦτο κατεσκευάσθαι ὅμοιον πτύῳ στρογγύλῳ. Videtur igitur Aristophanes λίστριον dixisse: de quo vocabulo aliorum grammaticorum locos indicavit Lobeckius.

**640.** Suidas, Λογάρια: οἱ λόγοι. Ἀ. Quibus subiungit Synesii non nominati verba quaedam. De vocabulo λογάριον optime dixit Meinekius ad Menandr. p. 236.

**641.** Phrynichus Bekkeri p, 50. 51. Λογγάζειν: τὸ διαδιδράσκειν τὸ ἔργον, προφασιζόμενόν τινα πρόφασιν. καὶ τοῦτο Ἀ. τίθησιν ἐπὶ ἵππων προσποιουμένων (codex προσποιούμενος) χωλεύειν. Vide de hoc vocabulo, quod alii λαγγάζειν scribunt, Hesychii interpretes vol. 2. p. 407. Antiatticista p. 106, 5. Λαγγάζει: ἀντὶ τοῦ ἐνδίδωσιν. Ἀντιφάνης Ἀντερώσῃ.

**642.** Photius p. 231, 11. Λουτρίδες: δύο κόραι περὶ τὸ ἕδος τῆς Ἀθηνᾶς. ἐκαλοῦντο δὲ αὗται καὶ πλυντρίδες. οὕτως Ἀ.

**643.** Pollux 7, 157. Καὶ λοφοπωλεῖν Ἀ. εἴρηκε.

**644.** Photius p. 240, 5. Μαγίδες: μᾶζαι. καὶ τὰ τῇ Ἑκάτῃ συντελούμενα δεῖπνα. οὕτως Ἀ. Conf. Hesychium s. h. v.

**645.** Photius p. 241, 8. Μάθος λέγουσι τὴν μάθησιν. οὕτως Ἀ.

**646.** Photius p. 244, 13. Μαλθακόν: ἀντὶ τοῦ ἀγαθόν. οὕτως Ἀ.

**647.** Photius p. 246, 4. Μάνην: τὴν μανίαν. λέγουσι δὲ καὶ μάναν. Ἀ. Quae gl. si incorrupta est, comparandum σάλα vel σάλη pro σάλος dictum: de quo vid. L. Dindorfius in Thesauro vol. 7. p. 1920.

**648.** Hesychius, Μεσαύχενες: Ἀ. φησὶ μεσαύχενας νέκυας ἀσώτους· διὰ τοῦ μ γραπτέον μεσαύχενες, ὅτι μέσον αὐχένα αὐτοῦ πιέζει παρεβάλλοντο τὸ σχοινίον. τραγῳδεῖ δὲ τὰ ἐν τῷ Φιλοξένου Σύρῳ (?). ἔνιοι δὲ διὰ τοῦ δ γράφουσι δεσαύχενες, οὐ καλῶς. Quae Dobraeus in indice Photii p. 736. et in Adversar. vol. 2. p. 259. ita corrigit, — μεσαύχενας νέκυας· τοὺς ἀσκούς· διὰ τοῦ μ — ὅτι μέσον τὸν αὐχένα αὐτῶν περιεβάλλοντο σχοινίον. παρῳδεῖ δὲ —. recte, nisi quod cum Heckero (Philologi vol. 5. p. 510.) et partim cum Bergkio scribendum ὅτι μέσον αὐχένα ἀσκοῦ πιέζει ὃ περιεβάλλοντο σχοινίον, vel περιβαλλόμενον τὸ σχοινίον cum Schneidewino in Ephem. Gotting. a. 1844. Nr. 66. p. 659. Hesychius post μέσσαυλον, Μεσαύχενες: οἱ ἀπὸ μέσου τοῦ αὐχένος δεσμευόμενοι. Photius p. 259, 13. Μεσαύχενες: οἱ ἀσκοί· ἢ δεσαύχενες. Pollux 2, 135. Βυσαύχενας (hoc ex praecedente βυσαύχην ortum pro μεσαύχενας illatum esse recte iudicat Nauckius in Ephem. Hal. a. 1848. Nr. 65. p. 517.) τοὺς ἀσκοὺς Ἀριστοφάνης κέκληκεν. Μεσαύχενας autem νέκυας Dobraeus Philoxeni phrasin esse putat de suspensis per collum cadaveribus: quam ad utres per iocum transtulisse Aristophanem.

**649.** Pollux 9, 25. Ὁ μὲν μεγάλης πόλεως πολίτης μεγαλοπολίτης ἂν λέγοιτο, ὁ δὲ μικρᾶς μικροπολίτης. ὅθεν καὶ Ἀριστοφάνει εἴρηται τὸ μικροπολιτικόν. Vocabulo μικροπολίτας utitur in Equit. v. 824.

**650.** Photius p. 280, 3. Μύξαν: αὐτὸν τὸν μυκτῆρα καλοῦσιν, οὐχὶ τὸ ὑγρόν. οὕτως Ἀ.

**651.** Pollux 7, 177. Μυροπωλεῖν Ἀ. ἔφη. Idem 4, 64. Ἀ. δὲ μελῳδὸς καὶ προσῳδὸς εἴρηκε. Idem 8, 28. Μεσέγγυον τὴν μείρακα καταθέσθαι Ἀ. λέγει.

**652.** Pollux 7, 139. Ναῦται· οἷς προσήκουσι καὶ αἱ παρ' Ἀριστοφάνει ναύτριαι.

**653.** Pollux 2, 20. Ἀ. δὲ νεανιεύεσθαι τὸ τολμᾶν ἔφη, — ἀνδρίζεσθαι δὲ Ἀ. εἶπεν ἀνδροῦσθαι, καὶ ἀνδριζόμενοι Ὑπερείδης.

**654.** Pollux 7, 138. Νεῖν δ' ἐξ ὑπτίας μάθημα κολυμβητῶν Ἀ. εἶπε καὶ Πλάτων. Idem 1, 231. Νεόφυτον (φυτὸν vel δένδρον)· εὐτελὲς μὲν γὰρ τὸ ὄνομα, κέχρηται δὲ αὐτῷ Ἀ.

**655.** Stephanus Byzant. Νώνακρις: πόλις Ἀρκαδίας. — τὸ ἐθνικὸν — καὶ Νωνακριεὺς λέγεται παρὰ Ἀριστοφάνει. Fortasse Νωνακρεὺς scribendum. Hesychius, Νωνακρεύς: οἱ μὲν ἀλείπτην Ἀρκαδικὸν ἀποδιδόασιν. ἡ γὰρ Νώνακρις Ἀρκαδίας ἐστὶ τόπος. Photius p. 306, 16. Νωνακρεύς: πύκτης, παγκρατιαστής.

**656.** Pollux 2, 180. Καὶ νωτοπλῆγα τὸν μαστιγίαν Ἀ. ἐκάλεσε. Nisi Aristophanem pro Pherecrate nominavit, cuius ex Crapatalis Suidas s. v. νωτοπλῆγα versum attulit, Καὶ νωτοπλῆγα μὴ ταχέως διακονεῖν.

**657.** Pollux 7, 30. Ἔξαινε δὲ τῶν ἐρίων Ἀ. ἔφη.

**658.** Photius p. 308, 23. Ξειρίς (ξειρης codex): φυτὸν ἀρωματικόν. Ἀ. Hesychius, Ξειρίς: ἀρωματικόν τι φυτόν. ubi vide annotationes et L. Dindorfium in Thesauro vol. 5. p. 1920.

**659.** Photius p. 330, 12. — τὸ ἱερὸν Ὀλυμπίειον (codex ὀλύμπιον) πεντασυλλάβως ὡς Ἀσκληπίειον (—ιεῖον codex) Ἀ.

**660.** Photius p. 339, 15. et Suidas, Ὀνυχίζεται: ἀκριβολογεῖται. οὕτως Ἀ. Phrynichus Bekkeri p. 55, 9. Ὀνυχίζειν καὶ ἐξονυχίζειν: τὸ περί τι ἀκριβολογεῖσθαι.

**661.** Photius p. 349, 3. Ὀρογυίας λέγουσιν, οὐχὶ ὀργυιάς. Ἀ. In Avibus v. 1127. ἑκατοντορόγυιον restitutum.

**662.** Photius p. 356, 8. Οὐδαμᾷ: οὐδέποτε. Ἀ. Scribendum οὐδαμά. Μηδαμά ex cod. Rav. restitutum Thesmoph. 1162. Utroque tragici saepius usi sunt.

**663.** Phrynichus Bekkeri p. 18, 23. Αἱ τῶν γυναικῶν παγίδες: τοὺς κόσμους καὶ τὰς ἐσθῆτας, αἷς χρῶνται αἱ γυναῖκες καλλωπιζόμεναι, παγίδας εἶπεν Ἀ. Multa huiusmodi in altera Thesmophoriazusarum editione memorata fuerunt.: vide fragm. 309.

**664.** Pollux 6, 163. Καὶ Ἀ. "Πάγκυφος ἐλαία." Scribe ἐλάα. Hesychius, Ἀστὴ ἐλαία: ἡ ἐν ἀκροπόλει ἡ καλουμένη πάγκυφος διὰ χθαμαλότητα, et similiter s. v. Πάγκυφος. Pollux 9, 17. Ἡ δὲ κωμῳδία καὶ ἀστῆς ἐλαίας εἴρηκε τῆς ἐν πόλει.

**665.** Stephanus Byzant. Παμβωτάδης (Παμβωτάδαι recte Meursius): δῆμος Ἀττικῆς, Ἐρεχθηίδος φυλῆς. ὁ δημότης Παμβωτάδης. τὰ τοπικὰ ἐκ Παμβωτάδων, ἐν Παμβωτάδων. Ἀριστοφάνης. Scribe Παμβωταδῶν.

**666.** Photius p. 377, 25. Πανός: δέσμη κληματίδων. οἱ δὲ νεώτεροι Ἀττικοὶ φανόν. Ἀ. Hinc Lysistr. v. 308. ubi τὸν φανὸν in libris et apud scholiastam legitur, πανόν restitui potest. Phrynichus Bekkeri p. 50, 27. Φανὸς δὲ φάκελός τινων συνδεδεμένος καὶ ἡμμένος, ὃ καὶ διὰ τοῦ π. πανός ex Euripide memorat Pollux 10, 117. Videntur igitur veteres Attici πανός, recentiores, ut Menander, φανός dixisse: v. quae collegi in Thesauro vol. 8. p. 629.

**667.** Pollux 10, 156. Πέτευρον δέ, οὗ τὰς ἐνοικιδίας ὄρνιθας ἐγκαθεύδειν συμβέβηκεν, Ἀ. λέγει. Photius p. 426, 12. Πέτευρον: πᾶν τὸ μακρὸν καὶ ὑπόπλατυ καὶ μετέωρον ξύλον Ἀριστοφάνης ἐν τῷ ε. Nam etiam πέταυρον dictum est.

**668.** Pollux 4, 163. Ἀ. δὲ ἔφη καὶ πλειστάχοθεν.

**669.** Pollux 7, 12. Ὁ δὲ τοῖς πιπράσκουσι προξενῶν προπράτωρ, ὡς Δείναρχος καὶ Ἰσαῖος· προπώλην δὲ Ἀ. αὐτὸν εἶπε καὶ προπωλοῦντα Πλάτων.

**670.** Photius p. 463, 21. Προσχίσματα: εἶδος ὑποδήματος. Ἀ. Hesychius προσχίσματα: εἶδος ὑποδήματος ἐσχισμένον ἐκ τῶν ἔμπροσθεν.

**671.** Pollux 4, 18. Καὶ πυξίον καὶ πυξίδιον. (ἔστι γὰρ παρὰ Ἀριστοφάνει τοὔνομα) καὶ δέλτος. Idem 10, 59. 60. Τῷ δὲ παιδὶ δέοι ἂν προσεῖναι — πυξίον· εἴρηται μὲν γὰρ καὶ ἐπὶ ζωγράφου τοὔνομα ἐν Ἀναξανδρίδου Ζωγράφοις — "Πυξίον λαβὼν κάθου." οὐδὲν δὲ κωλύει καὶ εἰς ταύτην αὐτὸ τὴν χρῆσιν τὴν ἐπὶ τῷ γράφειν ὑφ' ἡμῶν ἄγεσθαι, ἐπεὶ καὶ Ἀριστοφάνης οὕτω κέχρηται.

**672.** Photius p. 478, 1. Πυτίνη: πλεκτὴ λάγυνος. Ἀ.

**673.** Photius p. 486, 24. Ῥήτορα: καὶ τὴν γυναῖκα. Ἀ. Similiter τὴν γραμματέα dixit in Thesm. 433.

**674.** Bachmanni Anecd. 1. p. 360, 26. Σαικωνίσαι: κινηθῆναι. Ἀ. Eadem habet Photius p. 496, 7. ubi σαικονῆσαι scriptum. Hesychius, Σαικωνίσαι: διασαικωνίσαι (codex σαικωνῆσαι διασαικωνῆσαι): τὸ κινηθῆναι ἁπαλῶς (ἁπλῶς codex). Σαλακωνίσαι Dobraeus.

**675.** Photius p. 503, 19. et Bachmanni Anecd. 1. p. 362, 31. Σεῖν: τὸ λεγόμενον τοῖς παιδίοις ὑπὸ τῶν τροφῶν, ὅταν αὐτὰ βούλωνται οὐρῆσαι. οὕτως Ἀριστοφάνης. Simile est βρῦν in Nubibus v. 1382. quod comparavit Ruhnkenius in schedis ab Tittmanno editis p. 133.

Verlag von B. G. Teubner in Leipzig.

Handbuch
der
**Griechischen Staatsalterthümer.**
Von
**Gustav Gilbert.**
Zwei Bände. gr. 8. 1881/85. geh. n. ℳ 11.20.
Einzeln jeder Band n. ℳ 5.60.

Technologie und Terminologie
der
**Gewerbe und Künste bei Griechen und Römern.**
Von **Hugo Blümner.**
Vier Bände. Mit zahlreichen Abbildungen. gr. 8. geh. ℳ [illegible].40.
I. II. III. Band u. IV. Bd. I. Abth. je ℳ 10.80.
IV. Bd. II. Abth. ℳ 7.20.

---

Das
**HOMERISCHE EPOS**
**aus den Denkmälern erläutert.**
Archäologische Untersuchungen.
Von **W. Helbig.**
Zweite verbesserte und vermehrte Auflage.
Mit zwei Tafeln und 163 in den Text gedruckten Abbildungen.
[XVI u. 414 S.] gr. 8. 1887. geh. n. ℳ 12.[illegible]

**Inschriften griechischer Bildhauer.**
Mit Facsimiles herausgegeben von
**Emanuel Loewy.**
[XL u. [illegible] S.] gr. 4. geh. ℳ 20.—

---

**Porträtköpfe auf römischen Münzen**
**der Republik und der Kaiserzeit.**
Für den Schulgebrauch herausgegeben von
**F. Imhoof-Blumer.**
[[illegible] S. u. 4 Lichtdrucktafeln.] gr. 4. gebunden n. ℳ [illegible]

Porträtköpfe
auf
**Antiken Münzen hellenischer und hellenisierter Völker**
Mit Zeittafeln der Dynastien des Altertums nach ihren Münzen
von
**F. Imhoof-Blumer.**
Mit 206 Bildnissen in Lichtdruck.
[IV u. [illegible] S. Text und [illegible] Tafeln.] gr. 4. gebunden n. ℳ [illegible]

---

Druck von B. G. Teubner in Leipzig.